

3 1761 03545 6029







Bibl. Lit. Comment. (N. T.)

CATENÆ

GRÆCORUM PATRUM

IN

NOVUM TESTAMENTUM.

EDIDIT

J. A. CRAMER, S. T. P.
AULÆ NOVI HOSPITII PRINCIPALIS,
NECNON
HISTORIÆ MODERNÆ PROFESSOR REGIUS.

TOMUS IV.

IN EPISTOLAM S. PAULI AD ROMANOS.

OXONII,
E TYPOGRAPHEO ACADEMICO.
M.DCCC.XLIV.

5379
29/9/00

CATENA

IN

SANCTI PAULI

EPISTOLAM AD ROMANOS.

AD FIDEM CODD. MSS.

EDIDIT

J. A. CRAMER, S. T. P.

AULÆ NOVI HOSPITII PRINCIPALIS,

NECNON

HISTORIÆ MODERNÆ PROFESSOR REGIUS.

OXONII,


E TYPOGRAPHEO ACADEMICO.

M.DCCC.XLIV.

MONITUM LECTORI.

CATENAM in D. Pauli Ep. ad Romanos edidi e Cod. Bodleiano E. II. 20. qui chartaceus est, form. in 4°. e MS. antiquiore Gaditano, ut videtur, a Jo. Lluydo An. 1601. descriptus. Hunc olim, ut opinor, Lascaris quidam, sive Constantinus, sive alius ejus stirpis, secum in Italiam e Græcia adduxerat. Cujus facti, hoc Epigramma in ultima libri pagina exaratum, fidem facit.

Λάσκαρις ἀλλοδαπῇ γαίῃ ἐνὶ κάτθετο, γαίην
οὔτι λίην ξείνην, ὦ ξένε, μεμφόμενος.
εὕρατο μειλιχίην· ἀλλ' ἄχθεται, εἴπερ Ἀχαίοις
μηδέτι χοῦν χεύει πατρὶς ἐλευθέριον.



Ξεῖνε, Λάκαιν', ὑπ' ἐμοὶ Ῥάλλου πατρὸς ἡ προφυγοῦσα
δουλοσύνην πάτρας, ἦλθεν ἐς Ἰταλίην·
μήτρῳ πειθομένη, ὃς ζεῦξέ μιν ἀνέρι κλεινῷ.
τοῖς καὶ κόσμος ἔην ταῖς ἰδίαις ἀρεταῖς.
Ἑλλάδος ἀλλ' ὀλοὴ Κατερίναν προὔφθασε μοῖρα,
τῆλέ περ, οὐδ' ὤκτειρ' ἔγκυον οὔτε νέην.

Catena autem hæc, quam eximiam esse et multis aliis hoc nomine præferendam, quod plerorumque Doctorum testimonia ex scriptis non editis deprompta sint, judica-

vit Chr. Wolfius, (Exercit. in Cat. Patr. Gr. p. 33.) non integra est; nam ultra cap. IX. haud procedit. Hiatum vero e Codice olim Augustano, nunc in Bibl. Regia Monacensi adservato, supplere institui. Non autem hic liber omnino partem alteram Catenæ, ut suspicabatur Grabius, (ap. Wolf. loc. cit.) refert; diversa enim esse opera satis patet ex Auctorum Symbolis, hac et illa prolatis. In Bodl. Cod. Origenes sæpissime citatur, rarius autem in Monacensi. Semel tantum in Bodl. adducitur Chrysostomus, quum alter Cod. ejus citationibus abundet.

Monacensis autem libri hæc est notitia in Reiser. Catal. Theolog. p. 9.

"Cod. 23. Catena in Ep. D. Pauli ad Rom. viginti "et quinque Patrum Gr. vid. Acacii, Athanasii, Ba-"silii Magni, Cæsarii, Chrysostomi, Clementis, Cyrilli, "Damasceni, Didymi, Diodori Charterii[a], Dionysii Alex-"andrini, Dionysii Areopagitæ, Euthalii, Gennadii, "Gregorii Theologi, Isidori, Maximi, Methodii, Nys-"seni, Œcumenii, Origenis, Photii, Severiani, Theodo-"reti, Theophili." Incipit a Cap. 7. Membr.

Hujus autem Apographus, cum serius ad manus nostras pervenerit, id in causa fuit, cur volumen quod commentariorum seriem in D. Pauli Epistolas ordiri debuerat, ultimum prodiret.

[a] Leg. Tarsensis.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ ΠΡΟΣ

ῬΩΜΑΙΟΙΣ ΕΠΙΣΤΟΛΗΣ.

---

[a] Ἡ ΔΕ πρὸς Ῥωμαίους Ἐπιστολὴ περιέχει τὴν πρὸς τὸν Χριστὸν παρασκευὴν, μάλιστα τοῖς ἐκ φύσεως λογισμοῖς ἐλεγχθεῖσαν, καὶ διὰ τοῦτο προτάττεται ἄλλαις ἁπάσαις, ὡς δὴ πρὸς αὐτοὺς γεγραμμένη τοὺς ἤδη τὰ θεῖα προμυηθέντας. ταύτην ἐπιστέλλει ἀπὸ Κορίνθου, μήπω μὲν ἑωρακὼς Ῥωμαίους, ἀκούων δὲ περὶ αὐτῶν, καὶ ἐπιποθῶν αὐτοὺς ἰδεῖν. καὶ πρῶτον μὲν, ἀποδέχεσθαι φησὶ τὴν πίστιν αὐτῶν, καταγγελλομένην ὁρῶν πανταχοῦ. ἔπειτα σημαίνει πολλάκις ἑαυτὸν προθέμενον ἐλθεῖν διὰ τὸν εἰς αὐτοὺς πόθον, τέως μὴ δεδυνῆσθαι. καὶ λοιπὸν διδασκαλικὴν τὴν Ἐπιστολὴν ποιεῖται, περὶ κλήσεως ἐθνῶν. καὶ ὅτι ἡ περιτομὴ ἕως καιροῦ ἦν, καὶ νῦν πέπαυται. καὶ ὅτι διὰ τοῦ Χριστοῦ λέλυται τὸ παράπτωμα τοῦ Ἀδὰμ, καὶ ἡ σκιὰ τοῦ νόμου παρῆλθε. τὴν μὲν οὖν κλῆσιν τῶν ἐθνῶν ἀκολούθως κατασκευάζει οὕτως, ἀποδεικνὺς πᾶσιν ἀνθρώποις ἔμφυτον εἶναι τὸν νόμον, καὶ πάντας ἀδιδάκτῳ τε τῇ φύσει, καὶ ἀπ' αὐτῆς τῆς κτίσεως δύνασθαι γινώσκειν τὸν Θεόν.

Διὸ καὶ εἰκότως αἰτιᾶται πρῶτον Ἕλληνας, ὡς μὲν τοῦ Θεοῦ φανερώσαντος αὐτοῖς ἐκ τῶν ποιημάτων τοῦ κόσμου τὴν περὶ ἑαυτοῦ γνῶσιν καὶ τῆς ἀϊδίου δυνάμεως αὐτοῦ, ἥτις ἐστὶν ὁ Λόγος αὐτοῦ, ἐν ᾧ καὶ δι' οὗ, τὰ πάντα πεποίηκεν, αὐτοὺς δὲ, μὴ ἐγνωκέναι μὲν ἐκ τῶν κτισμάτων εἶναι Θεὸν τὸν τούτων δημιουργὸν, τὰ

[a] Argumentum hoc et capitum divisionem ex Œcumenio supplevimus.

δὲ ποιήματα θεοποιήσαντας, καὶ τῇ κτίσει μᾶλλον ἢ αὐτῷ λατρεύσαντας. αἰτιᾶται δὲ καὶ Ἰουδαίους, ὡς μὴ φυλάξαντας τὸν νόμον, ἀλλὰ καὶ μᾶλλον διὰ τῆς παραβάσεως τοῦ νόμου, τὸν Θεὸν ἀτιμάσαντας. καὶ οὕτως ἀμφότερα τὰ μέγιστα Ἰουδαίους καὶ Ἕλλήνας συγκλείει καὶ ἐλέγχει ἐπὶ παρανομίᾳ, ἵνα δείξῃ ὅτι ὅσοι γενόμενοι οἱ πάντες, ἐπίσης, ὡς ὑπεύθυνοι, τοῦ λυτρουμένου δέονται. τῆς δὲ χάριτος καὶ λυτρώσεως ἐπίσης τῆς Ἰουδαίοις γενομένης καὶ ἐπὶ τὰ ἔθνη, εἰκότως καὶ ἡ κλῆσις γέγονε τῶν ἐθνῶν. τῆς δὲ κλήσεως τῶν ἐθνῶν γενομένης, ἐξ ἀνάγκης πέπαυται ἡ περιτομὴ, καὶ ἡ ἐν τῷ νόμῳ σκιά. ὁ γὰρ Ἀβράμ φησιν οὐκ ἐν περιτομῇ, ἀλλὰ πρὸ τῆς περιτομῆς δικαιωθεὶς, μετωνομάσθη μὲν Ἀβραὰμ, ὅτι πατὴρ πολλῶν ἐθνῶν ἔμελλεν εἶναι, κατὰ τὴν ἐν τῇ ἀκροβυστίᾳ πίστιν. ἔλαβε δὲ μετὰ τὸ δικαιωθῆναι καὶ τὴν περιτομὴν ἐν σαρκὶ, ἵνα σημεῖον ᾖ τοῖς κατὰ σάρκα γεννωμένοις ἐξ αὐτοῦ, παύσεσθαι ποτὲ τὴν περιτομὴν, ὅταν τὰ ἔθνη γένηται τέκνα τοῦ Ἀβραὰμ, ἀρξάμενα πολιτεύεσθαι κατὰ τὴν πίστιν τοῦ Ἀβραὰμ, ἐν ᾗ ἐδικαιώθη ὅτε ἦν ἐν ἀκροβυστίᾳ. τούτων γὰρ χάριν μετωνομάσθη Ἀβραάμ. ἀνάγκη δὲ ἐλθόντων τῶν σημαινομένων, παύσασθαι τὸ σημαῖνον. εἰ μὲν οὖν τὰ ἔθνη ἀναγκάζουσι περιτέμνεσθαι, παυέτωσαν δὲ τὸ ὄνομα τοῦ Ἀβραὰμ, καὶ καλείσθω Ἀβράμ. εἰ δὲ Ἀβραὰμ παρὰ Θεοῦ μετωνομάσθη, οὐ δεῖ περιτέμνεσθαι τὰ ἔθνη. ἀλλ' οὐδὲ αὐτοὺς ἔτι τοὺς κατὰ σάρκα Ἰουδαίους, ἵνα ᾖ τὸ ὄνομα βέβαιον, καὶ πατὴρ ἐθνῶν πολλῶν καλῆται. καὶ γὰρ οὐ χρείαν ἔχει λοιπόν τις περιτέμνεσθαι, ἀρκούμενος τῇ πίστει τοῦ Ἀβραάμ· οὐδὲ τῆς ἄλλης δὲ τῆς ἐν νόμῳ σκιᾶς. οὐ γὰρ ἐκ τούτων, ἀλλ' ἐκ πίστεως δικαιοῦταί τις, καθάπερ καὶ ὁ Ἀβραάμ.

Ταῦτα οὕτως κατασκευάσας, ἀποδείκνυσι πάλιν ὅτι ἄλλως οὐκ ἂν γένοιτο λύτρωσις καὶ χάρις τοῦ Ἰσραὴλ καὶ τοῖς ἔθνεσιν, εἰ μὴ λυθῇ ἡ ἀρχαία ἁμαρτία τοῦ Ἀδὰμ, ἡ εἰς πάντας γενομένη. δι' ἄλλου δὲ ταύτην μὴ δύνασθαι ἐξαλειφθῆναι φησὶν, ἀλλ' ἢ διὰ Χριστοῦ τοῦ Θεοῦ, δι' οὗ καὶ ἐξ ἀρχῆς κατάρα γέγονεν. οὐ γὰρ δυνατὸν ἦν, ἄλλον λῦσαι τὸ παράπτωμα. εἶτα γράφει ὅτι ἄλλως τοῦτο οὐ μὴ γένηται, εἰ μὴ σῶμα φορέσῃ ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ γένηται ἄνθρωπος, ἵνα τοῦτο προσενέγκας ὑπὲρ πάντων, τοὺς πάν-

τας ἐλευθερώσῃ ἀπὸ τοῦ θανάτου. καὶ ὥσπερ δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθεν, οὕτως καὶ δι' ἑνὸς ἀνθρώπου ἡ χάρις γένηται. καὶ λοιπὸν ὡς καλὸς οἰκονόμος, τοὺς μὲν Ἰουδαίους παραμυθεῖται· ὅτι οὐ παραβάται γίνεσθε τοῦ νόμου, ἐὰν εἰς τὸν Χριστὸν πιστεύσητε. τοῖς δὲ ἀπὸ τῶν ἐθνῶν παρεγγυᾷ, μὴ ἐπαίρεσθαι κατὰ τοῦ Ἰσραὴλ, ἀλλὰ γινώσκειν ὅτι ὡς κλάδος ἐπὶ τὴν ῥίζαν, οὕτως ἐπ' ἐκείνους ἐνεκεντρίσθησαν. μετὰ δὲ ταῦτα παραινετικοὺς λόγους εἰς τὰ ἤθη διδάξας, τελειοῖ τὴν Ἐπιστολήν.

ΚΕΦΑΛΑΙΑ

ΤΗΣ ΠΡΟΣ

ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΣ.

α΄. Εὐαγγελικὴ διδασκαλία περί γε τῶν ἔξω χάριτος Χριστοῦ, καὶ τῶν ἐν χάριτι, καὶ περὶ ἐλπίδος καὶ πολιτείας πνευματικῆς.

β΄. Περὶ κρίσεως τῆς κατὰ ἐθνῶν, τῶν οὐ φυλασσόντων τὰ φυσικά.

γ΄. Περὶ κρίσεως τῆς κατὰ τοῦ Ἰσραὴλ, τοῦ μὴ φυλάσσοντος τὰ νόμιμα.

δ΄. Περὶ ὑπεροχῆς Ἰσραὴλ, τοῦ τυγχάνοντος τῆς ἐπαγγελίας.

ε΄. Περὶ χάριτος, δι᾽ ἧς ἄνθρωποι μόνον δικαιοῦνται, οὐ κατὰ γένος διακεκριμένως, ἀλλὰ κατὰ Θεοῦ δόσιν ἰσοτίμως κατὰ τὸν Ἀβραὰμ τύπον.

ϛ΄. Περὶ τῆς ἀποκειμένης ἐλπίδος.

ζ΄. Περὶ εἰσαγωγῆς τοῦ πρὸς σωτηρίαν ἡμῶν ἀνθρώπου Ἰησοῦ Χριστοῦ, ἀντὶ τοῦ πεσόντος ἐξ ἀρχῆς γηγενοῦς Ἀδάμ.

η΄. Περὶ τῆς ὀφειλομένης ἐπὶ τῇ πίστει πράξεως ἀγαθῆς.

θ΄. Ἐπανάληψις περὶ τῆς ἐν χάριτι ζωῆς.

ι΄. Περὶ τῆς ὑπὸ νόμου κατακρίσεως διὰ τὴν ἁμαρτίαν.

ια΄. Περὶ τῶν ἐν ἀνθρωπίνῃ φύσει παθῶν, ἀδύνατον ποιούντων τὴν πρὸς νόμον συμφωνίαν.

ιβ΄. Περὶ ἀποδόσεως τῶν φυσικῶν παθημάτων, διὰ τῆς πρὸς τὸ πνεῦμα συμφωνίας.

ιγ΄. Ἐπανάληψις περὶ τῆς ἀποκειμένης τοῖς ἁγίοις δόξης.

ιδ΄. Περὶ τῆς ὀφειλομένης ἀγάπης Χριστοῦ.

ιε΄. Περὶ ἐκπτώσεως Ἰσραὴλ τοῦ ἀποβληθέντος, καὶ κλήσεως τοῦ ἀληθοῦς, τοῦ εἰσαχθέντος μετὰ ἐθνῶν.

ιϛ΄. Ὅτε κατὰ ἀπιστίαν ἡ ἔκπτωσις διὰ τῆς εἰς ἄγνοιαν καταλήψεως, καὶ τοῦ μὴ ἁρμόζοντος αὐτοῖς κηρύγματος.

ιζ΄. Περὶ τοῦ σκοποῦ καθ᾽ ὃν ἐξεβλήθησαν, ὥστε δεύτερον ἐπανελθεῖν ζήλῳ τῶν τιμηθέντων ἐθνῶν συναχθέντων πιστῶν.

ιη΄. Παραίνεσις περὶ ἀρετῆς τῆς πρὸς Θεὸν καὶ ἀνθρώπους.

ιθ΄. Περὶ μιμήσεως τῆς Χριστοῦ ἀνεξικακίας.

κ΄. Περὶ λειτουργίας αὐτοῦ, τῆς ἐν ἀνατολῇ καὶ δύσει.

ΕΞΗΓΗΣΙΣ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ

ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ.

ΚΕΦ. Α.

Εὐαγγελικὴ διδασκαλία περί γε τῶν ἔξω χάριτος Χριστοῦ καὶ τῶν ἐν χάριτι, καὶ περὶ ἐλπίδος καὶ πολιτείας πνευματικῆς.

1 ΠΑΥΛΟΣ δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς Ἀπόστολος.

Σευηριανοῦ. Τί δήποτε τὸ κοινὸν ἰδιοποιεῖται; ἐπειδὴ πολλοὶ μὲν καὶ θεασάμενοι τὸν Κύριον, καὶ μὴ θεασάμενοι ἐπίστευσαν· Παῦλος δὲ οὐρανόθεν καλεῖται, "Σαοὺλ, Σαοὺλ, τί με διώκεις;" προσέτι δὲ αὐτῷ δὲ καὶ πλέον τι παρὰ τοὺς λοιποὺς Ἀποστόλους. τοὺς γὰρ περὶ Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην ὁ Κύριος καλέσας, καὶ μαθητὰς ἐσχηκὼς, οὐκ εὐθὺς Ἀποστόλους ἐποίησεν ἢ ὠνόμασε. τὸν δὲ Παῦλον, ὁμοῦ καὶ ἐκάλεσεν, καὶ εἰς ἀποστολὴν παρήγαγεν.

Ἀφωρισμένος εἰς Εὐαγγέλιον Θεοῦ.

Ἀπολιναρίου. Κεχωρισμένος καὶ ἀφωρισμένος εἰς τὸν εὐαγγελισμὸν, ὡς ὁ νόμος ἀφόρισμα καὶ ἀφαίρεμα λέγει τὸ χωριζόμενον τῶν θυμάτων Θεῷ καὶ ἱερεῦσιν.

Ὠριγένους. Ἀφορίζεται δὲ εἰς Εὐαγγέλιον Θεοῦ, οὐ διὰ τὴν φύσιν ἔχουσάν τι ἐξαίρετον, καὶ ὅσον ἐπὶ τῇ κατασκευῇ, ὑπὲρ τὰς τῶν τοιούτων φύσεις· ἀλλὰ διὰ τὰς προεγνωσμένας μὲν πρότερον πράξεις, ὕστερον δὲ γενομένας ἐκ τῆς παρασκευῆς καὶ τῆς προαιρέσεως τῆς ἀποστολικῆς.

3 *Περὶ τοῦ Υἱοῦ αὐτοῦ τοῦ γενομένου ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα.*

Ἀπολιναρίου. *Γενόμενος τοίνυν κατὰ σάρκα ἐν ὁμοιώματι τῆς ἡμετέρας γενέσεως υἱὸς ἀνθρώπου, κατὰ τὸ πνεῦμα καὶ κατὰ τὴν δύναμιν, Υἱὸς ἀναδείκνυται Θεοῦ ἐν τῇ δευτέρᾳ γενέσει τῇ ἐκ νεκρῶν, πρὸς τὸ καὶ ἡμᾶς ὁμοιουμένους αὐτῷ υἱοὺς γενέσθαι Θεοῦ· τὴν υἱοθεσίαν κομισαμένους ἐν τῇ ἀπολυτρώσει τοῦ σώματος, ὡς αὐτὸς ὁ Ἀπόστολος ἔφη.*

Κυρίλλου. *Οὐκοῦν ὡς εἰκόνες πρὸς ἀρχέτυπον, οὕτω καὶ ἡμεῖς οἱ κατὰ θέσιν υἱοί, πρὸς τὸ φύσει τε καὶ δυνάμει καὶ ἀληθῶς ἐκ Πατρὸς μεμαρτυρημένον εἰς τοῦτο κατὰ Πνεῦμα ἁγιωσύνης, καὶ ἐκ τῆς ἀναστάσεως τῆς ἐκ νεκρῶν. ὁρίζεται δὲ εἰς υἱὸν καὶ κατὰ τὸ ἀνθρώπινον· ἔτι δὲ καὶ κατὰ φύσιν Υἱὸς Θεοῦ καὶ ἐν δυνάμει μαρτυρουμένος "κατὰ Πνεῦμα ἁγιωσύνης ἐξ ἀναστάσεως νεκρῶν." τουτέστιν ἀπόγε τοῦ δύνασθαι καταργεῖν τὸ τοῦ θανάτου κράτος.*

5 *Δι' οὗ ἐλάβομεν χάριν ἀποστολῆς.*

Ἀπολιναρίου. *Ἵνα δὲ δείξῃ ὅτι καὶ Ῥωμαῖοι, τῶν ἐθνῶν ὄντες πάντων τῶν τὴν οἰκουμένην κατοικούντων, δικαίως αὐτοῦ δέχονται τῆς ἀποστολῆς τὸ κήρυγμα.*

Ἀπολιναρίου. Σευηριανοῦ. *Ἀπὸ ἀγάπης γὰρ Θεοῦ ἡ* [a]*κλῆσις, οὐκ ἀξίας τῶν κληθέντων· καὶ ἡ προσθήκη δὲ τοῦ "ἁγίοις" οὐχ ἁπλῶς εἴρηται· ἀλλ' ἐπειδὴ πολλοὶ κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί, οὐ γὰρ πάντες ἐπέμενον τῇ κλήσει· ἵνα μὴ τοὺς μαργαρίτας ῥίπτῃ τοῖς χοίροις, καὶ τὰ ἅγια τοῖς κυσὶν, "ἁγίοις" εἴρηκε δηλονότι· καὶ ἐντεῦθεν ἡμῖν ἡ πηγὴ τῶν ἀγαθῶν ἁπάντων. πάντας δὲ τοὺς πιστοὺς ἁγίους καλεῖ.*

7 *Χάρις ὑμῖν καὶ εἰρήνη.*

Σευηριανοῦ. *Κατὰ δὲ τοὺς αἱρετικούς, εἰ Κύριος ὁ Χριστὸς, πατὴρ δὲ ἡμῶν ὁ Θεὸς, ἔσται καὶ ὁ Πατὴρ δοῦλος τοῦ Χριστοῦ. οἷος γὰρ υἱὸς, τοιοῦτος καὶ ὁ πατήρ. ἀλλ' οὐχ οὕτως ταῦτα ἔχει. πατὴρ γὰρ ἡμῶν εἶπεν, ἵνα τὴν χάριν δείξῃ· Κύριον δὲ Ἰησοῦν, ἵνα μὴ μέγα φρονήσαντες, ὡς καὶ αὐτοὶ υἱοὶ Θεοῦ, καθέλωσι τοῦ Ἰησοῦ τὴν δόξαν, ἢ ἑαυτοὺς ἀγάγωσιν ὑπὲρ τὴν φύσιν.*

[a] Cod. *κλίσις.*

Ἀπολιναρίου. Θεὸν καλοῦσιν οἱ ἐξαιρέτως καὶ ὑπὲρ τοὺς ἄλλους προσήκοντες αὐτῷ, πάλαι μὲν οἱ προφῆται, νῦν δὲ οἱ Ἀπόστολοι. δηλοῖ δὲ ὅτι οὐκ ἔνι εὐχαριστῆσαι Θεῷ ἄνευ Χριστοῦ. χαίρει δὲ ἀγγελικῇ διαθέσει χρώμενος, ἐπὶ τὸ κεκρατηκέναι τὴν Χριστοῦ πίστιν ἐν Ῥώμῃ· "χαρὰ γὰρ ἐν οὐρανῷ γίνεται καὶ ἐπὶ "ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι." καὶ συγχαίρει τῷ συναποστόλῳ αὐτοῦ Πέτρῳ, τοσοῦτον ἰσχύσαντι διὰ τῆς χάριτος.

9 Μάρτυς γάρ μου ἐστὶν ὁ Θεός.

Ἀπολιναρίου. Εἴδη δὲ λατρείας πολλά. καὶ γὰρ ὁ προσευχόμενος Θεῷ λατρεύει. καὶ ὁ νηστείᾳ χρώμενος, καὶ ὁ τοῖς θείοις λογίοις προσέχων, καὶ μέντοι καὶ ὁ τῆς τῶν ξενῶν θεραπείας ἐπιμελούμενος. ὁ δέ γε θεῖος Ἀπόστολος λατρεύειν ἔφη τῷ Υἱῷ τῷ τοῦ Θεοῦ προσφέρων τοῖς ἔθνεσιν Εὐαγγέλιον· καὶ λατρεύειν ἐν πνεύματι, ἀντὶ τοῦ, κατὰ τὴν δεδομένην μοι χάριν τοῦ Πνεύματος.

Ὠριγένους. [b]Ἔτι δὲ καὶ χωρὶς θελήματος Θεοῦ ἥκειν πρός τινα, ὥσπερ ὁ Βαλαὰμ ἀπῄει πρὸς τὸ Βαλὰκ καταρασάμενος μισθοῦ τὸν Ἰσραήλ· οἶμαι δὲ καὶ πᾶς ἐθνικὸς, ἢ ὅπως [c]δή ποτε τῆς θεοσεβείας ἀλλότριος, μὴ διακονούμενος ἁγίοις τῶν λυσιτελῶν τι αὐτοῖς, οὐ καὶ ἐν θελήματι Θεοῦ εὐοδοῦται, γίνεσθαι πρὸς οὓς γίνεται· εἰ καὶ εὐοδοῦται ποτέ. "ἔστι γάρ," φησιν ἡ γραφὴ, "ἐν κακοῖς εὐοδία ἀνδρός."

11 Ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματικόν.

Ὠριγένους. Ὡς ὄντος καὶ χαρίσματος μὴ πνευματικοῦ, ἡγοῦμαι ὅτι ἀναγκαίως πρόσκειται. ἔστι γάρ τινα χαρίσματα οὐ πνευματικὰ, ὡς καὶ ὁ γάμος. τὸ γὰρ πνευματικὸν, οὐκ ἄν ποτε ἐμποδίσαι προσευχῇ. ἡ δὲ ἐπὶ τὸ αὐτὸ σύνοδος ἀνδρὸς καὶ γυναικὸς, κωλύει. ὅτι δὲ χάρισμα ὁ γάμος, δηλοῖ ὁ Ἀπόστολος φήσας, "θέλω πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτὸν, ἀλλ' ἕκαστος ἴδιον "ἔχει χάρισμα ἐκ Θεοῦ· ὁ μὲν οὕτως, ὃς δὲ οὕτως."

Ἀπολιναρίου, Ἰωάννου, Θεοδώρου. Διδάσκει μὲν, τοὺς μήπω γινώσκοντας φωτίζων. παρακαλεῖ δὲ, ὁ τοὺς ἤδη πεφωτισμένους εὐφραίνων τῷ τῆς σοφίας λόγῳ, ὡς αὐτὸς διαιρῶν φησίν· "εἴτε ὁ διδάσκων ἐν τῇ διδασκαλίᾳ, εἴτε ὁ παρακαλῶν ἐν τῇ

[b] *Non* pauca hic defecisse videntur: cæterum hæc ad εὐοδωθήσομαι v. 10. spectant. [c] δὴ om. Cod.

"παρακλήσει." παρακαλουμένων δὲ Ῥωμαίων, καὶ αὐτός, φησι, συμπαρακληθήσεται, κοινωνῶν τῆς ἐκείνων παρακλήσεως διὰ τὴν ἀγάπην. ἅμα δὲ, ὡς οὐδὲ αὐτὸς ὢν ὑπὲρ ἄνω τοῦ χρήζειν τῆς ἐκ λόγου ὠφελείας. παράκλησις γὰρ ὁ λόγος καὶ τῷ λέγοντι.

13 Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν ἀδελφοί.

Ἀπολιναρίου. Καὶ ἐπειδὴ τὸ κήρυγμα πολλάκις εὐαγγέλιον προσηγόρευσεν, πάθους δὲ τοῦτο μνήμην ἔχει καὶ σταυροῦ καὶ θανάτου, τοῖς δὲ μὴ πεπιστευκόσιν, ἀτιμίας ἐδόκει εἶναι ταῦτα μεστὰ, εἰς καιρὸν ἐπήγαγεν, "οὐ γὰρ ἐπαισχύνομαι τὸ Εὐαγγέλιον," καὶ τὰ ἑξῆς.

16 Οὐ γὰρ ἐπαισχύνομαι τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ.

Ἀπολιναρίου. Οὐ βλέπω, φησι, τὴν φαινομένην ἀτιμίαν, ἀλλὰ τὴν ἐκ ταύτης φυομένην εὐεργεσίαν· ἐκ ταύτης γὰρ τὴν σωτηρίαν τρυγῶσιν οἱ πιστεύοντες· τοῦτο δὲ καὶ πᾶσιν ἔφη προκεῖσθαι καὶ Ἰουδαίοις καὶ Ἕλλησι. προτέθηκε δὲ τῶν Ἑλλήνων τοὺς Ἰουδαίους, ἐπειδὴ καὶ ὁ δεσπότης Χριστὸς πρώτους τοὺς ἱεροὺς ἀπέστειλε κήρυκας.

Ἀπολιναρίου. Εἰ ἐν τῇ μεγίστῃ τοίνυν τῶν πόλεων, φησὶ, χλευάζεσθαι δεῖ παρὰ τοῖς ἀνοήτοις κηρύττοντα τὸν σωτήριον σταυρὸν, οὐ παραιτήσομαι. εἰ γὰρ ὁ Υἱὸς τοῦ Θεοῦ τὴν αἰσχύνην ἀνθ' ἡμῶν ἐβάστασε τὴν τοῦ σταυροῦ, πῶς οὐκ ἄτοπον ἡμᾶς αἰσχύνεσθαι τὸ τοῦ Κυρίου δι' ἡμᾶς πάθος;

Ἀπολιναρίου. Καὶ ἄν τις δι' ἔργων οὐκ εἰλικρινοῦς οὐδὲ ζωοποιοῦ δικαιοσύνης τὴν διὰ πίστεως ζωὴν χαριζόμενον ἦν, καὶ ὁ προφήτης εἴρηκεν "ἐκ πίστεως εἰς πίστιν·" "εἰ γὰρ ἐπιστεύετέ," φησι, "Μωσεῖ, ἐπιστεύετε ἂν ἐμοί."

Ἀπολιναρίου. Διδάσκει πόσων ἀπαλλάξει κακῶν τὸ Εὐαγγέλιον καὶ ἡ δι' αὐτοῦ πίστις· καὶ διεξελθὼν τά τε ἐν ἔθνεσι καὶ ἐν Ἰουδαίοις κακὰ, μετὰ ταῦτα προϊὼν, τὸν περὶ τῆς πίστεως ἐπιφέρει λόγον· ἀναγκαίαν γεγενῆσθαι τὴν τοῦ Χριστοῦ παρουσίαν διδάσκων· καὶ οὕτω περὶ τῆς τῶν Ἰουδαίων ἐκπτώσεως διαλέγεται. καὶ τὸ τελευταῖον ἐπάγει τὰς παραινέσεις. ἄρχεται δὲ ἀπὸ τοῦ κατὰ ἐθνῶν λόγου, καί φησιν, ὡς τὸν ἐν τῇ φύσει παρὰ τοῦ δημιουργοῦ γραφέντα νόμον ἀδεῶς παρέβησαν.

ΚΕΦ. Β.

Περὶ κρίσεως τῆς κατὰ ἐθνῶν τῶν οὐ φυλασσόντων τὰ νόμιμα.

Ἀποκαλύπτεται γὰρ ὀργὴ Θεοῦ ἀπ' οὐρανοῦ.

ἈΠΟΛΙΝΑΡΙΟΥ. Ὡς τὸ τοῦ Θεοῦ ὄνομά τε καὶ σέβας εἰς τὰ τοῦ Θεοῦ μετενεγκόντες δημιουργήματα· εἶτα καὶ ἑρμηνεύει ὅπως. εἰ γὰρ ἡ ὁρατὴ κτίσις τὸν ἀόρατον ἱκανὴ δεικνύναι, καταλιπόντες δὲ τοῦτο οἱ ἄνθρωποι, τὰ δημιουργήματα ἐθεοποίησαν, ἐν ἀδικίᾳ κατέσχον τοῦ Θεοῦ τὴν ἀλήθειαν, ἀφ' ὧν [c] δὴ γνῶναι τὸν Θεὸν, πλανηθέντες καὶ τόγε εἰς αὐτοὺς ἧκον, ἠδίκησαν τὴν γνῶσιν καὶ τὴν ἀλήθειαν, οὐκ εἰς τὰ προσήκοντα αὐτῇ χρησάμενοι· ἀλλ' ἐκείνη ἄτρεστος μένει, τὴν οἰκείαν ἔχουσα δόξαν ἀκίνητον.

19 Διότι τὸ γνωστὸν τοῦ Θεοῦ φανερόν ἐστιν ἐν αὐτοῖς.

ἈΠΟΛΙΝΑΡΙΟΥ. Οὐκ οὐσία τούτου ἡ ἐνεργοῦσα, ὥσπερ ἑτέρωθι φησὶν "ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ," ἀλλ' αἱ ταύτης ἐνέργειαι ἀόρατοι οὖσαι φύσει, καὶ μηδέποτε γινόμεναι καταφανεῖς, ἀλλὰ διὰ τῆς κτίσεως ἐνδεικνύμεναι.

ΚΥΡΙΛΛΟΥ. Ὅτι φθαρτὴν ἐχόντων τὴν φύσιν τῶν παρηγμένων εἰς γένεσιν, καὶ κεκλημένων ἐν χρόνῳ τὴν ὕπαρξιν, ἔσται που πάντως ὁ τούτων δημιουργὸς ἄφθαρτος καὶ ἀΐδιος· οὐκοῦν οὐδεμίαν εὑρήσουσιν ἀπολογίαν ἐν ἡμέρᾳ κρίσεως.

ἈΠΟΛΙΝΑΡΙΟΥ. Μάταιος ἄρα ἡ τοῦ μὴ ὄντος, ὡς ὄντος φαντασία· μηδένος ὄντος περὶ τὸν Θεὸν ὁμοιώματος τῶν παρὰ τούτοις προσκυνουμένων. ἐκ τῆς οὖν ἄφρονος ἑαυτῶν διανοίας καὶ σκότος ταῖς ψυχαῖς ἑαυτῶν ἐπεισήγαγον.

ΕΥΣΕΒΙΟΥ. Δοκεῖ μὲν οὖν ἁπλούστερον τὸν πρὸς Ἕλληνας ἐνίστασθαι λόγον· ὡς καθ' ἓν μόνον εἶδος ἀσεβείας τὴν εἰδωλολατρείαν ποιούμενος τὸν ἔλεγχον. οὐ μὴν καὶ τοῖς ἀκριβέστερον θεωροῦσιν ἃ λέγει τοῦτο φαίνεται ποιῶν, ἀλλὰ πολὺ μᾶλλον πλατύνων τὴν κατ' αὐτῶν ἐπιτίμησιν ὡς [d] ἐλλειπούντων ἀσεβείας εἶδος.

32 Οἵτινες τὸ δικαίωμα τοῦ Θεοῦ ἐπιγνόντες.

ἈΠΟΛΙΝΑΡΙΟΥ. Ἐνταῦθα πάλιν τὸ ἀναίτιον τοῦ Θεοῦ, καὶ τὸ

[c] Leg. δεῖ. [d] Sic Cod.

ὑπαίτιον τοῦ ἀνθρώπου, καὶ τὸ δίκαιον τῆς ἐπιφερομένης κρίσεως. ταῦτα γὰρ δρῶσιν, οὐκ ἀγνοοῦντες τὸ τοιοῦτον, ὅτι παρὰ Θεῷ κριτῇ κολάσεώς ἐστιν ἄξια. δῆλοι γάρ εἰσιν οὐκ ἀγνοοῦντες τὸ τοιοῦτο, ἐπειδὰν κρίνωσι, καὶ θανάτῳ τοὺς τὰ τοιαῦτα ποιοῦντας μετέρχονται. ὅταν οὖν καὶ οἱ φαῦλοι τὴν τοῦ καλοῦ γνῶσιν ἔχοντες φαίνονται, καὶ χρώμενοί γε αὐτῇ, ἐπειδὰν μὴ ταῖς ἡδοναῖς παρατρέπωνται, μαρτυροῦσι τῇ δημιουργίᾳ τοῦ Θεοῦ ὅτι καλή· ὅπερ καὶ ὁ Ἐκκλησιαστὴς ἐπιθεώρησας φησίν· "ὅτι ἐποίησεν ὁ Θεὸς "τὸν ἄνθρωπον εὐθῦ[c], καὶ αὐτοὶ ἐζήτησαν λογισμοὺς πολλούς." τῶν δὲ ἀνθρώπων, οἱ μὲν ἀρχηγοὶ πρὸς τὸ κακὸν, οἱ δὲ ἀκολουθηταὶ τοῦ κακοῦ. ἀμφότεροι δὲ πονηροὶ, καὶ ὁ κατάρξας, καὶ ὁ συνδραμών. τοῦ δὲ ποιεῖν τὸ συνευδοκεῖν χεῖρον τίθησι κατὰ τὸ λεγόμενον, "εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ." ὁ μὲν γὰρ ποιῶν, μεθύων τῷ πάθει, ἡττᾶται τῆς πράξεως· ὁ δὲ συνευδοκῶν, ἐκτὸς ὢν τοῦ πάθους, πονηρίᾳ χρώμενος, συντρέχει τῷ κακῷ· τὸ οὖν "οὐ μόνον, ἀλλὰ καὶ συνευδοκοῦσιν," ἐπιστάσεώς[d] ἐστι· τούτους μέντοι αἰτιᾶται, ὡς ἑκάτερα ποιοῦντας.

1 Διὸ ἀναπολόγητος εἶ ὦ ἄνθρωπε, πᾶς ὁ κρίνων.

Ἀπολιναρίου. *Περὶ Θεοῦ διαλεγόμενος, "ἀποδώσει," φησὶ, "κατὰ τὰ ἔργα αὐτοῦ," κατὰ τὸ εἰρημένον τῷ ψαλμῳδῷ· ὁ δὲ Σωτὴρ περὶ αὐτοῦ τοῦτο λέγει φάσκων, "τότε ἀποδώσει ἑκάστῳ κατὰ τὴν "πρᾶξιν αὐτοῦ." ὅταν οὖν ὅπερ ὡμολόγηται εἶναι Θεοῦ, τοῦτο Υἱοῦ φαίνεται ὂν, κοινωνία τῆς φύσεως δείκνυται, καὶ ἀληθὴς υἱότης.*

7 Τοῖς μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ.

Σευηριανοῦ. *Ὥσπερ δὲ ἀσύγγνωστον τὸ ἐξ ἐριθείας, οὕτως καὶ τὸ τοῦ κατεργαζομένου παρὰ τὸν ἐργαζόμενον. ἔστι γὰρ ἐργάζεσθαι παλαίοντα, μὴ νικώμενον δέ. τὸ δὲ κατεργάζεσθαι, τῆς μετ' ἐπιμελείας ἐργασίας ἐστι τοῦ κακοῦ.*

Ὠριγένους. *Ὀργὴ δέ ἐστιν ὁ ἑπόμενος τοῖς ἁμαρτάνουσιν ἐπὶ τιμωρίᾳ πόνος. θυμὸν δὲ ὁρίζονται ὀργὴν ἀναθυμιωμένην καὶ διοιδαίνουσαν. οὗτος δὲ ὁ θυμὸς ἔργον ἔχει τὸ ἐλέγχειν, ἡνίκα ἂν διὰ τὰς ἁμαρτίας πάσχων τινὰ, ἤτοι τῆς συνειδήσεως αὐτῶν πληττομένης, ἢ ἀκολουθούντων ἐπιπόνων τινῶν τῇ ἁμαρτίᾳ. ἀλλὰ καὶ θλίψις ἕπεται τοῖς τοιούτοις· οὐχ ὑπομονὴν κατεργαζομένη,*

[c] Sic Cod. [d] Leg. vid. ἐπιτάσεως.

οὐδὲ εἰ νῆστις ὢν καυχήσεται, ἀλλ' εἰ συνέζευκται στενοχωρίᾳ. οὐκ ἂν δέ τις ἐστενοχωρήθη, εἰ πεποίηκέ τις αὐτῷ ἀπὸ σοφίας πλάτος καρδίας, καὶ ἤκουσε τοῦ Ἀποστόλου λέγοντος· "πλα- "τύνθητε καὶ ὑμεῖς." συνάγειν γὰρ εἴωθε καὶ στενοῦν τὴν ψυχὴν τὰ κακὰ, ὡς τὸν διάβολον, ὡς ἐν ὀπῇ κατὰ τὸν ὄφιν ἐμφωλεύειν.

10 Δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη.

Σευηριανοῦ. *Ἐπὶ μὲν τοῦ κακοῦ, τὴν κατάκρισιν ὥρισεν, οὐχ ἁπλῶς ἀλλ' ἐπὶ τῶν κατεργαζομένων· ἐπὶ δὲ τοῦ ἀγαθοῦ τὴν δόξαν, οὐ μόνον ἐπὶ τῶν κατεργαζομένων, ἵνα δι' ἑκατέρων τοῦ Θεοῦ τὸ ἀγαθὸν δειχθῇ, καὶ ὅτι κατακρίνει οὐχ ἁπλῶς τοὺς ἐργαζομένους, ἀλλὰ τοὺς κατεργαζομένους· καὶ ὅτι τιμᾷ τοὺς ἁπλῶς ἐργαζομένους τὸ ἀγαθόν.*

Ἀπολιναρίου. *Καλῶς δὲ πάλιν ἐνταῦθα Ἰουδαίῳ τε πρῶτον φησὶ, δευτέρως δὲ Ἕλληνι· οἱ γὰρ πλησιέστερον τοῦ δεσπότου καὶ τῶν ἐπιτιμήσεων ὑπὲρ τοὺς ἄλλους τιμῶνται, καὶ τῶν τιμῶν ὑπὲρ τοὺς ἄλλους ἀπολαύουσιν.*

ΚΕΦ. Γ.

Περὶ κρίσεως τῆς κατὰ τοῦ Ἰσραὴλ, τοῦ μὴ φυλάσσοντος τὰ νόμιμα.

12 Ὅσοι γὰρ ἀνόμως ἥμαρτον.

Ἀπολιναρίου. *Δικαίωσιν δὲ οὐ τὴν τελείαν, τὴν κατὰ Χριστόν. περὶ γὰρ ἐκείνης ὅταν* [e] *φησὶν, "ἐξ ἔργων νόμου οὐ δικαιω- "θήσεται πᾶσα σάρξ."*

14 Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα φύσει.

Ἀπολιναρίου. *Εἰ καὶ τῆς ἀκροάσεως τῆς τοῦ νόμου, φησὶν, ἀπολέλειπται τὰ ἔθνη, ἀλλ' ἐὰν κατὰ τὸν φυσικὸν νοῦν ἐπιτελῇ τὰ τοῦ νόμου βουλήματα, νόμον ἔχει τὴν φύσιν.*

Συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως.

Θεοδώρου. *Ἡ δὲ τούτων, φησι, διάγνωσις τότε ἔσται, ὅτε καὶ τῶν κατὰ νόμον βιούντων, ἑνὸς ὄντος τοῦ καιροῦ καθ' ὃν "τὰ "πάντων τῶν ἀνθρώπων ἐξετάζει Θεὸς διὰ τοῦ Χριστοῦ, κατὰ τὸ "Εὐαγγέλιόν μου," ἵνα εἴπῃ, καθὼς καὶ αὐτὸ κηρύττων διατελῶν,*

[e] Post ὅταν est parvus hiatus in Cod.

ὅτι ἔσται κρίσεως καιρὸς, καὶ δεῖ πιστεύσαντας Χριστῷ τὴν τιμωρίαν ἐκφυγεῖν ἐκείνην.

Ὠριγένους. Ἦ καὶ οὕτως κρινεῖ ὁ Θεὸς κατὰ τὸ Εὐαγγέλιον Παύλου, ἔτι καὶ τῶν παραπλησίων ἐκείνῳ, καὶ ἀξίους ἑαυτοὺς πεποιηκότων, οὐδενὸς σκυθρώπου ἀλλ' ἐφ' ᾧ χαίρειν χρή. διὸ αὐτῶν ἐστὶ τὸ Εὐαγγέλιον σὺν τῇ τοῦ Θεοῦ κρίσει διακόνῳ κεχρημένῃ.

Ἀπολιναρίου. Ἄνθρωποι γὰρ τῶν φανερῶν [f] κάθονται δικασταὶ μόνον, κρίσιν δὲ τῶν ἀποκεκρυμμένων ὡς Θεὸς ποιεῖται. "ἄνθρωπος "γάρ" φησιν "ὄψεται εἰς πρόσωπον, ὁ δὲ Θεὸς εἰς καρδίαν." ὥστε Χριστοῦ κρίνοντος, Θεὸν εἶναι τὸν κριτήν.

17 Ἴδε συ Ἰουδαῖος ἐπονομάζῃ.

Θεοδώρου. Οὐ κατ' ἐρώτησιν, ὥς τινες ὑπέλαβον, ἀναγνωστέον τὸ "ἴδε συ Ἰουδαῖος ἐπονομάζῃ," ἀλλὰ κατὰ ἀπόφασιν. ἵνα εἴπῃ· μὴ ὢν ἀληθῶς καὶ ἐν κρυπτῷ Ἰουδαῖος, ἀλλὰ λεγόμενος.

21 Ὁ οὖν διδάσκων ἕτερον.

Ζητῆσαι χρὴ ποσαχῶς ὁ νόμος λέγεται, καὶ μάλιστα παρὰ τῷ Ἀποστόλῳ, ἵνα μὴ δόξῃ ἐναντιοῦσθαι ἑαυτῷ· τοτὲ μὲν "εἰ "περιτέμνεσθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει·" ποτὲ δὲ, "περι-"τομὴν ὠφελεῖν ἐὰν νόμον τίς πράσσῃ." ἐστὶν οὖν νόμος καθ' ἕνα τρόπον ψιλὸν, τὸ Μώσεως γράμμα, καθὸ σημαινόμενον εἴρηται τὸ "εἰ ἐν νόμῳ [g] δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε." καὶ τὸ "ὁ νό-"μος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν." ἔτι καὶ ὁ κατὰ πνεῦμα νόμος κυρίως ὀνομαζόμενος, καθὸ εἴρηται· "ὥστε ὁ μὲν "νόμος ἅγιος καὶ ἡ ἐντολὴ ἁγία." ἔτι καὶ ὁ φυσικὸς, καθὸ εἴρηται· "ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου "ποιεῖ," καὶ τὰ ἑξῆς. λέγεται νόμος καὶ ἡ Μώσεως ἱστορία, ὡς ὅταν ἐν τῇ πρὸς Γαλάτας φάσκῃ "λέγετέ μοι οἱ τὸν νόμον ἀνα-"γινώσκοντες, τὸν νόμον οὐκ ἀκούετε; γέγραπται γὰρ Ἀβραὰμ "δύο υἱοὺς ἔσχε," καὶ τὰ ἑξῆς. καλεῖ δὲ καὶ τὰ προφητικὰ νόμον, "ὡς ἐν τῷ νόμῳ γέγραπται, ἐν [h] ἑτερογλώσσοις καὶ ἐν χείλεσιν "ἑτέροις λαλήσω τῷ λαῷ τούτῳ," ἐν Ἡσαΐᾳ. μήποτε δὲ καὶ τὴν

[f] Sic Cod. [g] δικαιοῦσθαι (ε superscr.) Cod. [h] ἑτερογλώσσης (οις superscr.).

Χριστοῦ περὶ τῶν πρακτέων διδασκαλίαν νόμον καλεῖ, ὡς ὅταν φάσκῃ, "οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπτάσατε," ἀνατρέπει ἡμᾶς ἀπὸ τοῦ Μώσεως γράμματος. περιτομὴν οὖν ἣν αὐτός φησι, νῦν ἑτέραν λέγει παρὰ τὴν κατατομὴν καὶ νόμον τὸν πνευματικόν. δύναται δὲ νῦν νόμος νοεῖσθαι καὶ ὁ κατὰ τὰς φυσικὰς ἐννοίας. κατὰ γὰρ τὴν τῆς ψυχῆς βελτίωσιν, ὁ πνευματικῶς περιτεμνόμενος, ὠφελεῖται κατὰ τὴν τῶν φαύλων περιαίρεσιν. διὰ δὲ τοῦ πράττειν τὸν νόμον τὰ πρακτέα ἐργαζόμενος. δύναται δέ τις καὶ κατὰ τὸ ῥητὸν ἐκτὸς ἀναγωγῆς ἐξηγήσασθαι τὸ ῥητόν· καί φησιν ὅτι πρὸς τοὺς ἀπὸ Ἰουδαίων διαλεγόμενος τοῦτό φησιν· ἐγένετο γὰρ τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσῃ, περιτεμὼν τὸν Τιμόθεον καὶ κειράμενος καὶ καθαιρόμενος κατὰ νόμον, ὥστε καὶ πρὸς αὐτοὺς λέγειν, "περιτομὴ μὲν γὰρ ὠφελεῖ, "ἐὰν νόμον πράσσῃς," πρὸς δὲ τοὺς ἐξ ἐθνῶν διαλεγόμενος, ταύτην κωλύει, μὴ ἐναντιούμενος ἑαυτῷ.

Ἐπειδὴ δὲ εἴρηται ἐν τῷ περὶ ταύτης λόγῳ, τῷ Ἀβραὰμ τοὺς ἐξ ἐθνῶν περιτέμνεσθαι, εἰ μὴ τοὺς ἀπὸ σπέρματος αὐτοῦ, καὶ τοὺς οἰκογενεῖς καὶ τοὺς ἀργυρωνήτους· ὁμοίως δὲ καὶ ἐν τῷ Λευϊτικῷ περὶ τῶν υἱῶν Ἰσραὴλ εἴρηται μόνον. οὐκ ἀνάγκη δὲ καὶ τοὺς προσηλύτους τούτους προσυπακούεσθαι, ἐπεὶ οὐδὲ τὰ περὶ τῶν Λευιτῶν ἰδικῶς νενομοθετημένα, ἢ τὰ περὶ τῶν ἱερέων, ἢ τὰ περὶ τῆς γερουσίας προσυπακούειν αὐτοῖς δίδωσι καὶ ἑτέρους. ὅταν γὰρ καὶ τοὺς προσηλύτους βούλεταί τι διαπράττεσθαι, ἰδικῶς καὶ αὐτῶν μέμνηται· ὡς ὅταν περὶ θυσίας φησὶν, ἀμέλει καὶ συνεστηκότος τοῦ καλουμένου ἁγιάσματος προσέφερον καὶ προσήλυτοι. ὡς καὶ περὶ τῶν δέκα λεπρῶν τῶν καθαρθέντων ὁ Κύριος ἔφη, "πορευθέντες δείξατε ἑαυτοὺς τοῖς ἱερεῦσι," ἀφ' ὧν Σαμαρείτης εἷς ἦν. ᾧ μαρτυρῶν ὁ Σωτήρ φησιν, "οὐχὶ οἱ δέκα "ἐκαθαρίσθησαν, οἱ δὲ ἐννέα ποῦ; οὐχ εὑρέθησαν ὑποστρέψαντες "δόξαν δοῦναι τῷ Θεῷ, εἰ μὴ ὁ ἀλλογένης οὗτος." εἰ δέ τις τὰ ἀπὸ τῆς Ἐξόδου ἀνθυποίσει περὶ τῶν ἐσθίειν τὸ πάσχα βουλομένων προσηλύτων, ὡς δεῖ αὐτοὺς περιτέμνεσθαι, φήσομεν, ὡς ἐν ἑνὶ τόπῳ θύεσθαι τὸ πάσχα προσέταξεν ὁ Θεὸς, τούτου δὲ ἱσταμένου, νῦν περιττὴ ἡ περιτομὴ τοῖς ἐξ ἐθνῶν.

26 *Ἐὰν οὖν ἡ ἀκροβυστία τὰ δικαιώματα τοῦ νόμου.*

ΘΕΟΔΩΡΟΥ. *Τῷ πνεύματι, οὐ τῷ Ἁγίῳ. οὐ γὰρ περὶ τῶν ἐν τῇ χάριτι κατορθούντων διαλέγεται, ἀλλ᾽ ὑποτίθεται δι᾽ ὅλου τοὺς ἔξω τὰ τοῦ νόμου ποιοῦντας· καὶ δείκνυσι κρείττονας τῶν ἐν τῷ νόμῳ παραβαινόντων· συνάδει δὲ ἅπαντα καταλλήλως τῷ οἰκείῳ σκόπῳ· πρόθεσιν ἔχων καὶ τοῦ φυσικοῦ νόμου Ἕλληνας δεῖξαι παραβάτας, καὶ Ἰουδαίους πρὸς τῷ φυσικῷ καὶ τοῦ θέτου· ἵνα διὰ πάντων στήσῃ τὸ τῆς χάριτος χρήζειν ἅπαντας. λέγει δὲ τὸ "ἐν πνεύ-" "ματι," ἀντὶ τοῦ τῇ προθέσει, ὡς ἐν τῇ τῶν Ἀριθμῶν βίβλῳ φησιν ὁ Θεὸς, "ὅτι πάντες οἱ παροξυναντές με οὐκ ὄψονται τὴν γῆν· ὁ δὲ" "παῖς μου Χάρεβ, ὅτι ἐγεννήθη πνεῦμα ἕτερον ἐν αὐτῷ, καὶ ἐπη-" "κολούθησέ μοι," καὶ τὰ ἑξῆς. φανερῶς πνεῦμα τὴν πρόθεσιν εἰπών· καὶ ὁ προφήτης "πνεύματι πορνείας ἐπλανήθησαν." ἵνα εἴπῃ πρόθεσιν ἔσχον πορνικήν.*

ὨΡΙΓΕΝΗΣ. *Καὶ κρινεῖ ἡ ἐκ πίστεως ἀκροβυστία. ἐλέγξησέ, φησιν, ὁ τὸ σημεῖον μὲν μὴ ἔχων· τὰ δὲ τοῦ σημείου κατορθώσας ὡς μὴ κατορθώσαντα· καίτοι δέον, ἐπεὶ καὶ ὑπέσχον, διὰ τοῦ σημείου μᾶλλον ἐκείνου τὸ κατόρθωμα ἐπιδεικνύναι.*

ΚΕΦ. Δ.

Περὶ ὑπεροχῆς Ἰσραὴλ, τοῦ τυγχάνοντος τῆς ἐπαγγελίας.

1 *Τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου;*

ὨΡΙΓΕΝΟΥΣ. *Τὸ πιστευθῆναι τὰ λόγια τοῦ Θεοῦ, οὐκ ἐν τῷ βιβλία καὶ γράμματα πιστευθῆναι, χαρακτηρίζεται· ἀλλ᾽ ἐν τῷ τὸν ἐν αὐτοῖς νοῦν καὶ τὰ ἐναποκείμενα μυστήρια γινώσκεσθαι. κατὰ γὰρ τὸν ὑγιῆ λόγον ὁ σοφὸς νοήσει τὰ ἀπὸ τοῦ ἰδίου στόματος. ἐπὶ δὲ χείλεσι φορέσει ἐπιγνωμοσύνην. τοιοῦτος ἦν Μωϋσῆς καὶ οἱ προφῆται, Ἰουδαῖοι ὄντες καὶ πιστευθέντες τὰ λογία τοῦ Θεοῦ, καὶ εἴτις παρ᾽ αὐτοῖς τούτοις παραπλήσιος. καὶ οἱ Ἀπόστολοι δὲ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἶχον τὸ περισσὸν τοῦ Ἰουδαίου, καὶ τὴν τῆς περιτομῆς ὠφέλειαν παρὰ τοὺς ὑπ᾽ αὐτῶν μαθόντας τὸν Χριστιανισμόν. Ἔστι δὲ καὶ τοῖς ἐξ ἐθνῶν*

πολὺ τὸ περισσὸν παρὰ τοὺς ἐκ περιτομῆς. ἀπ᾽ ἐκείνων γὰρ ἤρθη ἡ βασιλεία τοῦ Θεοῦ, ἵνα δοθῇ ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς. εἰ δὲ πρῶτοι ἐκεῖνοι ἐπιστεύθησαν τὰ λόγια τοῦ Θεοῦ, εἰσὶν οἱ καὶ δεύτερον πιστευθέντες. τὸ γὰρ πρῶτον τινός ἐστιν, ἢ τινῶν πρῶτον. τίνες οὖν δεύτερον ἐπιστεύθησαν, ἰδεῖν ἐστὶν ἐκ τοῦ, "τῷ μὲν γὰρ διὰ τοῦ πνεύματος δίδοται λόγος σοφίας," καὶ τὰ ἑξῆς. εἰ δέ τις συγχεόμενος ταυτὸν οἴεται τὰ λόγια τοῦ Θεοῦ τοῖς γράμμασι τοῦ Θεοῦ, προσεχέτω τῷ λέγοντι ψαλμῷ, "τὰ λόγια Κυρίου, λόγια "ἁγνὰ, ἀργύριον πεπειρωμένον, δοκίμιον τῇ γῇ, κεκαθαρισμένον "ἑπταπλασίως." ἐγὼ γὰρ οὐκ οἶμαι "τὰ ἁγνὰ λόγια," εἶναι τὰ αὐτὰ, "τῷ ἀποκτείναντι γράμματι." ὥσπερ δὲ οἱ προειρημένοι Ἰουδαῖοι πρῶτοι ἐπιστεύθησαν τὰ λόγια τοῦ Θεοῦ, οὕτω καί τινες ἠπίστησαν· ἀλλ᾽ οὐχὶ τῶν τοιούτων· εἴτε πρὸς τὸν Θεὸν, εἴτε πρὸς τὰ λόγια αὐτοῦ, ἀπιστίᾳ τὴν πίστιν τοῦ Θεοῦ καταργήσει. ποίαν δὲ πίστιν τοῦ Θεοῦ; πότερον ἣν Θεὸς πιστεύει τισὶ τὰ λόγια, ἢ ἣν οἱ πιστευθέντες τὰ λόγια πιστεύουσι τῷ Θεῷ; ὡς "Ἀβραὰμ "ἐπίστευσε τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην." ἑκάτερον οἶμαι λόγον ἔχειν. μεμνῆσθαι γὰρ δεῖ τόν τε πιστεύοντα τῷ Θεῷ, καὶ τὸν πεπιστευμένον τὰ λόγια αὐτοῦ. μάλιστα ἐν καιρῷ τῆς τῶν ἀπίστων χλεύης, ἣν χλευάζουσι τοὺς πεπιστευκότας, τοῦ μὴ καταργεῖσθαι τὴν πίστιν τοῦ Θεοῦ ὑπὸ τοῦ λόγου τῶν ἀπιστούντων.

Εὐσεβίου καὶ Σευηριανοῦ. *Τὸ μὲν πρῶτον, οὐχ ἵνα, φησὶ, δεύτερόν τι εἴπῃ καὶ τρίτον, ἀλλ᾽ ὅτι τοῦτο πρῶτον πάντων ἐστὶ καλῶν περιεκτικόν. τοῦ γὰρ πιστεῦσαι τοῖς τοῦ Θεοῦ λόγοις τί κρεῖττον ἂν εἴη;*

3 *Μὴ ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ Θεοῦ καταργήσῃ;*

Ἀπολιναρίου. *Ὁμολογείσθω, φησὶ, τὸ τοῦ Θεοῦ βέβαιον καὶ ἀληθὲς πανταχοῦ. ἄνθρωποι δὲ ἀβέβαιοι καὶ ψευδεῖς ἐλεγχέσθωσαν· ἵνα νικᾷ ταῖς εὐεργεσίαις ὁ Θεὸς ὑπὲρ τὴν ἀξίαν τῶν ἀνθρώπων, τὰ παρ᾽ ἑαυτοῦ χαριζόμενος. καὶ ἐπειδὰν κρίνηται πρὸς πᾶσαν σάρκα κατὰ τὸ γεγραμμένον ἀναμφισβήτητον, ἢ τὰ πάντα μὲν αὐτὸν παρεσχηκέναι κατὰ τὴν ἀγαθότητα τὴν ἑαυτοῦ, καὶ ὑπὲρ*

τὴν ἀνθρώπων ἀξίαν· τοὺς δὲ ἀνθρώπους μὴ παρεσχηκέναι αὐτῷ τὰ μὴ προσήκοντα.

Κυρίλλου. Ἐντιμώτεροι τῶν ἄλλων οἱ προεγνωσμένοι, καὶ νόμον λαχόντες παιδαγωγὸν, καὶ ὑποσχέσεις ἔχοντες ἐπὶ Χριστῷ, καὶ δὴ καὶ ἀπειληφότες καὶ προκεκλημένοι τῶν ἄλλων. ἔφασκε γὰρ ὁ Σωτὴρ, "οὐκ ἀπεστάλην εἰ μὴ πρὸς τὰ πρόβατα τὰ ἀπολω-"λότα οἴκου Ἰσραὴλ," καὶ τῶν διὰ πίστεως ἀνασεσωσμένων ἀπαρχὴ γεγονότες. οὐ γὰρ εἴ τινες ἐκ φρενοβλαβείας τοῦ πιστεύειν ἀπώλεισθον, ταύτῃ τοι, φησὶν, ἀφαμαρτήσειεν ἂν τοῦ καὶ ἀληθὴς εἶναι Θεός. οὐκοῦν πέπομφέ μεν ἐξ οὐρανοῦ τὸν Υἱὸν ὁ Πατὴρ, πεπιστεύκασι γέ μην οὐ πάντες αὐτῷ. ἆρ' οὖν ὅτι γεγόνασί τινες ὑβρισταί τε καὶ ἄπιστοι, οὐκ ἔσται ὁ Θεὸς ἀληθὴς διὰ τοῦτο; μὴ γένοιτο. "γινέσθω δὲ ὁ Θεὸς ἀληθὴς, πᾶς δὲ ἄνθρωπος ψεύστης." ἀντὶ τοῦ νοείσθω τε καὶ λεγέσθω πρὸς ἡμῶν ἀληθής. καθοριζέσθω δὲ ὥσπερ ἀνθρώπου παντὸς τοῦ ψεύδους τὸ κατηγόρημα. ἄτρεπτος μὲν γὰρ καὶ ἀναλλοίωτος παντελῶς ἡ θεία φύσις ἐστί. σεσάλευται δὲ λίαν ἡ ἀνθρώπου φύσις, καὶ ὅσον ἧκεν εἴς τε τὸ ἐγχωροῦν πᾶς ἄνθρωπος ψεύστης· καταθλεῖ γὰρ ἔσθ' ὅτε τῆς ἀνθρώπου διανοίας ὡς ἁμαρτία τὸ ψεῦδος, καὶ δέχεταί πως ἡ φύσις καὶ τοῦ τοιοῦδε τὴν νόσον. ἐπὶ δέ γε τοῦ πάντων κρατοῦντος Θεοῦ τοιοῦτόν τι νοεῖν ἢ λέγειν οὐ θέμις. οὐκοῦν τόγε δύνασθαι παθεῖν τὸ ψεῦδος τὴν ἀνθρώπου φύσιν ἤγουν τὴν διάνοιαν, ἀληθὲς ἔσται τὸ κατηγόρημα· οὕτω που φησὶ καὶ ὁ μακάριος Δαβὶδ, "ἐγὼ εἶπα ἐν τῇ ἐκστά-"σει μου, πᾶς ἄνθρωπος ψεύστης." ὁ αὐτὸς δ' ἂν γένοιτο λόγος περί τε Θεοῦ καὶ ἡμῶν καὶ περὶ τῶν ἄλλων ἁπάντων, οἷον ἐπὶ τῆς δικαιοσύνης, φαίη γὰρ ἄν τις καὶ οὐκ ἔξω λόγου, γινέσθω δίκαιος ὁ Θεὸς, πᾶς δὲ ἄνθρωπος ψεύστης.

Σευηριανοῦ. Τάχα δ' ἄν τις ἁπλούστερον καὶ τοῖς προκειμένοις οἰκειότερον ἑρμηνεύσειε τὸν λόγον, μὴ κατὰ ἀπόφασιν ἀλλὰ κατὰ ὑπόθεσιν ἐκδεξάμενος τὸ ῥηθὲν, προσθήκῃ μιᾶς συλλαβῆς· ὅτι κἂν πάντες ἄνθρωποι πρὸ τῆς ἀληθείας ἀγαπῶσι τὸ ψεῦδος, οὐδὲν ἧττον ὁ Θεὸς ἀληθὴς διαμένει καὶ δίκαιος, ὑπισχνούμενός οἷα Θεῷ προσῆκε, καὶ πᾶν τὸ τελεσθὲν ἐπιτελῶν, ἡνίκα προσῆκεν.

Ὠριγένους. Τὸ οὖν " γενηθήτω" εἴρηται ἀντὶ εὐκτικοῦ ὡς τὸ " εἴη τὸ ὄνομά σου εὐλογημένον εἰς τοὺς αἰῶνας."

5 Εἰ δὲ ἡ ἀδικία ἡμῶν Θεοῦ δικαιοσύνην συνίστησι.

Κυρίλλου. Ἡ τῆς τοιαύτης διαβολῆς πρόφασις ἐντεῦθεν γεγένηται. μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον οἱ υἱοὶ Ἰσραὴλ κελευθέντες ὑπὸ Κύρου ἀναδείμασθαι τὸν νεὼν, καὶ πληροῦν εὐχὰς, καὶ προσάγειν θυσίας, γεγόνασι ῥάθυμοι, προφασιζόμενοι πτωχείαν, καὶ τὴν ἀπὸ τῆς αἰχμαλωσίας ταλαιπωρίαν. ταύτῃ συμμέτροις ἐσωφρονίζοντο παιδείαις, ἀφορίαις καρπῶν, καὶ ὑετῶν ἐνδείαις· ἀσχάλλοντες δὲ πρὸς τὰς τοιαύτας πληγὰς, ἐμακάριζον μὲν τοὺς ἀλλογενεῖς, καὶ τοὺς μὴ δουλεύοντας τῷ Θεῷ ὡς ἐν εὐθυμίᾳ διάγοντας· καὶ ἔφασκον ἀμείνους ἑαυτῶν ὑπάρχειν ἐκείνους. καὶ γοῦν ἔφασκε πρὸς αὐτοὺς Μαλαχίας ὁ προφήτης· " ἐβαρύνατε ἐπ' ἐμὲ τοὺς " λόγους ὑμῶν, λέγει Κύριος, καὶ εἴπατε, ἔν τινι κατελαλήσαμεν " κατὰ σοῦ; εἴπατε φησὶ, μάταιος ὁ δουλεύων Θεῷ. καὶ τί πλέον " ὅτι ἐφυλάξαμεν τὰ φυλάγματα αὐτοῦ; καὶ διότι ἐπορεύθημεν " ἱκέται πρὸ προσώπου Κυρίου παντοκράτορος, καὶ νῦν ἡμεῖς μακα" ρίζομεν ἀλλοτρίους; καὶ ἀνοικοδομοῦνται ποιοῦντες ἄνομα; ἀν" τέθησαν Θεῷ καὶ ἐσώθησαν. ταῦτα κατελάλησαν οἱ φοβούμενοι " τὸν Κύριον, ἕκαστος πρὸς τὸν πλήσιον αὐτοῦ· καὶ πρόσεσχε Κύ" ριος, καὶ εἰσήκουσε." ταύτης ἕνεκα, φησὶ, τῆς αἰτίας, ᾤοντό τινες τοὺς Ἰουδαίους λέγειν, ποιήσωμεν τὰ κακὰ, ἵνα ἔλθῃ τὰ ἀγαθά. ἔνδικον δὲ μὴν τὸ κρίμα εἰπὼν, ἢ τῶν Ἰουδαίοις ἐπιφημιζόντων ἐκεῖνα, ἤγουν τῶν λέγειν ἀποτολμώντων, ὅτι ποιήσωμεν τὰ κακὰ, ἵνα ἔλθῃ τὰ ἀγαθά.

ΚΕΦ. Ε.

Περὶ χάριτος δι' ἧς ἄνθρωποι μόνον δικαιοῦνται, οὐ κατὰ γένος διακεκριμένως, ἀλλὰ κατὰ Θεοῦ δόσιν ἰσοτίμως κατὰ τὸν Ἀβραὰμ τύπον.

9 Τί οὖν προεχόμεθα; οὐ πάντως.

Θεοδώρου. Ἵνα εἴπῃ, ἄγε τοίνυν μετὰ τὸν οἰκείων ἔλεγχον, τῶν ἡμετέρων τὸ μέγεθος λέξομεν.

Ὠριγένους. Βούλεται ῥητὰ συναγαγεῖν πῶς ἅπαντες Ἰουδαῖοι καὶ Ἕλληνες ὑπὸ ἁμαρτίαν γεγόνασι. ἀρξάμενος ἀπὸ τοῦ " καθὼς γέγραπται, οὐκ ἔστι δίκαιος οὐδὲ εἷς. οὐκ ἔστιν ὁ συνιὼν,

"οὐκ ἔστιν ὁ ζητῶν, τὸν Θεόν." ὅπερ αὐταῖς λέξεσιν, οὐχ εὑρομέν που γεγραμμένον, ἀλλὰ νομίζομεν ἀπὸ τοῦ τρισκαιδεκάτου καὶ τοῦ πεντηκοστοῦ δευτέρου μεταποιεῖσθαι ὑπὸ τοῦ Ἀποστόλου τὰ ῥητά· ἐν μὲν γὰρ τῷ ιγ′ ψαλμῷ εἴρηται· "Κύριος ἐκ τοῦ οὐρανοῦ διέ-"κυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων τοῦ ἰδεῖν εἰ ἔστι συνιὼν ἢ "ἐκζητῶν τὸν Θεόν." ἐν δὲ τῷ νβ′· "ὁ Θεὸς ἐκ τοῦ οὐρανοῦ "διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων τοῦ ἰδεῖν εἰ ἔστι συνιὼν ἢ "ἐκζητῶν τὸν Θεόν." ἔοικεν οὖν νενοηκέναι ἰσοδυναμεῖν τὸ "τοῦ "ἰδεῖν εἰ ἔστι συνιὼν ἢ ἐκζητῶν τὸν Θεόν." καὶ τὸ "οὐκ ἔστι "δίκαιος οὐδὲ εἷς," νομίζω γεγονέναι ἐκ τοῦ "οὐκ ἔστι ποιῶν χρη-"στότητα· οὐκ ἔστιν ἕως ἑνός." ὥστε τῇ δυνάμει δὶς αὐτὸν τεθεικέναι, ἅπαξ μὲν μεταποιήσαντα, ἅπαξ δὲ λέξεσι ταῖς αὐταῖς χρησάμενον, καὶ παραλίποντα τὸ δεύτερον εἰρημένον "οὐκ ἔστιν."

Θεοδώρου. Τῇ μαρτυρίᾳ οὐχ ὡς προφητικῶς εἰρημένῃ ἐχρήσατο, ἀλλ' ὡς ἁρμοζούσῃ τοῖς ἀποδεδειγμένοις, τῷ περιληπτικῶς περὶ ἐπταικότων λέγειν αὐτὰ τὸν Δαβίδ. ὥσπερ οὖν ἡμεῖς ἄχρι τῆς δεῦρο ἐν ταῖς ἐκκλησιαστικαῖς διαλέξεσι, μαρτυρίαις συγκεχρήμεθα, ὡς ἂν ἁρμόζειν δυναμέναις ἀπὸ τῆς διανοίας τοῖς παρ' ἡμῶν λεγομένοις. ὁ γὰρ ψαλμὸς ἐκεῖνος οὐ περὶ πάντων ἀνθρώπων εἴρηται τῷ Δαβίδ. καὶ δῆλον ἐξ ὧν φησὶν, "οὐχὶ γνώσονται "πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν; οἱ ἐσθίοντες τὸν λαόν μου "ἐν βρώσει ἄρτου." τίνα δὲ ἔμελλεν ὀνομάζειν οἰκεῖον Θεῷ ὃ περὶ πάντων ἀνθρώπων ὥστε τὸ χεῖρον ἐκκλινάντων ἀποφηνάμενος [e].

Σευηριανοῦ. "Τί οὖν κατέχομεν περισσόν;" προῃτησάμεθα γὰρ Ἰουδαίους τε καὶ Ἕλληνας καὶ τὰ ἑξῆς ἐλλειπῶς εἴρηται. τὸ γὰρ "τί οὖν κατέχομεν περισσόν;" ἀκόλουθον ἦν ἐπαγαγεῖν τὴν ἐκ πίστεως δικαιοσύνην· προῃτησάμεθα γὰρ Ἰουδαίους τε καὶ Ἕλληνας. προῃτήσατο δὲ πῶς; ἐν τῷ Ἕλληνας μὲν ἀπελέγξαι διαφθείραντας τὴν φυσικὴν γνῶσιν ἐν οἷς ἔφη, "ὁ Θεὸς γὰρ "αὐτοῖς ἐφανέρωσε· τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου, "τοῖς ποιήμασι νοούμενα καθορᾶται. καὶ διότι γνῶντες τὸν "Θεὸν, οὐχ ὡς Θεὸν ἐδόξασαν, ἢ εὐχαρίστησαν." Ἰουδαίους δὲ παραβεβηκότας τὸν νόμον, δι' ὧν φησιν, "ὃς ἐν νόμῳ καυχᾶσαι,

[e] Hæc procul dubio corrupta sunt.

"διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεὸν ἀτιμάζεις;" δείξας καὶ ὅτι παρ' οἷς μὲν ἡ φύσις ἠσθένησε· παρ' οἷς δὲ, καὶ ἡ φύσις καὶ ὁ νόμος, ἀκολούθως τὴν ἐκ τοῦ Εὐαγγελίου χάριν εἰσάγει καὶ φησὶ, τί ἔχομεν ἡμεῖς ἐκ τῆς χάριτος περισσὸν καὶ ἐξαίρετον; τὴν πίστιν τὴν διὰ Ἰησοῦ Χριστοῦ δικαιοσύνης οὖσαν ἀπεργαστικήν.

Ὠριγένους. "Τὸ δὲ ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν," αὐταῖς λέξεσι κεῖται ἡ χρῆσις παρὰ τῷ ρλθ' ψαλμῷ· τὸ δὲ ἐπὶ τούτοις "ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει," ἔοικε γεγονέναι ἀπὸ τοῦ ἐν τῷ [f] ἐννάτῳ ψαλμῷ οὕτως εἰρημένου· "οὗ ἀρᾶς τὸ "στόμα αὐτοῦ γέμει καὶ πικρίας καὶ δόλου." εἶθ' ἑξῆς τοῦτο ἐστίν· "ὀξεῖς οἱ πόδες αὐτῶν ἐκχέαι αἷμα." τοῦτο δὲ ζητήσεις ἐν τῷ Ἡσαΐᾳ, ἢ ἐν ταῖς ἄλλαις τῶν Παροιμιῶν ἐκδόσεσιν, ἐν τῷ "ταχυνοὶ ἐκχέαι αἷμα." ὃ μετὰ ἀστερίσκων προσετέθη ἐν τῇ ἐκδόσει τῶν ἑβδομήκοντα. "τὸ δὲ σύντριμμα καὶ ταλαιπωρία ἐν "ταῖς ὁδοῖς αὐτῶν," μέχρι τοῦ δεῦρο οὐκ οἶδα ποῦ ἀνεγνωκώς. οἶμαι δὲ ἔν τινι τῶν προφητῶν γέγραφθαι τὸ, "ὁδὸν εἰρήνης οὐκ "ἔγνωσαν." ἐν δὲ Ψαλμοῖς, "οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν "ὀφθαλμῶν αὐτῶν." πλήθους δὲ ὄντων ἁμαρτημάτων οὐ πάντως ἔνοχος ἕκαστός ἐστι τοῖς ἅπασιν. ἀλλ' οἱ μὲν, τῷ δὲ τῷ ἁμαρτήματι, οἱ δὲ τῷδε, καὶ οὕτω τοὺς πάντας τοῖς πᾶσιν.

19 Οἴδαμεν γὰρ ὅτι ὅσα ὁ νόμος λέγει.

Ὠριγένους. Τί κοινὸν πρὸς πᾶσαν σάρκα τὰ ἔργα τοῦ Μώσεως νόμου; πῶς δὲ καὶ τῆς ἁμαρτίας ἐπίγνωσιν διὰ τοῦ νόμου Μωϋσέως γίνεται; πολλῶν καὶ πρὸ Μωσέως ἐπεγνωκότων τὰ ἴδια ἁμαρτήματα. Καῒν μὲν, φησὶ, "μείζων ἡ αἰτία μου τοῦ ἀφε"θῆναί με." οἱ δὲ εἰς Αἴγυπτον καταβάντες πρὸς τὸν Ἰωσὴφ πατριάρχαι, λέγουσιν ἐπὶ τοῖς τοῦ Ἰωσὴφ πρὸς αὐτοὺς λόγοις τὸ "ἐν ἁμαρτίαις ἐσμὲν περὶ τοῦ ἀδελφοῦ ἡμῶν," καὶ τὰ ἑξῆς. ἀλλὰ καὶ εἴπερ ὁ Ἰὼβ δείκνυται πρὸ Μωσέως γεγονέναι, φησίν· "εἰ δὲ "καὶ ἁμαρτὼν ἑκουσίως ἔκρυψα τὴν ἁμαρτίαν μου," καὶ τὰ ἑξῆς. ὥστε δοκεῖ μοι μὴ τὸν Μωσέως νόμον νῦν λέγεσθαι τῷ Ἀποστόλῳ, ἀλλὰ περὶ τοῦ φυσικοῦ, ὃς καὶ γέγραπται ἐν ταῖς καρδίαις τῶν

[f] ἐν αὐτῷ Cod.

ἀνθρώπων. τίνες δ᾽ ἂν εἶεν οἱ ἐν τῷ νόμῳ; ἢ πᾶς ὁ συμπληρώσας τὸν λόγον ἄνθρωπος; οὐκ εἰσὶ γὰρ ἐν τῷ νόμῳ, οἱ ἔτι ζῶντες χωρὶς νόμου, ὁποῖος ἦν καὶ Παῦλος ποτὲ, πλὴν οἱ ἅγιοι, οὓς προέγνω καὶ προώρισε καὶ ἐδικαίωσε καὶ ἐδόξασε, νόμος εἰσὶ καὶ οὐκ ἐν νόμῳ. διόπερ οὐ φραγήσεται αὐτῶν τὸ στόμα, οὐδὲ ὑπόδικοι γενήσονται τῷ Θεῷ· οὐ γὰρ εἰσὶ σάρξ. καὶ εἰ δικαιοῦνται δὲ, οὐκ ἐξ ἔργων νόμου, νόμος γὰρ, "οὐκ ἐξ ἔργων νόμου δικαιωθήσεται," αὐτόθεν δίκαιος ὤν· οὕτω δὲ [g] δὴ νόμου ἐπίγνωσις ἁμαρτίας, ὡς διὰ ἰατρικῆς ἐπίγνωσις νόσου, καὶ μάλιστα τῆς λανθανούσης καὶ αὐτὸν τὸν νοσοῦντα. καὶ ἄλλως δὲ, ὅσον ἐπὶ τῷ νόμῳ τιμωρηθῆναι τὸν μοιχεύοντα, ἐχρῆν καὶ τὸν φονεύοντα κολάζεσθαι βουλομένῳ πάντως· τὸ δὲ "Κύριος ἀφεῖλε τὸ ἀνόμημά σου," οὐκέτι βούλημα ἦν τοῦ νόμου, ἀλλὰ χάρις τοῦ δεδωκότος τὸν νόμον. διὰ τοῦτο ἀκριβῶς εἰπὼν τὸ "ἐξ ἔργων νόμου," οὐκ ἐπήγαγε, πᾶς ἄνθρωπος, ἀλλὰ πᾶσα σάρξ. διαθέσει μὲν γὰρ δικαιοῦσθαι δυνατὸν, ὅταν τῇ προθέσει πρὸς τὸ τοῦ νόμου ῥέπῃ βούλημα. ἔργοις δὲ, οὐκέτι δυνατόν. τὰ δὲ ἔργα σαρκὸς, ἅπερ ἀνέληται ψυχή.

21 Νυνὶ δὲ χωρὶς νόμου δικαιοσύνη Θεοῦ πεφανέρωται.

Ὠριγένους. Ὃ λέγει τοιοῦτόν ἐστιν. οὐχ ὥσπερ διὰ νόμου ἐπίγνωσις ἁμαρτίας, οὕτω καὶ φανέρωσις δικαιοσύνης Θεοῦ διὰ νόμου γίνεται. μείζων γάρ ἐστιν ἡ δικαιοσύνη τοῦ Θεοῦ τῶν φυσικῶν ἀφορμῶν, αἵ τινες οὐκ εἰσὶν αὐτάρκεις πρὸς τὸ κατανοῆσαι δικαιοσύνην, οὐχ ἁπλῶς, ἀλλὰ τὴν αὐτοῦ τοῦ Θεοῦ, οὗ τὰ δικαιούμενα κρίματα ἀνεξερευνητά εἰσιν. διὸ "νυνὶ χωρὶς νόμου πεφανέρωται ἡ τοῦ Θεοῦ δικαιοσύνη," ἧς διδάσκαλός ἐστιν ὁ Χριστὸς, ἐν μηδενὶ παραλαμβάνων εἰς παράτασιν τῆς τοῦ Θεοῦ δικαιοσύνης τὸν τῆς φύσεως νόμον. ἐμαρτυρεῖτο δὲ αὕτη ὥσπερ ὑπὸ τῶν προφητικῶν λόγων ἐξ Ἁγίου Πνεύματος αἰνιγματωδῶς εἰρημένων, καὶ ὑπὸ τοῦ προφήτου Μωϋσέως νόμου. καὶ μὴ θαυμάσῃς, εἰ δύο σημαινόμενα τοῦ ἑνὸς ὀνόματος τοῦ νόμου ἐν τῷ αὐτῷ παρείληπται τόπῳ. εὑρήσομεν γὰρ ταύτην τὴν συνήθειαν καὶ ἐν ἄλλαις γραφαῖς· οἷον "οὐχ ὑμεῖς λέγετε ὅτι τετράμηνός ἐστι,

[g] Leg. fors. διά.

“ *καὶ ὁ θερισμὸς ἔρχεται; ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ* “ *θεάσασθε τὰς χώρας ὅτι λευκαί εἰσιν πρὸς θερισμὸν ἤδη.*” *δὶς γὰρ ἐκεῖ ὁ θερισμὸς ὀνομασθεὶς, καὶ τὰ μὲν τὸν πρότερον ἐπὶ τὸν σωματικὸν ἀναφέρεται, κατὰ δὲ τὸν δεύτερον ἐπὶ τὸν πνευματικόν. εἴπερ δὴ ὁ αὐτὸς νόμος παρείληπται κατά τινας. εἰ μὲν χωρὶς νόμου πεφανέρωται, οὐχ ὑπὸ νόμου μαρτυρεῖται. εἰ δὲ ὑπὸ νόμου μαρτυρεῖται, οὐ χωρὶς τοῦ νόμου πεφανέρωται.*

Ἀπολιναρίου. *Οὐ κατὰ ἐναντίωσιν τὴν πρὸς νόμον, ἀλλὰ κατὰ προσθήκην ἀγαθοῦ καὶ δωρεὰν Θεοῦ· ἵνα μηκέτι ἐν ἀνθρωπίνῃ δικαιοσύνῃ κρινώμεθα τῇ πάντως ἐξελεγχομένῃ· ἀλλὰ τῇ παρὰ Θεοῦ δικαιοσύνῃ τελειωθῶμεν. αὕτη δέ ἐστιν ἡ διὰ τῆς Χριστοῦ πίστεως εἰς πάντας διαβαίνουσα τοὺς πιστεύοντας, καὶ πᾶσιν ἐπαναπαυομένη.*

Τοῦ αὐτοῦ. *Ἀνέλαβε τὸ προειρημένον, ἵνα προσθῇ τὸ λεῖπον. ἐπειδὴ γὰρ εἶπε δικαιοσύνη Θεοῦ πεφανέρωται, εἶτα τινὰ παρενέθηκεν ἀναγκαίως, τοῦτον τὸν λόγον ἀναλαβὼν, δείκνυσι διὰ τῆς εἰς τὸν δεσπότην Χριστὸν πίστεως ταύτης ἅπαντας ἀπολαύοντας, εἴτε Ἰουδαῖοι εἶεν, εἴτε Ἕλληνες, οἱ ταύτης τυχεῖν ἐφιέμενοι. τὸ γὰρ* “ *εἰς πάντας*” *τοὺς Ἰουδαίους λέγει,* “ *ἐπὶ πάντας*” *δὲ τοὺς ἐκ τῶν ἄλλων ἐθνῶν.*

Κυρίλλου. *Οἶδα ὅτι γέγραπται περί τινων, ὅτι* “ *ἦσαν δίκαιοι* “ *ἀμφότεροι πορευόμενοι ἐν ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ* “ *Χριστοῦ ἄμεμπτοι.*” *καὶ ὁ μακάριος δὲ Παῦλος ἔφη, ὅτι καὶ αὐτὸς κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γέγονεν ἀμεμπτός. ἀλλ' ὁ ἐν τούτοις ἄμεμπτος οὔπω πέπραχε τὰ δι' ὧν ἔσται λαμπρὸς καὶ ἀοίδιμος. καὶ γοῦν αὐτὸς ἔφη πάλιν ὁ μακάριος Παῦλος, ὡς ἡγεῖτο μὲν ἅπαντα τὰ ἐν νόμῳ ζημίαν, καὶ ἐν ἴσῳ σκυβάλοις κατελογίζετο. ζητοίη δὲ πάλιν τὸ ὑπέρεχον τῆς γνώσεως τοῦ Χριστοῦ. κατακρίνει δὲ πάλιν ὁ νόμος τοὺς παραβαίνοντας. ταύτῃ τοι ἑτέρωθι φησίν·* “ *εἰ γὰρ τῇ διακονίᾳ τῆς κατακρίσεως δόξα, πολλῷ μᾶλλον περισσεύει ἡ διακονία τῆς δικαιοσύνης δόξῃ.*

Πλείστης δὲ οὔσης ἐντολῆς ἐν αὐτῷ, πᾶσα πῶς ἀνάγκη καὶ τὸν ἀκριβῆ νομοφύλακα διαπταίειν ἔν τισι, καὶ παραβάτην νόμου καθίστασθαι· καὶ ὅτι φορτικὸς ἀληθῶς διωμολογήκασιν ἐναργῶς

οἱ θεσπέσιοι μαθηταί· ἔφασκον γὰρ "νῦν οὖν τί πειράζετε τὸν "Θεὸν, ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν "οὔτε οἱ πατέρες ἡμῶν, οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι;" ὅτε τοίνυν Ἕλληνες μὲν ἦσαν ὑφ' ἁμαρτίαν ὡς ἠγνοηκότες τὸν δημιουργὸν, Ἰουδαῖοι δὲ ὡς τῆς τοῦ νόμου παραβάσεως ἔνοχοι, ἐδέησεν ἀναγκαίως τοῖς οὖσιν ἐπὶ τῆς γῆς [g] τοῦ δικαιοῦντος Χριστοῦ· δεδικαιώμεθα γὰρ οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος· αὐτὸς γὰρ ἦν ὁ κατὰ πάλαι λέγων διὰ φωνῆς προφητῶν, "ἐγώ εἰμι ὁ ἐξαλεί"φων τὰς ἀνομίας σου, καὶ οὐ μὴ μνησθήσομαι." διάττει γε μὴν ἡ δικαιοῦσα χάρις εἰς πάντας ἐν ἴσῳ, Ἰουδαίους τέ φημι καὶ Ἕλληνας, "ὅτι καὶ πάντες ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης "τοῦ Θεοῦ," δόξα Θεοῦ δὲ νοοῖτ' ἂν εἰκότως τὸ μήτε εἰδέναι μήτε μὴ πεφυκέναι πλημμελεῖν. κατόπιν δὲ πάντως τῶν τῆς θεότητος αὐχημάτων, πᾶσα ἡ γενητὴ κτίσις, παρώλισθον γὰρ καὶ τῶν Ἀγγέλων τινὲς, πλὴν εὐδόκησεν ὁ Θεὸς καὶ Πατὴρ ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ Χριστῷ τῷ δικαιοῦντι δωρεὰν τῇ αὐτοῦ χάριτι. τέθενται γὰρ ἱλαστήριον διὰ πίστεως ἐν τῷ αὐτοῦ αἵματι. ἐπειδὴ γὰρ πεποίηται τῆς ἁπάντων ζωῆς ἀντάλλαγμα τὸ ἴδιον αἷμα, σέσωκε τὴν ὑπ' οὐρανὸν, ἵλεών τε καὶ εὐμενῆ κατέστησεν ἡμῖν τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα καὶ Θεόν.

22 Οὐ γάρ ἐστι διαστολή. πάντες γὰρ ἥμαρτον.
23

Ὠριγένους. Δίκαιον δὲ παραθέσθαι τοὺς μετὰ αἵματος γενομένους κατὰ τὸν νόμον ἱλασμοὺς, ἵν' εὑρεθῇ ἐκ τῶν παρατιθεμένων, καὶ ὧν ἐστι σύμβολα τὰ γεγραμμένα. γέγραπται τοίνυν μετὰ τὴν τοῦ ἀρχιερέως θυσίαν ἐν τῷ Λευιτικῷ, "ἐὰν δὲ πᾶσα συνα"γωγὴ ἀγνοήσῃ, καὶ λάθῃ ῥῆμα ἐξ ὀφθαλμῶν τῆς συναγωγῆς, "καὶ ποιήσωσι μίαν ἀπασῶν τῶν ἐντολῶν Κυρίου. [h] ἣ ἡ ἁμαρτία, "ἥμαρτον ἐν αὐτῇ καὶ προσάξει ἡ συναγωγὴ μόσχον ἐκ βοῶν "περὶ τῆς ἁμαρτίας." εἶτα μετ' ὀλίγα· "καὶ εἰσοίσει ὁ ἱερεὺς, ὁ "χριστὸς ἀπὸ τοῦ αἵματος τοῦ μόσχου εἰς τὴν σκηνὴν τοῦ μαρ"τυρίου." Καὶ πάλιν μετ' ὀλίγα—"καὶ ποιήσει," φησι, "τὸν "μόσχον ὃν τρόπον ἐποίησε τὸν μόσχον τῆς ἁμαρτίας· οὕτως

[g] οὐ Cod. [h] Leg. καὶ γνωσθῇ αὐτοῖς ἡ ἁμ. ἣν ἥμαρτον. Lev. iv. 14.

“ ποιηθήσεται αὐτῷ· καὶ ἐξιλάσεται περὶ αὐτῶν ὁ ἱερεὺς, καὶ “ ἀφεθήσεται αὐτοῖς.”

Ἰωάννου. Σευηριανοῦ. Οὐδαμοῦ δέ φησιν, ὅτι πάντες ἠσέβησαν, ἀλλ' ἥμαρτον τὸ τῆς ἁμαρτίας κοινόν· οὐ τὸ τῆς ἀσεβείας· [i] οὐδὲ ὑστερούμενος ἔχοντι τὸ ὑστεροῦν, ζητεῖ τὸ λεῖπον· εἶχον οἱ Ἰουδαῖοι τὸν νόμον. ὑστερεῖ δὲ αὐτοῖς ἡ τῆς χάριτος τελείωσις.

25 Εἰς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ.

Σευηριανοῦ. Θεοδωρήτου. Ἠνέσχετο γὰρ ὁ Θεὸς, ἵνα δείξῃ τὴν ἑαυτοῦ δικαιοσύνην. εἰ γὰρ ὑπεξεληλύθει, πάντως ἂν ἀνεῖλεν. εἰ δὲ ἀνήρει, οὐκ ἦν ὁ σωζόμενος. ἐπειδὴ δὲ ἠνέσχετο καὶ προστιθεμένων τῶν ἁμαρτημάτων, ἔδειξεν ὅτι βουλόμενος οὐ καταλλάξαι νόμον τῶν ἁμαρτημάτων, ἀλλὰ καὶ δικαιῶσαι, τὸ πρότερον ἠνέσχετο. συγχωρήσας τοίνυν ἁμαρτάνειν, ἀθρόαν τὴν ἄφεσιν ἐχαρίσατο. δίκαιον δὲ τὸν Θεὸν λέγομεν· ἤτοι ἀνταποδιδόντα, ἢ τὴν δικαιοσύνην χαριζόμενον. ὃ οὖν ἐγὼ δικαιοῦμαι, Θεοῦ δικαιοσύνη, ἐπειδὴ οὐκ ἐξ ἐμῶν ἔργων, ἀλλ' ἐκ τῆς τοῦ δικαιοῦντος χάριτος. οἷον συντόμως δείξας τὰ δῶρα τῆς χάριτος, ἀνατρέχει τὸν περὶ τοῦ νόμου λόγον καὶ δείκνυσιν αὐτόν.

27 Ποῦ οὖν ἡ καύχησις; ἐξεκλείσθη.

Ὠριγένους. Ἐπειδὴ πᾶσα ἡ ἐξ ἔργων ἀπεκλείσθη πᾶσιν ἀνθρώποις καύχησις, διὰ τοῦτο “ πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσε- “ ται·” κἂν ἀληθεύων λέγει τὸ “ ὁ Θεὸς ὁ εὐχαριστῶν σοι, ὅτι οὐκ “ εἰμὶ ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων,” καὶ τὰ ἑξῆς. διὰ νόμου δὲ πίστεως ἐκκλείεται πᾶσα καύχησις, ὁποῖα ἦν ἡ Παύλου λέγοντος “ [k] ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι ἐπ' οὐδεμίᾳ τῶν ἀρετῶν, ἢ ἐν “ μόνῳ τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.”

Πάντως ἐρεῖτέ μοι, τίς ἐπεισελθὼν νόμος τοῦτον ἐξέβαλεν; ἐπειδὴ νόμῳ πέφυκεν ὁ κρατῶν λύεσθαι νόμος. πρὸς οὕς, φησιν, οὐ νόμος [l] ἔργων ἐπεισελθὼν τὸν πρότερον ἔλυσε. κάλλιστα γὰρ εἶχεν ἐκεῖνος, κατά γε τοῦτο. νόμος δὲ πίστεως ἐπεισεληλυθὼς, περιττὸν εἰκότως τοῦτον ἀπέφηνεν, νικώσης τὴν ἀπὸ τοῦ νόμου τῶν ἔργων. ἐπειδὴ ταῦτα ἡμῶν ἀπὸ τῆς θείας ὑπάρχει χάριτος, ἃ σὺν πολλῷ τῷ πόνῳ προσγίνεσθαι ἀπὸ τῶν προτέρων οὐκ ἠδυνήθην.

[i] Hæc non cohærent. [k] ἐμὸς Cod. [l] ἔργων (o superscript) Cod.

ἔδειξε δὲ διὰ νόμου πίστεως * * * * * σθαι πρὸς τὸν νόμον ὡς ἀλλότριον ἐπὶ τῶν οἰκείων τὴν προσηγορίαν ἀσπάζεται.

Κυρίλλου. Τίς γὰρ ὅλως, ἢ ἐπί τισι καυχήσεται, πάντων ἠχρειωμένων καὶ ἐκκεκλεικότων τῆς εὐθείας ὁδοῦ, καὶ οὐδενὸς ὄντος παντελῶς τοῦ ποιοῦντος χρηστότητα; οὐκοῦν "ἐξεκλείσθη," φησὶν, ἡ καύχησις. τουτέστιν ἐκβέβληται, καὶ ἀνήρηται τόπον. τὴν πάρεσιν τῶν προγεγονότων ἁμαρτημάτων πεπλουτήκαμεν ἐλέῳ καὶ χάριτι, δικαιούμενοι δωρεὰν ἐν Χριστῷ.

28 Λογιζόμεθα οὖν πίστει δικαιοῦσθαι ἄνθρωπον.

Θεοδώρου. Τὸ δὲ "λογιζόμεθα" οὐκ ἐπὶ ἀμφιβολίας λέγει, ἀλλ' ἀντὶ τοῦ λογισμῷ τῷ προσήκοντι· ἡγοῦμαι τῆς κατὰ πίστιν δικαιώσεως ἀνεὺ ἔργων νόμου πάντα ἄνθρωπον βουληθέντα μετέχειν. σημειωτέον δὲ ὡς οὐχ ἁπλῶς εἶπε "χωρὶς ἔργων νόμου," ὡσανεὶ καὶ ἐργαζοίμεθα ἀρετῆς ἐπιμελούμενοι, οὐκ ἀνάγκῃ νόμου τοῦτο ποιούντων, ἀλλ' ὑφ' ἑτέρου πρὸς τοῦτο ἀγομένων.

Ὠριγένους. Ὅτι δὲ ἀρκεῖ εἰς δικαιοσύνην ὁ τῆς πίστεως νόμος καθόλου μηδὲν ἐργασαμένοις ἡμῖν, ἔχομεν δεῖξαι τὸν συσταυρωθέντα λῃστὴν τῷ Ἰησοῦ, καὶ τὴν ἐν τῷ κατὰ Λουκᾶν ἁμαρτωλὸν γυναῖκα τὴν κομίσασαν ἀλάβαστρον μύρου, καὶ στάσαν παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, καὶ διαπραξαμένην ἅπερ ἀναγέγραπται πεποιηκέναι. ἐξ οὐδενὸς γὰρ ἔργου, ἀλλ' ἐκ τῆς πίστεως ἀφέωνται ταύτης αἱ ἁμαρτίαι, καὶ ἤκουσε τὸ "ἡ πίστις σου σέσωκέ σε. "πορεύου εἰς εἰρήνην." ὅτι δὲ μετὰ τὴν ἐπίγνωσιν ἀδικία γενομένη, ἀθετεῖ τὴν χάριν τοῦ δικαιώσαντος, σαφῶς αὐτὸς ἐν τοῖς ἑξῆς παραστήσει. ἐγὼ δὲ οἶμαι, φησὶν, ὅτι καὶ τὰ πρὸ τῆς πίστεως ἔργα, κἂν δοκῇ εἶναι δεξιὰ, ὡς μὴ ἐποικοδομηθέντα καλῷ [1] θεμελίῳ τῇ πίστει, οὐ δικαιοῖ τὸν ποιήσαντα αὐτά.

31 Ἢ Ἰουδαίων Θεὸς μόνον καὶ οὐκ ἐθνῶν; νόμον οὖν καταργοῦμεν διὰ τῆς πίστεως;

Κυρίλλου. Ἔφη τῷ θεσπεσίῳ Μωσῇ ὁ τῶν ὅλων Θεὸς, "προφήτην αὐτοῖς ἀναστήσω ἐκ τῶν ἀδελφῶν αὐτοῦ· καὶ λαλήσει "αὐτοῖς καθότι ἂν ἐντείλωμαι αὐτῷ. καὶ ὁ ἄνθρωπος ἐκεῖνος ὃς "μὴ ἀκούσῃ τῶν λόγων, ὅσα ἂν λαλήσῃ ὁ προφήτης ἐπὶ τῷ

[1] θεμέλια. Cod.

" ὀνόματί μου, ἐγὼ ἐκδικήσω ἐξ αὐτοῦ." πῶς οὖν οὐχ ἱστῶμεν νόμον διὰ τῆς πίστεως τὸν παρ' αὐτοῦ προσιέμενον λόγον· καὶ προφήτης ὠνόμασται διὰ τὸ ἀνθρώπινον ὁ Ἐμμανουὴλ, ὁ ὡς ἐν τάξει Μωσέως μεσίτης Θεοῦ καὶ ἀνθρώπων. καὶ πάλιν ὁ μὲν νόμος ἦν ἐν σκιαῖς, πλὴν ὠδίνων ὁρᾶθαι τῆς ἀληθείας τὴν μόρφωσιν. οὐκ ἀναιρεῖ δὲ τοὺς τύπους ἡ ἀλήθεια, καθίστησι δὲ ἐμφανεστέρους.

Ὠριγένους. Τίνι διαφέρει ἡ ἐκ πίστεως δικαιουμένη περιτομὴ, τῆς δικαιουμένης διὰ τῆς πίστεως ἀκροβυστίας; οὐ γὰρ νομιστέον ὡς ἔτυχε Παῦλον ταῖς προθέσεσι διαφόρως κεχρῆσθαι. οἷον καὶ ἐν τῇ πρὸς Κορινθίους, " ἡ γυνὴ," φησὶν, " ἐκ τοῦ ἀνδρὸς, " ὁ δὲ ἀνὴρ διὰ τῆς γυναικός." δοκεῖ δέ μοι οἰκειότερον εἶναι τὸ ἔκ τινος τῷ ἐξ οὗ, ἤ περ τὸ διά τινος τῷ δι' οὗ. ἡ μὲν γὰρ γυνὴ πρώτως ἐξ ἀνδρός ἐστιν· οὐδέποτε δι' ἀνδρός. οὐδὲ γὰρ ἐξ ἄλλου ποτε γυνὴ, ἵνα γένηται δι' ἀνδρός. καὶ μάλιστα ἐπὰν ἀκούῃ τούτων κατὰ τὸν Ἀδὰμ καὶ τὴν Εὔαν, διὰ τὸ " τοῦτο νῦν ὀστοῦν " ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου." ὁ δὲ ἀνὴρ οὐδέποτε ἐκ τῆς γυναικὸς, ἀλλὰ καὶ αὐτὸς πρώτως ἐξ ἀνδρὸς ὢν, μετὰ τοῦτο γίνεται διὰ γυναικός· ἀλλὰ τοῦτο οὐκέτι ἁρμόζει ἐπὶ τοῦ Ἀδὰμ, ἀλλ' ἐπὶ παντὸς ἀνδρὸς μετ' ἐκεῖνον. ἐπεὶ τοίνυν εὐγενέστερον περιτομὴ ἀκροβυστίας ὑπάρχον, τὸ δὲ ὑποδεέστερον ἡ ἀκροβυστία ὁδεύει διὰ τῆς πίστεως, ἵνα δικαιωθῇ οὐκ ἐλθοῦσα διὰ τῆς πίστεως. πιστεύσας γάρ τις ἔρχεται εἰς τὴν περιτομὴν, καὶ μάλιστα ἣν φησὶν ὁ Ἀπόστολος " τὴν ἐν κρυπτῷ," ὥστε βέλτιον νοεῖται τὸ ἐξ ἀνδρὸς, καθὸ ἐξ ἀνδρὸς τὸ διὰ γυναικός. ὅτι ἐπὶ παντὸς μὲν ἀνθρώπου χώραν ἔχει τοῦτο, ἐπεὶ πρὸ τοῦ διὰ γυναικὸς, γέγονεν ἐξ ἀνδρός. ἐπὶ δὲ τοῦ Σωτῆρος μὴ γενομένου ἐξ ἀνδρὸς, οὐκ ἔχει τὸ γεγόνεναι αὐτὸν διὰ γυναικός· διόπερ ἐκεῖ, ἐπεὶ τὸ γεγενημένον ἐκ τῆς σαρκὸς, σάρξ ἐστιν, ἡ σὰρξ αὐτοῦ μὴ γενομένη ἐξ ἀνδρὸς, γέγονεν ἐκ γυναικὸς, καὶ οὐ διὰ γυναικός.

Θεοδώρου. Ἐπὶ τῶν Ἰουδαίων τὸ " ἐκ πίστεως" τέθεικεν· ὡς ἂν ἐχόντων μὲν καὶ ἑτέρας ἀφορμὰς πρὸς δικαίωσιν, οὐ δυναμένων δὲ αὐτῆς μετέχειν πλὴν ἐκ τῆς πίστεως. ἐπὶ δὲ τῶν Ἑλλήνων " διὰ " τῆς πίστεως."

Ὠριγένους. Ζητοῦμεν διατί μὴ εἶπεν ἐκ πίστεως δικαιούμενον ἡ περιτομή ἐστιν. καὶ οὐκ ἀμφιβάλλομέν φησιν, εἰ μὴ καταργεῖται ἐκ πίστεως δικαιουμένης, καταργεῖται ὁ νόμος. ἀλλὰ νῦν νόμον ἐλάβομεν τὸν Μωσέως, διὰ τῆς πίστεως οὐ καταργούμενον. ἡ γὰρ πίστις ἵστησι καὶ τὸν νόμον ἐκ Θεοῦ ὄντα· προδηλον δὲ ὥσπέρ τι τῆς ὀρθῆς πίστεως φαμέν. εἰ δέ τις ἀντιθήσει ἐκ τῆς δευτέρας πρὸς Κορινθίους Ἐπιστολῆς τὸ "εἰ δὲ ἡ διακονία "τοῦ θανάτου ἐν γράμμασιν ἐντετυπωμένη λίθοις, ἐγενήθη ἐν "δόξῃ, ὥστε μὴ δύνασθαι ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ "πρόσωπον Μωϋσέως, διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ τὴν "καταργουμένην," ἐροῦμεν ὅτι οὐ ταυτόν ἐστὶ, τὸ νόμος οὖν καταργεῖται, τὸν νόμον οὖν καταργοῦμεν. οὐδὲ γὰρ αὐτὸς ἐνεργεῖ ὁ νόμος ὁ Παῦλος τὸ καταργεῖν τὸν νόμον. εἰ γὰρ καὶ καταργεῖται ὑπὸ τῆς ὑπερβαλλούσης δόξης τοῦ Χριστοῦ, "Κύριος γάρ," φησι, "τοῦ σαββάτου ἐστὶ," καὶ οὐ δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ τῷ μέρει ὡς πρὸς σύγκρισιν τῆς [m] ὑπερβαινούσης δόξης. μόνον γοῦν ὠνόμασε τὸ Χριστοῦ. τὸ δὲ μὴ μένον καταργούμενον, ἐπεὶ "ὁ νόμος παιδαγωγὸς, ἕως ἂν ἔλθῃ τὸ πλήρωμα τοῦ χρόνου."

2 Εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη.

Ὠριγένους. Ἐπὶ τίνι ἐπίστευσεν Ἀβραὰμ τῷ Θεῷ, οὐ πανὺ, σαφῶς διηγήσατο γραφή· ἔοικε δὲ ὁ Ἀπόστολος ἡ καθόλου αὐτὸν ἐκλαμβάνειν πεπιστευκέναι. καὶ γὰρ ἀληθῶς, εἰ μὲν τὸ καθόλου, πάντως καὶ τὸ κατὰ μέρος. εἰ δὲ ἐπὶ τοῖς εἰρημένοις ἐπίστευσεν τῷ Θεῷ, οὐκ ἀκολούθει ὅτι καθόλου ἐπίστευσεν. ἔστι γὰρ μέτρα τοῦ πιστεύειν Θεῷ· διὸ "Ἀβραὰμ μὲν ἐπίστευσε τῷ Θεῷ, καὶ "ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην." οὐδὲν δὲ τοιοῦτον γέγραπται, "ἡνίκα εἶδεν Ἰσραὴλ τὴν χεῖρα τὴν μεγάλην, ἃ ἐποίησε Κύριος "τοῖς Αἰγυπτίοις, καὶ ἐφοβήθη ὁ λαὸς Κύριον, καὶ ἐπίστευσε τῷ "Κυρίῳ, καὶ Μωσῇ τῷ θεράποντι αὐτοῦ." οὐ πρόσκειται δὲ ὡς ἐπὶ τοῦ Ἀβραὰμ τὸ "ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην."

Ἀπολιναρίου. Τύπῳ κατὰ τὸν Ἀβραὰμ ἐπιδείκνυσι τὴν πίστιν· οὐ τοῖς ἐν νόμῳ καὶ περιτομῇ διδομένην μόνοις, εἰς δικαίω-

[m] In marg. γρ. ὑπερβαλλούσης.

σιν, ἀλλὰ καὶ τοῖς ἐν ἀκροβυστίᾳ. δεδικαίωται μὲν γὰρ καὶ Ἀβραὰμ, οὐκ ἐξ ἔργων. οὐδὲ γὰρ ἦν τὸ καύχημα αὐτοῦ λαμπρὸν, ἀτελὲς ὂν, καὶ παρὰ Θεῷ μὴ δυνάμενον φαίνεσθαι· παρ' ᾧ δικαιοσύνη χωλεύουσα, καύχησιν [n] ἔχειν οὐ δύναται· ἀλλ' ἐκ πίστεως ἡ δικαίωσις τοῦ πατρὸς ἡμῶν Ἀβραάμ. πατέρα κατὰ σάρκα αὐτὸν λέγει τῶν Ἰσραηλιτῶν τῶν κατὰ Πνεῦμα Θεοῦ γενομένων υἱῶν· οἷς ἐξομοιωθεὶς Χριστὸς ἐν τῇ κατὰ σάρκα γενέσει, ἐξομοιώσειεν αὐτοὺς πρὸς ἑαυτὸν, διὰ τῆς ἐν Πνεύματι κατὰ χάριν γεννήσεως.

Κυρίλλου. Χρῆναι δὲ ὑπολαμβάνω, ἔφη τις, τὸν περὶ τοῦ προπάτορος Ἀβραὰμ πολυπραγμονοῦντας λόγον, ἐκεῖνο εἰπεῖν. εἴρηται που τινὶ τῶν ἁγίων μαθητῶν, δίχα τῶν ἔργων, τὴν πίστιν εἶναι νεκράν· προσεπάγει δὲ τούτοις τὸ θέλεις δὲ γνῶναι, ὦ ἄνθρωπε κενὲ, ὅτι ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστιν; Ἀβραὰμ ὁ πατὴρ ἡμῶν, οὐκ ἐξ ἔργων ἐδικαιώθη, ἀνενέγκας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον; ἆρ' οὖν ἀλλήλοις τἀναντία φασὶν οἱ πνευματοφόροι; τί οὖν πρὸς ταῦτα φαμέν; εἰς γῆρας ἐληλακότι λοιπὸν ἀδοκήτως λίαν ἐπηγγέλετο αὐτῷ υἱὸν ὁ τῶν ὅλων Θεός· ἔφασκέ τε ὅτι τῇ τῶν ἄστρων ἀναριθμήτῳ πληθύϊ φιλονεικοῦν τὸ ἐξ αὐτοῦ γενήσεται σπέρμα. ὁ δὲ ἐπείπερ ἐτίμα τὸν ὑπισχνούμενον τὸ πάντα δύνασθαι κατορθοῦν, διὰ τούτου ἐπιμαρτυρῶν τῷ Θεῷ δεδικαίωται παρ' αὐτῷ, καὶ γέρας ἐντάξιον τῆς οὕτω θεοφιλοῦς ἐκομίζετο γνώμης, τῶν ἀρχαίων αἰτιαμάτων τὴν ἀμνηστείαν. πλὴν ἐποιεῖτο κατὰ καιροὺς γύμνασμα τῷ δικαίῳ Θεὸς τὸ ἐπί γε τῷ Ἰσαὰκ χρησμῴδημα. ἀλλ' ἦν καὶ ἐπ' αὐτῷ πιστὸς καὶ φιλόθεος, ὡς τῆς πρὸς Θεὸν ἀγάπης προτάξας οὐδέν. πλὴν καθά φησι τοῦ Σωτῆρος ὁ μαθητὴς, ἡ πίστις συνεργεῖ τοῖς ἔργοις· καὶ ἐκ τῶν ἔργων ἡ πίστις ἐβεβαιώθη. ἔφη δέ που καὶ ὁ θαυμάσιος Παῦλος περὶ τοῦ προπάτορος Ἀβραὰμ, "πίστει προσενήνοχε τὸν "Ἰσαὰκ πειραζόμενος, καὶ τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγε-"λίας ἀναδεξάμενος· πρὸς ὃν ἐλαλήθη, ἐν Ἰσαὰκ κληθήσεταί σοι "σπέρμα· λογισάμενος ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ "Θεός." οὐκοῦν κἂν εἰ λέγοι τὸ τυχὸν ἐξ ἔργων δεδικαιῶσθαι διά-

[n] ἔχων Cod.

τοι τὸ προσενεγκεῖν τὸν Ἰσαὰκ πειραζόμενον, ἀλλ' ἦν καὶ τοῦτο αὐτῷ πίστεως τῆς ἑδραιοτάτης ἀπόδειξις ἐνεργής.

4 Τῷ δὲ ἐργαζομένῳ ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν.

Ὠριγένους. Οὐδὲν ὧν δίδωσιν ὁ Θεὸς τῇ γεννητῇ φύσει, ὡς ὀφείλων δίδωσιν, ἀλλὰ πάντα ὡς χάριν δωρεῖται. καὶ πάντα τὰ εὐεργετούμενα, οὐκ ὀφειλομένης αὐτοῖς εὐεργεσίας εὐεργετεῖται, ἀλλὰ τὸ βούλεσθαι τὸν Θεὸν ἰδίᾳ χάριτι εὐεργετεῖν, οὓς ἂν εὐεργετῇ. νῦν οὖν νομιστέον αὐτὸ ἁπλούστερον καὶ καθόλου εἰρῆσθαι, καὶ ἄλλως κοινότερον νοούμενον ἐπὶ τῶν οἱστισινοῦν ἐργαζομένων, καὶ τὸν μισθὸν ἀπ' ἐκείνων λαμβανόντων, οὐ κατὰ χάριν, ἀλλὰ κατὰ ὀφείλημα. ἡγητέον δὲ αὐτὸ δύνασθαι λέγεσθαι, φέρε εἰπεῖν ἐπὶ τῶν ὡς Κάϊν ἐργαζομένων τὴν γῆν καὶ ποιούντων ἔργα πονηρά· τούτοις γὰρ ὡς ὀφειλόμενα νομίζω, καὶ ὡς μισθὸν τῶν ἐργαζομένων ἀποδίδοσθαι τὰς κολάσεις. διὸ καὶ ὁ Ἀπόστολος ὀψώνια μὲν τῆς ἁμαρτίας ἔφησεν εἶναι τὸν θάνατον· οὐκέτι δὲ ὀψώνια καὶ ὡσπερεὶ ὀφειλόμενα ἀπὸ Θεοῦ τὴν αἰώνιον ζωὴν, ἀλλὰ χάρισμα αὐτοῦ. φησὶ γὰρ, "τὸ δὲ χάρισμα τοῦ Θεοῦ, ζωὴ αἰώνιος, ἐν "Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν." οὐ νομιστέον οὖν ἐπὶ τῶν κρειττόνων ἔργων λέγεσθαι ἐν τῷ Εὐαγγελίῳ τὸ "ᾧ μέτρῳ με-"τρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν." "χάριτι γάρ ἐσμεν σεσωσμένοι· "καὶ τοῦτο οὐκ ἐξ ἡμῶν, Θεοῦ τὸ δῶρον, ἵνα μήτις καυχήσηται." πρὸς δὲ μέτρον τῶν ἡμαρτημένων ἡμῶν δίδοσθαι τὰς κολάσεις ὑποληπτέον.

6 Καθάπερ καὶ Δαβὶδ λέγει τὸν μακαρισμὸν τοῦ ἀνθρώπου.

Θεοδώρου. Θαυμασιώτατα δὲ τὰς μαρτυρίας συνέκρουσεν. ἐπὶ μὲν τῆς πίστεως, "καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην." ἐπὶ δὲ τῶν ἔργων· "καὶ οὐ μὴ λογίσεται Κύριος ἁμαρτίαν." ἐκεῖ γὰρ ἤρεσεν ἡ πίστις, ὥστε λογισθῆναι αὐτῷ εἰς δικαιοσύνην. ἐνταῦθα δὲ τὰ ἔργα καὶ πρὸς τὸ ἐναντίον ῥέποντα οὐ λογίζεται, ὅταν ἡ τοῦ Θεοῦ φιλανθρωπία τῶν γεγονότων ἀνωτέρα φαίνεται.

Ὠριγένους. Μηκέτι πραττομένου τοῦ χείρονος, ἄφεσις εἰκὸς δύναται γενέσθαι ἀνομιῶν. ἀγαθοῦ δὲ ἐπιτελουμένου ὡς τὰ γενόμενα

κώλυμα γενέσθαι τῶν προημαρτημένων ἐξαφανίζοντα αὐτῶν τὴν φύσιν, ἐπικαλύπτονται αἱ ἁμαρτίαι τῶν προαγόντων, οὐδὲ λογίζεται ἔτι Κύριός τινι τῷ ἡμαρτηκέναι.

9 *Λέγομεν γὰρ ὅτι ἐλογίσθη τῷ Ἀβραὰμ ἡ πίστις εἰς δικαιοσύνην.*

Σευηριανοῦ. Περιτομὴ ἐδόθη διὰ τρεῖς αἰτίας ταύτας. ὥστε σημεῖον εἶναι πίστεως, καὶ τοῦ Ἀβραμιαίου γένους εἶναι δηλωτικὸν, καὶ σύμβολον καὶ αἴνιγμα πολιτείας καθαρᾶς καὶ σώφρονος, ὥστε οὐχ ὡς δικαιοσύνης τοῦ Ἀβραάμ [n].

Θεοδώρου. Εἰς τὸ εἶναι αὐτὸν πατέρα πάντων τὸν πιστευόντων κατὰ τὸ οἰκεῖον ἰδίωμα κἀνταῦθα εἶπεν ὡς τὸ εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους· λέγει γὰρ τὸ ἀναγκαίως τοῖς γεγονόσιν ἑπόμενον. ἐντεῦθεν φησὶ κοινός ἐστιν ἁπάντων πατὴρ, ἐπειδὰν τὴν πρὸς αὐτὸν ὁμοιότητα τῆς πίστεως δέξωνται.

Ὠριγένους. Λαμβάνει δὲ μετὰ τὴν ἐκ πίστεως δικαίωσιν σημεῖον περιτομῆς, ὡσπερεὶ σφραγῖδα τυγχάνουσαν καὶ ἀποκλίνουσαν δίκην τῶν ἐσφραγισμένων τὸ μυστήριον τῶν ἐκ πίστεως δικαιουμένων· ἵν᾽ οἱ μετὰ τὴν πίστιν, ἐκεῖνοι ἐκ περιτομῆς τοῦ Ἀβραὰμ ἕτεροι ὄντες τῶν ἐκ πίστεως δικαιωθησομένων τεκνῶν αὐτοῦ, ἢ εἰς τέκνα αὐτοῦ λογισθησομένων, ἕτεροι ὦσι λαοὶ παρὰ τῶν ἐν ἀκροβυστίᾳ ἐκ πίστεως δικαιωθησομένων. ἡ δὲ σφραγὶς ἐτηρεῖτο μὲν μὴ λυομένη, ὅσον οὐδέπω ἐληλύθεισαν οἱ ἐκ πίστεως καὶ ἐν ἀκροβυστίᾳ· ἡνίκα δὲ ἦλθεν ὁ προειρημένος τεχθήσεσθαι λαὸς τῶν ἐν ἀκροβυστίᾳ καὶ ἐκ πίστεως δικαιουμένων, τότε ἡ σφραγὶς καὶ τὸ σημεῖον ἐκεῖνο ἐλύθη, ὥστ᾽ ἂν λεχθῆναι τῷ βουλομένῳ τὴν σφραγῖδα ἐκείνην λαβεῖν, ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει.

Τοῦ αὐτοῦ. Νομίζω δὲ τοὺς ἀπὸ τῶν ἐθνῶν μὴ ἐπιστήσαντας τῇ ἀκριβείᾳ τῆς γραφῆς, ἐκτεθήσασθαι τὸ ἀπὸ τῆς γενέσεως ῥητὸν, οὐχ ὡς Παῦλος αὐτὸ ἔθηκεν ἐν τῇ ἀρχῇ. οὐκ ἂν γὰρ ὁ οὕτως ἀκριβὴς ἐξέθετο τὸ "ἐπίστευσε δὲ Ἀβραὰμ τῷ Θεῷ." οὕτω δὲ εἰκὸς καὶ ἐν τοῖς ἑξῆς γέγραφθαι ἐν τῇ πρὸς Ῥωμαίους Ἐπιστολῇ, "ὅτι ἐλογίσθη ἡ πίστις τῷ Ἀβραὰμ εἰς δικαιοσύνην." νυνὶ δὲ ἔχομεν ἡμεῖς Ἀβραάμ.

[n] Deest aliquid.

13 Οὐ γὰρ διὰ νόμου ἡ ἐπαγγελία τῷ Ἀβραάμ.

Ἀπολιναρίου. Οὐ νόμον ὁρίσας τὴν ἐπαγγελίαν ὁ Θεὸς ἔδωκε τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ, ἀλλὰ πίστει δικαιώσας αὐτόν. ἡ δὲ δοθεῖσα τῷ Ἀβραὰμ ἐπαγγελία ἦν, ὡς παρὰ τοῦ Μωσέως μεμαθήκαμεν, ἡ λέγουσα, "σοὶ δώσω καὶ τῷ σπέρματί σου πᾶσαν "τὴν γῆν ταύτην." διὸ καὶ κόσμου κληρονομίας εἶναι τὴν ἐπαγγελίαν ὁ Ἀπόστολος λέγει· γῆς οὖσαν ἐπαγγελίαν. ἐν δὲ τῇ πρὸς Κορινθίους, εἰς ἡμᾶς τοὺς τοῦ Ἀβραὰμ κατὰ πνεῦμα διαδόχους, ἀναφέρων πάντα ἡμῶν φησὶν, "εἴτε κόσμος, εἴτε ἐνεστῶτα, εἴτε "μέλλοντα." καὶ δῆλον τοῖς τὰ Μωσέως ἀναγινώσκουσιν, ὅτι οὐ νόμου προστάγματα λαβὼν ὁ Ἀβραὰμ, ἐπὶ τούτοις ἔσχε τὴν τοιαύτην ἐπαγγελίαν. ὁ δέ γε Παῦλος ἐν τοῖς προκειμένοις, καὶ τὴν αἰτίαν ἀποδίδωσι, δι' ἣν οὐκ ἐπὶ νόμῳ τὴν ἐπαγγελίαν ἔδωκεν ὁ Θεὸς, ἀλλ' ἐπὶ πίστει.

[o]Ἔδειξεν ὅτι ἀναγκαία ἡ πίστις, ὅτι πρεσβυτέρα περιτομῆς, ὅτι νόμου ἰσχυροτέρα, ὅτι συνίστησι νόμον. εἰ γὰρ πάντες ἥμαρτον, ἀναγκαία. εἰ ἀκρόβυστος ὢν ἐδικαιώθη, πρεσβυτέρα. εἰ μαρτυρεῖται ὑπὸ τοῦ νόμου, καὶ τὸν νόμον ἵστησιν, οὐκ ἐναντία ἀλλὰ φίλη καὶ σύμμαχος. δείκνυσι δὲ πάλιν καὶ ἑτέρωθεν, ὅτι οὐδὲ δυνατὸν ἦν διὰ νόμου τὴν κληρονομίαν λαβεῖν. καὶ παραβαλὼν αὐτὴν τῇ περιτομῇ, καὶ λαβὼν τὰ νικητήρια, ἀντεπεξάγει πάλιν αὐτὴν τῷ νόμῳ. ἵνα μή τις λέγῃ, ὅτι καὶ πίστιν δυνατὸν ἔχειν, καὶ νόμον τηρῆσαι δείκνυσιν ὅτι ἀμήχανον. ὁ γὰρ ἐχόμενος τοῦ νόμου ὡς σώζοντος ἀτιμάζει τῆς πίστεως τὴν * * * * * διό φησι, "κεκένωται ἡ πίστις·" τουτέστιν οὐ χρεία τῆς κατὰ σάρκα σωτηρίας. οὐδὲ γὰρ δύναται τὴν ἰσχὺν τὴν ἑαυτῆς ἐπιδείξασθαι. καὶ γὰρ ὁ Ἰουδαῖος ἴσως ἂν [p]εἴποι, τί μοι γὰρ χρεία πίστεως; οὐκοῦν εἰ τοῦτο ἀληθὲς, μετὰ τῆς πίστεως καὶ τὰ τῆς ἐπαγγελίας ἀνήρηται. ποίαν δὲ ἐπαγγελίαν φησί· τὸ κληρονόμον αὐτὸν εἶναι τοῦ κόσμου, καὶ ἐν αὐτῷ πάντας εὐλογεῖσθαι. καὶ πῶς κατήργηται ἡ ἐπαγγελία αὕτη φησὶν, "ὅτι ὁ νόμος," καὶ τὰ ἑξῆς.

[o] Hoc Schol. nullum habet nomen Auct. marg. adpictum. [p] εἴπη (οι superscr.) Cod.

15 Ὁ γὰρ νόμος ὀργὴν κατεργάζεται.

Ἀπολιναρίου. Εἰ δὲ ὀργὴν κατεργάζεται, καὶ παραβάσει κατευθύνους ποιεῖ, εὔδηλον ὅτι καὶ κατάρᾳ καὶ τιμωρίᾳ καὶ παραβάσει πάντες ὑπεύθυνοι. οὔτε κληρονόμων ἄξιοι, ἀλλὰ τοῦ δίκην διδόναι καὶ ἐκβάλλεσθαι. τί οὖν γίνεται; ἔρχεται ἡ πίστις, ἐφελκομένη τὴν χάριν. ὥστε τὴν ἐπαγγελίαν ἔργον ἐξελθεῖν. ὅπου γὰρ χάρις, συγχώρησις. ὅπου δὲ συγχώρησις, οὐδεμία κόλασις· κολάσεως δὲ ἀνῃρημένης, ἐπιγινομένης διὰ τῆς πίστεως, τί τὸ κωλύον κληρονόμους ἡμᾶς γενέσθαι τῆς ἐπαγγελίας; διὰ τοῦτο οὖν ἐκ πίστεως φησὶν, ἵνα κατὰ χάριν εἰς τὸ εἶναι βεβαίαν τὴν ἐπαγγελίαν τοῦ Θεοῦ παντὶ τῷ σπέρματι. ὁρᾷς ὅτι οὐ τὸν νόμον ἵστησι μόνον ἡ πίστις, ἀλλὰ καὶ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ οὐκ ἀφίησι διαπεσεῖν; ὁ δὲ νόμος τοὐναντίον καὶ τὴν πίστιν καταργεῖ παρὰ καιρὸν τηρούμενος, καὶ τὴν ἐπαγγελίαν κωλύει. διὰ τοῦτο φησὶ "κατὰ χάριν" εἰς τὸ μὴ καταισχυνθῆναι, ἀλλ' "εἰς τὸ εἶναι βεβαίαν τὴν ἐπαγγελίαν παντὶ τῷ πιστεύοντι."

Τοῦ αὐτοῦ. Δυὸ τίθησιν ἐνταῦθα ἀγαθά· ὅτι καὶ βέβαια τὰ διδόμενα, καὶ παντὶ τῷ σπέρματι, τοὺς ἐξ ἐθνῶν συναγάγων, καὶ δεικνὺς Ἰουδαίους ἐκτὸς ὄντας, ἂν πρὸς τὴν πίστιν φιλονεικήσωσιν. εἶτα διορίζεται τῷ σπέρματι τοὺς ἐκ πίστεως φησὶ, συναπτων τὴν πρὸς τὰ ἔθνη συγγένειαν· καὶ δεικνὺς, ὅτι οὐδὲ δύνανται φρονεῖν ἐπὶ τῷ Ἀβραὰμ οἱ μὴ πιστεύοντες ὁμοίως ἐκείνῳ. τὴν τοίνυν συγγένειαν τὴν πρὸς τὸν δίκαιον, ἀκριβεστέραν ἡ πίστις ἐποίησε, καὶ πλειόνων ἐκγόνων ἀπέφηνε πρόγονον. διὸ οὐδὲ ἁπλῶς εἶπεν Ἀβραὰμ, ἀλλὰ τοῦ πατρὸς ἡμῶν τῶν πιστῶν.

Ὠριγένους. Ἀσυκοφαντήτως ἀκούειν χρὴ τοῦ Ἀποστόλου ἐν τούτοις καὶ συνιέναι τοῦ βουλήματος αὐτοῦ. φασὶ γάρ τινες, εἰ ἔνθα οὐκ ἔστι νόμος, οὐδὲ παράβασις δηλονότι. οὐδεὶς ἐν παραβάσει γέγονε πρὸ Μωσέως εἰδέναι· εἰ δὲ μὴ γέγονέ τις, οὔτε ψεκτὸς, οὔτε οὖν Κάϊν, οὔτε πάντες οἱ διὰ τὰς ἑαυτῶν ἁμαρτίας τὸν κατακλυσμὸν παθόντες, ἢ οἱ ἐν Σοδόμοις ἐν παραβάσει γεγόνασι. καὶ πρόγε τούτων Ἀδὰμ καὶ ἡ Εὔα. λεκτέον οὖν πρὸς τούτους ὅτι ὁ Μωσέως νόμος, οὐ τὴν ἐν κρίσει ὀργὴν κατεργάζεται, ἀλλὰ τὴν κατ' αὐτόν· τοὺς μὲν λιθολεύστους ποιῶν· ἑτέρους δὲ

ἐπὶ πυρὸς κατακαίων, ἢ ἑτέρᾳ ὑποβάλλων τιμωρίᾳ. ἀλλὰ καὶ εἴπερ οὗ οὐκ ἔστι νόμος, οὐδὲ παράβασις· ὅτε ὅσα ὁ νόμος λαλεῖ, τοῖς ἐν τῷ νόμῳ λαλεῖ. ὅρα δὲ αὐτοὺς καὶ τὸν παρ' αὐτῷ Παύλῳ νόμον πίστεως ὀνομαζόμενον Θεοῦ ὀργὴν κατεργάζεσθαι, καὶ παράβασιν εἶναι ἔνθα ἐστιν ὁ τῆς πίστεως νόμος καὶ ὁ τοῦ Θεοῦ.

Σαφῶς δὲ αὐτὸς ἕτερον μὲν εἶναι νόμον τὸν τοῦ Θεοῦ, ᾧ μόνῳ καὶ αὐτὸς συνήδεται κατὰ τὸν ἔσω ἄνθρωπον. ἕτερον δὲ νόμον εἶναι τὸν ἐν τοῖς μέλεσιν ἑαυτοῦ ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός. καὶ ὅρα μήποτε οὗτος ἐστὶν ὁ ἀληθῶς ὀργὴν κατεργαζόμενος. καὶ οὗ οὐκ ἔστι νόμος οὗτος, ἐκεῖ οὐδὲ παράβασίς ἐστι· καὶ οἱ ἐκ τούτου τοῦ νόμου, οὐδαμῶς εἰσὶ κληρονόμοι. εἰ γὰρ οἱ ἐκ νόμου κληρονόμοι, κεκένωται ἡ πίστις. "παντὶ δὲ τῷ σπέρματι" φησὶν, ἤτοι τῷ ἐκ τοῦ νόμου, ἢ τὸ ἐκ τῆς πίστεως αὐτοῦ, καὶ οὐ μόνον τὸ ἐκ τοῦ νόμου, ἀλλ' εἰ ἔχοι πρὸς τὸ ἐκ τοῦ νόμου τὸ ἐκ τῆς πίστεως. εἰ γὰρ μὴ οὕτως ἐκλάβοιμεν, ἔσται ἡ ἐπαγγελία τοῖς ἐξ Ἰσραὴλ, καὶ τοῖς ἐκ Χετοῦρας, ἅπερ οὐκ ἀρέσκει.

Τοῦ αὐτοῦ. Ἀναγκαῖον δέ, φησιν, ἐξετάσαι φαίνεται, πῶς ἀκολουθεῖ τὸ ἐκ πίστεως καὶ τὸ κατὰ χάριν, τὸ βεβαίαν εἶναι τὴν ἐπαγγελίαν. ἄρα γὰρ εἰ ἦν ἐκ νόμου, οὐχ οἷόν τε ἦν βεβαίαν τυγχάνειν τὴν ἐπαγγελίαν. πρόσχες οὖν, οἱονεὶ δευσοποιός τις βαφὴ γίνεται ἐκ πίστεως περὶ τὴν ψυχὴν, καὶ μάλιστα τῆς λελογισμένης εἰς δικαιοσύνην, ὥστε τὴν δι' αὐτῆς ἐπαγγελίαν καὶ χάριν ἴσχειν διὰ τὸ [p] ἀνέκπλυτον αὐτῆς, ἢ ἀμεταβολόν γε τὴν βεβαιότητα· ἥτις οὐκ ἐμφαίνεται περὶ τὰ ἐκ νόμου ἔργα. ἀποστρέφειν γοῦν ποτὲ δίκαιος ἀπὸ τῆς δικαιοσύνης αὐτοῦ λέγεται, καὶ ποιεῖν ἀδικίαν. οὐκ οἶδα δὲ εἰ καὶ περὶ τῆς πίστεως γέγραπται, ὅτι ἀπέστρεψέ τις ἀπὸ τῆς πίστεως ἅπαξ μαρτυρηθεὶς πεπιστευκέναι, καὶ δικαιωθεὶς διὰ τὴν πίστιν. εἶτα καὶ τὴν μαρτυρίαν ἐπισφραγίζει ὁ θεῖος Ἀπόστολος τὸ εἰρημένον αὐτῷ.

Τοῦ αὐτοῦ. Ὃ δὲ λέγει τοῦτό ἐστιν· ὥσπερ ὁ Θεὸς, μερικὸς οὐκ ἔστι Θεὸς, ἀλλὰ πάντων πατὴρ, οὕτω καὶ αὐτός. καὶ πάλιν ὥσπερ ὁ Θεὸς πατήρ ἐστιν, οὐ κατὰ τὴν φυσικὴν συγγένειαν, ἀλλὰ

[p] ἀνέκπλ(υ)ητον Cod.

κατ᾽ οἰκείωσιν πίστεως, οὕτω καὶ αὐτός. ἡ γὰρ ὑπακοὴ ποιεῖ πατέρα πάντων ἡμῶν. ἐπειδὴ γὰρ οὐδὲν ἐνόμιζον εἶναι ταύτην τὴν συγγένειαν, τὴν παχυτέραν ἐκείνην κατασχόντες, δείκνυσι ταύτην κυριωτέραν, ἐπὶ τὸν Θεὸν τὸν λόγον ἀνάγων. καὶ μετὰ τοῦτον κἀκεῖνο ἐμφαίνει, ὅτι καὶ ἀμοιβὴν τῆς πίστεως ταύτην ἔλαβεν. ὥστε ἂν μὴ τοῦτο ᾖ, κἂν πάντων ᾖ πατὴρ τῶν τὴν γῆν οἰκούντων τὸ κατέναντι οὐκέτι χώραν· τὸ γὰρ "κατέναντι," τὸ ὁμοίως ἐστί. τὸ γὰρ παράδοξον τοῦτό ἐστιν, οὓς οὐκ εἶχεν ἐκ φύσεως, τούτους ἀπὸ τῆς τοῦ Θεοῦ δωρεᾶς λαβεῖν.

Σευηριανοῦ. "Κατέναντι οὗ ἐπίστευσεν," *ἀντὶ ἐνώπιον προσώπου οὗ ἐπίστευσε Θεοῦ.*

Τοῦ αὐτοῦ. Τὸ "*κατέναντι οὗ ἐπίστευσε Θεοῦ,*" *φησὶν, ἀντὶ τοῦ ὅτε ἐπίστευσε τῷ Θεῷ· ἐπειδὴ γὰρ διαλεγομένῳ παρ᾽ ὧν ἐπίστευσε τὸ κατέναντι τέθεικεν. ἀντὶ τοῦ εἰς τρόπον καὶ ὅστε ἐπίστευσεν.*

Ὠριγένους. *Ὁποῖα φησὶ τὰ πολλὰ ἔθνη ἦν, ὧν τέθεικεν αὐτὸν πατέρα, ὁ τὰς ἐπαγγελίας αὐτῷ διδοὺς Θεός· περὶ γὰρ τῶν διὰ τὴν ἁμαρτίαν νενεκρωμένων, ὧν ἡ ψυχὴ νεκρὰ γεγένητο ἐν σώματι ζῶντι, οἴομαι νῦν αὐτὸν λέγειν· "ψυχὴ γὰρ ἡ ἁμαρτάνουσα "αὕτη ἀποθανεῖται." τίνα δὲ τὰ μὴ ὄντα, ἢ οἱ ἐστερημένοι τοῦ ὄντος καὶ μὴ μετέχοντες αὐτοῦ, οὕτω καλούμενοι πρὸς ἀντιδιαστολὴν τῶν μετεχόντων τοῦ εἰπόντος "ἐγώ εἰμι ὁ ὤν." καλεῖ δὲ τὰ μὴ ὄντα, ἵνα ὑπακούσασιν αὐτοῖς χαρίσηται τὸ εἶναι. ἀλλ᾽ ἴσως τις πρὸς ταῦτα ἐρεῖ, πῶς ὁ Ἀπόστολός φησι μεθ᾽ ἕτερα, "ἐξελέξατο ὁ Θεὸς τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ;" ἀλλ᾽ εὔδηλον ὡς ἕτερόν ἐστι τοῦτο σημαινόμενον τοῦ ὄντος καὶ μὴ ὄντος, ὅσον ἀπὸ πάσης τῆς ἐκεῖσε ἀποφάσεως. ὄντες μὲν γὰρ ἐνθάδε οἱ κατὰ σάρκα σοφοὶ καὶ δυνατοὶ καὶ εὐγενεῖς· μὴ ὄντες δὲ οἱ ἄλλως παρὰ τούτοις διάκειμενοι ὡς πρὸς τὴν ἐκείνων ὑπόληψιν.*

18 Ὃς παρ᾽ ἐλπίδα ἐπ᾽ ἐλπίδι ἐπίστευσεν.

Σευηριανοῦ. *Παρ᾽ ἐλπίδα τῆς οἰκείας φύσεως, ἐλπίδι τῆς τοῦ ἐπαγγειλαμένου δυνάμεως· τὸ δὲ "οὕτως ἔσται τὸ σπέρμα σου," οὐ μόνον τῷ πλήθει, ἀλλὰ καὶ τῇ λαμπρότητι.*

Ὠριγένους. *Ἐν τῷ καταλόγῳ τῶν χαρισμάτων τῶν διδομένων*

κατὰ τὴν ἀναλογίαν τῆς πίστεως, κατήλεκται καὶ ἡ πίστις. φησὶ γὰρ ὁ Παῦλος μεθ' ἕτερα· "ἄλλῳ πίστις ἐν τῷ αὐτῷ Πνεύματι." ὁ δ' αὐτός φησι καὶ ἀλλαχοῦ· "ὅτι ἀπὸ Θεοῦ ὑμῖν ἐχαρίσθη, οὐ "μόνον τὸ εἰς Χριστὸν πιστεύειν, ἀλλὰ τὸ καὶ ὑπὲρ αὐτὸν πάσχειν." οἶμαι δὲ ὅτι καὶ οἱ Ἀπόστολοι ἐλλειπῆ πεισθέντες εἶναι τὴν ἐκ τοῦ ἐφ' ἡμῖν [p] πίστιν, εἰ καὶ ἐκ πίστεως οὖν οἱ κληρονόμοι, καὶ ἡ ἐπαγγελία, ἵνα κατὰ χάριν, οὐ δ' αὐτὴ ἡ πίστις ἡ πρὸ τῆς χάριτος καθ' ἣν λέγεται διὰ τοῦτο ἐκ πίστεως, ἵνα κατὰ χάριν χωρὶς χάριτος ὑφεστάναι οὐ δύναται.

20 **Εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ.**

Ὠριγένους. Ὅρα μήποτε ὡς "Ἀβραὰμ παρ' ἐλπίδα ἐπ' "ἐλπίδι ἐπίστευσεν," οὕτω καὶ πάντες οἱ τῆς πίστεως Ἀβραὰμ υἱοὶ, παρ' ἐλπίδα ἐπ' ἐλπίδι περὶ πάντων πιστεύουσιν. εἴτε περὶ ἀναστάσεως νεκρῶν, εἴτε περὶ τοῦ κληρονομήσειν βασιλείαν οὐρανῶν ἢ βασιλείαν Θεοῦ. ταῦτα γὰρ ὅσον ἐπὶ τῇ ἀνθρωπίνῃ φύσει παρ' ἐλπίδα ἐστιν· ὅσον δὲ ἐπὶ τῷ δυνατῷ τοῦ Θεοῦ καὶ ταῖς ἀψευδέσιν ἐπαγγελίαις αὐτοῦ, ἐπ' ἐλπίδι τῶν ἐκ τοῦ πιστεύειν ἐλπιζόντων τυγχάνει. καὶ ἐπείπερ ὁ πιστεύων ἐπ' ἐλπίδι πιστεύει, διὰ τοῦτο "μένει πίστις, ἐλπὶς," ἀφ' ὧν γεννᾶται καὶ τὸ τρίτον μεῖζον τούτων ἡ ἀγάπη. καὶ νομίζω στοιχειώσεως μὲν ἔχειν λόγον τὴν πίστιν· προκοπῆς δὲ, τὴν ἐλπίδα, τελειότητος δὲ τὴν ἀγάπην. ὅτι δὲ οὐ διὰ τὸ γῆρας λέγεται τὸ σῶμα τοῦ Ἀβραὰμ νενεκρωμένον, δῆλον ἔσται τῷ ἐπιστήσαντι τινὰ τρόπον προσθέμενος Ἀβραὰμ ἔλαβε γυναῖκα τοὔνομα Χεττοῦραν, καὶ ἔτεκεν αὐτῷ μετὰ τὴν τελευτὴν Σάρρας, ἥτις ἔζησεν ἔτη ἑκατὸν εἰκοσιεπτά· πρεσβύτερος δὲ τῆς Σάρρας δεκαέτης εὑρίσκεται σαφῶς ὁ Ἀβραάμ. εἰ οὖν διὰ τὴν ἐπαγγελίαν, ὥς φασι τινὲς, ἐπαιδοποίησε τὸν Ἰσαὰκ, πῶς χωρὶς ἐπαγγελίας μετὰ ἑκατὸν εἰκοσιεπτὰ ἔτη ἔτεκε τοὺς ἀπὸ Χεττούρας. ὥστε ἐν ἐπαίνῳ λέγεται ἡ τοιαύτη νέκρωσις τοῦ τὰ μέλη τὰ ἐπὶ τῆς γῆς νεκρώσαντος· ὅτε γάρ τις πνεύματι τὰς πράξεις τοῦ σώματος θανατοῖ, τότε σβέννυσι πᾶσαν τὴν πεφυκυῖαν ἀνάπτεσθαι ἐν αὐτῷ πύρωσιν. ὥστε τὴν τοῦ Ἰσαὰκ

[p] Aliquid credo excidit, dicturus erat de Apostolis a Domino nostro incrementum fidei petentibus.

γένεσιν μὴ εἶναι ἀπὸ πυρώσεως, ἀλλ' ἐξ ἐπαγγελίας Θεοῦ. ἄξιοι γὰρ γεγόνασι τὴν τούτου ἐπιγραφῆναι πατριάρχου γονεῖς.

23 Οὐκ ἐγράφη δὲ δι' αὐτὸν μόνον, ὅτι ἐλογίσθη αὐτῷ.

'Ωριγένους. Νῦν τὸ δι' αὐτοῦ μόνου, ἀλλὰ καὶ τὸ δι' ἡμᾶς, ἀντὶ τοῦ περὶ ἡμῶν· οὐ γὰρ ἵνα Ἀβραὰμ ἐντυχὸν ὁ Μωυσέως προγενέστερος τῷ μεταγενεστέρῳ αὐτοῦ γράμματι ὠφελήθη αὐτῷ εἰς δικαιοσύνην· ἀλλὰ καὶ περὶ ἡμῶν οἱονεὶ προαναφωνοῦντος τοῦ λόγου τὴν λογισθησομένην ἐκ πίστεως δικαιοσύνην τοῖς πιστεύουσιν ἐπὶ τὸν ἐγείραντα τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐκ νεκρῶν. πρόσχες ἐπιμελέστερον μήποτε μόνος καὶ πᾶς πιστεύει "ἐπὶ τὸν ἐγείραντα "Ἰησοῦν τὸν Κύριον ἡμῶν ἐκ νεκρῶν," ὁ συνεγερθεὶς Χριστῷ· ὥστ' ἂν εἰπεῖν "καὶ συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις "ἐν Χριστῷ·" συνηγέρθη δὲ Χριστῷ ὁ σύμμορφος γενόμενος τῇ ἀναστάσει αὐτοῦ· καὶ διὰ τὸ συναποτεθνηκέναι συζῶν αὐτῷ· "εἰ "γὰρ συναποθάνωμεν, καὶ συζήσομεν." συνάπεθανε δὲ Χριστῷ, ἐπεὶ καὶ Χριστὸς ἀποθανὼν τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφ' ἅπαξ· καὶ αὐτὸς ἀποθανὼν τῇ ἁμαρτίᾳ, συζῇ Χριστῷ· ζῇ δὲ Χριστῷ ὁ ἐν καινότητι ζωῆς περιπατῶν.

'Απολιναρίου. 'Ανίστησι μὲν τὸν ἑαυτοῦ ναὸν ὁ Κύριος· ἐγήγερκεν δὲ αὐτὸν ὁ Πατὴρ ἐκ νεκρῶν, ὥσπερ τὰ πάντα διὰ τοῦ παιδὸς, οὕτω καὶ τοῦτο ἐργασάμενος.

ΚΕΦ. ϛ.

Περὶ τῆς ἀποκειμένης ἐλπίδος.

1 Δικαιωθέντες οὖν ἐκ πίστεως—εἰδότες ὅτι ἡ θλίψις
3 ὑπομονὴν κατεργάζεται.

'Απολιναρίου. 'Αχώριστος τοῦ Πατρὸς Υἱὸς, προσαγόμενος ἡμᾶς πρὸς ἑαυτὸν, καὶ τῇ πίστει τὴν ἁγιάζουσαν χάριν ἐπινείμας, αἴτιος γέγονε τοῦ προσαχθῆναι Θεῷ, συναφείας αἴτιος τοῖς διεστῶσι καταστὰς διὰ τῆς αὐτοῦ μεσιτείας. πρὸς μὲν τὸν Πατέρα τῇ θεότητι συνημμένος· πρὸς δὲ ἡμᾶς κατὰ τὴν ἀνθρωπότητα συναφθείς. ὥστε ὅσους κατὰ τὸ ἀνθρώπινον προσάγεται,

τούτους κατὰ τὸ θεῖον προσάγει Θεῷ. ἑστηκέναι δὲ ἡμᾶς εἰπὼν ἐπὶ τῆς προσαγούσης Θεῷ χάριτος, ἐπάγει τῇ πίστει τὰ περὶ τῆς ἐλπίδος· δεικνὺς τὴν πίστιν, ὡς ἐν τῇ πρὸς Ἑβραίους γεγραπται, ἐλπιζομένων οὖσαν ὑπόστασιν πραγμάτων. καὶ φησὶν, " ὅτι " καυχώμεθα ἐπ' ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ," προσδοκῶντες τὴν θείαν ἐπαμφιέννυσθαι δόξαν, ἧς τύπος μὲν ἐν Μωϋσῇ, ἀληθεία δὲ ἐν Χριστῷ· ἐξεικονισμὸς δὲ εἰς ἡμᾶς. αἰτία δὲ τῆς τοιαύτης ἀποδοθησομένης ἡμῖν δόξης, ἡ παροῦσα χάρις. ὥσπερ γάρ τις τεχνίτης εἰσοικιζόμενος εἰς ἡμᾶς τὸ Πνεῦμα τὸ Ἅγιον, χαρακτηρίζει νῦν καὶ μορφοῖ πρὸς ὁμοιότητα Χριστοῦ, δι' ἀποκρυφῶν ἐνεργειῶν, μέχρι περ ἂν εἰδοποιηθὲν καὶ ἐπιτελεσθὲν, τὸ ὅταν ἐκλάμψῃ κατὰ τὴν ἐπιφάνειαν τοῦ Σωτῆρος, ἧς Ἰωάννης λέγει, " ἀδελφοὶ, " νῦν τέκνα Θεοῦ ἐσμὲν, καὶ οὔπω ἐφανερώθη τί ἐσόμεθα· οἴδαμεν " ὅτι ἐὰν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα."

Μεγάλη δὲ ἡ τῆς ἐλπίδος βεβαιότης τῶν ἤδη καυχωμένων ὡς παροῦσι τοῖς μέλλουσι. καύχησιν γὰρ ἐπ' ἀγαθῷ βεβαίως ὑπάρχοντι γίνεται· καὶ αὕτη ἦν ἡ μακαρία καύχησις, ἣν ὁ προφήτης Ἱερεμίας εἰσηγεῖται· " μὴ καυχάσθω," λέγων, " ὁ πλούσιος ἐν " τῷ πλούτῳ αὐτοῦ, ἀλλ' ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος, " συνιεῖν καὶ γινώσκειν τὸν Κύριον," καὶ τὰ ἑξῆς. καὶ οὐχ ὅτι πόνοι φησι καὶ θλίψεις πάρεισι, διὰ τοῦτο τὴν ἐπὶ τοῖς ἥξουσιν ἀγαθοῖς καύχησιν ἀμβλύνομεν, καὶ ταύτῃ μᾶλλον ἔτι καυχώμεθα συναίτιον τῆς τῶν ἀγαθῶν ἀπολαύσεως, εἰδότες τὴν τῶν πόνων ὑπομονήν. διὰ γὰρ θλίψεως ὑπομονὴ συνίσταται· ὁ δὲ ὑπομείνας, δόκιμος. ὁ δὲ δόκιμος παρὰ Θεῷ γενόμενος, ἐλπίζει ἔχειν τὰ παρὰ Θεοῦ. ὁ δὲ ἐλπίσας εἰς Θεὸν, οὐκ αἰσχυνθήσεται. εὐδοκεῖ γὰρ ἐν τοῖς ἐλπίζουσιν ἐπὶ τὸ ἔλεος αὐτοῦ. συναιτία ἄρα τῶν ἐλπιζομένων ἀγαθῶν ἡ θλίψις, γίνεται ὁδηγὸς ἐπὶ τὴν ἐλπίδα καθισταμένη· ἀσφαλῆ δὲ τὴν ἐλπίδα δείκνυσιν οὖσαν ἐπὶ τὸν ἠγαπηκότα ἡμᾶς Θεὸν γινομένην. τῆς δὲ ἀγάπης τεκμήριον τὴν τοῦ Πνεύματος δωρεάν· ἐξέχεε γὰρ ἐφ' ἡμᾶς τὴν ἀγάπην ὁ τὸ αἷμα ἐκχέας. ἐξέχεε δὲ προηγουμένως τὸ Πνεῦμα [q] ἐνώκισεν· ὡς καὶ αὐτὸς ὁ Σωτὴρ λέγει· " ὅτι παρ' ὑμῖν μένει· καὶ σὺν ἡμῖν ἔσται."

[q] Aliquid deesse videtur.

[r] Χρυσοστόμου. Τί ἐστιν "εἰρήνην ἔχωμεν;" τινές φασιν, ὅτι μὴ δὴ στασιάζωμεν εἰσαγαγεῖν. ἐμοὶ δὲ δοκεῖ περὶ πολιτείας ἡμῖν λοιπὸν διαλέγεσθαι. ἐπειδὴ γὰρ πολλὰ περὶ πίστεως διαλεχθεὶς καὶ τῆς διὰ τῶν ἔργων δικαιοσύνης αὐτὴν προὔθηκεν, ἵνα μήτις νομίσῃ ῥαθυμίας ὑπόθεσις εἶναι τὰ λεγόμενα φησὶν "εἰ-"ρήνην ἔχωμεν" τουτέστιν, μηκέτι ἁμαρτάνωμεν, μὴ δὲ πρὸς τὰ πρότερα ἐπανερχώμεθα· τοῦτο γάρ ἐστι πόλεμον ἔχειν πρὸς τὸν Θεόν. καὶ πῶς δυνατόν φησι, τὸ μηκέτι ἁμαρτάνειν; πῶς τὸ πρότερον ἐγένετο δυνατόν; ει γὰρ τοσούτων ὄντες ὑπεύθυνοι, πάντων ἀπηλλάγημεν διὰ τοῦ Χριστοῦ, πολλῷ μᾶλλον ἐν οἷς ἐσμὲν, μεῖναι δι' αὐτοῦ δυνησόμεθα· οὐ γάρ ἐστιν ἴσον μὴ οὖσαν εἰρήνην λαβεῖν, καὶ δοθεῖσαν κατασχεῖν. ἐπειδήπερ ἡ κτῆσις τῆς φυλακῆς χαλεπώτερον. ἀλλ' ὅμως γέγονε τὸ χαλεπώτερον εὔκολον, καὶ εἰς ἔργον ἐξέβη· οὐκοῦν ἔσται καὶ τὸ εὐκολώτερον ἡμῖν εὐκατόρθωτον, ἂν ἐχώμεθα καὶ ἐκεῖνα ἡμῖν ἠνυκότες. ἐνταῦθα δὲ οὐ τὸ εὔκολον αἰνίττεσθαί μοι δοκεῖ μόνον, ἀλλὰ καὶ τὸ εὔλογον. εἰ γὰρ αὐτὸς ἡμᾶς κατήλλαξε πολεμωμένους, εὔλογον μένειν ἐπὶ τοῖς καταλλαγεῖσι, καὶ ταύτην ἀποδοῦναι αὐτῷ τὴν ἀμοιβὴν, ἵνα μὴ δόξῃ σκαιοὺς καὶ ἀγνώμονας κατηλλαχέναι τῷ [s] Πατρί.

5 Ὅτι ἡ ἀγάπη τοῦ Θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν.

Ἀπολιναρίου. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. εἰ γὰρ ὑπὲρ ἀνδρὸς ἐναρέτου οὐκ ἄν τις ἕλοιτο ταχέως ἀποθανεῖν, ἐννόησον τοῦ δεσπότου τὴν ἀγάπην, ὅταν μὴ ὑπὲρ ἐναρέτων αὐτὸς, ἀλλ' ὑπὲρ ἁμαρτωλῶν καὶ ἐχθρῶν φαίνεται σταυρωθείς.

Ὠριγένους. Ὅπου μὲν ἀσθενεῖς ἢ ἁμαρτωλοὺς ὀνομάζει, καὶ ἑαυτὸν τοῖς τοιούτοις ἐμπεριλαμβάνει. ὅπου δὲ λέγει ἀσεβεῖς, οὐκέτι· καὶ τάχα εἰκότως ὁ ὑπὸ τὸν νόμον ὢν, ὃς ἠσθένει διὰ τῆς σαρκὸς, ἀσθενὴς μέν ἐστι καὶ ἁμαρτωλὸς, οὐ μὴν καὶ κατὰ τὴν συνήθειαν τῆς διαστολῆς τῶν γραφῶν, καὶ ἀσεβεῖς λεγόντων τῶν ὑπὸ νόμον ἁμαρτανόντων τῷ Θεῷ· καὶ γὰρ "ἐὰν ἁμαρτάνωμεν, σοὶ "ἐσμὲν, εἰδότες σου τὸ κράτος·" ἀσεβεῖς δὲ τότε οἱ νομιζόμενοι εἶναι

[r] Desunt plura ut opinor. [s] In marg. οὕτως Θεοφύλακτος.

ὑπὸ τὸν νόμον, τυγχάνουσιν· ἐπὰν ἐγκαταλιπόντες τὸν Θεὸν τῶν πατέρων, ζητοῦσι τοὺς θεοὺς τῶν ἐθνῶν. πρὶν δὲ προσελθεῖν ἡμᾶς θεοσεβείᾳ, ἀγάπη ἐν ἡμῖν οὐ συνειστήκει· πάντα γὰρ μᾶλλον ἢ Θεὸν ἀγαπῶμεν. ὅτε δὲ τοιούτων ἡμῶν ὑπαρχόντων, Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε, τότε συνέστη καὶ ὑπέστη ἐν ἡμῖν ἡ τοῦ Θεοῦ ἀγάπη, πάντων περιαιρεθέντων τῷ τοῦ Ἰησοῦ θανάτῳ ἀφ' ἡμῶν τῶν ἐμποδιζόντων τῇ συστάσει τῆς εἰς ἡμᾶς τοῦ Θεοῦ ἀγάπης. κατὰ ταύτην οὖν τὴν διήγησιν τοῦ "συνίστησιν" ἀκουστέον, συνιστάντος καὶ ὑφιστάντος τοῦ Θεοῦ ἐν ἡμῖν τὴν ἑαυτοῦ ἀγάπην, τὴν οὐδενὸς ἑτέρου κυρίως, ἢ αὐτοῦ τοῦ Θεοῦ τυγχάνουσαν.

Τοῦ αὐτοῦ. Οὐ γὰρ μόνον τὴν ἀθάνατον ζωὴν ἀναμένομεν, ἀλλὰ καὶ κατὰ τὸν παρόντα βίον, ὡς προσοικειωθέντες τῷ Θεῷ σεμνυνόμεθα τὰ κατὰ τὸν δεσπότην Χριστὸν λογιζόμενοι, ὃς μεσίτης ἡμῶν γενόμενος, τὴν εἰρήνην ἐπραγματεύσατο.

11 Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμενοι ἐν τῷ Θεῷ.

Ἀνώνυμον. Τὸ "οὐ μόνον," περὶ τὴν τῶν προειρημένων εἴρηται ἀπόδειξιν. θαρσεῖν γὰρ πάρεστι, φησὶ, καὶ ταύτῃ περὶ τῶν εἰρημένων, ἢ καυχώμεθα ἐν τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ. εἰσὶ δὲ δυνάμεις καὶ χαρίσματα τῶν ἰαμάτων, ἃς ἐπιτελοῦντες οἱ Ἀπόστολοι, πίστιν τῷ κηρύγματι παρείχοντο μεγάλην· καλῶς δὲ τὸ καύχημα εἶπεν ἔχειν ἐν τῷ Θεῷ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. οἱ μὲν γὰρ ἐξ ἔργων νόμου τι κτώμενοι, ἐφ' ἑαυτοῦ ἔχειν εἴρηται τὸ καύχημα· οἱ δὲ ἐκ πίστεως Ἰησοῦ Χριστοῦ δικαιούμενοι, ἐν τῷ Θεῷ τὸ καύχημα ἔχουσι· τῷ δωρουμένῳ διὰ Ἰησοῦ Χριστοῦ τὰ πλούσια χαρίσματα τῶν ἰαμάτων, ἀρραβῶν τυγχάνοντα τῆς μελλούσης χαρᾶς. πιστοποιεῖται ἡμᾶς καὶ τῆς ὀργῆς ῥυθησομένους διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ σωθησομένους ἐν τῇ ζωῇ αὐτοῦ. αὐτὸ δὲ τοῦτο καὶ τῆς πρὸς τὸν Θεὸν καταλλαγῆς σημεῖον εἶναί τι ὑπὲρ ἁμαρτωλῶν ἀποτεθνηκέναι, οὐ πάντων, φησὶν, ἀνθρώπων ἀσεβῶν τυγχανόντων. οὐ γὰρ Ἀβραὰμ, ἢ οἱ προφῆται ἢ πάντες οἱ κατὰ νόμον πολιτευσάμενοι ἀσεβεῖς. ἀλλὰ τῶν μὲν ὡς ἁμαρτωλῶν, τῶν δὲ καὶ ὡς ἀσεβῶν· ἵνα πᾶς μὲν ἀσεβὴς καὶ ἁμαρτωλὸς ᾖ, οὐ μὴν τουναντίον· ἐπὶ πλεῖον μὲν ἡ ἁμαρτία· ἡ δὲ ἀσέβεια ἐπ' ἔλαττον· καὶ διὰ τοῦτο καὶ ὁ

Ἀπόστολος ἐν πρώτοις εἰρηκὼς Χριστὸν ὑπὲρ ἀσεβῶν ἀποτεθνηκέναι, ὕστερον ἐπιδιορθούμενος ἑαυτὸν, τὸ καθολικὸν ἐπείπει. ἀσεβῶν οὖν φησὶ τῶν ἐθνῶν, οὐ μὴν τὸ καθολικὸν ταύτῃ δηλοῦται· ἀλλ' ἐν τῷ εἰπεῖν· "ἔτι γὰρ ἁμαρτωλῶν ὄντων ἡμῶν, Χριστὸς "ὑπὲρ ἡμῶν ἀπέθανε·" τὸ ὑπὲρ πάντων αὐτὸν ἀποτεθνηκέναι δηλοῦται σαφῶς ἐνταῦθα.

Ἀλλ' εἰ καὶ τοῦτό τις παραδέξαιτό, φησι, πιθανῶς εἰρημένον, πῶς οὐκ ἂν ἐπιζητήσειεν, τίνα τρόπον ἁμαρτωλὸς ἂν λέγοιτο ὀρθῶς ὁ Ἀβὲλ, ὁ καὶ ὑπ' αὐτοῦ τοῦ Κυρίου δίκαιος κεκλημένος; ἢ αὖ ὁ μετατεθεὶς τοῦ μὴ ἰδεῖν θάνατον Ἐνώχ; ἢ οἱ λοιποὶ πάντες, οἱ ὑπὸ τῆς θείας γραφῆς χρηματίσαντες "ὧν οὐκ ἦν ἄξιος ὁ "κόσμος;" φαμὲν οὖν, τῶν ἁμαρτημάτων, τὰ μὲν κατὰ διάνοιαν εἶναι μόνον· τὰ δὲ καὶ εἰς ἐνέργειαν ἔρχεται· τὸ γὰρ μηδὲ μέχρις ἐνθυμήσεως λογίσασθαι τὸ πονηρὸν, τὴν ἡμετέραν ἴσως ἐκπέφευγε δύναμιν· τὰ μὲν οὖν εἰς ἐνέργειαν ἥκοντα, τὴν παλαιὰν νομίζομεν ἐπισεσημειῶσθαι γραφήν· τὰ δὲ μέχρις ἐνθυμήσεως, ἢ καὶ τὴν ἡμετέραν ἐκφεύγοντα διάνοιαν, ἃ δὴ κρύφια ὠνόμασεν ὁ Δαβὶδ, οὐκ ἠξιῶσθαι ὑπονοοῦμεν ἐν αἰτίας μέρει τεθεῖσθαι, καὶ ὅλως ἀναγέγραφθαι. καὶ ἴσως οὐ τὰ ἐνθυμήματα ἔκρινεν ὁ νόμος, ἀλλὰ τὰ ἀποτελέσματα, ἃ καὶ ἠλέγχοντο ὁμολογεῖν ἄνθρωποι· κἂν γὰρ ὁ νόμος "οὐκ ἐπιθυμήσεις" λέγει, οὐ τὴν ἐπιθυμίαν, ἀλλὰ τὸ ταύτης ἀποτέλεσμα κρίνει. καὶ ἴσως ταύτῃ πάντες ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ, δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ· ὡς μὴ μόνον τοῦ τὰ ἄτοπα μὴ πράσσειν δύναμιν κεκτῆσθαι, ἀλλὰ καὶ τοῦ μὴ ἐνθυμεῖσθαι τὰ φαῦλα. οὐ γὰρ ἂν ἐπέτασσεν ὁ Ἰησοῦς, "ἐρρέθη," λέγων, "τοῖς ἀρχαίοις· ἐγὼ δὲ λέγω ὑμῖν, πᾶς ὁ ἐμβλέπων "γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτὴν, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ "καρδίᾳ αὐτοῦ." καὶ περὶ φόνου καὶ πληγῶν ὡσαύτως καὶ τῶν παραπλησίων.

Τῶν οὖν μοχθηρῶν ἐνθυμήσεων καθαρεύειν βουλόμενος τοὺς ἑαυτοῦ μαθητὰς, δύναμιν αὐτοῖς ἐνέθηκεν ἀναστὰς ἐκ νεκρῶν τὴν τοῦ Ἁγίου Πνεύματος χάριν, τοῦ μὴ ἀναβαίνειν ἐπὶ τὰς καρδίας αὐτῶν ἐνθυμήσεων φαντάσματα· καὶ ταύτῃ καὶ ὑπὲρ τῶν ἁμαρ-

τωλῶν ἀπέθανεν, ἵνα καὶ τοὺς τοιούτους καὶ τοὺς ὀλίγῳ πρόσθεν εἰρημένους ὁ θάνατος αὐτοῦ καθαρεύσῃ, πιστεύοντας εἰς τὸν θάνατον αὐτοῦ καὶ εἰς τὴν ἐκ νεκρῶν ἀνάστασιν. τοῦτο φανερώτερον ὁ Ἀπόστολος ἐδήλωσεν ἐν τῇ πρὸς Ἐφεσίους λέγων, "οἱ ἄνδρες "ἀγαπᾶτε τὰς ἑαυτῶν γυναῖκας, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε "τὴν Ἐκκλησίαν, καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς, ἵνα αὐτὴν "ἁγιάσῃ, καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι." εἶτα βουλόμενος διατάξαι τίς ἁγιασμὸς, ἐπιλέγει γράφων, "ἵνα παρα-"στήσῃ αὐτὸς ἑαυτῷ ἔνδοξον τὴν Ἐκκλησίαν, μὴ ἔχουσαν σπίλον, "ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων· ἀλλ' ἵνα ᾖ ἁγία καὶ ἄμωμος·" καὶ διὰ τοῦτο οὐδεὶς λέγεται τετελειῶσθαι, πρὸ τοῦ τὸν Κύριον παθόντα, καὶ τῶν τοιούτων σπίλων καὶ ῥυτίδων καθάρσιον γενέσθαι τοῦ γένους ἡμῶν.

ΚΕΦ. Ζ.

Περὶ εἰσαγωγῆς τοῦ πρὸς σωτηρίαν ἡμῶν ἀνθρώπου Ἰησοῦ Χριστοῦ ἀντὶ τοῦ πεσόντος ἐξ ἀρχῆς γηγενοῦς Ἀδάμ.

Κυρίλλου. Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν ἀξιάγαστον ἀληθῶς τοῦ Θεοῦ καὶ Πατρὸς ἀγάπησιν, ἣν εἰς ἡμᾶς ἐπεδείξατο, καθιστὰς ἐναργῆ, τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ πέρας καὶ τὸ ἐπὶ τῷ σταυρῷ πάθος παρεκόμιζεν εἰς ἀπόδειξιν, ὧδέ πῃ λέγων· "οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ "τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόλλη-"ται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον." ἔδωκε γὰρ ὁ Θεὸς ἀληθῶς ὑπὲρ ἡμῶν τὸν ἴδιον Υἱόν. ἐκλελυτρώμεθα δὲ ἡμεῖς, ἀπηλλάγμεθα θανάτου καὶ ἁμαρτίας· οὐ γὰρ ἑκατέρου τινος χάριν γέγονε σὰρξ ὁ Λόγος, καὶ ἐσκήνωσεν ἐν ἡμῖν· καὶ ἵνα τὸν τῆς σαρκὸς θάνατον ἀνατλὰς, θριαμβεύσῃ μὲν ἀρχὰς καὶ ἐξουσίας· καταργήσῃ δὲ καὶ αὐτὸν τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν Σατανᾶν, καὶ ἀνέλῃ μὲν τὴν φθορὰν, ἀποστήσῃ δὲ σὺν αὐτῇ καὶ τὴν καθ' ἡμῶν τυραννήσασαν ἁμαρτίαν, ἄπρακτόν τε οὕτως ἀποφήνῃ λοιπὸν τὴν ἀρχαίαν ἐκείνην ἀρὰν, ἣν ἡ τοῦ ἀνθρώπου φύσις ὑπέμεινεν ἐν Ἀδὰμ, ὡς ἐν ἀπαρχῇ τοῦ γένους, καὶ ὡς ἐν ῥίζῃ τῇ πρώτῃ.

Παραβὰς γὰρ τὴν ἐντολὴν ὁ Ἀδὰμ, προσκέκρουκε τῷ δημιουργῷ. ταύτῃ τοι γέγονε καὶ ἐπάρατος καὶ θανάτῳ κάτοχος. ὁλοτρόπως δὲ ἀπολωλότας κατελέησε πάλιν ὁ τῶν ὅλων δεσπότης. καθήκετο γὰρ ἐξ οὐρανῶν ὁ Υἱὸς ἀνιεὶς ἐγκλήματα, δικαιῶν ἐν πίστει τὸν ἀσεβῆ, μεταχαλκεύων ὡς Θεὸς τὴν ἀνθρώπου φύσιν εἰς ἀφθαρσίαν, καὶ ἀνακομίζων εἰς τὸ ἀπαρχῆς· "καινὴ γὰρ κτίσις "τὰ ἐν Χριστῷ," ὅτι καὶ ῥίζα τέθειται καινή. γέγονε δὲ καὶ δεύτερος Ἀδάμ· καὶ οὐχ ὥσπερ ἐκεῖνος ὀργῆς παραίτιος καὶ ἀποστροφῆς τῆς ἄνωθεν τοῖς ἐξ αὐτοῦ γεγονόσι· πρόξενος δὲ μᾶλλον καὶ δοτὴρ τῆς πρὸς ἓν οἰκειότητος δι' ἁγιασμοῦ τε καὶ ἀφθαρσίας, καὶ τῆς ἐν πίστει δικαιοσύνης. ταῦτα ἡμῖν ὁ σόφος ἐξηγεῖται Παῦλος διὰ τῆς πρικειμένης ῥήσεως. οὐκοῦν "ὡς δι' ἑνὸς ἀνθρώ-"που," φησιν, "ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθε, καὶ διὰ τῆς "ἁμαρτίας ὁ θάνατος διῆλθεν, ἐφ' ᾧ πάντες ἥμαρτον." εἰσέδυ μὲν γὰρ, ὡς ἔφην, διὰ τῆς ἁμαρτίας ὁ θάνατος ἐν τῷ πρωτοπλάστῳ καὶ ἐν τῇ τοῦ γένευς ἀρχῇ· εἶτα ὅλον ἐφεξῆς κατενεμήθη τὸ γένος. ἀλλὰ καὶ ὁ τῆς ἁμαρτίας εὑρετὴς δράκων ἰσχύσας ἐν Ἀδὰμ τοῖς τῆς φαυλότητος τρόποις βατὴν[s] ἤργασται τὴν ἀνθρώπου διάνοιαν· πάντες γὰρ ἐξέκλιναν, ἅμα ἠχρειώθησαν. ἐκ προσώπου δὴ οὖν γεγονότες τοῦ Παναγίου Θεοῦ, διάτοι τὸ ἐπιμελῶς ἐγκεῖσθαι τὴν ἀνθρώπου διάνοιαν ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος, ἀλογώτερον διέζωμεν βίον. καὶ κατέπιεν μὲν ὁ θάνατος ἰσχύσας, ὡς ὁ προφήτης φησίν· "ἐπλάτυνε δὲ καὶ ὁ ᾅδης τὴν ψυχὴν αὐτοῦ, καὶ διήνοιξε τὸ "στόμα αὐτοῦ τοῦ μὴ διαλιπεῖν." ἐπειδὴ γὰρ τῆς ἐν Ἀδὰμ παραβάσεως γεγόναμεν μιμηταὶ, καθὸ πάντες ἥμαρτον, ταῖς ἴσαις ἐκείνῳ δίκαις ὑπενενήγμεθα· ἀλλ' οὐ μεμένηκεν ἀνεπικούρητος ἡ ὑπουρανόν· καθήρηται γὰρ ἡ ἁμαρτία· πέπτωκεν ὁ Σατανᾶς· κατήργηται δὲ καὶ ὁ θάνατος.

13 Ἄχρι γὰρ νόμου, ἁμαρτία ἦν ἐν κόσμῳ.

Κυρίλλου. Ὁ νόμος διὰ Μωϋσέως, ἔλεγχος ἦν, ὡς ἔφην, τῆς τῶν πταιόντων ἀσθενείας, οὐ λυτικὸς ἁμαρτίας, κατεργάζετο δὲ μᾶλλον ὀργήν. ἦν γὰρ ἀνάγκη τοὺς παραβαίνοντας ταῖς ἐν νόμῳ διωρισμέναις ὑποφέρεσθαι δίκαις. οὗ δὲ δὴ ὅλως παραβάσεως τρό-

[s] Sic.

πος, ἐκεῖ που πάντως καὶ ἁμαρτία. καὶ εἴπερ ἔστιν ἁμαρτία θανάτου πρόξενος, πᾶσα πῶς ἀνάγκη συνερρῶσθαι λέγειν αὐτῇ καὶ τὸν ἐξ αὐτῆς ἀναφέντα[t] θάνατον· καθῃρημένη τε πάντως συγκατασείεσθαι· καὶ οἷά περ ἰδίᾳ συνδιολλύσθαι μητρί. ἦν οὖν ἄχρι νόμου ἁμαρτία, φησιν, ἐν κόσμῳ· κειμένου γὰρ ἔτι τοῦ νόμου, καὶ τὰ τῆς παραβάσεως ἐγκλήματα κατὰ τῶν πταιόντων ἐκρατύνετο· ἀργοῦντος δὲ ἤδη, πέπαυται σὺν αὐτῷ τοῦ παραβαίνειν ἡ γραφή. πεπαυμένης δὲ τῆς ἁμαρτίας, ὡς ἔφην, συμπεπαύσεται καὶ ὁ θάνατος.

Τοῦ αὐτοῦ. Ἀλλ' εἰ τοῦτο τίνα τρόπον φαίη τις ἂν, κατεκράτησε τῶν ἐπὶ τῆς γῆς καὶ πρὸ νόμου θάνατος.

Τοῦ αὐτοῦ. Εἰ γὰρ καί τινες οὐ γεγόνασι ταῖς τοῦ νόμου παραβάσεσιν ἔνοχοι, διάτοι τὸ μήπω τεθεῖσθαι τὸν νόμον, ἀλλ' ὑπέδυσαν καὶ αὐτοὶ τὴν φθορὰν ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδάμ· ὅμοιον ὡς εἰ λέγοι τυχὸν, ἐπιτρέχοντος τοῦ θανάτου καθ' ὁμοιότητα τὴν Ἀδάμ τὸ ἐξ αὐτοῦ πᾶν γένος, ὥσπερ φυτοῦ παθόντος βλάβος εἰς ῥίζαν, πᾶσά πως ἀνάγκη τοὺς ἐξ αὐτοῦ γεγονότας μαραίνεσθαι κλῶνας· τύπον γέ μην αὐτὸν τοῦ μέλλοντος εἶναί φησι, τουτέστι Χριστοῦ· καίτοι παραγεγονότος ἤδη καὶ τῆς μετὰ σαρκὸς οἰκονομίαν διαπεράναντος τὸ μυστήριον· πῶς οὖν μέλλοντα καλεῖ; φαίη τίς ἂν ἴσως· παραθεὶς γὰρ ἡμῖν τὸν πρῶτον ἄνθρωπον, καὶ τῶν τῆς παραβάσεως διαμνημονεύσας καιρῶν, ὡς μετ' αὐτοὺς παρεσόμενόν τε καὶ ἔσχατον Ἀδὰμ ὠνόμασε τὸν Χριστόν· προώριστο μὲν γὰρ ὡς ἐν θελήσει τε καὶ προμηθείᾳ τοῦ Θεοῦ καὶ Πατρὸς, σωτήρ τε καὶ λυτρωτής. ἐπέφανε δὲ καιροῖς ἰδίοις καθ' οὓς ἠθέλησεν ὁ δυνάστης· οὗτοι δὲ εἰσὶν οἱ ἐν ἐσχάτοις καὶ οἷον ἐπὶ δυσμαῖς τοῦ παρόντος αἰῶνος. οὐκοῦν τεθεικὼς εἰς τύπον τοῦ πρώτου τὸ δεύτερον, μονονουχὶ καὶ διαπυνθάνεται τὸν ἀκροώμενον, ὡς ἐν ὑποστιγμῇ τε καὶ ἐρωτήσει λέγων τὰ ἑξῆς.

Γενναδίου. Ταύτης ἡμῖν φησὶ τῆς ἐν τούτῳ τῷ κόσμῳ ζωῆς τῆς ἁμαρτεῖν τε καὶ ἀποθανεῖν ἐπιδεχομένης, καὶ διὰ τοῦτο καὶ νόμου δεομένης εἰκότως τοῦ τὴν ἁμαρτίαν ὑποδεικνύντος τε καὶ ἀπαγορεύοντος, ἦρξε πρῶτος ὁ Ἀδὰμ, ἅτε πρῶτος καὶ γενόμενος καὶ παρανόμησας. τῶν οὖν ἐξ αὐτοῦ κατὰ διαδοχὰς τικτομένων,

[t] Sic fors. leg. ἀναφύντα.

πάντες ἀπέθνησκον ὡς εἰκὸς τοῦ προπάτορος κληρονομοῦντες τῆς φύσεως· ἀλλὰ τῶν ἀποθνησκόντων τούτων οἱ μὲν δι᾽ ὧν καὶ αὐτοὶ παρηνόμουν, ἠπείγοντο τῷ θανάτῳ· οἱ δὲ διὰ μόνην τοῦ ᾽Αδὰμ τὴν κατάκρισιν, οἷον ἡ τῶν νηπίων μερίς· διὰ τοῦτο νῦν μὲν φησὶν εἰς πάντας ἀνθρώπους εἰσῆλθεν ὁ θάνατος, ἐφ᾽ ᾧ πάντες ἥμαρτον· ἀντὶ τῶν πολλῶν λέγων τοὺς πάντας ὥσπερ αὐτοῖς[u] μετὰ ταῦτα· "εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι οἱ πολλοὶ ἀπέθανον," τοὺς πολλοὺς ἀντὶ τῶν πάντων φησι· "νῦν δὲ ἐβασίλευσεν ὁ θάνατος ἀπὸ ᾽Αδὰμ μέχρι Μωσέως, καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας·" οἱ γὰρ οὔτε πράξεως, οὔτε διακριτικῆς προαιρέσεως ὄντες ἐντὸς, πῶς ἂν εἶεν ὑπεύθυνοι πλημμελήματι; τὸ δὲ ἄχρι νόμου ἁμαρτία ἦν ἐν κόσμῳ, τοιοῦτόν ἐστιν.

῾Ο μακάριος Παῦλος ἀπὸ τῶν κατὰ Χριστὸν πολλάκις ἡμῖν διαλέγεται· ὡς μετὰ τὴν φανέρωσιν τοῦ Σωτῆρος, οὐκέτι τῆς παλαιᾶς κρατούσης ἀλλὰ τῆς καινῆς καταστάσεως. ἐν μὲν οὖν τῇ παλαιᾷ σαρκικοῖς οὖσιν ἡμῖν καὶ ὑποκειμένοις μαθήμασιν, ἀναγκαίαν εἶναι τὴν δόσιν τοῦ νόμου συνέβαινε ταῖς τῶν τιμωριῶν ἀπειλαῖς ἀνακόπτοντος ἡμῶν τῆς φύσεως τὰς πρὸς τὴν ἁμαρτίαν ὁρμάς· καινοῖς δὲ γενομένοις ἐν Χριστῷ καὶ δικαίοις, τουτέστι τὴν διὰ τῆς ἁμαρτίας παλαίωσιν ἐπιδεχομένοις οὐκέτι, περιττὸς παντάπασιν ὁ νόμος ἐστί. διὰ τοῦτο λέγει, "δικαίῳ νόμος οὐ κεῖται· καὶ ὑμεῖς οὐκ ἐστὲ ὑπὸ νόμον." διὰ τοίνυν τοῦ "ἄχρι γὰρ νόμου ἁμαρτία ἦν ἐν κόσμῳ" τοῦτο λέγει, ὅτι ἕως οὗ φύσεως ἦμεν σαρκικῆς τε καὶ παθητικῆς, καὶ διὰ τοῦτο ὑπὸ νόμον εἶναι χρῃζούσης, τῇ ἁμαρτίᾳ κατεκρατούμεθα· πολιτευομένης αὐτῆς ἐν τῷ κόσμῳ παντί· ἀναιρεθέντος μέντοι τοῦ νόμου, διὰ τὸ πνευματικοὺς γενομένους πρὸς δικαίωσιν ἡμᾶς ἐν Χριστῷ μετελθεῖν, συνανῄρηται καὶ ἡ ἁμαρτία. οὐ γὰρ ἐλλογεῖται λοιπὸν, μὴ ὄντος νόμου.

῾Ο τοίνυν σύμπας, ὡς ἂν ἐν κεφαλαίῳ τίς εἴποι, τῆς ῥήσεως ταύτης νοῦς οὗτός ἐστι. παρέχει πᾶσιν ἡμῖν ἡ κατὰ Χριστὸν χάρις, τὸ βεβαίως αὐτῇ πεπιστευκότας καυχᾶσθαι. καὶ διὰ τοῦτο ὅτι οὐδὲν ἀπεικὸς, ἀλλὰ καὶ σφόδρα γε εὔλογον ἄρξαι τοῦτον ἡμῖν τῆς ἀθανάτου καὶ δικαίας ζωῆς· ὃν τρόπον ἦρξεν ἡμῶν τὸ πρότερον

[u] Leg. ἐν τοῖς.

ὁ Ἀδὰμ τῆς φθαρτῆς τε καὶ παθητικῆς. εἰ γὰρ ἐκείνῳ πταίσαντι καὶ κατακριθέντι τελευτῇ, οἱ μετ' αὐτὸν ἐξ αὐτοῦ κεκοινωνήκαμεν ἅπαντες, οἱ μὲν, καὶ αὐτὸ προσεφαμαρτάνοντες τὸ παρανομεῖν· οἱ δὲ ἀπὸ μόνης κατὰ τὸ συγγενὲς τῆς ἐκείνου κολάσεως· πῶς οὐκ ἀντίρρητον τῷ[t] καὶ τῷ δεσπότῃ Χριστῷ κατὰ τὸ ἀνθρώπινον πολιτευσαμένῳ καὶ κατορθώσαντι καὶ κομισαμένῳ μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν τὴν ἀμείνονα λῆξιν. διὰ τοῦτο γάρ, φησιν, αὐτὸν ὁ Θεὸς ὑπερύψωσεν τοὺς ἑνουμένους αὐτῷ διὰ πίστεως, καὶ καταξιουμένους τῆς τοῦ Πνεύματος ἐνοικήσεως, τοῦ πρῶτον αὐτὸν ἐκεῖνον ἐγείραντος ἐκ νεκρῶν, κοινωνεῖν αὐτῷ τῆς ἀκηράτου ζωῆς, ἀντὶ σαρκικῶν γενομένους πνευματικούς.

Ἀλλ' "ἐβασίλευσέ," φησιν, "ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι "Μωσέως, καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐπὶ τῷ ὁμοιώματι τῆς "παραβάσεως Ἀδάμ." ἀντὶ τοῦ, καθ' ὃν τρόπον παραβεβηκότος Ἀδὰμ, ὁ θάνατος ἐβασίλευσεν, οὕτω καὶ τῶν ἐξ αὐτοῦ μετ' αὐτὸν γενομένων, ἡμαρτηκότων τε καὶ οὐχ ἡμαρτηκότων ὁμοίως. τὸ δὲ "μέχρι Μωσέως" ταυτόν ἐστι τὸ ἄχρι γὰρ νόμου· Μωσέα γὰρ νῦν, οὐκ ἰδικῶς τὸ πρόσωπον τοῦ ἀνδρὸς, ἀλλὰ τὸ πρᾶγμά φησι, τὸν νόμον ἐκ τοῦ νομοθέτου καλῶν· οὕτω καὶ ἐν τῇ πρὸς Κορινθίους "ἕως ἀναγινώσκηται Μωσῆς," τουτέστιν ὁ νόμος ὁ διὰ Μωσέως δοθεὶς, ὅς ἐστι τύπος τοῦ μέλλοντος. ἐτυποῦτο δὲ ἄρα, φησιν, ἐν τοῖς περὶ τὸν Ἀδὰμ, καὶ προδιεγράφετο τὰ μετέπειτα γενησόμενα· ταῦτα δὴ τὰ κατὰ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. ἔδει γὰρ ἴσως γενέσθαι τὸν μὲν "πρῶτον ἄνθρωπον Ἀδὰμ εἰς ψυχὴν ζῶσαν, "τὸν δὲ ἔσχατον Ἀδὰμ, εἰς πνεῦμα ζωοποιοῦν." ἐπειδὴ γοῦν, "ὁ μὲν πρῶτος ἄνθρωπος Ἀδὰμ ἐκ γῆς χοϊκὸς, ὁ δὲ δεύτερος "ἄνθρωπος ὁ Κύριος ἐξ οὐρανοῦ," ἀνάγκη "κατὰ μὲν τὸν χοϊκὸν "εἶναι τοὺς χοϊκούς· κατὰ δὲ τὸν ἐπουράνιον τοὺς ἐπουρανίους. "καὶ ὥσπερ ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, οὕτω δήπου καὶ τὴν "εἰκόνα τοῦ ἐπουρανίου φορέσομεν." ἀκολούθως ἐκ τῶν ὑποδεεστέρων ἀναβιβαζόμενοι πρὸς τὰ ὑπάρχοντα.

Διοδώρου. Προειπὼν ὅτι ἐπὶ τῇ ἁμαρτίᾳ τοῦ Ἀδὰμ, ἐπὶ τῇ ἀποφάσει τοῦ θανάτου καὶ οἱ λοιποὶ πάντες ἥμαρτον, πιστοῦται ὅτι ἥμαρτον, ἐκ τοῦ ἐπάγειν· "ἄχρι γὰρ νόμου ἁμαρτία ἦν ἐν κόσμῳ."

[t] Aliquid excidit hic.

μὴ γὰρ νομίσητέ, φησιν, ὅτι οὐκ ἦν ἁμαρτία ἕως τοῦ νόμου τοῦ Μωσαϊκοῦ. εἰ δὲ ἐνελογεῖτο ἁμαρτία ἀνθρώποις, ἦν γὰρ καὶ ἐνελογεῖτο, ἐπεὶ καὶ νόμος ἦν· ποῖον οὖν νόμον ἐμφαίνει; τὸν φυσικόν· καθ' ὃν κινούμεθα διακρίνοντες τὰ βελτίονα καὶ τὰ χείρονα· περὶ οὗ νόμου ἤδη ἔφησεν, "ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτω νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσὶ νόμος." ἀλλ' ὡς ὄντων, φησὶν, ἁμαρτημάτων, καὶ ἐμπολιτευομένων, ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι τῆς θέσεως τοῦ νόμου, καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας μηδὲ παραβεβηκότας ἐντολὴν Θεοῦ κατὰ τὸν Ἀδάμ· ἀλλὰ νόμον φύσεως παραχαράξαντας. τὸ δὲ, "ὅς ἐστι τύπος τοῦ μέλλοντος," τουτέστι τύπος τοῦ Χριστοῦ ὁ Ἀδὰμ, οὐ κατὰ τὴν ἁμαρτίαν, ἢ τὴν δικαιοσύνην, κατὰ γὰρ ταῦτα ἐναντίως ἔσχον, ἀλλὰ κατὰ τὸ προῆρχθαι. ὥσπερ γὰρ ἀπὸ τοῦ Ἀδὰμ διεδόθη εἰς πάντας ὁ θάνατος, οὕτως ἀπὸ τοῦ Χριστοῦ διεδόθη εἰς πάντας ἡ ζωή. ἔστι δὲ τύπος καὶ καθ' ἕτερον λόγον. ὥσπερ γὰρ ὁ Ἀδὰμ κεφαλὴ ἦν τῆς Εὔας, καθὸ ἀνὴρ, οὕτω καὶ ὁ Χριστὸς κεφαλὴ τῆς Ἐκκλησίας, καθὸ νυμφίος αὐτῆς ἀνηγόρευται· ὡς καὶ ὁ Ἀπόστολός φησιν, "ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ· τὸ μυστήριον τοῦτο, μέγα ἐστιν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ τὴν Ἐκκλησίαν."

Θεοδώρου. Οὐδὲ γὰρ ὁ νόμος ἐπεισελθὼν, φησι, τὴν ἁμαρτίαν ἔλυσεν· ἀλλ' ἄχρις ἦν τε ὁ νόμος καὶ ἐπολιτεύετο καὶ ἐκράτει παρὰ τοῖς ἀνθρώποις, ἐλάμβανε καὶ τὰ τῆς ἁμαρτίας προσθήκην· οὐδὲν πρὸς τοῦτο τῆς τοῦ νόμου θέσεως συμβαλέσθαι δυνηθείσης αὐτοῖς· καὶ πρὸς ἀπόδειξιν τοῦ προκειμένου ἐπάγει, "ἁμαρτία δὲ οὐκ ἐλλογεῖται, μὴ ὄντος νόμου." τοσοῦτον γὰρ ἀπεῖχεν ὁ νόμος, φησὶ, τοῦ τὴν ἁμαρτίαν ἀνελεῖν, ὥστε οὐδ' ἂν γένοιτο ἁμαρτία, εἰ μὴ νόμος εἴη. νόμον δὲ νῦν καλεῖ τὴν ἥντινα δήποτε διάκρισιν· εἴτε ἀπὸ φύσεως, εἴτε ἀπὸ θέσεως ἐγγινομένην· μὴ γὰρ οὔσης τῆς διακρίσεως οὐκ ἄν τις λέγοιτο ἁμαρτάνειν ἁμαρτίαν· εἰ δὲ ὁ τὸ φαινόμενον κακὸν καὶ διακεκριμένον ἀπὸ τοῦ καλοῦ μετιὼν, ἀλλὰ τοῦτο μὲν, εἰς αὔξησιν τοῦ ἐφ' ᾧ πάντες ἥμαρτον, τέθεικεν. ἐχόμενος δὲ τῆς οἰκείας ἀκολουθίας, ἐπήγαγεν, "ἀλλ' ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωσέως καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐν

"τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδάμ· ὅς ἐστι τύπος τοῦ μέλ-"λοντος."

Τὸ μὲν οὖν "καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐν τῷ ὁμοιώματι "τῆς παραβάσεως Ἀδὰμ," τοῦτο λέγει, ὅτι ὁ θάνατος ἐκράτησεν ἁπάντων τῶν ὁπωσδήποτε ἡμαρτηκότων. οὐ γὰρ ἐπειδὴ οὐχ ὅμοιον ἦν τὸ τῆς ἁμαρτίας εἶδος τό τε τοῦ Ἀδὰμ καὶ τῶν λοιπῶν ἀνθρώπων, θανάτου γεγόνασιν ἐκτὸς οἱ λοιποί· ἀλλ' ὑπὲρ ὧν ἡμάρτανον ὁπωσδήποτε, τοῦ θανάτου τὴν ἀπόφασιν ἐδέξαντο πάντες. οὐ γὰρ τῆς τοιᾶσδε ἁμαρτίας τιμωρία ὁ θάνατος ὥρισται, ἀλλὰ πάσης ἁμαρτίας· ἔστι δὲ ἐν τῷ πᾶν ἀπὸ τοῦ, "οὐ μόνον δὲ ἀλλὰ καὶ καυ-"χώμενοι ἐν τῷ Θεῷ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ." οὐ λέγει γὰρ τῆς τοιᾶσδε ἁμαρτίας τιμωρία ὁ θάνατος ὥρισται, ἀλλὰ πάσης ἁμαρτίας. λέγει γὰρ ὅτι οὐκ ἐπὶ τούτῳ μόνον καυχώμεθα, ὅτι διὰ τοῦ Χριστοῦ κατήλλαξεν ἡμᾶς ὁ Θεὸς ἑαυτῷ, ἀλλ ὅτι καὶ πάντα δὴ τὰ παλαιὰ ἔλυσε κακά. ποῖα ταῦτα; ἡμαρτηκότος γὰρ τοῦ Ἀδὰμ, καὶ μὴν καὶ θνητοῦ διὰ τοῦτο γεγονότος, ἥτε ἁμαρτία πάροδον ἔλαβεν εἰς τοὺς ἑξῆς, καὶ ὁ θάνατος πάντων ἐκράτει τῶν ἀνθρώπων ὡς εἰκός· πάντων γὰρ ἡμαρτηκότων, εἰ καὶ μὴ παραπλησίαν τῷ Ἀδὰμ ἁμαρτίαν, ἀλλ' οὖν γε ὁπωσδήποτε, τῶν μὲν οὕτω, τῶν δὲ οὕτω· ἀνάγκη καὶ τὸν θάνατον ἦν κρατεῖν ἐφ' ἁπάντων ὁμοίως· ἀλλ' οὐδὲ ὁ νόμος ἐπεισελθὼν ἀνελεῖν αὐτὴν ἐπὶ τῶν ἀνθρώπων ἐδυνήθη· τουναντίον μὲν οὖν καὶ ἡ τοῦ ἁμαρτάνειν ἀφορμὴ ἐντεῦθεν ἡμῖν ἐπεγίγνετο· τῷ μηδὲ οἷόν τε εἶναι ἁμάρτημα κρίνεσθαι νόμων ἐκτός· ὄντων δὲ τῶν καθ' ἡμᾶς ἐν τούτοις ὡς μηδεμίαν τῆς ἐπὶ τὸ κρεῖττον μεταβολῆς ὑποφαίνεσθαι ἐλπίδα, λύσιν ἁπάντων ὁ Χριστὸς εἰργάσατο τῶν κακῶν. διὸ συντόμως ἐπήγαγε τὸ "ὅς ἐστι τύπος τοῦ μέλλοντος·" ἵνα εἴπῃ ὅτι ἐγένετο δὲ τὰ κατὰ τὸν Ἀδὰμ τύπος τῶν κατὰ Χριστόν. ἐπειδὴ ὥσπερ δι' ἐκείνου τῶν χειρόνων ἡ πάροδος ἐγένετο, οὕτω διὰ τούτου τῆς τῶν κρειττόνων ἀπολαύσεως τὴν ἀφορμὴν ἐδεξάμεθα.

Ἀκακίου. Οὐχ ἁπλῶς εἴρηκε "καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας·" ἄντικρυς γὰρ ἐναντίον ἦν τῷ ἀλλαχοῦ αὐτῷ εἰρημένῳ· τῷ "πάν-"τες γὰρ ἥμαρτον," ἀλλ' "ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐπὶ τῷ "ὁμοιώματι τῆς παραβάσεως Ἀδάμ·" τουτέστι καὶ ἐπὶ τοὺς μὴ διὰ τοῦ φαγεῖν ἀπὸ τοῦ ἐν τῷ παραδείσῳ ξύλου ἁμαρτῶντας. ἐκ

τούτου δὲ ἴσως ἄν τις κατασκευάσῃ, ἀλλὰ περὶ ἑνὸς καὶ μόνου τοῦ Ἀδάμ· εἰ γὰρ περὶ τοῦ κοινοῦ ἀνθρώπου γεγραμμένον ἦν τὸ περὶ τῆς παραβάσεως γράμμα, οὐκ ἂν ἐνταῦθα ἐλέγετο "καὶ ἐπὶ "τοὺς μὴ ἁμαρτήσαντας ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως "Ἀδάμ."

Φωτίου. "Ἀλλ' *ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μεχρὶ* "Μωϋσέως." *τριά ἐστιν ἐν τούτοις τοῖς παραβολικῶς ἀλλήλοις παρατεθεῖσιν, ὁμοιότης τις, ἐναντιότης, ὑπερβολή. κατὰ τὴν ὁμοιότητα ἐναντιότης μὲν, ἁμαρτία, ἀναμάρτητον· ἔχθρα πρὸς* Θεὸν, *καταλλαγὴ πρὸς* Θεόν· *κατάκριμα, δικαίωμα· ἀπώλεια καὶ πτῶμα καὶ θάνατος, σωτηρία καὶ ζωὴ καὶ ἀνάστασις. ἡ μὲν οὖν ἐναντιότης ἐν τούτοις· ἡ δὲ ὁμοιότης, ὥσπερ δι' ἑνὸς τοῖς πᾶσιν ἐπιγέγονεν· ἡ δὲ ὑπερβολὴ, ὅτι ἐπὶ μὲν τῶν χειρόνων συνέπραξαν, τῷ ἑνὶ οἱ πολλοὶ ἐπὶ τὸ μετασχεῖν αὐτοῖς τῶν κακῶν, ἐπὶ δὲ τῶν ἀμεινόνων οὐδεὶς συνέπραξεν, ἀλλὰ μόνον τοῦ ἑνὸς* Χριστοῦ *τὸ χαρίσμα γέγονεν. ὥστε οὐχ ὁμοίως καὶ ἐπίσης, ἀλλὰ καθ' ὑπερβολὴν καὶ ἐκ περισσείας ἡ ὁμοιότης· πάλιν διὰ τοῦ* Ἀδὰμ *τῶν χειρόνων εἰσαχθέντων, οὐκ ἀνῃρέθη μόνον ταῦτα, ὅπερ ὡς ἐναντίοις ὅμοιον καὶ ἀνάλογον, ἀλλὰ καὶ ἐπεδόθη παρὰ* Χριστοῦ *τὰ ἀμείνω· ὅπερ τὴν ὑπερβολὴν καὶ τὴν περισσείαν παρίστησιν.*

15 Ἀλλ' οὐχ ὡς τὸ παράπτωμα, οὕτω καὶ τὸ χάρισμα.

Κυρίλλου. Τέθεικας[u] *εἰς τύπον τοῦ προτέρου τὸν δεύτερον, μονονουχὶ πυνθάνεται τὸν ἀκροώμενον, ὡς ὑποστιγμῇ τε καὶ ἐπερωτήσει λέγων· "ἀλλ' οὐχ ὡς τὸ παράπτωμα, οὕτω καὶ τὸ χά-"ρισμα." ὅμοιον γὰρ ὡς λέγοι· κατακεκρίμεθα τῷ θανάτῳ διὰ τῆς ἐν* Ἀδὰμ *παραβάσεως, ὅλης τῆς ἀνθρωπείας φύσεως τοῦτο παθούσης ἐν αὐτῷ· καὶ γὰρ ἦν ἀπάρχη τοῦ γένους· ἀλλ' ἐν* Χριστῷ *πάλιν ἀνεθάλλομεν εἰς ζωήν. τύπος δὲ ἦν ὁ* Ἀδὰμ *τοῦ μέλλοντος, τουτέστι* Χριστοῦ, *τῇ τῶν φθασάντων σκαιότητι τὴν ἰσομοιροῦσαν ἡμῖν εἰσκομίζοντος χάριν. ἆρα οὖν, φησὶ, τοῦτο λέγων, διημάρτηκα κατ' ἀληθοῦς; ἔξω φέρομαι τοῦ εἰκότος; "οὐχ "ὡς τὸ παράπτωμα, οὕτω καὶ τὸ χάρισμα;" ἀλλ' ἴσχυσε μὲν δι' ἑνὸς ὁ θάνατος, ἀτονήσει δὲ δι' ἑνὸς ἡ ζωή; καίτοι πῶς οὐχ*

[u] Leg. *τεθεικώς.*

ἀληθὲς ἐκεῖνο εἰπεῖν; "εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι οἱ πολ-"λοὶ ἀπέθανον, πολλῷ μᾶλλον ἡ χάρις τοῦ Θεοῦ καὶ ἡ δωρεὰ ἐν "χάριτι τῇ τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ, εἰς τοὺς πολλοὺς "ἐπερίσσευσεν." ἀνέξεται γὰρ ἥκιστά γε φιλάνθρωπος ὢν ὁ δημιουργὸς, κατισχύσαι μὲν θάνατον διὰ τοῦ ἑνὸς, ἀπρακτῆσαι δὲ τὴν δι' ἑνὸς ἀνθρώπου ζωήν. ὑπερκείσεται δὲ ἡ χάρις τὰ ἐξ ὀργῆς.

Γενναδίου. Μία μὲν γάρ φησιν ἡ ἁμαρτία τῆς κατακρίσεως πάντων αἰτία, καὶ τὴν ἐκείνης δίκην οἱ καθεξῆς πάντες ἐξέτισαν. ἡ δὲ χάρις οὐκ ἐκείνην μόνην, ἀλλὰ καὶ πολλὰς ἄλλας ἐκείνης βαρυτέρας ἐπιτηδευθείσας ὑπὸ τῶν μεταγενεστέρων ἀνεῖλεν, ἄπταιστον παντελῶς τοῦ λοιποῦ καὶ δικαίαν ἐργασαμένη τὴν φύσιν ἡμῶν.

Διοδώρου. Τοῦτο[x] δοκεῖ ἐναντίως ἔχειν τῷ προκειμένῳ τὸ "εἰς πάντας ἀνθρώπους ὁ θάνατος διῆλθεν·" εἰπὼν γὰρ ἀνωτέρω περὶ πάντων, νῦν περὶ πολλῶν λέγει. ἀλλὰ χρὴ εἰδέναι ὅτι διῆλθε μὲν εἰς πάντας ὁ θάνατος, ἐπειδὴ καὶ πάντες ἡμάρτομεν. ἀλλὰ διῆλθε πάντας μὲν διερευνῶν καὶ πειράζων, κατέχων δὲ οὐ τοὺς ἁπλῶς ἁμαρτάνοντας, ἀλλὰ τοὺς ἐμπαραμένοντας ταῖς ἑαυτῶν ἁμαρτίαις. ὅπερ καὶ διὰ τῶν ἑξῆς δηλοῖ λέγων, ὅτι ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί. δι' ὧν ἐμφαίνει τὸ ἀμετάθετον τῆς κακίας αὐτῶν. ὥστε διῆλθε μὲν εἰς πάντας ὁ θάνατος, διερευνῶν, ὁρῶν αὐτοὺς ἁμαρτάνοντας· ἐθανάτωσε δὲ οὐ πάντας. ἔνιοι μὲν οὖν διαφορὰν θανάτου ᾠήθησαν διὰ τούτων δηλοῦσθαι· καὶ διὰ μὲν τοῦ "πάντες" σωματικὸν ἐμφαίνεσθαι τὸν θάνατον· διὰ δὲ τοῦ "πολ-"λοὶ" ψυχικὸν, ἀλλ' οὐδὲν τούτων νῦν ἡ ἀκολουθία τοῦ λόγου δείκνυσιν. οὐδὲ γὰρ διαστολή τις ἐν αὐτῷ ἐστιν, ἀλλ' ὡς περὶ ἑνὸς οἰκουμενικοῦ πράγματος διέξεισι. φιλοτιμεῖται μέντοι δεῖξαι, ὅτι εἰ καὶ τὸ παράπτωμα τοῦ Ἀδὰμ κατεσκεύασεν ὁ πονηρὸς, ἀρχὴν ἑαυτῷ τῆς κατ' ἄνθρωπον βασιλείας πραγματευόμενος, ἀλλὰ μεῖζον χάρισμα ἐπιδήμησας ὁ Κύριος ἐχαρίσατο.

Θεοδώρου. Καὶ οὐδὲ τοῦ παραπτώματος εἶδός φησι, τοσοῦτον, ὅσον τὸ τοῦ χαρίσματος· εἰ γὰρ καὶ ἡ τοῦ ἑνὸς ἁμαρτία τοῖς ἀνθρώποις τὸν θάνατον ἐπήγαγεν· ἀλλ' οὖν γε ἡ διὰ τοῦ Χριστοῦ

[x] Cod. τοῦ.

δωρεὰ, μείζων τις περὶ τοὺς ἀνθρώπους ἐγένετο. τὸ γὰρ "οἱ πολ- "λοὶ ἀπέθανον" ἀντὶ τοῦ πάντες λέγει. πάντες γὰρ ἀπέθανον, ὥς αὐτὸς ἀνωτέρω φησίν· "εἰ πάντας ἀνθρώπους διῆλθεν ὁ θάνατος." δῆλον δὲ ὅτι τὸ "καὶ εἰς τοὺς πολλοὺς ἐπερίσσευεν" ὁμοίως ἀντὶ τοῦ εἰς πάντας λέγει· κοινὴ γὰρ καὶ ἡ τῆς ἀναστάσεως χάρις. ἁπάντων ἀνισταμένων ὁμοίως.

16 Καὶ οὐχ ὡς δι' ἑνὸς ἁμαρτήσαντος τὸ δώρημα.

Κυρίλλου. Ἀνατίθησιν ὥσπερ τὴν τοῦ πράγματος φύσιν καὶ τὴν τοῦ νοήματος δύναμιν ἐπὶ τὸ ὅτι μάλιστα πρέπον τῷ Θεῷ. εἰ γὰρ δή, φησι, τὸ ἐξ ἑνὸς, ἤτοι δι' ἑνὸς κατάκριμα τοῦ Ἀδὰμ ἀπεφοίτησεν εἰς πάντας καθ' ὁμοιότητα τὴν αὐτοῦ· ῥίζα γὰρ ἦν, ὡς ἔφην, τοῦ γένους παθοῦσα τὴν φθορὰν, πῶς οὐκ ἂν γένοιτο καὶ πίστει παράδεκτον καὶ ἀγαπητὸν τῷ Θεῷ τὸ δεῖν ἐξ ἑνὸς δικαιώματος ἐκ πολλῶν παραπτωμάτων δικαιοῦσθαι πολλούς; ἢ οὐχ αἱρετὸν τὸ σώζειν μᾶλλον ἢ ἀπολλύναι παρὰ Θεῷ; ὥσπερ τοίνυν καταδεδίκασται μὲν ὁ Ἀδὰμ, κατεκράτησε δὲ Μωσέως ἡ τῆς ἀρᾶς δύναμις ὑποφέρουσα τῇ φθορᾷ τοὺς ἐπὶ τῆς γῆς, οὕτως ἐπειδήπερ δεδικαίωται Χριστὸς ὁ δεύτερος Ἀδὰμ ὁδῷ τῇ πρώτῃ, βαδιεῖταί που πάντως καὶ εἰς ἡμᾶς ἡ δικαίωσις. δεδικαιῶσθαι δὲ φαμὲν τὸν Χριστὸν, οὐχ ὡς ἄδικον μὲν γεγονότα ποτὲ, προσήκοντά γε μὴν ἐξ ἐπιδόσεως τῆς εἰς τὰ ἀμείνω εἰς δικαίωσιν· ἀλλ' ὅτι πρῶτός τε καὶ μόνος ἄνθρωπος αὐτὸς ἐπὶ γῆς οὐκ ἐποίησεν ἁμαρτίαν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ.

Γενναδίου. Μιὰ μὲν γάρ, φησιν, ἁμαρτία τῆς κατακρίσεως πάντων αἰτία, καὶ τὴν ἐκείνης δίκην οἱ καθεξῆς πάντες ἐξέτισαν. ἡ δὲ χάρις οὐκ ἐκείνην μόνην, ἀλλὰ καὶ πολλὰς ἄλλας ἐκείνης βαρυτέρας ἐπιτηδευθείσας ὑπὸ τῶν μεταγενεστέρων ἀνεῖλεν, ἄπταιστον παντελῶς καὶ δικαίαν ἐργασάμενος τὴν φύσιν ἡμῶν.

Διοδώρου. Ἀντὶ τοῦ πρὸς ἓν ἁμάρτημα τοῦ Ἀδάμ. μεγάλη γὰρ ἦν καὶ πολλὴ, καὶ τὰ ἁμαρτήματα τῇ φιλανθρωπίᾳ ὑπερβαίνουσα· ὅπερ διδάσκων ἐπάγει· "τὸ μὲν γὰρ κρίμα ἐξ ἑνὸς εἰς "κατάκριμα· τὸ δὲ χάρισμα ἐκ πολλῶν παραπτωμάτων εἰς δικαίω- "μα." βούλεται γὰρ εἰπεῖν, ὅτι τὸ μὲν τοῦ Ἀδὰμ ἁμάρτημα ἓν ἦν, ἀλλ' ὅμως ἓν ὂν ἐξ ἑνὸς ἁμαρτήματος κατέκρινε τοὺς πολλοὺς

διὰ τὸ μισήσασθαι τὸν Ἀδάμ. τὸ δὲ χάρισμα τοῦ Κυρίου, οὐ πρὸς τὸ ἓν ἁμάρτημα ἐμετρήθη, ἀλλὰ πρὸς τὰ πάντων πολλὰ ὄντα· ὥστε ἐκ πολλῶν παραπτωμάτων ἀπαλλάξαν, ἤγαγεν εἰς δικαίωμα· ἐν γὰρ τούτῳ ἐστι τῆς χάριτος τὸ περίσσευμα, ὅτι οὐ μόνον τῶν παραπτωμάτων ἀπήλλαγεν, ἀλλὰ καὶ εἰς δικαιοσύνην ἐχειραγώγησεν.

Θεοδώρου. Μίαν ταύτην αἰτίαν λέγει τῆς διαφορᾶς. ἐκεῖ μὲν γάρ φησιν, εἷς ἡμαρτηκὼς, καὶ κατακριθεὶς διὰ τοῦτο, εἰς τοὺς ἑξῆς τὴν τιμωρίαν ἐνεχθῆναι παρεσκεύασε πάντας, κοινωνοὺς τῆς ἀποφάσεως ἐσχηκὼς τοῦ θανάτου. ἡ δὲ χάρις οὐχ ὁμοίως. οὐ γὰρ ἀπ᾽ ἑνὸς ὥσπερ ἐπὶ τοῦ Ἀδὰμ εἰς τοὺς ἑξῆς ἐλήλυθεν. ἀλλὰ πολλῶν ὄντων τῶν ἤδη κατακεκριμένων, σύντομον εἴς τε τοὺς πρότερον καὶ εἰς τοὺς ἑξῆς ἀνθρώπους τῆς δωρεᾶς ἐποιήσατο τὴν ἐξάπλωσιν. ἔστιν οὖν μείζων πολλῷ· εἴπερ ἐκεῖνο μὲν ἔκλαμψε τοὺς ἑξῆς· τοῦτο δὲ οὐ τοὺς ἑξῆς μόνον ὠφέλησεν, ἀλλὰ γὰρ καὶ τοὺς προσειληφότας ἔλυσε τῶν ἐγκλημάτων.

17 Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι.

Κυρίλλου. Ἄθρει δὴ πάλιν ὡς ἀλκιμωτέραν τῆς κατακρινούσης ἀρᾶς καταλογίζεται τὴν δικαιοῦσαν χάριν. οὐ γὰρ δή, φησι, φαίη τις ἂν ὡς ἦν εἰκὸς κατισχύσαι μὲν τῶν ἐπὶ τῆς γῆς τὸν δι᾽ ἑνὸς θάνατον, εὐσθενείας γε μὴν ἀμοιρῆσαι τὴν ζωήν· πολλῷ γὰρ μᾶλλον οἱ χάριν ἔχοντες τὴν διὰ Χριστοῦ καὶ τὴν τῆς δικαιοσύνης δωρεὰν ἐκ φιλοτιμίας τῆς ἄνωθεν, ἀποσείσονται μὲν τοῦ θανάτου τὸ κράτος, συμβασιλεύσουσι δὲ τῷ ζωοποιοῦντι τὰ πάντα Χριστῷ.

Γενναδίου. Ἀποδείξας αὐτάρκως τὸ περιττὸν τῆς χάριτος κατὰ σύγκρισιν, ἐπισυλλογίζεται λοιπὸν καὶ κατασκευάζει τὸ σπουδαζόμενον, καὶ φησὶν, "εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι "ὁ θάνατος ἐβασίλευσε διὰ τοῦ ἑνὸς," καὶ τὰ ἑξῆς. τῷ γὰρ συνδεσμῷ, νῦν ἀντὶ τοῦ τοίνυν ἐχρήσατο. εἰ τοίνυν φησι καὶ ἑνὸς ἀνθρώπου παραπτώματι καὶ δι᾽ ἑνὸς παραπτώματος ὁ θάνατος ἐβασίλευσεν, ἄρα οὖν πολλῷ μᾶλλον οἱ τὸ πλέον τῆς εἰς δικαιοσύνην χάριτος ἐν τῷ ἑνὶ Χριστῷ κομιζόμενοι, καθὼς ἀποδέδεικται, βασιλεύσουσιν ἐν ἀθανάτῳ ζωῇ.

Θεοδώρου. Ἔτι μὴν κακεῖνο φησὶ, πολλὴν δείκνυσι τὴν δια-

φοράν· ὅτι ἐκεῖ μὲν ὁ θάνατος εἰσαχθεὶς τῇ τοῦ Ἀδὰμ ἁμαρτίᾳ, καὶ κρατήσας ἐπὶ τῶν ἀνθρώπων, ἐδέξατο λύσιν. ἡ δέ γε τῆς δωρεᾶς ἀπόλαυσις διὰ τοῦ Χριστοῦ προσγεγονυῖα ἡμῖν, δι' ἣν καὶ τῆς ἀναστάσεως τευξόμεθα, καὶ ἐν δικαιοσύνῃ διατελέσομεν ἁμαρτεῖν οὐκ ἐπιδεχόμενοι, λύσιν οὐ δέξεται. διαμενοῦμεν γὰρ τῆς μελλούσης ζωῆς διηνεκῶς ἀπολαύοντες.

18 Ἄρα οὖν ὡς δι' ἑνὸς παραπτώματος.

Κυρίλλου. Προσεπάγει ταῖς προκειμέναις ἐννοίαις ὁ θεσπέσιος Παῦλος οἱονεὶ τὸ συμπέρασμα, καὶ φησὶν, "ἄρα οὖν ὡς δι' "ἑνὸς παραπτώματος," καὶ τὰ ἑξῆς. κατακεκρίμεθα γὰρ, ὡς προεῖπον ἐν Ἀδὰμ, καὶ ὡς ἐκ ῥίζης τῆς πρώτης εἰς ἅπαν διέβη τὸ ἐξ αὐτῆς γενόμενος ὁ ἐξ ἀρᾶς θάνατος. δεδικαιώμεθα δὲ καὶ ἀνεβλαστήσαμεν εἰς ζωὴν, δικαιωθέντος ὑπὲρ ἡμῶν τοῦ Χριστοῦ. ἀφειδήσας μὲν γὰρ τῆς αὐτῷ δοθείσης ἐντολῆς ὁ προπάτωρ, προκέκρουκε τῷ Θεῷ καὶ ὑπομεμένηκε τὰ ἐκ θείας ὀργῆς. κατώλισθε γὰρ εἰς φθορὰν τότε, καὶ εἰσήλατο τὴν ἀνθρώπου φύσιν ἡ ἁμαρτία· οὕτω καὶ ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοὶ, τουτέστιν οἱ ἀνὰ πᾶσαν τὴν γῆν. ἀλλ' εἴποι τις ἄν· ναὶ παρώλισθεν ὁ Ἀδὰμ, καὶ τῆς θείας ἀλογίσας ἐντολῆς, φθορᾷ καὶ θανάτῳ κατεδικάζετο. εἶτα πῶς ἁμαρτωλοὶ δι' αὐτὸν κατεστάθησαν οἱ πολλοί; τί πρὸς ἡμᾶς τὰ ἐκείνου πταίσματα; πῶς δὲ ὅλως οἱ μήπω γεγενημένοι καταδεδικάσμεθα σὺν αὐτῷ, καίτοι Θεοῦ λέγοντος, "οὐκ ἀποθανοῦνται "πατέρες ὑπὲρ τέκνων, οὔτε τέκνα ὑπὲρ πατέρων. ψυχὴ ἡ ἁμαρ"τάνουσα αὕτη ἀποθανεῖται," τίς οὖν ἂν γένοιτο πρὸς ἡμᾶς τῆς ἀπολογίας ὁ τρόπος; οὐκοῦν ψυχὴ μὲν ἡ ἁμαρτάνουσα αὕτη ἀποθανεῖται. ἁμαρτωλοὶ δὲ γεγόναμεν διὰ τῆς παρακοῆς τοῦ Ἀδὰμ διὰ τοιόνδε τρόπον. πεποίητο μὲν γὰρ ἐπὶ ἀφθαρσίᾳ καὶ ζωῇ, ἦν δὲ αὐτῷ καὶ ὁ βίος ἁγιοπρεπὴς ἐν τῷ παραδείσῳ τῆς τρυφῆς· ὅλον ἦν καὶ διαπαντὸς ἐν θεοπτίαις ὁ νοῦς, ἐν εὐδίᾳ δὲ καὶ γαλήνῃ τὸ σῶμα, κατηρεμούσης ἁπάσης αἰσχρᾶς ἡδονῆς· οὐ γὰρ ἦν ἐκτόπων κινημάτων θόρυβος ἐν αὐτῷ.

Ἐπειδὴ δὲ πέπτωκεν ὑφ' ἁμαρτίαν καὶ κατώλισθεν εἰς φθορὰν, ἐντεῦθεν εἰσέδραμον τὴν τῆς σαρκὸς φύσιν ἡδοναί τε καὶ ἀκαθαρσίαι. ἀνέφυ δὲ καὶ ὁ ἐν τοῖς μέλεσιν ἡμῶν ἀγριαίνων νόμος.

νενόσηκεν οὖν ἡ φύσις τὴν ἁμαρτίαν διὰ τῆς παρακοῆς τοῦ ἑνὸς, τουτέστιν Ἀδάμ· οὕτως ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί· οὐχ ὡς τῷ Ἀδὰμ συμπαραβεβηκότες, οὐ γὰρ ἦσαν πωπότε, ἀλλ᾽ ὡς τῆς ἐκείνου φύσεως ὄντες τῆς ὑπὸ νόμον πεσούσης τὸν τῆς ἁμαρτίας. ὥσπερ τοίνυν ἠρρώστησεν ἡ ἀνθρώπου φύσις ἐν Ἀδὰμ διὰ τῆς παρακοῆς τὴν φθορὰν, εἰσέδυ τε οὕτως αὐτὴν τὰ πάθη, οὕτως ἀπήλλακται πάλιν ἐν Χριστῷ. γέγονε γὰρ ὑπήκοος τῷ Θεῷ καὶ Πατρὶ, καὶ οὐκ ἐποίησεν ἁμαρτίαν.

Διοδώρου. Ἐξετάσας καὶ διαγυμνάσας τήν τε διὰ τοῦ Ἀδὰμ προστριβεῖσαν ἀνθρώποις ζημίαν, καὶ τὴν παρὰ τοῦ Κυρίου δωρηθεῖσαν εὐεργεσίαν, ἐπάγει λοιπὸν ἀποφατικώτερον διδάσκων, ὡς τοῦ μὲν Ἀδὰμ κατέκρινε, καὶ ἐθανάτωσεν ἀνθρώπους τὸ παράπτωμα, τοῦ δὲ Κυρίου ἐζωοποίησε τὸ δικαίωμα. τί δὲ τοῦ Ἀδὰμ τὸ παράπτωμα; ἡ παρακοή· τί τοῦ Κυρίου τὸ δικαίωμα; ἡ ὑπακοὴ, ἣν ὑπήκουσεν τῷ Πατρὶ κατὰ τὸ ἐνανθρωπῆσαι καὶ παθεῖν ὑπὲρ ἀνθρώπων, καθὼς ἐν ἑτέροις ὁ Ἀπόστολός φησι, "σχήματι "εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν, γενόμενος ὑπήκοος "μέχρι θανάτου, θανάτου δὲ σταυροῦ." ὥστε ἡ ὑπακοὴ καθεῖλε τὴν παρακοὴν, καὶ τῷ βελτίστῳ τὸ χείριστον κατηγωνίσατο.

Θεοδώρου. Ἀρκούντως ἐν τοῖς προκειμένοις τὴν διαφορὰν δείξας τῶν πραγμάτων, συλλογίζεται ἐνταῦθα τὸ πᾶν πρὸς τὸ διὰ "τοῦτο ὥσπερ δι᾽ ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθε·" ταῦτα ἀποδιδοὺς καὶ λέγων, ὅτι δέδεικται διὰ τούτων ἡμῖν, ὅπως τοῦ Ἀδὰμ καὶ ἁμαρτήσαντος καὶ θανάτου αἰτίου γεγονότος, ὁ Χριστὸς καὶ τὴν λύσιν τῶν ἁμαρτημάτων ἡμῶν ἐχαρίσατο, καὶ τὴν ἀπαλλαγὴν τοῦ θανάτου τῇ τῆς ἀναστάσεως ἐλπίδι, καθ᾽ ἣν ἔξω πάσης ἁμαρτίας πολιτευσόμεθα. τοῦτο γὰρ λέγει τὸ ἁμαρτωλοί. οὕτως ὁ Χριστὸς τὴν ἀνάστασιν ἡμῖν ἐδωρήσατο, ὥστε ἐν ἀθανάτῳ τῇ φύσει καταστάντας, πάσης ἁμαρτίας διάγειν ἐλευθέρους, ἐν ἀκριβεῖ τῇ δικαιοσύνῃ πολιτευομένους. ἔδειξε δὲ ἐνταῦθα ὅτι τὸ οἱ πολλοὶ ἀντὶ τοῦ πάντες λέγει· εἰπὼν γὰρ τὸ "εἰς "πάντας ἀνθρώπους, εἰς δικαίωσιν ζωῆς, ἐπήγαγεν "ἁμαρτωλοὶ "κατεστάθησαν οἱ πολλοί." ὥστε δῆλον ὅτι οἱ πολλοὶ ἀντὶ τοῦ οἱ πάντες λέγει, καὶ ἀνωτέροις, κἀνταῦθα.

Ἀκακίου. "Ὥσπερ γάρ," φησι, "διὰ τῆς παραβάσεως τοῦ "ἑνὸς ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί," οὐ τοῦτο λέγει ὅτι ἑνὸς ἁμαρτῶντος καὶ οἱ πολλοὶ ἁμαρτῶντες, τὴν αὐτὴν δόξαν ἀπηνέγκαντο μετὰ τῶν τιμωριῶν· ἄδικον γὰρ, [x]ὅτι ἀπὸ τοῦ Ἀδὰμ ἀρχὴν ἔσχεν ἡ ἀνθρωπότης, καὶ ὑπάρχειν καὶ ἁμαρτάνειν.

Σευηριανοῦ. Εἶδες πῶς διορίζει κἀνταῦθα ἐπὶ μὲν τῆς ἁμαρτίας καὶ τῆς δικαιοσύνης, τὸ "πολλοὶ" τιθείς· οὐ γὰρ πάντες ἥμαρτον οἱ πρὸ νόμου, οὐδὲ ἐδικαιοπράγησαν πάντες ἐν τῇ χάριτι· "πολλοὶ γὰρ κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί." ἐπὶ δὲ τοῦ σωματικοῦ θανάτου καὶ τῆς σωματικῆς ἀναστάσεως πάντες καὶ πάντες.

Ἀνεπιγράφου. Τοῦτο ἐναντιοῦται τῇ ἀποστολικῇ ῥήσει τῇ λεγούσῃ "εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι οἱ πολλοὶ ἀπέθανον," καὶ τὰ ἑξῆς. τοὺς πολλοὺς οὖν τοὺς πάντας λέγει. ἡ γὰρ χάρις καὶ ἡ δωρεὰ ἡ διὰ τοῦ ἑνὸς Ἰησοῦ Χριστοῦ οὐκ ἔστι μερική· ὥστε "οἱ πολλοὶ" ἀντὶ πάντων εἴληπται· εἰ δέ τις βούλοιτο τοὺς πολλοὺς νοεῖν τεθνηκέναι, ὑπεξαιρουμένων τοῦ Ἐνὼχ, καὶ τοῦ Ἠλία, εἰς οὓς διῆλθε μὲν ὁ θάνατος, καθὸ γεγόνασι θνητοὶ, οὐ μὴν καὶ κάτεσχεν αὐτῶν· ὅτι ὁ μὲν μετετέθη τοῦ μὴ ἰδεῖν θάνατον, ὁ δὲ ἀνελήφθη ἐν ἅρματι πυρίνῳ, πόσῳ μᾶλλον ἡ εἰς τὰ ἄπειρα πλήθη ἀποσταλεῖσα χάρις τοῦ παναγάθου Θεοῦ ἡμῶν διὰ Ἰησοῦ Χριστοῦ; εἰ δὲ καί τινες ἐν τῇ παρουσίᾳ καταληφθέντες τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, μὴ γευσαίντο θανάτου, καὶ πρὸς τοὺς τοιούτους ἂν εἴη ἀντιδιαστελλόμενον τὸ "οἱ πολλοὶ ἀπέθανον·" τί γὰρ τὸ ἀναγκαῖον τοὺς περιλειπομένους ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου θανάτου γεύσασθαι, εἶτα αὖθις ἀνίστασθαι· ἀλλὰ μὴ ἐντεῦθεν εἰς ἀθανασίαν χωρεῖν. οὐ γὰρ ὅτι ὁ Χριστὸς ἀπέθανε, ταύτῃ καὶ πάντας ἀποθανεῖν ἀνάγκη. ἀλλ' ἐκ τοῦ ἐναντίου, εἰ ὑπὲρ πάντων ἀπέθανεν, οὐδεὶς ὤφειλεν ἀποθνήσκειν οὐκέτι. εἰ δὲ διὰ τὴν φύσιν τοῦ πράγματος οὕτω γίνεται, οἱ καταλαμβανόμενοι ἐν τῇ παρουσίᾳ αὐτοῦ οὐ τεθνήξονται.

20 Νόμος δὲ παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα.

Κυρίλλου. Διαλογιεῖταί τις, φησὶ, κατὰ τὸ εἰκὸς ἐκεῖνό που, καὶ λέγει· τύπος ἦν τοῦ μέλλοντος ὁ Ἀδάμ· καὶ ὥσπερ ἐν ἐκείνῳ

[x] Leg. ἀλλ' ὅτι.

κατεστάθημεν ἁμαρτωλοὶ διὰ τὴν παράβασιν, οὕτως ἐν Χριστῷ δεδικαιώμεθα δι' ὑπακοῆς. ἔδει τοίνυν μεσολαβοῦντος, φησὶν, οὐδενὸς, τὴν ἐν Χριστῷ δικαίωσιν τοῖς ἐπὶ γῆς ἀναφαίνεσθαι. εἶτα ποία γέγονε τῶν διὰ Μώσεως νόμων ὡς ἐξ ἀνάγκης ἡ χρεία. πρὸς δὴ τὰ τοιαῦτα πάλιν ὁ θεσπέσιος Παῦλος μονονουχὶ καὶ ἀνίσταται λέγων "νόμος δὲ παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα·" τὸ δὲ "παρεισῆλθεν," ἀντὶ τοῦ παρεισβέβληκε μεταξὺ τῆς τε ἐν Ἀδὰμ κατακρίσεως, καὶ τῆς ἐν Χριστῷ δικαιοσύνης.

Καὶ τίς ἂν νοοῖτο πάλιν τῆς τοῦ νόμου παρεισδρομῆς ἡ χρεία, σαφῶς ἀκούσει λέγοντος, "ἵνα πλεονάσῃ τὸ παράπτωμα." τί φῂς ὦ Παῦλε; ἆρα καὶ ἁμαρτίας ὁ νόμος ἦν πρόξενος; καὶ πεπλήθυνται δι' αὐτοῦ τὰ παραπτώματα; μὴ γένοιτο. χρὴ τοίνυν κατευρύναι τῆς μυσταγωγίας τὸν τρόπον. ἔφη τοιγαροῦν ὁ Δαβὶδ "ὅτι πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν· οὐκ ἦν ὁ ποιῶν χρη-"στότητα, οὐκ ἦν ἕως ἑνός." διεφθάρκασι γὰρ πάντες οἱ ἐπὶ τῆς γῆς τὴν ὁδὸν αὐτῶν, μετὰ τὴν ἐν Ἀδὰμ παράβασιν· ταύτῃ τοι καὶ ἐκολάζοντο· κοινὴν μὲν ἅπαντες ὑπομείναντες δίκην τὸν κατακλυσμόν· ἰδικῶς δὲ καὶ κατὰ καιροὺς καὶ κατὰ χώρας τε καὶ πόλεις· εἰ γὰρ καὶ νόμος οὐκ ἦν, ἀλλ' οὖν καὶ ἐξ ἐμφύτων κινημάτων ἐπαιδαγωγεῖτο παρὰ Θεοῦ πρὸς εἴδησιν τῶν ἀγαθῶν ἡ ἀνθρώπου φύσις.

Πεπραχότας οὖν ἀθλίως τοὺς ἐπὶ γῆς κατηλέει Θεὸς, καὶ τῆς τυραννούσης αὐτοὺς ἁμαρτίας ἀπαλλάττειν ἐν Χριστῷ φιλαγάθως ἐσκέπετο· ἀλλὰ δεῖ[x] ᾠήθη καὶ μαλὰ ὀρθῶς πολὺ, νοσοῦντας προαναφαίνεσθαι τοὺς ἐπὶ τῆς γῆς· ἵνα χρειωδεστάτην ἔχουσα τὴν εἰς τὸν κόσμον εἰσβολὴν, ἡ ἐν Χριστῷ δικαίωσις ὁρῷτο λοιπόν· δικαιοῦσθαι γὰρ φαμὲν, οὐ τὸν ἤδη δίκαιον, ἀλλ' εἴ τις ἐστιν ἁμαρτίαις ἔνοχος. πῶς οὖν ἔδει προαναδείκνυσθαι τοὺς ἐπὶ τῆς γῆς τῆς ἐν Χριστῷ χάριτος δεδεημένους; παρεισῆλθε νόμος, ἵνα πλεονάσῃ τὸ παράπτωμα· τουτέστιν, ἵνα ἐν τοῖς ὑπὸ νόμον πολὺ φαίνοιτο τὸ παράπτωμα· μηδένος δηλονότι δικαιοῦσθαι δυναμένου διὰ τὸ τῆς φύσεως ἀσθενές· ὑποπιπτόντων δὲ ὥσπερ ἁπάντων ταῖς ἐκ παραβάσεως αἰτίαις. τέθειται τοίνυν ὁ νόμος ἔλεγχος οἷά τις τῆς

[x] Leg. vid. δεῖν.

ἁπάντων ἀσθενείας, ἵνα φαίνοιτο τὰ ἀνθρώπινα μόνης τῆς διὰ Χριστοῦ θεραπείας δεδεημένα. ταύτῃ τοι φησὶν, "οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις." ἔδει γὰρ εἶναι τοσαύτην, ὡς ἀμείνω φαίνεσθαι τοῦ κατακρίνοντος νόμου.

ΔΙΟΔΩΡΟΥ. Εἰπὼν ἵνα πλεονάσῃ, ἔδειξεν ὅτι καὶ πρὸς νόμον ἦν παράπτωμα, καὶ ᾔδεσαν πταίοντες ἄνθρωποι. οὐ μὴν πάντα ἃ ἔπταιον ἐπεγίνωσκον ὡς πταίσματα· ἀλλ' ὁ νόμος δοθεὶς, ἀπεγύμνωσε καὶ ἔδειξε πλείονα ὄντα ἢ ἃ ἐνόμιζον· ἀκριβῶς δὲ εἶπε τὸ "παρεισῆλθε," μεταξὺ γὰρ τῆς τοῦ Ἀδὰμ παρακοῆς, καὶ τῆς τοῦ Σωτῆρος ἐπιδημίας πάροδον εἰς τὸν βίον ἔλαβεν ὁ νόμος. "οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις." ποῦ οὖν ἐπλεόνασεν ἡ ἁμαρτία; ὅπου ὁ νόμος. εἰ δὲ παρὰ Ἰουδαίοις ὁ νόμος, ἐκεῖ καὶ ὑπερεπερίσσευσεν ἡ χάρις. ἐκεῖθεν γὰρ εὐαγγελισταὶ καὶ Ἀπόστολοι, καὶ τὸ τῆς σωτηρίας κεφάλαιον ὁ Χριστός.

ΦΩΤΙΟΥ. Εἰπὼν ὅτι τύπος ἦν ὁ Ἀδὰμ τοῦ Χριστοῦ· τύπος δὲ δηλονότι ἐκ τοῦ ἐναντίου· ὡς γὰρ ἐκεῖνος αἴτιος ἀνθρώποις[y] θανάτου, οὕτως ὁ Χριστὸς αἴτιος ἀνθρώποις ἀναστάσεως. εἰπὼν οὖν, ὡς ἔφημεν, ὅτι τύπος ἦν ὁ Ἀδὰμ τοῦ Χριστοῦ· ἐπειδὴ μέλλων αὐτὸ κατασκευάζειν, οὐ μόνον τὴν ὁμοιότητα κατασκευάζει καὶ τύπον, ἀλλὰ καὶ τὴν ἐν τῷ τύπῳ καὶ ὁμοιότητι ὑπεροχὴν καὶ περισσείαν· τοῦτο γὰρ ἐνδείκνυται διὰ τοῦ λέγειν, ἀλλ' οὐχ ὡς τὸ παράπτωμα· καὶ πάλιν, καὶ οὐχ ὡς ἑνὸς ἁμαρτήσαντος. ἐπεὶ οὖν σύνθετον αὐτῷ πως γέγονε τὸ ἐπιχείρημα, ἀνομοιότητά πως ἐν ὁμοιότητι διαπλέκοντι· νῦν ἐπαναλαμβάνεται μὲν τὸ αὐτὸ, καθαρῶς δὲ τὴν ὁμοιότητα δείκνυσι· καὶ οὐκέτι πλέκων ὅσον ἀπὸ τῆς λέξεως τινὰ ἀνομοιότητος μάχην· εἶτα σαφῶς τοῦτο καὶ καθαρῶς ἐνδειξάμενος, ὅτι ὥσπερ δι' ἑνὸς ἐβασίλευσεν ὁ θάνατος, πολλῷ μᾶλλον ἐν ζωῇ βασιλεύσει δι' ἑνὸς Χριστοῦ, ἐπάγει ὥσπερ συμπαραινούμενος, καὶ εἰς τὸ ἔτι σαφέστερον καὶ συνεσταλμένον ἀνάγων τὸν λόγον, καί φησιν· "ἄρα οὖν ὡς δι' ἑνὸς παραπτώματος εἰς πάντας ἀνθρώπους τὸ κατάκριμα," καὶ τὰ ἑξῆς· εἶτα καὶ ἐπειδὴ καὶ ἐν τῷ πρώτῳ καὶ συνθέτῳ ἐπιχειρήματι, καὶ ἐν τῷ δευτέρῳ καὶ δια-

[y] Cod. ἄνθρωπος sed marg. γρ. ἀνθρώποις.

κεκαθαρμένῳ καὶ ἐπαναληπτικῷ· καὶ ἐν τῷ "ὥσπερ" συμπεράσματι ἐπενεχθέντι. παραπτώματος μὲν καὶ χαρίσματος καὶ κατακρίματος καὶ δωρήματος καὶ δικαιώματος καὶ τοιούτων μνημονεύει· ὅθεν καὶ τὴν ἀρχὴν εἴληφεν· ἑκάτερα τῶν ἐναντίων ἡ συστοιχία αὕτη οὐδέπω ἐπεσημήνατο. νῦν αὐτὸ τοῦτο διασαφεῖ καὶ ἀποκαλύπτει, καί φησιν, ὅτι τὰ μὲν ἐκ παρακοῆς ἐρρύη, τὰ δὲ ἐξ ὑπακοῆς ἤνθησεν· ὥστε κατασκευαστικὸν ἂν εἴη τοῦτο τοῦ ἐπιχειρήματος τοῦ κατασκευάζοντος τὸν τύπον καὶ τὴν ὁμοιότητα, οἷον τοῦ "εἰ "γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι ὁ θάνατος," καὶ ἑξῆς.

Οὐ ταυτολογεῖ τοίνυν, ὡς ἄν τις οἰηθείη, ὁ θεῖος Ἀπόστολος ἐν τούτοις, ἀλλὰ σαφῶς λίαν καὶ διηκριβωμένως ἀλληλουχεῖ καὶ ἐντάττει τῶν κεφαλαίων τὴν δύναμιν· ἔστι μὲν οὖν τὸ μὲν "ἀλλ' "οὐχ ὡς τὸ παράπτωμα," καὶ ἑξῆς, ἕως τοῦ "ἐκ πολλῶν παραπτω-"μάτων εἰς δικαίωμα." ἐπιχείρημα μὲν, ὡς ἔφημεν, δεικτικὸν τοῦ τύπου καὶ τῆς ὁμοιότητος· ἐδεῖτο οὖν σαφηνείας καὶ διακαθάρσεως. τοῦτο ποιεῖ τὸ ἐφεξῆς ἐπιχείρημα, ἐπαναλαμβάνον τὸ προειρημένον καὶ διακαθαῖρον καὶ εἰς τὸ σαφὲς ἀπαγγέλον· ἀλλ' ἔδει καὶ τοῦτο λαβεῖν ἀξίωμα, καὶ μὴ ἐξ ὑποθέσεως προτείνεσθαι μόνον. οὐδὲ τοῦτο παρορᾷ, ἀλλ' ὥσπερ συμπεραινόμενος, καὶ τῇ τοῦ λόγου θαρρῶν ἀληθείᾳ, μετὰ βεβαιώσεως ἀποφαίνεται· "ἄρα οὖν ὡς δι' "ἑνὸς παραπτώματος," καὶ τὰ ἑξῆς. εἶτα, ἐπεὶ οὖν ἦν εἰπὼν ἐν τοσούτοις ἐπιχειρήμασιν οὐδαμοῦ πόθεν ἔσχεν ἀρχὴν τὸ δικαίωμα καὶ τὸ κατάκριμα, οὐδὲ τοῦτο παρορᾷ, ἀλλὰ τίθησι λέγων, "ὥσπερ "γὰρ διὰ τῆς παρακοῆς," καὶ ἑξῆς.

21 Ἵνα ὥσπερ ἐβασίλευσεν ἡ ἁμαρτία ἐν τῷ θανάτῳ.

Γενναδίου. Ὥστε φησὶν ἀναντίρρητον ὅτι καθάπερ ἡ ἁμαρτία τὴν ἑαυτῆς ἐν τῷ θανάτῳ καὶ διὰ τοῦ θανάτου δυναστείαν ἐκράτυνεν, οὕτω καὶ ἡ χάρις τὴν ἐν Χριστῷ τοῖς πᾶσι παρεχομένη δικαίωσιν, ἐν ἀτελευτήτῳ ζωῇ τὴν βασιλείαν ἀδιάδοχον ἥξει.

Θεοδώρου. Τῷ βασιλεῦσαι ἐν τῷ θανάτῳ τὴν ἁμαρτίαν, οὕτως λέγει· μείζονα περὶ τὸ ἁμαρτάνειν ῥοπὴν θνητοὶ γεγονότες ἐσχήκαμεν. πολλὰ μὲν γὰρ ἀπὸ ἡδονῆς, τῆς περί τε βρῶσιν καὶ πόσιν, καὶ τὸν ἔξωθεν κόσμον, καὶ μὴν καὶ τὰς τῶν γυναικῶν ἐπιμιξίας ἐγγίνεται ἡμῖν πταίσματα, ἐφ' ἑκάστου τούτων, οὐκ ἐπὶ τοῦ

πρέποντος τῶν πολλῶν ἱσταμένων, ἀλλ' εἰς ἀμετρίαν ἐκφερομένων· ταῦτα δὲ ἀθανάτῳ μὲν οὐκ ἄν ποτε ἐγγένοιτο φύσει· ποία γὰρ ἡδονή; τίς δὲ φιλαργυρία ἐπὶ τῆς ἀθανάτου χώραν ἕξει φύσεως; ἐπειδὴ δὲ θνητοὶ γεγόναμέν τε καὶ ἐσμὲν τὴν φύσιν, ἄφατον μέν τινα ἀπὸ τῶν προειρημένων παθῶν τὴν ἐνόχλησιν ὑπομέμενομεν, πολλὴν δὲ τὴν περὶ τὸ ἁμαρτάνειν ῥοπὴν ἐντεῦθεν δεχόμεθα. καλῶς οὖν ἔφη βασιλεῦσαι ἐν τῷ θανάτῳ τὴν ἁμαρτίαν, μονονουχὶ κρατοῦσαν ἡμῶν διὰ τῆς ἐνούσης ἡμῖν ἐντεῦθεν περὶ τὸ ἁμαρτάνειν ῥοπῆς. ὥσπερ οὖν τότε φησὶν, ἡ ἁμαρτία ἡμῶν ἐκράτει συνωθουμένων ἐπ' αὐτὴν, καὶ παρὰ γνωμὴν πολλάκις, οὕτω δὴ ἡ τοῦ Θεοῦ καθέξει δ ρ α φιλοτιμία, ἀσάλευτον τὴν βασιλείαν ἔχουσα ἐν ἡμῖν, ἐπειδὰν τῆς αἰωνίου ζωῆς καταξιωθέντες διὰ τῆς ἀναστάσεως ἐν ἀληθινῇ καὶ βεβαίᾳ τῇ δικαιοσύνῃ διάγειν μέλλομεν, ἁμαρτεῖν οὐκ ἐπιδεχόμενοι.

1 Τί οὖν ἐροῦμεν; ἐπιμενοῦμεν τῇ ἁμαρτίᾳ.

Γενναδίου. Τὰ προλαβόντα εἰρηκὼς ἐπὶ συστάσει τοῦ περὶ τῆς κατὰ Χριστὸν χάριτος λόγου, συνεῖδεν ἐκ τούτων αὐτῷ τικτομένην ἀντίθεσιν· καὶ ταύτην ἀντιθεὶς, ὡς ἀπὸ τοῦ ἐναντίου τὴν λύσιν αὐτῆς ἰσχυροτάτην ἐργάζεται, καὶ φησὶν, "τί "οὖν ἐροῦμεν; ἐπιμενοῦμεν τῇ ἁμαρτίᾳ ἵνα ἡ χάρις πλεονάσῃ; "μὴ γένοιτο." ἄρα οὖν φησὶν, ἔκ γε ὧν ἔφην, ὡς ἐπεξαμαρτητέον ἡμῖν, καὶ ταύτῃ τὴν χάριν ποιητέον πλείονα τε καὶ μείζονα. εἴπερ οὖν πρὸς τὸ τῶν ἡμετέρων πλῆθος ἁμαρτημάτων καὶ ἡ ταύτης αὔξεται φύσις. ἔοικε δὲ μάλιστα τοῦτο, τῷ "φασί τινες ἡμᾶς λέ"γειν, ποιήσωμεν τὰ κακὰ, ἵνα ἔλθῃ τὰ ἀγαθά." μὴ γένοιτό φησι· τέως ὡς ἀνόσιον παντὸς λογισμοῦ τὸν λόγον ἀπηύξατο. μετὰ τοῦτο δὲ ἤδη καὶ λογισμοῖς ἀναμφιλέκτοις[z] τὴν ἀτοπίαν αὐτοῦ διελέγχει, καὶ φησὶν, "οἵτινες ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, πῶς ἔτι "ζήσομεν ἐν αὐτῇ;" τοῦτο λέγειν ἂν φησιν ἔχοιεν οἱ σαρκικοί τε καὶ ἄπιστοι. ἡμᾶς μέντοι τῶν παντάπασιν ἀδυνάτων ἐστὶν αὖθις ἀναβιῶναι τῇ ἁμαρτίᾳ τοὺς ἅπαξ ἀποθανόντας αὐτῇ.

Διοδώρου. "Τί οὖν ἐροῦμεν," φησὶν, "ἐπιμενοῦμεν τῇ ἁμαρ"τίᾳ, ἵνα ἡ χάρις πλεονάσῃ; μὴ γένοιτο." ἀσφαλῶς ἐπήγαγε

[z] Cod. ἀνεμφιλέκτοις,

τὸ "μὴ γένοιτο·" οὐ γὰρ οἱ κακοτέχνως ἁμαρτάνοντες ἀφέσεως ἄξιοι, ἀλλ' οἱ διὰ ῥαθυμίαν καὶ ἀπροσεξίαν τὰς παρὰ τοῦ διαβόλου μεθοδείας δεχόμενοι, οὗτοι ἐλεεῖσθαι δίκαιοι παρὰ τοῦ Θεοῦ. "οἵ τινες ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, πῶς ἔτι ζήσωμεν ἐν αὐτῇ;" ἐπειδὴ βαπτιζόμενοι ὁμολογοῦμεν ἀποτεθνηκέναι τῷ κόσμῳ, καὶ ἀποτάττεσθαι τῇ ἁμαρτίᾳ καὶ τῷ διαβόλῳ.

ΚΕΦ. Η.

Περὶ τῆς ὀφειλομένης ἐπὶ τῇ πίστει πράξεως ἀγαθῆς.

3 Ἢ ἀγνοεῖτε ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν.

Κυρίλλου. Βεβαπτίσμεθα μὲν ὁμολογουμένως "εἰς τὸ ὄνομα "τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος·" εἰ δὲ δὴ λέγοι ὡς εἰς Χριστὸν Ἰησοῦν βεβαπτίσμεθα, οὐκ ἔξω τοῦ εἰκότος ἐρεῖ· μάλιστα μὲν γὰρ ὀνόμασί τε καὶ ὑποστάσεσι καὶ προσώπων διαφοραῖς εἰς ἰδικὴν ἑτερότητα διεστήξει πῶς Πατὴρ πρὸς Υἱὸν, καὶ πρὸς ἄμφω τὸ Πνεῦμα. Πατὴρ γάρ ἐστιν ὁ Πατὴρ, καὶ οὐχ Υἱός· Υἱὸς δ' αὖ πάλιν κατὰ φύσιν ὁ ἐξ αὐτοῦ, καὶ οὐ Πατήρ. Πνεῦμα δὲ ἰδικῶς τὸ Πνεῦμα τὸ Ἅγιον. ἐπειδὴ δὲ ἐν Πατρὶ μέν ἐστιν ὁ Υἱὸς, ἐν Υἱῷ δὲ Πατὴρ, ὄντος ἐν ἀμφοῖν τοῦ Ἁγίου Πνεύματος διὰ τὸ τῆς οὐσίας ταυτὸν, κἂν εἰ ἕν τις ὀνομάσῃ δυνάμει θεωρημάτων τὴν τοῦ παντὸς δήλωσιν ἐποιήσατο. οὐκοῦν ὁ Χριστὸν ὀνομάσας, οὐκ ἀμνημονεύσει τοῦ Πατρὸς ἢ τοῦ Πνεύματος.

Ἐπειδὴ δὲ γενόμενος ἄνθρωπος, τὸν ὑπὲρ τῆς ἁπάντων ζωῆς ἀνέτλη θάνατον ὁ Ἰησοῦς· κεχώρηκεν ἀναγκαίως ὁ μακάριος Παῦλος ἐπὶ τὸ ὅτι μάλιστα τῇ προκειμένῃ μυσταγωγίᾳ χρειωδέστατον· ἔδει γὰρ ὀνόμασται[a] τὸν πεπονθότα. ταύτῃ τοι φησὶν, "ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον "αὐτοῦ ἐβαπτίσθημεν." προκαταθέμενοι γὰρ ὥσπερ τὸ ἐκ συνειδήσεως ὀρθῆς ἀγαθὸν ἐπερώτημα εἰς Χριστὸν, καὶ πίστει παραδεξάμενοι, ὅτι καὶ ἀπέθανεν ὑπὲρ ἡμῶν καὶ ἐτάφη καὶ ἀνεβίω, τὴν

[a] Sic.

ἄφεσιν τῶν ἁμαρτιῶν ἐσχήκαμεν διὰ τοῦ ἁγίου βαπτίσματος, καὶ τὴν τῆς ἁμαρτίας ὑπομένοντες νέκρωσιν· καὶ οἷον τῷ δι' ἡμᾶς τεθνεώτῃ [b] συναποθνήσκοντες, διὰ τὸ νεκροῦν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς. "ὁ μὲν γὰρ Χριστὸς τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ. ὁ δὲ "ζῇ τῷ Θεῷ." ἡμεῖς δὲ τὸν ἴσον αὐτῷ θάνατον ὑπομένομεν, καὶ μονονουχὶ συντεθάμμεθα, τὴν αὐτοῦ νέκρωσιν περιφέροντες ἐν ἰδίοις σώμασι· συνετάφημεν δὲ τῷ Χριστῷ. τί δὴ ἄρ' ἐντεῦθεν ἀποκερδαίνοντες, σαφηνιεῖ λέγων αὐτὸς, "ἵνα ὥσπερ ἠγέρθη Χριστὸς ἐκ "νεκρῶν διὰ τῆς δόξης τοῦ Πατρὸς, οὕτως καὶ ἡμεῖς ἐν καινότητι "ζωῆς περιπατήσωμεν."

Δεῖ γὰρ ἡμᾶς ὡς συντεθαμμένους καὶ συνανίστασθαι νοητῶς. καὶ εἴπερ ἐστι τεθνάναι τῇ ἁμαρτίᾳ τὸ συνθάπτεσθαι τῷ Χριστῷ, δῆλον ἂν εἴη δήπουθεν ὡς οὐχ ἕτερόν τι τὸ συνανίστασθαι νοοῖτ' ἂν εἰκότως πλὴν ὅτι τὸ ζῆν ἐν δικαιοσύνῃ. ἐγηγέρθαι μὴν διαβεβαιοῦνται Χριστὸν διὰ τῆς δόξης τοῦ Πατρὸς, οὐχ ὡς ἰσχύος ἐπιδεᾶ· καὶ γάρ ἐστιν αὐτὸς ὁ τῶν δυνάμεων Κύριος· ἀλλ' ὅτι τὰ ὑπὲρ ἀνθρώπου φύσιν τῇ τῆς ἀνωτάτω φύσεως δόξῃ προσάπτειν ἔθος, αὐτῷ τε Χριστῷ καὶ τοῖς αὐτοῦ. οὐκοῦν κἂν εἴτι λέγοιτο κατορθοῦν ὁ Θεὸς καὶ Πατὴρ, οὐκ ἐξεκενοῦμεν τῆς ἐφ' ἅπασιν ἐνεργείας αὐτοῦ τὸν Υἱόν. εἰ γὰρ πάντα γέγονεν δι' αὐτοῦ, πῶς ἂν ἐνδοιάσειέν τις ὡς ἐνήργηκε διὰ Υἱοῦ καὶ αὐτοῦ τοῦ ἁγίου σώματος τὴν ἀνάστασιν. καὶ γοῦν ὁ Υἱὸς ἐνεργὸν εἰς τοῦτο δεικνὺς ἑαυτὸν τοῖς Ἰουδαίοις, ἔφασκε "λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν "τρισὶν ἡμέραις ἐγερῶ αὐτόν." ἄθρει δὴ οὖν ὅπως αὐτὸς ἐγείρειν ἐπαγγέλλεται τὸν ἴδιον ναὸν, καίτοι τοῦ Θεοῦ καὶ Πατρὸς ἀναστῆσαι λεγομένου. ἐπειδὴ γάρ ἐστιν αὐτὸς ἡ ζωοποιὸς δύναμις τοῦ Θεοῦ καὶ Πατρὸς, τὸν ἴδιον ἐζωοποίει ναόν.

Γενναδίου. Ἴστε τοῦτο πάντως, φησὶν, ὡς τὸ Χριστοῦ βάπτισμα τύπον ἔχειν αὐτοῦ, τοῦτε θανάτου φαμὲν καὶ τῆς ἀναστάσεως. οἱ τοίνυν τοῦτο πίστει δεξάμενοι, πρόδηλον ὡς ἐπὶ ταῖς ἐλπίσιν αὐτὸ ταύταις εἰλήφαμεν· ἵνα ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν εἰς υἱοθεσίαν ἐπίδοξον, τοῦτο γὰρ λέγει "διὰ τῆς δόξης τοῦ Πατρὸς," οὕτω καὶ ἡμεῖς τοῦ θανάτου κεκοινωνηκότες αὐτῷ διὰ τοῦ βαπτί-

[b] In marg. γρ. τεθνεῶτι.

σματος, κοινωνοὶ ἦμεν τῆς ἀκηράτου καὶ ἀπαλαιώτου καὶ παμμακαρίας ἐκείνης ζωῆς.

Θεοδώρου. Ἢ οὐκ ἴστε, φησὶν, ἐκεῖνο, ὅτι τὸ βάπτισμα κοινωνοὺς ποιεῖ τοῦ θανάτου τοῦ Χριστοῦ; καὶ γὰρ ὥσπερ συνθάπτεσθαι δοκοῦμεν αὐτῷ βαπτιζόμενοι κατά γε τὸν τύπον· ὥστε προσήκειν ἡμᾶς, καθάπερ Κύριος ἐκ νεκρῶν ἀναστὰς εἰς ἑτέραν καινήν τινα κατέστη ζωὴν, οὕτως καὶ αὐτοὺς ἐν καινῇ τινὶ ζωῇ καθεστάναι μετὰ τὸ βάπτισμα, λογιζομένους ἄξιον ἐπιδείκνυσθαι τὸν βίον τῆς ζωῆς ἐκείνης, εἰς ἣν διὰ τοῦ βαπτίσματος γεγενῆσθαι πιστεύομεν.

Σευηριανοῦ. Τὸ ἐν καινότητι ζωῆς ἐστι, τὸ καινῆς τινὸς καὶ νέας ἐναρξασθαι ζωῆς, τὴν παλαιὰν τὴν ἐν ἁμαρτίαις ἀποθεμένους· καὶ γὰρ ἡ ἀναγέννησις καινοῦ τινος βίου καὶ νέου πολιτείαν ἐπαγγέλλεται.

5 Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ.

Κυρίλλου. Χρῆναι, φησὶν ὁ θεσπέσιος Παῦλος τοὺς συντεθαμμένους Χριστῷ καὶ συναναστήσεσθαι προσδοκᾷν· καὶ τὸ μὲν "σύμφυτοι" τὸ οἱονεὶ σύμμορφοί τε καὶ ταυτοειδεῖς νοητῶς ὑπεμφήνειεν ἄν· πλὴν ἐκεῖνο περιαθρεῖν ἀναγκαῖον. τέθεικεν ὑπὲρ ἡμῶν τὴν ἑαυτοῦ ψυχὴν ὁ Ἐμμανουὴλ, καὶ ἀπέθανε κατὰ σάρκα. συντεθάμμεθα δὲ αὐτῷ, τίνα δὴ τρόπον ἡμεῖς οἱ [c] βεβαπτισμένοι; ἆρα ὡς ἀνατλάντες σὺν αὐτῷ τὸν τῆς σαρκὸς θάνατον; οὐ μενοῦν. πῶς οὖν ἄρα σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ; φέρε δὴ φέρε, λέγωμεν· ἀπέθανε μὲν γὰρ κατὰ σάρκα Χριστὸς, ἵνα λύσῃ τοῦ κόσμου τὴν ἁμαρτίαν. ἀποθνήσκομεν δὲ ἡμεῖς οὐ κατάγε τὴν σάρκα ποθὲν, ἀλλὰ τῇ ἁμαρτίᾳ καθὰ γέγραπται· τουτέστιν ἀεργῆ τε καὶ ἄπρακτον ἐν ἑαυτοῖς ἀποφαίνοντες τὴν ἁμαρτίαν, διὰ τοῦ κατανεκροῦν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς· πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν καὶ τὴν πλεονεξίαν.

Σύμφυτοι δὴ οὖν γεγόναμεν, οὐχὶ δὴ μόνον τῷ κατὰ σάρκα θανάτῳ Χριστοῦ, ἀλλὰ καὶ τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ. τοῦτο δ' ἂν εἶναι νοοῖτο τὸ ὑπὲρ τῆς ἁμαρτίας ἀποθανεῖν, καὶ οὐχ

[c] Cod. βεβαπτισμένον.

ὑπέρ τε τῆς ἰδίας· πολλοῦ γε καὶ δεῖ. καὶ γὰρ ἔστιν ἄμωμος ὁ Θεὸς, καὶ τοῦ δύνασθαι πλημμελεῖν ἀπωτάτω· ἀλλ' ἵνα ὡς ἔφην, ὑπὲρ τῆς τοῦ κόσμου ἁμαρτίας. "ὃ γὰρ ἀπέθανε τῇ ἁμαρτίᾳ, ἀπέ-" θανεν ἐφάπαξ." οὐκοῦν σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ. ἐσόμεθα δὲ πάντως σύμφυτοί τε καὶ ταυτοειδεῖς καὶ τῆς ἀναστάσεως αὐτοῦ. ζησόμεθα γὰρ ἐν Χριστῷ· καὶ ἀναβιώσεται μὲν ἡ σὰρξ, ζησόμεθα δὲ καὶ καθ' ἕτερον τρόπον αὐτῷ, τὴν οἰκείαν ἀναθέντες ψυχὴν, μεταστοιχειούμενοί τε πρὸς ἁγιασμὸν, καὶ εἰς εὐκλεᾶ πολιτείαν ἐν Ἁγίῳ Πνεύματι.

Θεοδώρου. Δῆλον δὲ ἄρα κἀκεῖνο φησὶν, ὡς οὐκ ἔνεστι τυπικῶς κοινωνήσαντες τῷ θανάτῳ, μὴ καὶ τῆς ἀναστάσεως ἐπ' αὐτῷ τυχεῖν τῶν πραγμάτων. καλῶς δὲ εἶπε τὸ "σύμφυτοι," περί τε νεκρώσεως καὶ ζωοποιήσεως διαλεγόμενος· ἐπειδὴ καὶ τῶν φυτῶν ἴδιόν ἐστι τὸ νεκροῦσθαι μὲν ἐν τῇ φυτείᾳ, μεθίστασθαι δὲ ἐπὶ τὸ κρεῖττον καὶ ἐνδοξέτερον πολλῷ. καὶ εἰκότως ἀπὸ τῶν παρόντων τὰ μέλλοντα ἐπιστώσατο· ἐπειδὴ γὰρ δῆλον ἦν ὡς Πνεύματος μετεῖχον ἐν τῷ βαπτίσματι· τοῦτο δὲ ὑπ' αὐτῶν σαφῶς ἐδείκνυτο τῶν πραγμάτων· καλῶς ἀπὸ τοῦ φαινομένου τότε τὸ μηδέπω δῆλον αὐτοὺς ἐπιστώσατο.

Διοδώρου. Ἀκριβῶς τὸ σύμφυτον τέθεικε· τῶν γὰρ συμπεφυτευμένων πρέμνων εἰς ταὐτὸ ἑνοῦται πολλάκις ἡ φύσις διὰ τῆς κολλήσεως· οὕτως οὖν καὶ οἱ γνησίως βαπτισθέντες εἰς τὸν θάνατον τοῦ Χριστοῦ, ἑνοῦνται αὐτῷ διὰ τῆς πίστεως.

Ὠριγένους. Πλάσας τὸ ὄνομα τέθεικε φυτόν τι, ἐπιστάμενος τὸν Ἰησοῦν θάνατον φέρον καρποὺς ἀναιρετικοὺς τῆς ἁμαρτίας· ᾧ φυτῷ ὁ λόγος γεωργεῖ ἐν τοῖς παραδεξαμένοις τὴν διδασκαλίαν τὴν διὰ Χριστοῦ, ποιῶν αὐτοὺς συμφύτους τῷ ὁμοιώματι τοῦ θανάτου ἐκείνου[d], δύναται ἡ ἀνθρωπίνη φύσις ἀναλαβεῖν, τὸν δὲ ἐκείνου θάνατον τοῦ ἁμαρτίαν μὴ ποιήσαντος, μηδὲ γνόντος ἁμαρτίαν, ἀλλ' ἀποθανόντος ἐπὶ τῇ καθαιρέσει, οὐχὶ τῆς ἐν αὐτῷ ἁμαρτίας, ἀλλὰ τῆς ἐν ἡμῖν, οὐχ οἷόν τε ἐστὶν ἀποθανεῖν τινὰ τῶν ἡμαρτηκότων· "πάντες δὴ ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης τοῦ "Θεοῦ, δικαιούμενοι δωρεὰν," καὶ τὰ ἑξῆς.

[d] Quæ sequuntur non satis cohærent.

Ἀνώνυμον. Ἐν ἄλλοις δὲ λέγει, "συνήγειρε καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ· καὶ εἰ συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε." πῶς οὖν ἐνταῦθα λέγει, "καὶ τῆς ἀναστάσεως ἐσόμεθα;" πρὸς τοῦτο λεκτέον ὅτι διττῶς ὀναμάζει τὴν ἀνάστασιν ὁ Ἀπόστολος· μίαν μὲν τὴν ἤδη, καθ' ἣν ὁ ἅγιος συνανέστη Χριστῷ, καὶ συνεγερθεὶς αὐτῷ, τὰ ἄνω ζητεῖ· ἑτέραν δὲ τὴν ὅταν ἔλθῃ τὸ τέλειον, περὶ ἧς καὶ Δανιὴλ προφητεύων φησὶ, "πολλοὶ τῶν καθευδόντων ἐν γῆς χώματι ἀναστήσονται, οὗτοι εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι εἰς ὀνειδισμὸν καὶ εἰς αἰσχύνην αἰώνιον." τὴν ἑτέραν μὲν οὖν τῶν ἀναστάσεων οἱ ἅγιοι ἐροῦσι συνεγηγέρθαι τῷ Χριστῷ· κατὰ δὲ τὴν ἑτέραν καὶ ἀναστήσεσθαι.

6 Τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος.

Κυρίλλου. Τίς "ὁ παλαιὸς ἡμῶν ἄνθρωπος," ποῖον δὲ "τὸ σῶμα τῆς ἁμαρτίας τὸ καταργούμενον," καὶ τίνα δὴ τρόπον συνεσταυρώθη Χριστῷ, πολυπραγμονεῖν ἀναγκαῖον. ἴσως μὲν οὖν οἰήσονταί τινες ἁμαρτίας εἰρῆσθαι σῶμα τὴν ἀπὸ γῆς σάρκα, καθάπερ ἐν τάξει δίκης τῇ τοῦ ἀνθρώπου δοθεῖσαν ψυχῇ, διὰ τὸ καὶ πρὸ σωμάτων ἡμαρτηκέναι. δοκεῖ γὰρ ὧδέ τισι καὶ φρονεῖν καὶ λέγειν. Ἑλλήνων δὲ οὖσαν τὴν δόξαν ὡς οὐκ ἀληθῆ διωσώμεθα. σῶμα τοίνυν ἁμαρτίας καὶ παλαιὸν ἡμῶν ἄνθρωπον τὸ σῶμα λέγει τὸ ἀπὸ γῆς ἔχον ὥσπερ ἐκ παλαιότητος τῆς ἐν Ἀδὰμ τὸ καταφθείρεσθαι δεῖν· καὶ καταδεδικάσμεθα γὰρ ἐν ἐκείνῳ καὶ πρώτῳ· ἠρρωστηκὸς δὲ πρὸς τούτῳ καὶ τὸ φιλήδονον. ἔχοι γὰρ οὕτω κατὰ φύσιν ἡ σὰρξ ἐξ ἐμφύτων κινημάτων.

Πῶς οὖν ἄρα συνεσταύρωται ἀπὸ γῆς τῷ Χριστῷ; γέγονεν ἄνθρωπος ὁ μονογένης, καὶ σάρκα τὴν ἀπὸ γῆς ἠμπέσχετο καταρρωστοῦσαν, ὡς ἔφην, ὡς ἐκ παλαιότητος τῆς ἐν Ἀδὰμ τὸν θάνατον· ὠδινοῦσαν δὲ ὥσπερ ἐν ἑαυτῇ, καὶ τὸ ἐξ ἐμφύτων κινημάτων ἀκονᾶσθαι πρὸς ἁμαρτίαν· κατηρεμεῖ μὲν τῆς ἁμαρτίας ὁ νόμος ἐν τῇ ἁγίᾳ καὶ πανάγνῳ σαρκὶ τοῦ Χριστοῦ, καὶ οὔτι που κεκινῆσθαι φαμὲν ἐν αὐτῷ τὰ τῶν ἀνθρωπίνων παθῶν ἐκτοπώτερα· πλὴν ὅσα τὴν κίνησιν ἀδιάβλητον ἔχει· τὸ πεινῆν δὲ λέγω καὶ τὸ διψῆν καὶ τὸ κοπιᾶν καὶ ὅσα καὶ παρ' ἡμῖν ὁ τῆς φύσεως νόμος ἔξω

τετήρηκεν αἰτίας· ὅμως εἰ καὶ μὴ κεκίνηται τυχὸν ἐν Χριστῷ τῆς ἁμαρτίας ὁ νόμος, διάτοι τὸ κατηυνᾶσθαι τῇ τοῦ οἰκονομοῦντος λόγου δυνάμει τε καὶ ἐνεργείᾳ· ἀλλ᾽ οὖν ὅταν αὕτη καθ᾽ ἑαυτὴν ἡ τῆς σαρκὸς δοκιμάζεται φύσις, κἂν εἰ ἐν Χριστῷ νοοῖτο τυχὸν, οὐχ ἑτέραν οὖσαν παρὰ τὴν ἡμῶν εὑρήσομεν. συνεσταυρώμεθα τοίνυν αὐτῷ σταυρωθείσης αὐτοῦ τῆς σαρκὸς, καὶ οἷον ὅλην ἐχούσης ἐν ἑαυτῇ τὴν φύσιν· καθάπερ ἀμέλει καὶ ἐν Ἀδὰμ, ὅτε γέγονεν ἐπάρατος, ὅλη νενόσηκε τὴν ἀρὰν ἡ φύσις· οὕτω γὰρ καὶ συνεγηγέρθαι λεγόμεθα τῷ Χριστῷ· συγκαθῆσθαι δὲ καὶ ἐν τοῖς ἐπουρανίοις· εἰ γὰρ ἐστὶν ὑπὲρ ἡμᾶς ὡς Θεὸς ὁ Ἐμμανουὴλ, ἀλλ᾽ οὖν ἐπείτοι γέγονε καθ᾽ ἡμᾶς ὡς εἷς ἐξ ἡμῶν, ἐγηγερταί τε καὶ συνεδρεύει τῷ Θεῷ καὶ Πατρί.

Συνεσταυρώθη τοίνυν ὁ παλαιὸς ἄνθρωπος· λέλυται γὰρ διὰ τῆς ἀναστάσεως τῆς ἀρχαίας ἐκείνης ἀρᾶς ἡ δύναμις· κατήργηται δὲ καὶ τὸ σῶμα τῆς ἁμαρτίας, καὶ οὐχὶ δὴ πάντως ἡ σὰρξ, ἀλλὰ τῶν ἐν αὐτῇ κινημάτων ἡ ἔμφυτος ἀγριότης, κατασείσουσα μὲν ἀεὶ πρὸς τὰ αἴσχίω τὸν νοῦν· ἐνιεῖσα δὲ ὥσπερ πηλῷ καὶ τέλμασι ταῖς γεωδεστέραις ἡδοναῖς. ὅτι γὰρ ἐν Χριστῷ καὶ τοῦτο κατώρθωται τῇ ἀνθρωπείᾳ φύσει· πῶς ἂν ἐνδοιάσειέ τις Παύλου λέγοντος ἐναργῶς, "τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς "σαρκὸς, ὁ Θεὸς τὸν ἑαυτοῦ Υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς "ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί." ὁρᾷς οὖν ὅπως τὸ τῆς ἁμαρτίας κατήργηται σῶμα. κατακέκριται γὰρ ἐν τῇ σαρκὶ τῆς ἁμαρτίας τὸ κέντρον, καὶ νενέκρωται μὲν ἐν πρώτῳ Χριστῷ· διαβέβηκε δὲ παρ᾽ αὐτοῦ καὶ δι᾽ αὐτοῦ καὶ εἰς ἡμᾶς ἡ χάρις.

Γεννάδιου. *Παλαιὸν ἄνθρωπον, τὸν φθαρτὸν λέγει καὶ πάθητον· ὡς τῆς παλαιότητος φθειρούσης τὸν ὥσπερ ἂν ἐπιγίνοιτο· ἁμαρτίας δὲ σῶμα φησὶ, τὸ μηκέτι μένον τὸ ἀναμάρτητον, ἀλλ᾽ ἐπιδεχόμενον ἁμαρτίαν. τοῦτο τοίνυν καταργεῖται φησὶ, τουτέστι ἀνενέργητον πρὸς τὴν ἁμαρτίαν καθίσταται. διὸ καὶ οὐχ ἁπλῶς ἔφη καταργεῖσθαι τὸ σῶμα, ἀλλὰ τὸ σῶμα τῆς ἁμαρτίας. τοῦτο γὰρ φθαρτὸν ὂν νῦν, ἐνδύεται ἀφθαρσίαν· καὶ θνητὸν ὂν νῦν, ἐνδύσεται ἀθανασίαν, μετασχηματίζοντος ἡμῶν τὸ σῶμα τῆς ταπεινώσεως τοῦ δεσπότου Χριστοῦ, πρὸς τὸ γενέσθαι αὐτὸ σύμμορφον*

τῷ σώματι τῆς δόξης αὐτοῦ. ὁ γὰρ ἀποθανὼν φησὶν, δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. τί τοῦτό ἐστιν ὃ λέγει; τῶν ζώντων ταυτηνὶ τὴν ζωὴν τὸ πταίειν ἐστίν. ἐπειδὴ καὶ τὸν νόμον ἔχειν τούτων ἐστί· τοῖς τετελευτηκόσι δὲ προσήκει τούτων οὐδέτερον. οὔτε γὰρ νόμος τῷ τεθνηκότι προσδιαλέγεται· πῶς γὰρ τῷ γε μηδὲ ἀκούοντι; καὶ ἁμαρτία τὸν τοιοῦτον οὐ διοχλεῖ. τῷ τοίνυν ἀποθανόντι φησὶν, οὐδὲν πρὸς τὴν ἁμαρτίαν κοινόν· οὐδὲ αὐτὴ πρὸς ἐκεῖνον ἔχει τὸ δίκαιον. οὐδὲ γὰρ τῷ πλημμελεῖν ὑπόκειται τοῦ λοιποῦ.

ΘΕΟΔΩΡΟΥ. *Λέγει καὶ τὸ πάθος τοῦ Κυρίου ἐπί τισιν ἐγένετο, εἰς μείζονα πίστιν τῶν εἰρημένων. ἐπειδὴ γὰρ ὑπὸ τὴν ἀπόφασιν γενόμενοι τοῦ θανάτου, πλεῖστον ὅσον ἐπιρρεπέστερον πρὸς τὸ ἁμαρτάνειν ὑπὸ τῆς θνητότητος ἐγινόμεθα, τῷ Χριστῷ φησὶν ἐσταυρωμένῳ, ὥσπερ ἅπασα ἡμῶν ἡ ὑπὸ τὴν θνητότητα κειμένη φύσις συνεσταυρώθη, ἐπειδὴ καὶ πᾶσα αὐτῷ συνανέστη. πάντων ἀνθρώπων αὐτῷ συμμετασχεῖν ἐλπιζόντων τῆς ἀναστάσεως. ὡς ἐντεῦθεν συναφανισθῆναι μὲν τὴν περὶ τὸ ἁμαρτάνειν ἡμῶν εὐκολίαν, διὰ τῆς ἐπὶ τὴν ἀθανασίαν τοῦ σώματος μεταστάσεως· γενηθῆναι δὲ καὶ ἡμᾶς ἔξω καταστῆναι τῆς τοῦ ἁμαρτάνειν ἀνάγκης.*

ΣΕΥΗΡΙΑΝΟΥ. *Οἱ κατὰ τὸν παλαιὸν ἄνθρωπον ζῶντες, σῶμα ἔχουσιν ἁμαρτίας προκείμενον τῷ διαβόλῳ εἰς ἐπιβουλάς· οἱ δὲ κατὰ τὸν νέον τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, σῶμα δικαιοσύνης· ἐπειδὴ καὶ μέλη τοῦ Κυρίου εἰσὶν, οὐκοῦν τοῦ διαβόλου τοὺς ἀνθρώπους ἐξερεθίζοντος ἁμαρτεῖν, ἡττηθέντος διὰ Χριστοῦ, καὶ τῷ σταυρῷ προσηλωθείσης τῆς σαρκὸς τοῦ Λόγου, ὁ πονηρὸς ἐκβέβληται· καὶ ἐλευθεριάζουσι νῦν οἱ βουλόμενοι. ὁ γὰρ ἀποθανὼν κατὰ τὸν τοῦ βαπτίσματος λόγον, τῷ κόσμῳ ἀπέθανε, καὶ δεδικαίωται καὶ ἀπήλλακται τιμωρίας, τῆς ἁμαρτίας ἀπαλλαγείς.*

8 Εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ.

ΓΕΝΝΑΔΙΟΥ. *Οὐκοῦν, φησι, καθάπερ ὁ Χριστὸς, καὶ ἡμεῖς ἀποθνήσκομεν, καθάπερ ὁ Χριστὸς ζησόμεθα καὶ ἡμεῖς. προσήκει οὖν εἰς ἐκεῖνον ὑμῖν ἀφορᾶν· καὶ ἅπερ ἐκεῖνον ἅπαξ ἀποθανόντα τῇ ἁμαρτίᾳ, εἶτα ἀναστάντα τῷ Θεῷ, τῶν ἀδυνάτων ἐστὶν αὖθις ἀποθανεῖν, οὕτω δέοι ἂν καὶ ὑμᾶς λογισμῷ χρωμένους δικαιοτάτῳ*

τὸν ἑαυτῶν τοῦ λοιποῦ βίον ἐν τῇ κατὰ Χριστὸν ῥαθυμίζειν[d] ζωῇ ὡς ἐλπίδι πρὸς ταύτην μεταβεβηκότας ἐκ τῆς προτέρας.

Διοδώρου. Εἰ μὲν ἦν δυνατόν φησι τὸν Χριστὸν καὶ δὶς καὶ τρὶς ἀποθανεῖν ὑπὲρ τῶν ἁμαρτανόντων, ἴσως ἀκίνδυνον ἦν ἐπὶ τὴν παλαιὸν τῶν ἁμαρτημάτων παλινδρομῆσαι συνήθειαν, ὁμοίαν ἔχουσιν ἀεὶ καὶ τῆς φιλανθρωπίας ἐλπίδα. εἰ δὲ ἅπαξ ἀποθανὼν οὐκ ἔτι ἀποθνήσκει, οὕτω καὶ ἡμεῖς συνταφέντες αὐτῷ καὶ συνεγερθέντες, οὐκέτι ταῖς ἁμαρτίαις ἀποθνήσκομεν. οὐ γάρ ἐστι δεύτερον βάπτισμα οὔτε δεύτερος Χριστοῦ θάνατος. διὸ ἀσφαλέστερον δεῖ βιοῦν. "ὃ γὰρ ἀπέθανε τῇ ἁμαρτίᾳ, ἀπέθανεν ἐφάπαξ." τουτέστιν ὑπὲρ τῶν ἁμαρτιῶν τῶν ἀνθρωπίνων· "ὃ δὲ ζῇ, τῷ Θεῷ ζῇ." τουτέστιν εἰσαεὶ ζῇ, ἅτε δὴ Θεὸς ὤν· οὕτως οὖν καὶ ὑμεῖς ταῖς ἁμαρτίαις νεκρώθητε· τῷ δὲ Θεῷ ζώσατε, δι' ὃν ζῆτε.

Καὶ οὕτω νοήσεις, ὥσπερ λέγομεν, ἐπὶ τοῦ καθ' ἡμᾶς ἀνθρώπου, ἀπέθανε τῇ σαρκὶ, ζῇ δὲ τῇ ψυχῇ, κατὰ δοτικὴν ἀποδιδόντες τὸν λόγον, οὕτω μοι νόει "τῷ Θεῷ ζῇ·" τουτέστι τὸ εἶναι Θεὸς, οὐκ ἐπειδὴ καὶ τὸ εἶναι ψυχῇ οὐκ ἔζη, ἀλλὰ τὸ ἀμαχώτερον ἔθηκε τὸ εἶναι αὐτὸν Θεόν.

Ὠριγένους. Ἀποτετολμημένως ἐπιφέρει τὸ "θάνατος αὐτοῦ "οὐκέτι κυριεύει·" ὅπερ ἐστὶ δυσφημοειδές. οἱ γὰρ πλεῖστοι φασιν ἀποθανεῖν αὐτόν· οὕτω[e] κυριεύεσθαι ἀπὸ τοῦ θανάτου, ἀλλὰ τῷ ἑκόντα τὴν ψυχὴν αὐτοῦ τεθεικέναι ὑπὲρ τῶν προβάτων ἑαυτοῦ, ἢ ὑπὲρ τῶν φίλων ἑαυτοῦ· φησὶν γὰρ καὶ αὐτὸς ὁ Σωτὴρ, "οὐδεὶς "αἴρει τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' "ἐμαυτοῦ." ὁ μὲν οὖν τις πρὸς ταῦτα φησὶν, ὅτι θάνατος λέγεται νῦν ὁ μέσος καὶ ἀδιάφορος, ὃν κατὰ τὸ κοινότερον ἀπέθανεν, ὅτε ὥς φησιν ὁ Παῦλος, "ἀπέθανε κατὰ τὰς γραφάς." ἀλλὰ πῶς ταύτῃ δυνήσεται συναγορεῦσαι τῇ διηγήσει τὸ "ἀπεθάνομεν σὺν Χριστῷ," καὶ τὸ, "ὃ γὰρ ἀπέθανε τῇ ἁμαρτίᾳ, ἀπέθανεν ἐφάπαξ;" ἀλλ' ἴσως ὁ τοιοῦτος ἐρεῖ, ὡς τὰ αὐτὰ ὀνόματα τίθησι δίττως ἡ γραφή· ποτὲ μὲν ἐπὶ τῶν σωματικῶν, ὅτε δὲ ἐπὶ τοῦ πνευματικοῦ, ὡς καὶ περὶ τῆς Σαμαρειτίδος γεγραμμένον, ἐν ᾧ τὸ ὕδωρ καὶ τὸ πιεῖν κατὰ τὸν αὐτὸν τόπον, ὅτε μὲν ἐπὶ τοῦ σωματικοῦ· ὅτε δὲ ἐπὶ τοῦ πνευματικοῦ τετάχθαι δοκεῖ· καὶ τὸ περὶ τοῦ θερισμοῦ ὡσαύτως φησί.

[d] Leg. ῥυθμίζειν. [e] Leg. οὐ τῷ.

Φησὶ τοίνυν οὐδὲν θαυμαστὸν κατὰ τοῦτον τὸν χαρακτῆρα καὶ τὸν Ἀπόστολον εἰρηκέναι, τὸ μὲν "ἀπεθάνομεν σὺν Χριστῷ," τάσσοντα, οὐκ ἐπὶ τοῦ κοινοτέρου θανάτου· τὸ δὲ "θάνατος αὐτοῦ "οὐκ ἔτι κυριεύει," ὡς θανάτου νῦν τοῦ μέσου ὀνομαζομένου. ἕτερος δὲ παρὰ τοῦτον ἐρεῖ ὅτι θάνατος ἐνταῦθα λέγεται ὁ κυριεύων Χριστοῦ, οὐκ ἄλλος ἢ ὁ ἐχθρὸς αὐτοῦ, οὗ τόπος[d] ἦν τὸ κατὰ τὸν Ἰωνᾶν κῆτος προφητευόμενον, καὶ ὑπὸ τοῦ Ἰὼβ φάσκοντος, "ἀλλὰ "κατεράσαιτο αὐτὴν ὁ μέλλων τὸ μέγα κῆτος χειρώσασθαι·" πρὸς ὃν θάνατον ὁδεύων, κατὰ τὸν καιρὸν τοῦ μέσου θανάτου ἔλεγεν, οὐ διὰ τὸν μέσον θάνατον, ἀλλὰ δι' ἐκεῖνον· "νῦν ἡ ψυχή μου "τετάρακται, καὶ περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου." οἱνεὶ (sic) γὰρ ἀπῄει εἰς τὴν χώραν αὐτοῦ διὰ τοὺς κρατουμένους ὑπ' αὐτοῦ, ὡς τάχα διὰ τοῦτο ἐρεῖσθαι τὸ "εἰς χοῦν θανάτου κατή-"γαγές με." καὶ ἑαυτὸν πεποίηκεν αὐτῷ "ὑπήκοος γενόμενος μέχρι "θανάτου." διὰ γὰρ τὸ γεγονέναι ἐν αὐτῷ κατακριθεὶς ὑπ' αὐτοῦ, κατέκρινε τὴν ἁμαρτίαν, οὖσαν ἐν ἐκείνῳ τῷ θανάτῳ. ὡς ἄν τις παραδείγματος ἕνεκεν, ἐλεύθερος ὤν, δοῦλον ἑαυτὸν παραδίδωσι τῷ στρατηγῷ τῶν πολεμίων, ἵνα παρ' αὐτῷ γενόμενος, ἐλευθερώσῃ τῇ ἑαυτοῦ οἰκονομικῇ δουλίᾳ τοὺς πολίτας ἀπὸ τοῦ ὑπ' ἐκείνῳ κινδύνου διὰ τοῦ ἐνέδρᾳ τινι ἀποκτεῖναι τὸν στρατηγὸν, καὶ τοὺς ὑπ' αὐτῷ πολεμίους. ἐκυριεύθη γὰρ ὁ τοῦτο δράσας, ὡς οὐκ αἰχμάλωτος ἁλοὺς, ἀλλὰ φρονήματι χρησάμενος ἀριστέως· οὕτως οὖν καὶ ὁ Χριστὸς ἑαυτὸν παρέδωκε τῇ δουλείᾳ, ἵνα μηδεὶς θανάτου γένηται τῶν μαθητευομένων αὐτοῦ τῷ λόγῳ δοῦλος· οὕτως γὰρ φησὶν ἡ γραφὴ, "κατήργησε τὸν τὸ κράτος ἔχοντα τοῦ "θανάτου, τουτέστι τὸν διαβόλον," καὶ τὰ ἑξῆς. τάχα δὲ καὶ παρέδωκεν ἑαυτὸν τῷ θανάτῳ κυριευθησόμενον, ῥυόμενος τοὺς ὑπ' αὐτοῦ κεκρατημένους, καὶ ἀντ' ἐκείνων ἑαυτὸν παραδιδούς· ἵνα μετὰ τοῦτο καταστρατηγήσῃ καὶ καταργήσῃ τὸν θάνατον.

12 Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ἡμῶν σώματι.

Διοδώρου καὶ Θεοδωρίτου. "Μὴ παριστάνετέ," φησι, "τὰ "μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ," ἀντὶ τοῦ, μὴ ὑμεῖς καθ' ἑαυτῶν δίδοτε ὅπλα τῷ πονηρῷ καὶ ἰσχὺν, ἁμαρτάνοντες· "ἁμαρτία

d Leg. τύπος.

"γὰρ ὑμῶν οὐ κυριεύσει, οὐ γάρ ἐστε ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν." ποία ἁμαρτία οὐ κυριεύσει; ἡ πρὸ τοῦ βαπτίσματος, ἥνπερ ἀφίησιν ἡ χάρις τοῦ Χριστοῦ. τοῦτο δὲ ὁ νόμος ποιεῖν οὐκ ἠδύνατο. οὐκ ἐστὲ ὑπὸ νόμον, τὸν μὴ δυνάμενον ῥύσασθαι, ἀλλὰ μᾶλλον τιμωρούμενον.

Θεοδώρου. Λέγει μὲν, ὅτι τούτων οὕτως ἐχόντων, δίκαιον ἡμᾶς μὴ ἁμαρτάνειν κατὰ τὸν παρόντα βίον· κἂν ἔτι θνητοὶ τὴν φύσιν ὄντες, πλείονα ἔχητε τὴν ἐπὶ τοῦτο ῥοπήν· ἐπειδὴ δὲ τὸ βασιλεύειν ἐπὶ τῆς ἁμαρτίας τέθεικε, καλῶς εἶπε, τὸ "μὴ "παριστάνετε τὰ μέλη ὑμῶν." παρεστάναι γὰρ τοῖς βασιλεῦσιν ἔθος τοὺς δορυφόρους. μὴ τοίνυν φησὶν ὡς βασιλίδι τῇ ἁμαρτίᾳ σπεύδοντες ὑπηρετεῖσθαι, διαπράττεσθε ἃ μὴ δεῖ. σπουδάσατε δὲ μᾶλλον ἑαυτοὺς ἀφορίσαι τῷ Θεῷ, κατὰ τοὺς ἐκ νεκρῶν ἀναβιώσοντας· ὅλοι δι' ὅλων τὰ δικαιοσύνης ἔργα ποιεῖν ἐσπουδακότες.

Θαυμασιώτατον δὲ αὐτοῦ τὸ ὡσεὶ ἐκ νεκρῶν ζῶντας δεικνύντος ὅτι οὐ τὸ πρᾶγμα παρ' αὐτῶν ἀπαιτεῖ, ἀλλὰ τὴν κατὰ τὸ δυνατὸν μίμησιν· ζῶντες μὲν γὰρ ἐκ νεκρῶν τότε ἔσονται, νυνὶ δὲ ὡς ἐκ νεκρῶν ζῶντές φησιν, ἀντὶ τοῦ κατὰ τὸ δυνατὸν ἐκεῖνο μιμούμενοι· καὶ καλῶς πείθων αὐτοὺς μὴ δεδοικέναι τὴν περὶ τὸ ἁμαρτάνειν ῥοπὴν καὶ τὰς ἐντεῦθεν κινήσεις, εἰ τὰ τῆς γνώμης ἀκέραια σώζοιτο, ἐπάγει, "ἁμαρτία γὰρ ὑμῶν οὐ κυριεύσει." ἐπειδὴ γὰρ ἀπὸ τῶν μελλόντων μὴ δεῖν αὐτοὺς ἁμαρτάνειν ἔδειξεν, ἀκολούθως ἐπήγαγεν, ὅτι κρατῆσαι ὑμῶν καθόλου τὴν ἁμαρτίαν τῶν ἀδυνάτων· ἔσται γὰρ καιρὸς ὁ μέλλων, ἐν ᾧ πάσης ἁμαρτίας ἀπηλλαγμένοι πολιτεύσεσθε· ὥστε εἰ νῦν τὰ τῆς γνώμης ὑμῶν ὑγιαίνοι[e], ἅπαν εἶδος ἁμαρτίας ἀποστρεφομένων, καὶ σπουδῇ τὰ καλὰ ποιεῖν ἐθελόντων, οὐ δεῖ δεδοικέναι τὴν ἐπὶ τὸ χεῖρον ῥοπήν. λήψεται γὰρ ἴασιν τοῦτο πάντως ἐν καιρῷ τῷ προσήκοντι, καὶ οὐ χρεία τῶν ἡμετέρων πρὸς τοῦτο πόνων. καὶ τὸ μεῖζον, "οὐ γὰρ ἐστὲ ὑπὸ νόμον, "ἀλλ' ὑπὸ χάριν." τοσοῦτον γὰρ ἀφέξετε τότε καί τι τοιοῦτον δεδοικέναι, ὥστε οὐδὲ νόμων ὑμῖν δεήσει τῶν ὑποδεικνύντων ἃ πράττειν

[e] Cod. ὑγιαίνει (with οι written above).

προσήκει. χάριτί τε καὶ φιλοτιμίᾳ τοῦ δεδωκότος τῆς τοῦ Πνεύματος ἀπολαύσεται[e] *δωρεᾶς.*

Γενναδίου. *Ἀνατρίψας ἐκ τῶν κατὰ χριστῶν τὴν ἀντίθεσιν, καὶ δείξας οὐκέτι τοῦ ἁμαρτάνειν αὐτοῖς οὐδαμῶς, ὡς οὐκ οὖσιν ἔτι μετὰ τὸ βάπτισμα σαρκικοῖς· ταῦτα δὲ μόνῃ πίστει τέως οὐ πείρᾳ κεκτήμεθα· οὔτε γὰρ ἀπαθεῖς, οὔτε ἀθάνατοί πως γεγόναμεν, τοῦ πράγματος αὐτοῦ κατά τινα λόγον ἀπόρρητον τῷ τῆς κοινῆς ἀναστάσεως φυλαττομένου καιρῷ, συμβουλὴν μετρίαν τε αὐτοῖς καὶ τὴν ἐνδεχομένην προσάγει· οὐ γὰρ ἔφη, μὴ οὖν ἁμαρτάνετε. τοῦτο γὰρ φύσεως ἀπαθοῦς τε καὶ ἀθανάτου, ἀλλὰ " μὴ βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν," κράτος ἐχέτω· μὴ δὲ δίκην οἰκετῶν τὸ προσταττόμενον ὑπ' αὐτῆς ἐν ταῖς τοῦ σώματος ἡμῶν ἐπιθυμίαις ἔτι ποιεῖν καταδέχεσθε*[f]*, δορυφόρους ὥσπερ αὐτὴν πρὸς συνεργείαν τῆς ἀδικίας τὰ ἑαυτῶν παρεχόμενοι μέλη. ἀλλ' ἀποφυγόντες ἐκείνην, καὶ πολεμίαν ὑμῖν εἶναι καὶ ἐχθρὰν ἡγησάμενοι, καταφύγετε πρὸς Θεὸν, καὶ ὡς ἀθανάτους αὐτῷ πρὸς δικαιοσύνης κατὰ δικαιοσύνης κατόρθωσιν ἑαυτοὺς εὐτρεπίσατε· " ἁμαρτία γὰρ ὑμῶν οὐ κυριεύσει, οὐ γὰρ ἐστὲ ὑπὸ νόμον ἀλλ' " ὑπὸ χάριν." ἔγνω τούτου τὸν σαρκικὸν ἑτοίμως ἑξόμενον· καὶ τῇ χάριτι πρὸς ἁμάρτημα ἀποχρησάμενον ἄδειαν τοῦτο τοίνυν προυπειδόνος* (sic) *ἑαυτῷ, τὸν παρ' ἐκείνου λόγον ἀνθυποφέρει καὶ φησίν.*

Ὠριγένους. *Ἀνωτέρω μὲν εἶπεν, " ἵνα ὥσπερ ἐβασίλευσεν " ἡ ἁμαρτία ἐν τῷ θανάτῳ." νυνὶ δὲ οὐκ εἶπε τοῦτο, ἀλλὰ, " μὴ " βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνήτῳ*[g] *ὑμῶν σώματι." διδάσκων ὅτι ὥσπερ θρόνος καὶ βασίλειόν ἐστι τῆς ἁμαρτίας τὸ θνητὸν ἡμῶν σῶμα· τὸ γὰρ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς Θεὸν, καὶ πάλιν τὸ φρόνημα τῆς σαρκὸς θάνατος. ἀλλὰ καὶ πάντα τὰ ἁμαρτήματα ἔργα σαρκός ἐστιν, ἅπερ ὁ Ἀπόστολος " φανερὰ" ὠνόμασεν. ἐν αὐτοῖς δὲ τάξας καὶ τὰς αἱρέσεις, ἐδίδαξεν ὅτι καὶ αὗται σαρκὸς εἰσὶν ἔργον ἀπολύον ἡμᾶς περισπασμοῦ· ἵνα μὴ νομίζωμεν τινὰ μὲν εἶναι ἔργα σαρκὸς, τινὰ δὲ ἁμαρτήματα οὐ σαρκὸς, ἤτοι δὲ*

[e] Leg. *ἀπολαύσετε.* [f] Cod. *καταδεχεσθαι* (ε written above). [g] Cod *θανάτῳ* sed in marg. *γρ. θνήτῳ.*

ψυχῆς ἢ νοῦ. ἀλλ᾽ ἐπάν τις ζητῇ πῶς καὶ αἱρέσεις τῆς σαρκός εἰσι κατειλεγμέναι, λεκτέον πρὸς αὐτὸν, ὅτι αἱρέσεις γίνονται ἀπὸ τοῦ νοῦ τῆς σαρκὸς, περὶ οὗ φησί που ὁ Παῦλος "εἰκῇ ἐμβατεύων καὶ φυσιούμενος ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ, καὶ οὐ κρατῶν τὴν κεφαλήν·" τάχα δὲ καὶ ὅτε ἁμαρτάνομεν βασιλευούσης τῆς ἁμαρτίας ἐν τῷ θνητῷ ἡμῶν σώματι, οὐδὲν ἄλλο ἐσμὲν, ἤπερ τὸ θνητὸν σῶμα καὶ σάρκες· "οὐ μὴ," γάρ φησι, "καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις εἰς τὸν αἰῶνα διὰ τὸ εἶναι αὐτοὺς σάρκας." καὶ αὐτὴ δὲ ἡ ψυχὴ ἔοικε μὴ μένειν, ἀλλ᾽ ἤτοι διὰ κακίαν γίνεσθαι σὰρξ, ἢ δ᾽ ἀρετὴν πνεῦμα· ὅτε γὰρ κολλᾶται τῇ πόρνῃ, γίνεται εἰς σάρκα μίαν πρὸς αὐτήν· ὁ δὲ κολλώμενος τῷ Κυρίῳ, ἓν Πνεῦμα ἐστίν.

ΤΟΥ ΑΥΤΟΥ. Καὶ ἤδη τοῦτο εἴρηκεν, "οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ," οὐ μὴν ἐν Χριστῷ Ἰησοῦ. τινὲς δὲ τοῦτο πρὸς ἀντιδιαστολὴν λήψονται λέγεσθαι ἑτέρων, οἱ ἔζησαν μὲν τῷ Θεῷ, οὐ μὲν ἐν Χριστῷ Ἰησοῦ. ἡμεῖς δὲ φαμὲν, μήποτε ἀδυνατόν ἐστι ζῆν μὲν Θεῷ ἐν Χριστῷ Ἰησοῦ * * * * ἐπείπερ "εἶδε τὴν Χριστοῦ ἡμέραν καὶ ἐχάρη·" εἴτε Μωσῆς ἔζησε τῷ Θεῷ, ἐν Χριστῷ Ἰησοῦ ἔζησεν· "ὅστις γε καὶ μείζονα πλοῦτον ἡγήσατο τῶν Αἰγύπτου θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ·" ἀλλὰ καὶ οἱ ἐπιθυμήσαντες πολλοὶ προφῆται καὶ δίκαιοι ἰδεῖν ἃ εἶδον οἱ Ἀπόστολοι, καὶ ἀκοῦσαι ὧν ἤκουσαν, οὐκ ἂν ἦλθον εἰς τὴν τῶν τοιούτων ἐπιθυμίαν καὶ ὄρεξιν, ἔξω τυγχάνοντες τοῦ ἐν Χριστῷ Ἰησοῦ ζῆν τῷ Θεῷ.

Ζητήσεις δὲ εἰ χρὴ φάσκειν πάντα τὸν ζῶντα τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ νεκρὸν εἶναι τῇ ἁμαρτίᾳ. πρὸς τοῦτο λέγοιτ᾽ ἂν, εἰ μὲν ὡς νεκρὸς τῇ ἁμαρτίᾳ ἔζη πότε τῇ ἁμαρτίᾳ, ἐὰν δέ τις ὑπὸ τοῦ πάντα ἐρευνῶντος Πνεύματος καὶ τὰ βάθη τοῦ Θεοῦ, φωτισθεὶς εὕρῃ τινας χωρὶς τοῦ ἐζηκέναι τῇ ἁμαρτίᾳ ποτὲ ζῶντας τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ, ἀποφαίνεται, ὅτι οὐκ εἴ τις ζῇ τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ, οὗτος ἤδη πάντως νεκρός ἐστι τῇ ἁμαρτίᾳ, καὶ ὕστερον νεκρὸς γενόμενος αὐτῇ ἔζησε τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ. ἕτερος δὲ εἴποι ἂν, ὅτι ἐνδέχεται καὶ διδομένου τοῦ ζῆν τινας τῷ Θεῷ ἐν Χριστῷ

Ἰησοῦ μηδέποτε γενομένους ἐν ἁμαρτίᾳ, οὐδὲν ἧττον κακείνους νεκροὺς εἶναι τῇ ἁμαρτίᾳ· ὥσπερ χωρὶς νόμου ἁμαρτία ἦν νεκρὰ, οὐκ ἐκ τοῦ ποτὲ ζῆν ἐλθοῦσα ἐπὶ τὸ γενέσθαι νεκρά.

Δείκνυσι δὲ ὁ θεῖος Ἀπόστολος καὶ ἑτέρωθεν τῆς νίκης τὴν εὐκολίαν· "ἁμαρτία γὰρ ἡμῶν," φησιν, "οὐκ ἔτι κυριεύσει," "οὐ γάρ ἐστε," φησὶ, "ὑπὸ νόμον ἀλλ' ὑπὸ χάριν." πρόσχες ἐνταῦθα τῇ ἀποστολικῇ ἀκριβείᾳ· τίνα τρόπον τὸ κυριεύειν τάσσων ἐπὶ τοῦ Σωτῆρος καὶ ἐφ' ἡμῶν. ἐπὶ μὲν τοῦ Σωτῆρος, "θάνατος," εἶπεν, "αὐτοῦ οὐκ ἔτι κυριεύσει." ἐπὶ δὲ ἡμῶν, "ἁμαρτία γὰρ "ὑμῶν οὐ κυριεύσει." οὔτε γὰρ ἐπὶ τοῦ Σωτῆρος ἔπρεπε λέγεσθαι τὸ ἁμαρτία αὐτοῦ οὐ κυριεύσει, οὔτε ἐφ' ὑμῶν κυριώτερον ἦν τὸ θάνατος ὑμῶν οὐ κυριεύσει. καὶ ἵνα μὴ ταυτὸν περὶ τοῦ Σωτῆρος καὶ ἡμῶν λέγεται[g] ὡς παραπλησίων, μετὰ ταῦτα ὥσπερ αἰτίαν παριστὰς τοῦ ἁμαρτίαν ἡμῶν μὴ κυριεύειν, φησὶ τὸ "οὐ γὰρ ἐστὲ "ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν." κατὰ γὰρ αὐτὸν τὸν Παῦλον, "ἡ "δύναμις τῆς ἁμαρτίας ὁ νόμος ἐστί." καὶ "νόμος παρεισῆλθεν, ἵνα "πλεονάσῃ τὸ παράπτωμα. ἀλλ' ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ἐκεῖ "ὑπερεπερίσσευσεν ἡ χάρις[h]. διότι οὐκέτι ἐσμεν ὑπὸ νόμον ἀλλ' "ὑπὸ χάριν." δικαίῳ γὰρ νόμος οὐ κεῖται. οὐ γὰρ δέεται τῆς ἀπὸ γράμματος νομικῆς διδασκαλίας εἰς τὸ τηρεῖν τὰς ἐντολὰς τοῦ Θεοῦ, θεοδίδακτος ὢν, ὡς Παῦλος διδάσκει λέγων, "περὶ δὲ τῆς "ἀγάπης οὐ χρείαν ἔχετε ὑμῖν γράφεσθαι, ὑμεῖς γὰρ θεοδίδακτοι "ἐστὲ εἰς τὸ ἀγαπᾶν ἀλλήλους." εἴ τινι οὖν συμπέφυκεν ὁ τοῦ Θεοῦ νόμος, ὡς μὴ ἕτερον μὲν βούλεσθαι τὸν νόμον· ἕτερον δὲ εἶναι τὸ θέλημα τοῦ ἀνθρώπου, ὁ τοιοῦτος οὐκ ἔστιν ὑπὸ νόμον ἀλλ' ὑπὸ χάριν. οὕτω νοητέον "ἀλλ' ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέ- "λημα αὐτοῦ."

15 Τί οὖν; ἁμαρτήσομεν, ὅτι οὐκ ἐσμὲν ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν;

Γεννάδιοτ. Οὐ γὰρ ὑμᾶς τοῦτο, φησὶ, λέληθεν, ὅτι προσῆκον ὑμῖν ταῖς ὑμῶν αὐτῶν ὁμολογίαις ἐμμένειν· καὶ τοῦτον ὅτι δεσπότην ἑαυτοῦ τοῖς ἔργοις τίς ἐπιδέδεικται τὸν οὗ τοῖς (sic)

[g] Leg. λέγηται. [h] Cod. ὑπερεπερίσσευσαν χάριν.

κελεύσμασιν ἔγνωκεν ὑπακούειν· κἂν ἁμαρτία τοῦτο, κἂν δικαιοσύνη. τὸ γὰρ ἤτοι ἁμαρτίας, ἢ ὑπακοῆς εἰς δικαιοσύνην ἀσαφῶς εἰρημένον τοιοῦτόν ἐστιν, ἤτοι ἁμαρτίας εἰς ὑπακοὴν, ἢ δικαιοσύνης.

Θεοδώρου. Τοῦτο Ἰουδαίοις μάλιστα λέγειν ἐνῆν, ὅτι νόμου φύσις διορίζει τί μεν πράττειν προσήκει, τί δὲ μή. εἰ μὲν οὖν ἔξω νόμου τυγχάνομεν, οὐδὲν ἂν κωλύοι τὸ προστυχὸν ἅπαντας πράττειν. εἰ δὲ ἔστι τις πρακτέων καὶ μὴ τοιούτων διάκρισις, ὑπὸ νόμον πάλιν ἐσμέν· καὶ σχῆμα ψιλὸν ἔχει τὰ λεγόμενα παρ' ὑμῶν. ταύτην τοίνυν ἀντιθεὶς αὐτῷ τὴν ἀντίρρησιν, λέγει μὲν πῶς ἁμαρτίας ἐκτὸς εἶναι προσῆκεν ἡμᾶς, οὐχ ὑπὸ νόμον ὄντας· ὅπως δὲ ἡ τῆς χάριτος ἀπόλαυσις οὐκ ἄδειαν ἡμῖν τοῦ ἁμαρτάνειν παρέχεται· καὶ εὐθὺς μὲν ἐπάγει κατὰ τὸ σύνηθες αὐτῷ, μὴ γένοιτο τοῦ ἁμαρτάνειν· καὶ τὴν προσηγορίαν φευκτὴν εἶναι ἡγούμενος, τὴν δέ γε λύσιν τῆς ἀντιθέσεως οὕτω ποιεῖται· πᾶς ἄνθρωπος ὅτῳ περ ἂν ὑπακούειν ἕληταί, φησι, δοῦλον ἑαῦτον ἐκείνου κατέστησεν εἰς τὸ πείθεσθαί τε αὐτῷ καὶ τὰ ἐκείνῳ δοκοῦντα πράττειν ἅπαντα. ἢ τοίνυν τῇ ἁμαρτίᾳ πείθεσθαι ἑλόμενοι, τὰ ἐκείνῃ δοκοῦντα ποιεῖν ἀνάγκην ἔχετε, τὸν ἐπιγινόμενον ἐντεῦθεν θάνατον ἐκδεχόμενοι, ἢ τῇ δικαιοσύνῃ προσνείμαντας ἑαυτοὺς, δεήσει πάντως τὸ ταύτης βούλημα πληροῦν, τὰ ἐκεῖθεν ἀγαθὰ περιμένοντας.

17 Χάρις δὲ τῷ Θεῷ, ὅτι ἦτε δοῦλοι τῆς ἁμαρτίας.

Γενναδίου. "Χάρις," φησὶ, "τῷ Θεῷ, ὅτι ἦτε δοῦλοι τῆς "ἁμαρτίας," λάχετε, τῆς ἁμαρτίας ἀνθελόμενοι τὴν δικαιοσύνην· καὶ ταύτην ἀντ' ἐκείνης δεσπότην ἔχειν καταδεξάμενοι. ἧς καὶ τὸν τύπον τῆς διδαχῆς παρειληφότες προσήκασθε, πρὸς ὃν τοῦ λοιποῦ βιωτέον ὑμῖν ἀκριβῶς.

Θεοδώρου. Ἀναγκαιότατον μὲν οὖν καὶ τὸ "χάρις δὲ τῷ "Θεῷ·" ἔδει γὰρ ἀπὸ εὐχαριστίας ἄρξασθαι, τόν γε τοσούτων ἀγαθῶν δόσιν παρὰ Θεοῦ ὑπάρξασαν ἡμῖν ἐξηγεῖσθαι μέλλοντα. καιριώτατα δὲ τὸ "εἰς ὃν παρεδόθητε τύπον διδαχῆς." οἱ γὰρ Ἀπόστολοι διετέλουν ἁπανταχοῦ λέγοντες, ὅτι λέλυται τὰ παλαιὰ, πέπαυται θάνατος, ἔσβεσται ἁμαρτία· ἔργῳ μὲν ὕστερον,

ἐπαγγελίᾳ δὲ ἤδη. τύπον δέ τινα καὶ σύμβολα πληροῦμεν ἐκείνων ἐπὶ τοῦ βαπτίσματος, διὰ τῆς δεδομένης ἡμῖν ἐν αὐτῷ τοῦ Πνεύματος δωρεᾶς· ὥσπερ ἀναγεννώμενοι κατὰ μίμησιν τῶν ἐσομένων τότε. τοῦτο οὖν λέγει· ὅτι γνώμῃ τὴν ἡμετέραν διδασκαλίαν εἵλεσθαι[h], δι' ἧς προσηγάγομεν ὑμᾶς, καὶ μονονουχὶ παρεδώκαμεν τῷ τύπῳ τῶν μελλόντων διὰ τοῦ βαπτίσματος. τούτοις δὴ πεισθέντας, ἀνάγκη σύμφωνα διαπράττεσθαι, μιμουμένους ἐκεῖνα τῷ βίῳ, εἰς ἃ τῷ τύπῳ κατέστητε.

Γενναδίου. Εἰς τοιούτους κατενένεγμαι λόγους, καὶ παραδείγμασιν ἀνθρωπίνων ἐχρησάμην ἐθῶν τοῦ πρὸς ἀρετὴν ἀτόνου τῆς σαρκὸς ὑμῶν με καταναγκάσαντα.

Διοδώρου. Ἠδυνάμην, φησὶ, τελειότερόν τι καὶ μεῖζον εἰπεῖν, καὶ εὐεργεσίας ὑπερβαλλούσης ἄξιον. λέγω δὲ ὑμῖν τοσοῦτον, ὅσον χωρεῖτε, ἀσθενεῖς τε ὄντες τῇ σαρκί.

19 Ὥσπερ γὰρ παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ.

Γενναδίου. "Ὥσπερ γὰρ παρεστήσατε," φησὶ, "τὰ μέλη "ὑμῶν," καὶ τὰ ἑξῆς. τὸν γὰρ κανταῦθα σύνδεσμον, ἀντὶ τοῦ τοίνυν παρείληφε. δεῖ τοίνυν ὑμᾶς, φησὶν, ὥσπερ ἐν τῷ πρόσθεν ὅλους ἑαυτοὺς τῇ ἀνομίᾳ πρὸς ἐργασίαν ἀκαθαρσίας ἐκδεδώκειτε πάσης, οὕτω νῦν, ἢ καὶ μᾶλλον ἀποσχομένους ἐκείνων παντάπασι, τὴν δικαιοσύνης σπουδαίως ἁγιότητα μετελθεῖν.

Διοδώρου[i]. Δῆλον μὲν οὖν φησιν, ὅτι τοσούτῳ μείζονα περὶ ταῦτα ἔχειν προσῆκε τὴν σπουδὴν, ὅσῳ κακίας κρείττων τρήσας[k] πλείονα περὶ τὸ χεῖρον ἐχούσῃ τὴν ῥοπὴν, μὴ μέγα τι φθέγξομαι μὴ ὑπὲρ ἄνθρωπον. τοσοῦτο γοῦν ὑμᾶς περὶ τὴν ἀρετὴν ἔχειν βούλομαι, ὅσον τῇ ἁμαρτίᾳ προσεσχήκατε.

Γενναδίου. Ἴστε γάρ που τὸν χρόνον ἐκεῖνον, φησὶν, ἐν ᾧ τῆς ἁμαρτίας ἐπιτάγμασιν ὑπετάττεσθε. πῶς ἦν ὑμῖν πρᾶγμα κοινὸν πρὸς τὴν δικαιοσύνην οὐδέν.

Ὠριγένους. Ἐπειδὴ ὡς πολλαχοῦ φησὶν, ἐτηρήσαμεν τὸ τῆς δικαιοσύνης ὄνομα, ἀντὶ τῆς ἀρετῆς ἔσθ' ὅτε παραλαμβάνεται,

h Leg. εἵλεσθε. i Cod. δεοδῶρ. k Sic. leg. fors. ἀρετῃ.

λεκτέον ὅτι καὶ νῦν τοιοῦτόν ἐστι τὸ λεγόμενον. ὅτε δοῦλοι ἦτε τῆς ἁμαρτίας, ἐλεύθεροι ἦτε τῇ ἀρετῇ. καὶ παρακολουθεῖ τῷ γενικῷ τῆς ἁμαρτίας ὀνόματι, τὸ γενικὸν τῆς ἀρετῆς δικαιοσύνην ἐν τούτοις ὀνομάζεσθαι. δόξει δὲ ἰδικῶς τὸ εἰς ἁγιασμὸν λέγειν προτρεπόμενος εἰς ἁγνείαν καὶ καθαρότητα βίου τὸν δυνάμενον χωρῆσαι.

21 Τίνα οὖν καρπὸν εἴχετε τότε, ἐν οἷς νῦν ἐπαισχύνεσθε.

Γενναδίου. Καίτοι ἡδέως ἂν ἔγωγε νῦν πυθοίμην ὑμῶν ὑπὲρ ὅτου κατεσπευσμένως οὕτως τῇ ἁμαρτίᾳ τὴν καλὴν ἐκείνην δουλείαν ἐξεπληροῦτε, καὶ τίς τῆς πολλῆς ταύτης εὐνοίας ὑμῶν ὁ καρπός. οὐ φθορὰ καὶ ἀκαθαρσία καὶ θάνατος, καὶ τὰ πάσης αἰσχύνης ἀνάμεστα;

Θεοδώρου. Κατ' ἐρώτησιν ἀναγνωστέον τὸ, "τίνα οὖν κάρπον "εἴχετε τότε·" εἶτα κατὰ ἀπόκρισιν "ἐφ' οἷς νῦν ἐπαισχύνεσθε." εἴδομεν γὰρ τὸ κέρδος, φησὶ, τῆς περὶ ἐκεῖνα σπουδῆς, ἃ καὶ λεγόντων ἑτέρων αἰσχύνεσθε.

Ὠριγένους. Ἐξευτελίζων τὸν καρπὸν τῶν δούλων τῆς ἁμαρτίας ὡς οὐδενὸς ἄξιον λόγου φησίν. ἐφ' οἷς γάρ τις πρότερον ἐν ἁμαρτίᾳ καὶ ἀγνοίᾳ πεπραγμένοις ὕστερον εἰς συναίσθησιν ἐλθόντων ἡμαρτημένων αἰσχύνεται, ταῦτα καρπὸς ἂν εἴη ἄχριστος [l], ἄωρος εἰς βρῶσιν καὶ εἰς οὐθὲν ἐπιτήδειος. καὶ γὰρ τέλος τῶν τοιούτων ἔργων οὐκ ἄλλο ἢ θάνατος ἐστὶν, ὁ ἐχθρὸς Χριστῷ τῷ εἰπόντι, "ἐγώ εἰμι ἡ ζωή." κυριευόντων τοιούτους καρποὺς ἐνηνοχότων· ἐν ᾧ θανάτῳ οὐκ ἔστιν ὁ μνημονεύων Θεοῦ. καὶ γὰρ πᾶς ὁ ἐν αὐτῷ τέθνηκε τῷ Θεῷ, καὶ ζῇ τῷ θανάτῳ, ὅπερ ταὐτόν ἐστι, τὸ ζῆν τῇ ἀναμαρτίᾳ [m].

Γενναδίου. Ἆρα οὖν, φησὶ, τοιαῦτα καὶ τὰ νῦν, ἢ μικρῷ τῷ καὶ τῷ τυχόντι διεστηκότα, ἀλλ' οὐχὶ τῷ ὅλῳ καὶ τῷ παντί. ἀλλαξάμενοι γὰρ τῆς ἁμαρτίας Θεὸν, καὶ τὰ δοκοῦντα τούτῳ διαπράττεσθαι γνόντες, καρποῦσθε μὲν τὸν ἁγιασμὸν τὸ ἀναμάρτητον· τουτέστιν, ἐκ δὲ τούτου τὸ ἀθανάτοις ὑμῖν διαμένειν περίεσται.

[l] Leg. ἄχρηστος. [m] Sic.

Ὠριγένους. Ἡμέτερος καρπὸς εἰς ἁγιασμόν. οὐχ ἡμέτερος δὲ, οὐδὲ κατὰ τὴν ἡμετέραν φύσιν ὁ φέρων τῷ ἤδη συνησθημένῳ αὐτοῦ αἰσχύνην. ὅτι δὲ ἡμέτερον μὲν τὸ κρεῖττον, οὐ τοιοῦτον δὲ τὸ χεῖρον, δηλοῖ δὲ ὁ Σωτὴρ λέγων, "εἰ τὸ ἀλλότριον ἐπιστεύ-" θητε, καὶ οὐκ ἐγένεσθε ἄξιοι, τὸ ὑμέτερον τίς ὑμῖν δώσει;" κἂν γὰρ μὴ γενώμεθα ἄξιοι τοῦ κρείττονος, ὡς ἡμέτερον αὐτὸ τῇ φύσει οὐ λαμβάνομεν διὰ τὴν ἁμαρτίαν. ἐρεῖ δέ τις ἐνταῦθα τὸν εἰς ἁγιασμὸν καρπὸν εἶναι τῶν δεδουλωμένων τῷ Θεῷ τὴν παντελῆ ἀπὸ τῶν ἀφροδισίων καθάρευσιν. καί φησιν ὁ τοιοῦτος, τοῖς μὲν ἐν γάμῳ ἁρμόζειν τὸ "ἐλευθερωθέντες δὲ ἀπὸ τῆς ἁμαρτίας, "ἐδουλώθητε τῇ δικαιοσύνῃ." τοῖς δὲ ἐν ἁγνείᾳ ὡς μεῖζον, τὸ "νυνὶ δὲ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας," καὶ τὰ ἑξῆς. ὥστε τὸν μὲν ἔσχατον καρπὸν αὐτοῦ εἰς ἁγιασμὸν διὰ τὸ δεδουλῶσθαι τῷ Θεῷ. δεδουλῶσθαι πολὺ πρότερον τῇ δικαιοσύνῃ μὴ πάντως ἔχειν τὸν καρπὸν αὐτοῦ ἔχει εἰς ἁγιασμὸν διὰ τοῦ κατὰ συγγνώμην λόγον[n].

23 Τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας θάνατος.

Διοδώρου. Ὀψωνοῦνται οἱ ἁμαρτάνοντες ὑπὸ τοῦ διαβόλου, τοῦτον τὸν τρόπον πιπράσκοντες σωφροσύνην καὶ ὠνούμενοι ἀκολασίαν, πωλοῦντες χρηστότητα, καὶ ἀντιλαμβάνοντες ὠμότητα. οἱ οὖν τοιοῦτοι ἴδιον κτῆμα ὥσπερ τῆς ἁμαρτίας γενόμενοι, θανάτῳ ἑαυτοὺς ὑπάγουσι. τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας, θάνατος. ἢ τάχα τοῦτο λέγει, ὅτι τὰ παρὰ τοῦ ἐχθροῦ ὀψωνούμενα θανάτου παρεκτικά.

Ὠριγένους. Καλὴ ἡ διαφορά· ὀψωνίου μὲν ἐπὶ τῆς ἁμαρτίας τεταγμένου· χαρίσματος δὲ ἐπὶ τοῦ Θεοῦ. οὔτε γὰρ ὀψώνια ὡς ὀφειλόμενα δίδωσιν ὁ Θεὸς, ἀλλὰ χάρισμα· οὐδὲ χάρισμα ἡ ἁμαρτία ἀλλ' ὀφειλόμενα ὀψώνια. τὸ δὲ χάρισμα τοῦ Θεοῦ οὐκ ἔταξεν ἁπλῶς ζωὴ αἰώνιος· ἀτελὴς γὰρ αὕτη νοεῖται, ὅτε μὴ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν ἐστι. δηλοῦται δὲ ὅτι ἡ ἁμαρτία τῷ βασιλευομένῳ ὑπ' αὐτῆς δίδωσι τὸν θάνατον· καὶ οὐχ ὁ Θεὸς ἐπιφέρει τὸν ἐχθρὸν τοῦ Χριστοῦ θάνατον. "ὁ γὰρ Θεὸς θάνατον "οὐκ ἐποίησεν," καὶ τὰ ἑξῆς. ἐὰν δέ τις πρὸς τοῦτο ἀνθυποίσῃ καὶ

[n] Leg. vid. λόγου. sed plura ut vid. corrupta sunt.

τὸ "ἐγὼ ἀποκτενῶ καὶ ζωοποιήσω," καὶ "Κύριος θανατοῖ καὶ "ζωογονεῖ," ἐροῦμεν ὅτι ἀποκτένει ὁ Θεὸς τῇ ἁμαρτίᾳ, ἵνα μετὰ τοῦτο ζωοποιήσῃ τὸν ἀποθανόντα τῇ ἁμαρτίᾳ.

ΚΕΦ. Θ.

Ἐπανάληψις περὶ τῆς ἐν χάριτι ζωῆς.

1 Ἢ ἀγνοεῖτε ἀδελφοὶ, γινώσκουσι γὰρ νόμον λαλῶ.

ΚΥΡΙΛΛΟΥ. Πανταχοῦ ἐπισφαλὲς ἀποφαίνει τὸ ὑπὸ νόμον κεῖσθαι ζητεῖν. προτρέπει δὲ μᾶλλον ἐφίεσθαι καὶ ὅλῃ διανοίᾳ διψῆν τὴν διὰ πίστεως χάριν, τουτέστιν τὴν ἐν Χριστῷ δικαίωσιν. ᾧ καὶ συντεθάφθαι διισχυρίσατο τοὺς βεβαπτισμένους· ἵνα νεκρωθέντες τῇ ἁμαρτίᾳ, Θεῷ ζήσειαν ἐν δικαιοσύνῃ. τοιγάρτοι καὶ ἔφασκε, "μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν "σώματι, εἰς τὸ ὑπακούειν ταῖς ἐπιθυμίαις αὐτοῦ, μηδὲ παριστά-"νετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ, ἀλλὰ παραστή-"σατε ἑαυτοὺς τῷ Θεῷ ὡσεὶ ἐκ νεκρῶν ζῶντας· καὶ τὰ μέλη "ὑμῶν ὅπλα δικαιοσύνης τῷ Θεῷ· ἁμαρτία γὰρ ὑμῶν οὐκέτι "κυριεύσει· οὐ γὰρ ἐστὲ ὑπὸ νόμον ἀλλ' ὑπὸ χάριν." ἄθρει δὴ οὖν ὅπως ἀποφοιτᾶν ἐπιτάττει τῆς τοῦ νόμου σκιᾶς, ὑποτρέχειν δὲ μᾶλλον τὴν ἐν Χριστῷ χάριν. πλὴν οὐκ ἠγνόησεν ὁ πνευματοφόρος ὅτι δὴ πάντως ἐροῦσί τινες, ἤγουν διαλογιοῦνται, ὅτι διημαρτήκασιν ἄρα τῆς εὐθείας ὁδοῦ καὶ ζωῆς οἱ πατέρες. ὤνησε δὲ αὐτοὺς ὁ νόμος οὐδὲν, καὶ φροῦδα πῶς ἤδη τῆς ἐκείνων πολιτείας τὰ αὐχήματα. εἰ γάρ ἐστι τῶν ἀτόπων τὸ ὑπὸ νόμῳ κεῖσθαι ζητεῖν, καὶ ἦν οὗτος τοῖς ἀρχαίοις ὁ βίου σκόπος, πῶς οὐκ ἀληθὲς εἰπεῖν ὡς τοῦ πρέποντος διημαρτήκασιν;

Ἀγωνίζεται τοίνυν ὁ Χριστὸς (sic) ἔχων ἐν ἑαυτῷ, καὶ ὑποπλάττεται μὲν εὐφυῶς τὸ καὶ αὐτοῖς βούλεσθαι συνειπεῖν τοῖς ὑπὸ νόμον βεβιωκόσι. περιτρέπει δὲ ποικίλως εἴς γε τὸ δεῖν οἴεσθαι καιροῦ καλοῦντος εἰς πίστιν, μὴ λίαν ἐθέλειν τοῖς ἀρχαίοις ἔθεσιν ἐμφιλοχωρεῖν. ταυτήτοι[o] φησὶν, "ἢ ἀγνοεῖτε ἀδελφοὶ, γινώ-"σκουσι γὰρ νόμον λαλῶ, ὅτι ὁ νόμος κυριεύει τοῦ ἀνθρώπου ἐφ'

[o] Cod. ταυτοιτη.

"ὅσον χρόνον ζῇ;" ὅρος οὗτος γενικὸς κατά τε νόμου παντὸς καὶ τῶν ὑπὸ νόμον. ἅπασι μὲν γὰρ τοῖς ὑπὸ σκῆπτρα βασιλέων διορίζουσι νόμοι τό τε πρακτέον καὶ τὸ μή. ἰσχύουσι δὲ παρά γε τοῖς ζῶσιν ἔτι. εἰ δὲ δή τις τῶν ὑπὸ νόμον τῆς ἐνσωμάτου ζωῆς ἀπαλλάττοιτο, συναπεδύσατο τῇ ζωῇ καὶ τῶν νόμων τὴν ἐξουσίαν. εἰ γὰρ πέπαυται τοῦ πλημμελεῖν, ἀπρακτήσει τοῦ[m] πάντως καὶ ὁ νόμος ἐπ' αὐτῷ. ἀληθὲς οὖν ὅτι κυριεύει τοῦ ἀνθρώπου ἐφ' ὅσον χρόνον ζῇ.

Καὶ τίς ἄρα ἐστὶν ὁ τοῦ λόγου σκοπὸς ἀναγκαῖον εἰπεῖν. δύο κατ' αὐτὸν εἰσκομίζει[n] χρήσιμα. ἡμεῖς μὲν γάρ, φησιν, οἱ συντεθαμμένοι Χριστῷ διὰ τοῦ βαπτίσματος, οἱ ἀποθανόντες τῇ ἁμαρτίᾳ, ἔξω γεγόναμεν τῆς ἐξουσίας τοῦ νόμου· μετεστοιχειώθημεν γὰρ εἰς ζωὴν ἑτέραν. οἱ δέ γε πρὸ τῆς ἐπιδημίας οὔπω τὸν ἐν Χριστῷ νοούμενον θάνατον ὑπομείναντες, ἔζων ἔτι τῇ ἁμαρτίᾳ· ἐκράτει δὴ οὖν ὡς ζώντων ὁ νόμος, καθάπερ ἀμέλει καὶ γυναικὸς ὁ ἀνήρ. ὥσπερ γὰρ ἡ ὕπανδρος γυνή, ζῶντος μὲν ἔτι τοῦ κατὰ νόμον συνῳκήσαντος[o], οὐκ ἀνεύθυνον ποιεῖται τὴν ὑφ' ἑτέρῳ σύνοδον εἰ δὲ δὴ τεθναίη φησίν, ἔξω κεῖσθαι δίκης, κἂν εἰ ἕλοιτο δρᾶν εὐνόμως. κατὰ τὸν ἴσον οἶμαι τρόπον, οἱ μήπω τῆς ἁμαρτίας τὴν νέκρωσιν ἔχοντες ἐν Χριστῷ, ζῶντες δὲ ὥσπερ ἐν αὐτῇ, πεπράχασιν εἰκότως καὶ ὑπὸ νόμον. κυριεύει γὰρ τοῦ ἀνθρώπου ἐφ' ὅσον χρόνον ζῇ· οἱ δέ γε ὑπὸ χάριν ἤδη γεγονότες τὴν ἐν Χριστῷ, δι' ἧς καὶ τεθνήκασι τῇ ἁμαρτίᾳ, καὶ νενέκρωνται τῇ σαρκί, τουτέστι τοῖς πάθεσι τῆς σαρκός, εἰ μηκέτι χρηματίζουσιν ὡς ζῶντες ἐν κοσμῷ, ἀκαταίατο[p] ποιοῖντο ἂν τὴν ἔξω νόμου ζωήν. τεθανάτωνται γάρ, ὡς ἔφην, διὰ τοῦ σώματος τοῦ Χριστοῦ, καὶ ἀπέθανον τῷ νόμῳ, δικαιούμενοι διὰ πίστεως.

Διοδώρου. Ἐκ τούτου κατασκευάζει ὅτι ἰσχύοντος μὲν τοῦ νόμου πρὸ Χριστοῦ οὐκ ἦν ἐξὸν ἑτέρῳ συναφθῆναι, τουτέστιν τῇ χάριτι. παυσαμένου δὲ τοῦ νόμου, καὶ τρόπον τινὰ ἀπαθανόντος, ἔξεστι λοιπὸν συνάπτεσθαι τὴν Ἐκκλησίαν τῷ οὐρανίῳ νυμφίῳ. καὶ γὰρ τὸν νόμον καὶ τὸν Χριστὸν ἐν χώρᾳ ἀνδρὸς τίθησι. τὸν μὲν τῆς Ἐκκλησίας, ἐπειδὴ ὥσπερ ἀρχὴ γυναικὸς ὁ ἀνήρ,

m Leg. που. n Cod. εἰκοσμίζει. o Cod. συνωκησαντος κοτος.
p Leg. ἀκαταιτίατον.

οὕτως [q] ὁ Χριστὸς τῆς Ἐκκλησίας. καὶ ὁ νόμος ποτὲ τῆς συναγωγῆς. "ὁ νόμος," φησὶ, "κυριεύει τοῦ ἀνθρώπου, ἐφ' ὅσον χρόνον "ζῇ." τίς ζῇ; ὁ νόμος. ὥσπερ δὲ περὶ ἀνδρὸς καὶ συνοίκου αὐτῷ διαλέγεται περὶ αὐτοῦ.

Ὠριγένους. Τὸ γινώσκειν τὸν νόμον πάντως οἶδε τὴν διαφορὰν τῆς ἐν αὐτῷ παλαιότητος τοῦ γράμματος καὶ τῆς ἐνυπαρχούσης τοῖς νοήμασιν αὐτοῦ καινότητος τοῦ Πνεύματος. τοῦτο γάρ ἐστι τὸ τελείως γινώσκειν τὸν νόμον. ἐπιφέρει δὲ καὶ παράδειγμα, σφόδρα τῷ προκειμένῳ παράλληλον. ἡ γὰρ ὕπανδρος γυνὴ τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ. ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ, κατήργηται ἀπὸ τοῦ νόμου τοῦ ἀνδρός. ὁ νόμος ἐστὶν ὁ ἀνήρ. δῆλον δὲ ὅτι ὁ κατὰ τὸ γράμμα. οὗτος γὰρ καὶ τὸ ἀποθνήσκειν ἐπεδέξατο, διὰ τὸ εἶναι παλαιότης γράμματος. τὸ δὲ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ. λέγεται δὲ καὶ ἀποθνήσκειν, ἐπεὶ μηδὲ παρὰ τοῖς βουλομένοις αὐτὸν φυλάσσειν, καὶ οὕτω προαιρουμένοις· ἵν' οὕτως εἴπω ζη [r] * * *

4 Ὥστε, ἀδελφοί μου, καὶ ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ διὰ τοῦ σώματος τοῦ Χριστοῦ.

Ἀνεπίγραφον. Ἀπόλουθον ἦν εἰπεῖν, ὥστε ἀδελφοί μου καὶ ὑμεῖς τοῦ νόμου τελευτήσαντος οὐ κρίνεσθαι [s] μοιχείας ἀνδρὶ γενόμενοι ἑτέρῳ. ἀλλ' οὐκ εἶπεν οὕτως. ἀλλὰ πῶς; "ἐθανατώθητε "τῷ νόμῳ" εἰ νεκροὶ γεγόνατε, οὐκ ἐστὲ ὑπὸ νόμον. εἰ γὰρ τελευτήσαντος τοῦ ἀνδρὸς, οὐκ ἔστιν ὑπεύθυνος ἡ γυνὴ, πολλῷ μᾶλλον αὐτὴ τετελευτηκυῖα ἀπήλλακται τούτου. εἶδες Παύλου σοφίαν; πῶς τὸν νόμον ἔδειξε τοῦτο βουλόμενον τὸ ἀποστῆναι αὐτοῦ καὶ γενέσθαι ἀνδρὶ ἑτέρῳ. οὐ γὰρ κωλύει, φησὶ, συνιέναι ἀνδρὶ ἑτέρῳ, τελευτήσαντος τοῦ προτέρου. πῶς γὰρ, ὅπου καὶ ζῶντος ἐπιτρέπει βιβλίον ἀποστασίου λαβοῦσαν; ἀλλὰ τοῦτο οὐ τίθησιν, ὅπερ ἔγκλημα ἦν τῶν γυναικῶν. εἰ γὰρ καὶ συνεχωρῆτο, ἀλλ' ὅμως οὐκ ἦν αἰτίας ἀπηλλαγμένον. ὅταν γὰρ ἀπὸ τῶν ἀναγκαίων καὶ δοκίμων ἔχῃ τὰ νικητήρια, οὐ ζητεῖ τὰ περιττά. τὸ τοίνυν θαυμαστὸν φησὶ, τοῦτό ἐστιν, ὅτι αὐτὸς ὁ νόμος ἀπαλλάττει τῶν ἐγκλημά-

[q] Cod. οὗτος. [r] In marg. ζητ. mox vacuum spatium et λει.
[s] Leg. κρίνεσθε.

των ὑμᾶς ἀποστάντας αὐτοῦ. καὶ γὰρ καὶ αὐτὸς τέθνηκε, καὶ ἡμεῖς τεθνήκαμεν. καὶ διπλῇ τὰ τῆς ἐξουσίας ἀνῄρηται. ὁ δὲ οὐδὲ τούτοις ἀρκεῖται, ἀλλὰ καὶ τὸ αἴτιον προστίθησιν. οὐ γὰρ ἁπλῶς ἀπηλλάγητέ φησιν, ἀλλὰ διὰ τοῦ θανάτου τοῦ δεσποτικοῦ. "ἐθανατώθητε," γάρ φησιν, "τῷ νόμῳ διὰ τοῦ σώματος τοῦ "Χριστοῦ." οὐκ ἐντεῦθεν δὲ προτρέπει μόνον, ἀλλὰ καὶ ἐκ τῆς ὑπεροχῆς τοῦ δευτέρου ἀνδρός. διὸ καὶ ἐπήγαγεν, εἰς τὸ γενέσθαι ὑμᾶς ἑτέρῳ ἐκ νεκρῶν ἐγερθέντι.

Γενναδίου. Φέρε δή, φησιν, συστήσωμεν καὶ ἀπὸ τοῦ νόμου τοῦτο αὐτό. οὐκοῦν ἴστε νομομαθεῖς ὄντες τοῦτό γε ἀκριβῶς, ὅτι τοῦ ἀνθρώπου κύριος ὁ νόμος μέχρις οὗ ζῇ καθέστηκεν. ἡ γοῦν ὕπανδρος γυνὴ ζῶντι μὲν τῷ ἀνδρὶ, προσδέδεται νόμῳ. οὐκοῦν αὐτοῦ περιόντος ἴδοι πρὸς ἕτερον, ἢ κεκρίσεται μοιχαλίς· τελευτήσαντος δὲ ἀφεῖται τοῦ νόμου, καὶ συνοικήσει μὲν, ᾧ βούληται· τὸ δὲ τῆς μοιχείας ἔγκλημα διαφεύξεται. ἄρα οὖν ἀδελφοὶ, τοιοῦτόν τι καὶ τὸ καθ' ὑμᾶς. γεγόνατε μὲν γὰρ πιστεύσαντες τοῦ σώματος τοῦ Χριστοῦ. τετελευτηκὼς δὲ ἐκεῖνος τῷ νόμῳ πρὸς ἑτέραν ἐκ τῶν νεκρῶν ἀνεβίω ζωήν. οὐκοῦν ἓν ὄντες καὶ ὑμεῖς ἐν αὐτῷ, τῷ μὲν νόμῳ τεθνήκατε· καρπώσετε διὰ τῆς ἀναστάσεως αὐτῷ παραπλησίως καὶ ὑμεῖς.

Θεοδώρου. Δεικνὺς τῶν κατὰ Χριστὸν τὸ ὠφέλιμον[r], ἐπάγει· "ἵνα καρποφορήσωμεν τῷ Θεῷ." οὐκ ἐπ' αἰτίας δὲ λέγει τὸ εἶναι, ἀλλὰ τὸ ἑπόμενον τῷ πράγματι κατὰ τὸ σύνηθες αὐτῷ· βούλεται γὰρ εἰπεῖν, ὅτι ἐν ταύτῃ γενόμενοι τῇ ζωῇ, διηνεκεῖς οἴσομεν τῆς δικαιοσύνης τῷ Θεῷ τοὺς καρποὺς, τῆς κατὰ νόμον πολιτείας ἀπηλλαγμένοι. θαυμασιώτατον δὲ αὐτοῦ τὸ μὴ εἰπεῖν, ἐθανατώθητε διὰ τοῦ βαπτίσματος, ἀλλὰ διὰ τοῦ σώματος τοῦ Χριστοῦ. ἀρχὴ μὲν γὰρ τῆς παρούσης ζωῆς ὁ Ἀδὰμ πᾶσιν ἀνθρώποις ἐγένετο· τῆς δὲ μελλούσης ὁ Χριστός. ὥσπερ οὖν ἐπὶ τοῦ παρόντος βίου, τὴν πρὸς τὸν Ἀδὰμ κοινότητα τῆς φύσεως ἔχομεν, οὕτως ἐπὶ τοῦ μέλλοντος, τὴν πρὸς τὸν Χριστὸν ὁμοιότητα λαμβάνομεν· ἐκεῖθεν τὰς ἀφορμὰς τῆς ἀναστάσεως ἔχοντες. μέρος οὖν τοῦ σώματος λεγόμεθα τοῦ Κυρίου, ἅτε δὴ τὴν πρὸς αὐτὸν κοινωνίαν δεχόμενοι.

r Cod. ὠφέλημον.

Ὅθεν ἐπειδὴ τυπικῶς ἐν ἐκείνοις[8] διὰ τοῦ βαπτίσματος γεγενῆσθαι πιστεύομεν, τοῦτο λέγει, ὅτι μέρος γενόμενοι τοῦ σώματος τοῦ Χριστοῦ διὰ τῆς κατὰ τὴν ἀνάστασιν κοινωνίας, τῆς ἐν τῷ βαπτίσματι, πληροῦν τοὺς τύπους ἡγούμεθα. νεκρὸς μὲν εἶ τῷ παρόντι βίῳ λοιπὸν, ἔξω δὲ τῆς ὑπὸ τὸν νόμον πολιτείας καθέστηκας· οὐδεμίαν φέρων ἑαυτῷ διαβολὴν, εἰ μὴ κατὰ ταυτὸν πολιτεύοιο. ἐπειδὴ φύσις αὐτῷ τὸ κρατεῖν ἐπὶ τῶν τὴν παροῦσαν ζώντων ζωήν.

5 Ὅτε μὲν γὰρ ἦμεν ἐν τῇ σαρκὶ, τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου.

Κυρίλλου. Σάρκα μὲν, τὸ σαρκικὸν ὀνομάζει φρόνημα, ὡς καὶ ἐν ἑτέροις φησὶν, "οἱ δὲ ἐν σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ "δύνανται." καίτοι πῶς οὐκ ἀληθὲς ὡς οὐκ ἔξω γεγονόσι τοῖς παρ᾽ αὐτοῦ μυσταγωγουμένοις τὰ τοιάδε παρεγγυᾷ; τί δὲ βούλεται δηλοῦν πολυπραγμονεῖν ἀναγκαῖον. ὅτε τοίνυν σαρκικῶς ἐπολιτευόμεθα φησὶ, καὶ τὸ γεῶδες ἐν ἡμῖν ἐκράτει φρόνημα, τότε καὶ ἐνηργεῖτο ἐν ἡμῖν τὰ τῆς σαρκὸς πάθη διὰ τοῦ νόμου, πρὸς τὸ καρποφορῆσαι τῷ θανάτῳ. τί οὖν; φαίη τις ἂν, πάθη τῆς σαρκὸς εἰσεκομίσθη διὰ τοῦ νόμου; εἶτα πῶς αὐτὸν ἐγκλημάτων ἀπαλλάξωμεν; τί οὖν πρὸς τοῦτο φαμέν; οὐ διὰ νόμου τὰ τῆς σαρκὸς ἐν ἡμῖν κεκίνηται πάθη· τίκτεται δὲ μᾶλλον καὶ ἐξ ἐμφύτου μὲν ἡδονῆς, τὸν δὲ ἀσθενῆ καταληΐζεται νοῦν. καὶ τοῦτο ἡμῖν ἐμφανὲς καθίστησι λέγων, "ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ "πνεῦμα κατὰ τῆς σαρκός." ταῦτα δὲ ἀλλήλοις ἀντίκειται. νυνὶ δὲ τοῦτο παρεὶς, ἀντεξάγειν τὴν σάρκα τῷ πνεύματί φησιν, διὰ μέσου τιθεὶς οὐδέν. οὐκοῦν οὐ διάγε τοῦ νόμου τὰ τῆς σαρκὸς ἐν ἡμῖν κινεῖται πάθη· μᾶλλον δὲ φυσικῶς. καὶ τόγε παράδοξον τοῖς τοῦ νόμου θελήμασιν ἀντανίσταται, ὡς αὐτός που φησὶν ὁ Παῦλος, "ὅτι τὸ φρόνημα τῆς σαρκὸς ἐχθρὰ εἰς Θεόν." τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται· οὐδὲ γὰρ δύναται. εἰ δὲ μάχεται τῷ νόμῳ τὸ φρόνημα τῆς σαρκὸς, πῶς οὐκ ἀπόπληκτον ἐννοεῖν δι᾽ αὐτοῦ κινεῖσθαι πρὸς ἐνέργειαν τὰ οὕτως ἀνθεστηκότα.

[8] Cod. ἐκείναις (corrected above: οις).

Τί οὖν; ὁ Παῦλος φησίν· ὡς τεθνεῶσι τῇ ἁμαρτίᾳ διαλέγεται τοῖς διὰ τοῦ βαπτίσματος συντεθαμμένοις Χριστῷ· καὶ ὡς ἤδη τὴν τῶν παθῶν νέκρωσιν πεπλουτηκόσιν, οἷς ἂν πρέποι καὶ τὸ ἔξω δεῖν ἰέναι τοῦ νόμου, διάγε τοῦ ἀπηλλάχθαι παθῶν τῶν διὰ τοῦ νόμου καταδεδικασμένων. οὐκοῦν ἔτι μενόντων ἡμῶν ἐν τῷ φρονήματι τῆς σαρκὸς, πάθη τὰ διὰ τοῦ νόμου κατειρημένα τε καὶ ὠνομασμένα, φησὶν, ἐνηργεῖτο ἐν ἡμῖν. ἦμεν δὲ καὶ ὑπεύθυνοι τὸ τηνικάδε τῷ νόμῳ, ἅτε δὴ καὶ ζώσης ἐν ἡμῖν τῆς ἁμαρτίας· ἔτι νυνὶ δὲ κατηργήθημεν ἀπὸ τοῦ νόμου ἀποθανόντες ἐν ᾧ κατειχόμεθα. ἔνοχοι γὰρ ἦμεν τῷ νόμῳ, ὑποτιθείσης ἡμᾶς τῆς ἁμαρτίας αὐτῷ. εἰ δὲ ἀπεθάνομεν ἐν ᾧ κατειχόμεθα, τουτέστι τῇ ἁμαρτίᾳ, συναπρακτήσει πάντως αὐτῇ καὶ ὁ νόμος· τεθέσπισται γὰρ δι' αὐτὴν, ἵνα ἐλέγχῃ τοὺς παραβαίνοντας.

Γενναδίου. Τῷ τῆς σαρκὸς ὀνόματι διχῶς ἡ θεία χρῆται γραφή· νῦν μὲν τὴν φύσιν οὕτως αὐτὴν ὀνομάζουσα, ὡς τὸ "πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα," τῷ Σωτῆρι πρὸς τοὺς μαθητὰς περὶ αὐτοῦ μετὰ τὴν ἀνάστασιν εἰρημένον· νῦν δὲ οὐκ αὐτὴν, ἀλλὰ τὸ αὐτῆς ἐμπαθὲς, ὡς τοῦτο αὐτὸ τὸ προκείμενον. οὐ γὰρ ὡς ἀσάρκων νῦν ὄντων ἔφησε τὸ "ὅτε "ἦμεν ἐν τῇ σαρκὶ," ἀλλ' ὡς πρὸς ἀθανασίαν καὶ ἀπάθειαν ἐν Χριστῷ μετεληλυθότων. πολλάκις γὰρ, καθὼς ἤδη προέφην, ἀπὸ τῶν κατὰ Χριστὸν πιστευομένων ἡμῖν ὡς ἐνεστώτων προσδιαλέγεται. λέγει τοίνυν ὅτι τῆς προτέρας ἡμῶν ἔτι τῆς σαρκικῆς ὄντων ζωῆς, τὰ ἐν τοῖς ἡμετέροις παθήματα μέλεσι πρὸς ἁμαρτίαν ἐνηργεῖτο διὰ τοῦ νόμου. τουτέστιν ὑπ' ἡμῶν ἐνεργούμενα, διὰ τὸν νόμον ἡμῖν εἰς ἁμαρτίαν κατελογίζετο· τιτρωσκόμενοι δὲ ὑπὸ ταύτης, ἀναγκαίως τῷ θανάτῳ παραπεμπόμεθα. πρὸς γὰρ τούτοις δι' ἀλλήλων κρατυνομένοις ἡ φύσις ἡμῶν ἐδογματίζετο· τῆς μὲν ἁμαρτίας ἰσχυούσης διὰ τοῦ νόμου, τοῦ θανάτου δὲ διὰ τὴν ἁμαρτίαν κρατοῦντος· τοῦ νόμου δὲ τοῖς θνητοῖς τε καὶ διὰ τοῦτο πρὸς ἁμαρτίαν ἐπιρρεπέσιν, ἀναγκαίως ἐπικειμένου. οὐκοῦν τὴν μὲν ἁμαρτίαν ὁ κοσμος [t] νόμος συνέστη. ἡ δὲ ἁμαρτία τὸν θάνατον

[t] Sic Cod.

ἀπεγέννα. ὁ δὲ θάνατος τὴν φύσιν εἰς ἁμαρτίαν εὐόλισθον διὰ τοῦ ἐμπαθοῦς ἐργασάμενος, ἐν χρείᾳ νόμων κατέστησεν.

Διοδώρου. "Ὅτε γάρ," φησιν, "ἦμεν ἐν τῇ σαρκὶ," ἀντὶ τοῦ ἐν τῷ νόμῳ· οἱ γὰρ ἐν νόμῳ ἐχαρίζοντο τῇ σαρκί· ἀκριβῶς δὲ εἶπε "τὰ διὰ τοῦ νόμου," οὐ τὰ ἀπὸ τοῦ νόμου. οὐ γὰρ τὸ ἁμαρτάνειν πάρεσχεν ὁ νόμος, ὅς γε προσέταξε μὴ ἁμαρτάνειν. εἶπεν οὖν διὰ τοῦ νόμου, ἐπειδὴ συγχωρῶν τρυφᾶν ἐδίδου τοῖς πάθεσι πρόφασιν. ὥστε οὐχ ὃ ἤθελε κατεσκεύαζεν ὁ νόμος, ἀλλ' ὃ μὴ ἤθελεν.

Θεοδώρου. Ἡ θεία γραφὴ ποτὲ μὲν σάρκα λέγει τὴν φύσιν αὐτὴν, ποτὲ δὲ οὐ τὴν φύσιν ἁπλῶς, ἀλλ' ἀπὸ τῆς θνητότητος οὕτως αὐτὴν ὀνομάζει, ὡς ἂν οὐκέτι δυναμένην οὕτω καλεῖσθαι, εἰ δὴ ἀπόθοιτο τὸν θάνατον. ὡς ὅταν λέγῃ τὸ "σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται." ὡς ἂν οὐκέτι σαρκὸς, οὔτε οὔσης οὔτε ὀνομάζεσθαι δυναμένης τῆς ἐπὶ τοῦ μέλλοντος αἰῶνος γεγονυίας ἀθανάτου. ἔστι δὲ ὅτε καὶ τὸ πάθος αὐτὸ σάρκα οἶδε καλεῖν, ὡς ὅταν λέγῃ, "ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ," ἵνα εἴπῃ ἐν τῷ καιρῷ τοῦ πάθους, ὅτε πρὸς αὐτῷ ἔμελλε γενέσθαι τῷ θανάτῳ. καὶ μὴν καὶ τὸ πρόσκαιρον καὶ εὐδιάλυτον ἅπαν οἶδεν οὕτω καλεῖν, ὡς ἐν τῇ πρὸς Κορινθίους εἰπὼν, "ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεὸς, ἵνα καταισχύνῃ τοὺς σοφοὺς, καὶ τὰ ἀσθενῆ, ἵνα καταισχύνῃ τὰ ἰσχυρά· καὶ τὰ ἐξουθενημένα καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ," ἐπήγαγεν, "ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ·" καίτοιγε οὐ διαφόρων ζώων μνησθεὶς, ἀλλ' ἵνα εἴπῃ ὥστε παντὰ τὰ πρόσκαιρα φανῆναι ἄτονα πρὸς τὴν τῆς εὐσεβείας ἐπίγνωσιν. οὕτω δὲ τοῦ μὲν ἀθανάτου ζῶντος ζωὴν, οὐδέ ποτε ταύτῃ καλουμένου τῇ φωνῇ.

Σαρκὸς δὲ, ποτὲ μὲν τῆς φύσεως λεγομένης, ποτὲ δὲ τῆς προσηγορίας, οὐκ ἐπὶ τῆς φύσεως λαμβανομένης, ἀλλ' ἐπὶ σημασίᾳ τῆς θνητότητος, ὑφ' ἣν εἶναι συμβέβηκεν ἡμᾶς. ποτὲ δὲ τοῦ προσκαίρου παντὸς τὴν ὑπὸ τὸν ὅρον τοῦ θανάτου κειμένην καλεῖ, ὡς τὸ "σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται·" οὕτως λέγει τὸ, "ὅτε ἦμεν ἐν τῇ σαρκὶ," ἀντὶ τοῦ ὅτε ἦμεν θνητοὶ, ἐν σαρκὶ λέγων εἶναι τὸ εἶναι θνητούς. τοὺς

γὰρ πεπιστευκότας Χριστῷ, καὶ τὴν περὶ τῶν μελλόντων ἐπαγγελίαν ἤδη κομισαμένους, καὶ μὴν καὶ τοῦ τύπου τῆς ἐν τῷ βαπτίσματι χάριτος καταξιωθέντας, οὐκέτι λογίζεται εἶναι θνητούς· ὅθεν καὶ κοιμωμένους ἐν τῇ πρὸς Θεσσαλονικεῖς καλεῖ τοὺς ἀποθνήσκοντας· τότε τοίνυν τὸ, τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου ἐνεργεῖν ἐν τοῖς μέλεσιν ἡμῶν, ὥσπερ διάφορα πάθη τῷ σώματι τῷ ἡμετέρῳ συμβαίνειν πέφυκε, κἂν μὴ πάντα πᾶσι μηδὲ πάντοτε ἐγγίνεται. οὕτω καὶ ἁμαρτιῶν διάφορα πάθη πέφυκεν ἡμῖν ἐνοχλεῖν, κἂν μὴ πάντα παρὰ πάντων ἐπιτελῆται, μηδὲ πάντοτε. ὡς γὰρ κατὰ τὸ σῶμα, ὁ μὲν ἧττον, ὁ δὲ μᾶλλον τοῖς πάθεσι περιπίπτει, οὕτω ἐπὶ τῶν ἁμαρτημάτων, ὁ μὲν πλείονα ὁ δὲ ἐλάττονα ἁμαρτάνει.

Ἐπειδὴ τοίνυν νόμῳ τινι τὰ ἁμαρτήματα κρίνεται, εἴτε κατὰ τὴν φυσικὴν διάκρισιν, εἴτε κατὰ τὰς δεδομένας ἔξωθεν διατάξεις, τοῦτο λέγει, ὅτι πάντα τῶν ἁμαρτιῶν τὰ πάθη ὅσα περὶ νόμῳ τινὶ διακρινόμενα ἐγγίνεσθαι ἡμῖν συμβαίνει, ὅταν τι παρὰ τὸ φαινόμενον ἡμῖν, ἢ διηγορευμένον καλὸν διαπραττώμεθα, ταῦτα δὴ πάντα καὶ ἐπράττετο παρ' ἡμῶν· ἵνα εἴπῃ ὅτι θνητοὶ τὴν φύσιν ὄντες, καὶ περὶ τὸ ἁμαρτάνειν πολλὴν διὰ τοῦτο τὴν ῥοπὴν ἔχοντες, ἅπαν εἶδος ἐπετελοῦμεν ἁμαρτίας· καίτοιγε διαφόροις τοῖς νόμοις παιδευόμενοι ὧν ἀπέχεσθαι προσῆκον ἦν ἡμᾶς καί τι τὸ ἐντεῦθεν γινόμενον εἰς τὸ καρποφορῆσαι τῷ θανάτῳ· λέγει δὲ ὅτι ἐντεῦθεν ἡμῖν ἐπεσφίγγετο τοῦ θανάτου ἡ τιμωρία. ὡς γὰρ ὑπὸ τῆς θνητότητος μείζονα τοῦ ἁμαρτάνειν τὴν ἐνόχλησιν ὑπεμένομεν, οὕτως ἡ τιμωρία ὑπὸ τοῦ πταίειν ἡμῖν ἐπεσφίγγετο, καὶ ὁ νόμος οὐδὲν ἡμᾶς ὠφελεῖν ἠδύνατο· τουναντίον δὲ καὶ ἁμαρτημάτων ἐγίγνετο πρόξενος, ἐπειδὴ ταῖς διαγορεύσεσι τἀναντία διεπραττόμεθα.

Νυνὶ δὲ κατηγορήθημεν ἀπὸ τοῦ νόμου ἀποθανόντες, ἐν ᾧ κατειχόμεθα.

Κυρίλλου. Ἔνοχοι γὰρ ἦμεν τῷ νόμῳ, φησὶν, ὑποτιθείσης ἡμᾶς τῆς ἁμαρτίας αὐτῷ. εἰ δὲ ἀπεθάνομεν "ἐν ᾧ κατειχόμεθα," τουτέστι τῇ ἁμαρτίᾳ, συναποπρακτήσει πάντως αὐτῇ καὶ ὁ νόμος· τεθέσπισται γὰρ δι' αὐτὴν, ἵνα ἐλέγχῃ τοὺς παραβαίνοντας. ἔξω

δὴ οὖν τῆς τοῦ νόμου χρείας, οἱ τῇ ἁμαρτίᾳ νενεκρωμένοι· γεγόναμεν γὰρ ἑτέρῳ· καὶ αὐτῷ δουλεύσωμεν ἐν καινότητι πνεύματος, καὶ οὐ παλαιότητι γράμματος.

Γενναδίου. Νῦν μέντοι, φησὶν, ἀπὸ τοῦ νόμου τοῦ κατέχοντος ἡμᾶς κατηργήθημεν, "ὥστε δουλεύειν ἡμᾶς ἐν καινότητι πνεύματος "καὶ οὐ παλαιότητι γράμματος." δέον οὖν ὡς ἀθανάτους τοῦ λοιποῦ καὶ πνευματικοὺς γεγενημένους ἡμᾶς πολιτεύεσθαι· ἀλλὰ μὴ ὡς φθαρτοὺς ἔτι καὶ παλαιουμένους, καὶ νόμῳ διὰ τοῦτο κατηναγκασμένους δουλεύειν. ἀντιδιέστειλε δὲ τῷ γράμματι μὲν τὸ πνεῦμα· τῇ παλαιότητι δὲ τὴν καινότητα· καὶ αὐτοῖς τοῖς ὀνόμασι μεγίστην δεικνὺς τὴν τῶν πραγμάτων διαφοράν.

Θεοδώρου. Ἀλλὰ πάντα νῦν φησὶ μεταβέβληται· τῷ γὰρ βίῳ τούτῳ νεκροὶ γεγόναμεν· ᾧ δὴ τυγχάνοντες ὥσπερ ὑπό τινος ἀνάγκης κατειχόμεθα εἰς τὸ τῷ νόμῳ πολιτεύεσθαι· ὅθεν οὐδὲ ἔστι τις ἡμῖν κοινωνία βίου πρὸς αὐτὸν τοῦ λοιποῦ· ἀνακαινισθέντες γὰρ τῇ δυνάμει τοῦ Πνεύματος, καὶ ἕτεροι μὲν ἀνθ' ἑτέρων γεγονότες, μεταστάντες δὲ εἰς ἄφθαρτον ζωὴν ἀπὸ τοῦ παρόντος βίου, οὐδεμίαν ἁμαρτημάτων ἐνόχλησιν ὑπομένομεν. οὐκοῦν οὐδὲ νόμων δεόμεθα καὶ γραμμάτων τῶν διδασκόντων ἡμᾶς τοῦ κακοῦ τὴν ἀποχήν. ταῦτα γὰρ τοῖς ἐν τῇ τοῦ βίου τούτου παλαιότητι καθεστῶσι χρήσιμα εἶναι δύναται, οὐ τοῖς ὑπὸ τοῦ πνεύματος ἀνακαινισθεῖσι καὶ γεγόνασιν[t] ἀφθάρτοις· οἷς νόμων οὐκέτι χρεία, διὰ τὸ μηδὲ ἁμαρτάνειν ἐπιδέχεσθαι. οὕτω κρείττονα τὰ ἡμέτερα ἐκείνων φησὶ, καὶ πολλῷ μείζονα τὰ κατὰ Χριστὸν ὠφέλειαν ἔχοντα τῶν ὑπὸ τὸν νόμον παιδαγωγουμένων.

ΚΕΦ. Ι.

Περὶ τῆς ὑπὸ νόμου κατακρίσεως διὰ τὴν ἁμαρτίαν.

Ὥστε δουλεύειν ἡμᾶς ἐν καινότητι πνεύματος.

Ὠριγένους. Τὸ Ἅγιον Πνεῦμα ἀεὶ ἐστὶν ἐν καινότητι, οὔτε παλαιούμενον οὔτε γηράσκον, ἀλλὰ μᾶλλον τοῦ ἔσω ἡμῶν ἀνθρώπου ἀνακαινουμένου, ἡμέρα καὶ ἡμέρα· καὶ ἡ παλαιότης δὲ τοῦ

t Leg. γεγονόσιν.

γράμματος, οὐκ ἔστιν ὅτε καινὴ ἦν, οὐδὲ παλαιὸς ἡμῶν ἄνθρωπος καινός ποτε ἦν. ὅστις ἅμα τῷ ὑποστῆναι πεπαλαίωται, οὐ χρόνῳ, τῶν τοίων δὲ νοημάτων καὶ ἔργων παλαιωσάντων αὐτόν.

Σευηριανοῦ. *Οὐ τὸ πταίειν παρεῖχεν ὁ νόμος ὁ προστάττων μὴ ἁμαρτάνειν· διὰ δὲ τοῦ συγχωρεῖν τὴν τρυφὴν τοῖς παθήμασι. τὸ οὖν παρέχειν τοῖς παθήμασι πρόφασιν, οὐκ ἦν τοῦ σκόπου τοῦ νόμου, τὸ δὲ συμβαῖνον τῆς οἰκονομίας ἦν δοθῆναι τότε· λέγω δὴ τὸ ἐσθίειν καὶ πίνειν ἐνεργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν. κινεῖται γὰρ καὶ ἐν τοῖς νηστεύουσιν ἐπιθυμία. ἀλλ' οὐκ ἐνεργεῖται εἰς τὸ καρποφορῆσαι τῷ θανάτῳ. οὕτω διακονία θανάτου γέγραπται Μωσῆς, ἐπειδὴ ἐβάρει ὁ νόμος. καὶ ὃ μὲν ἐβούλετο, οὐ κατόρθου· ὃ δὲ μὴ ἤθελε, προεξένει.*

Ἀπολιναρίου. *Μηδεὶς ταῦτα ἀκούων, ἐρεσχελείτω πρὸς τὸν Ἀπόστολον φάσκων, ὡς εἰ τοῦτό ἐστιν ἐν τῷ νόμῳ τὰ θανατοῦντα διαγορεύειν, καὶ γνώριμα ποιεῖν τὰ φαῦλα τῶν πραγμάτων καὶ καλὰ, οὐδὲν ἧττον καὶ ὁ Κύριος, τό τε φαῦλον ἐν τοῖς ἑαυτοῦ λόγοις καὶ τὸ καλὸν διορίζων, δόξειεν ἂν τὴν ἴσην ἐξεργάζεσθαι τῇ ἁμαρτίᾳ κατὰ τῶν μὴ πειθομένων ὁδόν. τὸ γὰρ διάφορον μέγα, καὶ πολὺ τὸ μεταξύ· νόμου μὲν ἐν ῥήμασι νόμου κειμένου, καὶ μηδεμίαν εἰς δικαιοσύνην δύναμιν ἐνδιδόντος, ἀλλ' ἐπὶ τῇ πράξει τῶν ἀκουόντων τὸ σύμπαν καταλείποντος. τοῦ δὲ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸ μὲν σύμπαν ἐν τῇ δόσει τοῦ Πνεύματος τὴν τῶν ὑφ' ἑαυτὸν σωτηρίαν ἐργαζομένου, καὶ οἱονεὶ δημιουργοῦντος ἡμᾶς ἐξαρχῆς, καὶ μεταπλάττοντος καὶ ῥυθμίζοντος ἐν τῷ τὴν θείαν ἐπίπνοιαν ὑποδέχεσθαι τοὺς πιστεύοντας, καὶ πρὸς αὐτὴν οἰκειοῦσθαι. λόγοις δὲ εἰς παραίνεσιν κεχρημένου, δι' ὧν ἐπιτηδείους ἡμᾶς κατασκευάζει τῷ μορφοῦντι καὶ διατιθέντι Πνεύματι. οὐχ ἡμῖν*[u] *αὐτοῖς τὰ καθ' ἡμᾶς ἐπιτρέψας. ἦ γὰρ ἂν κατεκρινόμεθα πάλιν, ἀδυνατοῦντες εἰς τὸ πείθεσθαι· καὶ ἡ τῆς ἁμαρτίας γνῶσις καθ' ἡμῶν μᾶλλον ἢ παρ' ἡμῶν ἐγίνετο· ἀλλὰ τῷ Πνεύματι δοχεῖα παρασκευάζων ἡμᾶς· ἀνιέντας μὲν ὡσημέραι* (sic) *πρὸς τὸν κόσμον συμπάθειαν, καὶ λύοντας τὰ δεσμὰ τὰ σαρκικά· ἐπιτείνοντας δὲ τὴν πρὸς τὸ Πνεῦμα οἰκείωσιν.*

Διὸ καὶ νόμος μὲν εἰς τιμωρίαν ὀξύς· Πνεῦμα δὲ ἀνεξίκακον.

[u] Cod. ὑμᾶς.

ὁ μὲν τὴν ἰδίαν τῶν ἀνθρώπων κατόρθωσιν εἰς δικαιοσύνην ζητῶν, τὸ δὲ τὴν παρ' ἑαυτοῦ χορηγοῦν. τούτῳ γὰρ ἕπεται τὸν μὲν νόμον οὐ κατορθουμένου τοῦ προκειμένου τιμωρητικὸν ἐπιφέρειν τῷ προστακτικῷ· τούτῳ γὰρ ἦν ἐχόμενον ἐκείνου. τὸ δὲ Πνεῦμα δύναμιν ἔχων (sic) εἰς τὴν τῶν πεπιστευκότων διόρθωσιν, εἰ καὶ τὰ πρῶτα ἐξασθενοίην τὴν παρ' αὐτοῦ δημιουργίαν ὑποδέξασθαι. μήτε ἀπογινώσκειν, μήτε κολάζειν εὐθὺς, ἀλλὰ τῇ παρ' ἑαυτοῦ σωτηρίᾳ φυλάττον τὸν ἄνθρωπον παιδευόμενον, ὥσπερ ὁ Παῦλος ἔφασκε τῷ Σατανᾷ παραδώσειν εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ, τὸ Πνεῦμα τοῦ Κυρίου. ἀνέχεται γὰρ ἄχρι τῆς Χριστοῦ παρουσίας, ἕως περ ἂν ὁ τῆς νῦν ἐπιτελουμένης δημιουργίας ἐξήκῃ χρόνος, κρίσεως ἐπιστάσης, ᾗ τοὺς ἀδιορθώτους ἀποθεῖται τὸ λοιπὸν, ἀνεπιτηδείους εἰς τὴν αἰώνιον ζωὴν εὑρισκομένους.

Διὰ τοῦτο καὶ ἀλλαχοῦ φησὶν ὁ Ἀπόστολος "Θεὸν εἶναι τὸν ἐνεργοῦντα ἐν ἡμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας." οὐχὶ τὸ αὐτεξούσιον ἡμῶν περικόπτων, ἀλλὰ τὴν παρὰ Θεοῦ δύναμιν εἰς ἀρετὴν ἐξηγούμενος. καὶ ὁ Σωτὴρ Πνεῦμα Ἅγιον ἐνεφύσησεν ἀναστάς· διὰ τοῦτο προσοικείων ἡμᾶς· καὶ μηδὲ μεριμνᾶν ὅτι λαλήσομεν ἐκέλευσεν· "οὐ γὰρ ὑμεῖς ἐστὲ οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν." ἤδη δὲ καὶ ὁ προφητικὸς λόγος τὴν νέαν διαθήκην ἐν τῇ δόσει τοῦ Πνεύματος ὁριζόμενος λέγει, θεϊκὴν ἐξηγούμενος πρὸς τὸν Ἰσραὴλ διάλεξιν. "καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη εἶπεν, καὶ τὸ Πνεῦμα τὸ ἐμὸν ἐστὶν ἐπί σοι, καὶ τὰ ῥήματα ἃ δέδωκα εἰς τὸ στόμα σου, οὐ μὴ ἐκλίπῃ ἐκ τοῦ στόματός σου, καὶ ἐκ τοῦ σπέρματος σου, εἶπε Κύριος ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα." καὶ ταῦτα μὲν διὰ τοῦ Ἡσαΐου.

Διὰ δὲ τοῦ Ἱερεμίου τὴν καινὴν διαθήκην ἐπαγγελλόμενος ὁ Θεὸς, "αὕτη," φησὶν, "ἡ διαθήκη ἣν διαθήσομαι πρὸς αὐτοὺς ἐν ἐκείναις ταῖς ἡμέραις, διδοὺς νόμους μου ἐν ταῖς καρδίαις αὐτῶν, καὶ ἐπὶ διανοίαν αὐτῶν ἐπιγράψω αὐτοὺς, καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πλησίον αὐτοῦ, λέγοντες γνῶθι τὸν Κύριον, ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν, ὅτι ἵλεως ἔσομαι ταῖς ἁμαρτίαις αὐτῶν." τὴν τοῦ Πνεύματος ἐν τούτοις ἐνέργειαν εἰς καρδίας ἐπαγγελλόμενος, δι' ἧς καὶ ἱλασμὸς

παρὰ Θεοῦ γίνεται. τῶν μὲν τῆς ἁμαρτίας ἐκλογισμῶν τῶν κατὰ τὸν νόμον ἀνιεμένων, τῆς δὲ πνευματικῆς ἀνεξικακίας τὸν ἱλασμὸν ἐπιχωρούσης. καὶ μὴν καὶ διὰ τοῦ Ἐζεκιὴλ δώσειν καρδίαν καινὴν καὶ Πνεῦμα καινὸν ἐπαγγέλλεται, εἰς τὴν τῶν ἰδίων θελημάτων ἐν ἡμῖν πλήρωσιν. ὥστε καλῶς καὶ ἐν τοῖς προκειμένοις ὁ Ἀπόστολος τὴν κατὰ Χριστὸν ζωὴν ὁριζόμενος, οὐκ ἐν γράμματι καὶ τὸ τῆς ἁμαρτίας παραλύεσθαί φησι καθ' ἡμῶν ἰσχυρόν. ἅτε δὴ τοῦ Πνεύματος οὐκ εἰς γνῶσιν καὶ τὴν διὰ ταύτης κατάκρισιν ἐπιδημοῦντος, ἀλλ' εἰς ἀναίρεσιν μὲν ἁμαρτίας, δικαιοσύνης δὲ ἐνέργειαν, οὐκ ἀνθρωπίνης ἀλλὰ θεϊκῆς, ὡς καὶ ἐν ἀρχῇ, δικαιοσύνην Θεοῦ διὰ τοῦ εὐαγγελίου εἶπεν ἀποκαλύπτεσθαι.

7 Τί οὖν ἐροῦμεν; ὁ νόμος ἁμαρτία;

ΚΥΡΙΛΛΟΥ. *Ἄθρει δὴ ὅπως σοφῶς τοὺς ἐπὶ τῷ νόμῳ ποιεῖται λόγους. ἔφη μὲν γὰρ ὅτι "ὅτε ἦμεν ἐν τῇ σαρκὶ, τὰ παθήματα "τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν, "εἰς τὸ καρποφορῆσαι τῷ θανάτῳ·" ἀπήλλακτο δ' ἂν οὐδαμῶς ὑποψίας ὁ λόγος. ἔφη γὰρ ἄν τις πρὸς ταῦτα εὐθὺς, βραβευτὴς οὖν ἄρα καὶ εἰσηγητὴς ἁμαρτίας ὁ λόγος. εἰ γάρ ἐστιν ἀληθὲς ὡς ἐν ἡμῖν ἐνεργεῖται δι' αὐτοῦ τὰ παθήματα τῆς σαρκὸς, πῶς οὐκ ἂν νοοῖτο καὶ ἁμαρτίας γένεσις; τί οὖν ὁ μυσταγωγός; δριμὺς ὑπαντᾷ, καὶ ἀποφάσκει μὲν ὅτι πατὴρ ἁμαρτίας ὁ νόμος· αἰτιᾶται δὲ μᾶλλον τὴν ἀνθρώπου φύσιν, ὡς ἀσθενῆ καὶ δι' αὐτοῦ παθοῦσαν τὸ ἐναλῶναι δίκαις. ταύτῃ τοι φησὶ, τί οὖν ἐροῦμεν; ὁ νόμος ἁμαρτία; μὴ γένοιτο. ἀλλὰ τὴν ἁμαρτίαν οὐκ ἔγνων εἰ μὴ διὰ νόμου." ἀλλ' ὅτι μὴ ἔγνω μᾶλλον αὐτήν. οὐκοῦν οὐ πρόφασις ἁμαρτίας ὁ νόμος. παραδεικτικὸς δὲ μᾶλλον αὐτῆς τοῖς οὐκ εἰδόσιν αὐτήν. ἐμφανεὶς καθιστὰς, οὐχ ἵνα μαθόντες ἐργάσαιντο, εἴγε καὶ πρὶν εἰδέναι, πάντως που καὶ ἔδρων. οὐ γὰρ ἦν δίκαιος κατὰ τὴν τοῦ ψάλλοντος φωνὴν, ἀλλ' ἵνα τὸ ἀδικοῦν εἰδότες, πρὸς τὰ ἀμείνω μεταχωρήσειαν.*

Καί μοι δοκεῖ γενέσθαί τι τοιοῦτον τοῖς ἀρχαιοτέροις διὰ τῆς Μώσεως ἐντολῆς. ὑποκείσθω τῷ λόγῳ πλατεῖά τις οἶμος ἀποκομιζοῦσά ποι. καὶ διερρίφθωμεν[x] *ἐν αὐτῇ πολλὴ διὰ μέσου χάσμος. ὀρωρύχθω* (sic) *δὲ εἰ δοκεῖ καὶ βόθροι. εἶτα τινὲς ἔστωσαν οἱ ἐν*

[x] Leg. διερρίφθω μέν.

νυκτὶ καὶ σκότῳ βαδίζοντες ἐν αὐτῇ, περιπταίοντές τε καὶ μαλὰ συχνῶς τοῖς διὰ μέσου κειμένοις· καὶ μὴν καὶ βόθροις ἀβουλήτως ἐγκαθιέμενοι. ἔχοντος δὲ ὧδε τοῦ πράγματος, δᾷδά τις λαβὼν, ἐπ' αὐταῖς ἔστησε ταῖς τριόδοις ἐμφανῆ καθιστὰς τοῖς οὖσι τὰ μεταξύ. οὐχ ἵνα πάλιν αὐτοῖς περιπταίωσιν, ἀλλὰ ἵνα μᾶλλον ὑπερφέροιντο καὶ ἀπαλλάττοιντο τοῦ κακοῦ. ἆρα οὖν ἠδίκησε τὸ φῶς, ὅτι παρέδειξε τὸ λυποῦν; ἢ μᾶλλον ἐκεῖνο φαμὲν, ὡς πλείστην ὅσην αὐτοῖς ἐνεποίει τὴν ὄνησιν, ἀπετέλει δὲ καὶ ἀσφαλεστέρους. ἀλλ' οἶμαι τοῦτό ἐστιν οὐδενὶ τῶν ὄντων ἀσυμφανές. ὅτε τοίνυν ὄντες ἁμαρτωλοὶ, πλείστοις τε ὅσοις ἐγκλήμασι περιπταίοντες, ἐγνώκαμεν διὰ τοῦ νόμου τὴν ἁμαρτίαν, οὐχ ἁμαρτία μᾶλλον ὁ νόμος νοοῖτ' ἂν εἰκότως ἢ λέγοιτο, πολλοῦ γε καὶ δεῖ. παραδεκτικὸς δὲ μᾶλλον τῆς ἁμαρτίας, ὡς ἔφην.

ΘΕΟΔΩΡΟΥ. Τὸ οὖν ᾔδειν καὶ οὐκ ἔγνων, οὐ παντελοῦς ἀγνοίας ἐνταῦθα δηλωτικὰ, ἀλλὰ τοῦτο λέγει, ὅτι ἀκριβεστέραν τῆς φυσικῆς διακρίσεως ἐδεξάμην γνῶσιν διὰ τοῦ νόμου.

ΓΕΝΝΑΔΙΟΥ. "Τήν τε γὰρ ἐπιθυμίαν," φησὶν, "οὐκ ᾔδειν, εἰ μὴ ὁ "νόμος ἔλεγεν, οὐκ ἐπιθυμήσεις." οὐ τοῦτό φησιν, ὅτι τῆς ἐπιθυμίας μοι τὴν φύσιν ἐντέθεικεν οὐκ ἔχοντι τὸ παράγγελμα. ἡ γὰρ ἐπιθυμία τῆς φύσεως. ἀλλ' ὅτι μὴ διδάξαντός με τοῦ νόμου διὰ τῆς ἀπαγορεύσεως, ἐπίψογόν τε καὶ φαύλην ἐπιθυμίαν ὑπάρχειν οὐκ ἠπιστάμην.

ΔΙΟΔΩΡΟΥ. "Ἀλλὰ τὴν ἁμαρτίαν," φησὶν, "οὐκ ἔγνων εἰ "μὴ διὰ νόμου." οὐκ εἶπεν, ἀλλὰ τὴν ἁμαρτίαν οὐκ ἐποίησα εἰ μὴ διὰ νόμου, ἀλλ' "οὐκ ἔγνων." ὥστε, οὐ τοῦ ποιεῖν, ἀλλὰ τοῦ διαγινώσκειν τὴν ἁμαρτίαν ὁ νόμος αἴτιος. παιδευτικὸς οὖν ὁ νόμος μὴ συγχωρῶν διὰ τῆς ἀγνοίας εἰς τὴν τῶν ἀλόγων ἐμπίπτειν φύσιν. ἐκεῖνο μέντοι ζητητέον πῶς ἐνταῦθα εἰπὼν τὴν ἁμαρτίαν οὐκ ᾔδειν, εἰ μὴ διὰ τοῦ νόμου, ἐν ἑτέροις δείκνυσιν ὅτι ἔχομεν ἐν ἑαυτοῖς τὸ διακριτικὸν, ἐν οἷς φησιν, "ὅταν γὰρ ἔθνη "τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ "ἔχοντες, ἑαυτοῖς εἰσὶ νόμος." διὰ τούτων παρίστησιν, ὅτι καὶ ἄνευ νόμου ἐνῆν συνορᾶν τὰ δέοντα. λογιστέον δὲ ὅτι καὶ ἐνῆν, ἀλλ' οὐ πάντα. οὕτω γε καὶ νῦν ἔτι ἔνια παρ' ἄλλοις ἔθνεσιν ὡς

καλὰ καὶ ἔννομα πολιτεύεται. παρ' ἄλλοις δὲ ὡς ἄνομα καὶ κακῶς ἔχοντα ἐκβάλλεται· διὸ δὴ εἰ ἀναγκαῖα τοῦ νόμου ἡ δόσις, διορίζουσα ἡμῖν τά τε πρακτέα καὶ τὰ μή, καὶ διαρθροῦσα ἡμῖν καὶ φωτίζουσα τοῦ δικαίου τὴν πολιτείαν.

Θεοδώρου. Αἰσθόμενος ἀπό τε τοῦ "τὰ παθήματα τῶν ἁμαρτιῶν" καὶ "διὰ τοῦ νόμου," καὶ ἀπὸ τοῦ "νόμος δὲ παρεισῆλθεν ἵνα "πλεονάσῃ τὸ παράπτωμα," καὶ ἑτέρων πλειόνων ὧν ἐν τοῖς ἀνωτέροις εἰρήκει, διαβολήν τινα ἐπιφυομένην τῷ νόμῳ ὡς ἀναιτίῳ (sic) καὶ ποιητικῷ τῶν ἁμαρτημάτων, τρέπεται μὲν ἐπὶ περὶ τούτων λόγον. ἄρχεται δὲ τῆς ἀντιθέσεως οὕτω λέγων, "τί οὖν ἐροῦμεν; ὁ "νόμος ἁμαρτία;" ἀλλ' ἄρα φησί, μὴ τοῦτο; ἀπὸ τῶν ἡμετέρων δείκνυται ῥημάτων, ὅτι δὴ φαῦλος καὶ ποιητικὸς ἁμαρτίας ὁ νόμος; "μὴ γένοιτο· ἀλλὰ τὴν ἁμαρτίαν οὐκ ἔγνων εἰ μὴ διὰ "νόμου." τοὐναντίον οὐδ' ἂν ἔγνων τὴν ἁμαρτίαν, δι' ἧς ἐκκλίνειν προσήκει τὴν πρᾶξιν, εἰ μὴ νόμος ἦν ὁ τῇ διακρίσει τοῦ τε καλοῦ καὶ τοῦ χείρονος παιδεύων ἡμᾶς ὥστε ποιεῖν καὶ ὧν ἀπέχεσθαι δεῖ. ὥστε ὁ νόμος ἡμῖν τοῦ μίσους τῆς ἁμαρτίας ἐγένετο αἴτιος· ὃς ὑπέδειξέ τε αὐτήν, καὶ ἀποφεύγειν προσέταξε· καὶ σαφέστερον ποιῶν τὸ εἰρημένον ἐπήγαγε, "τήν τε γὰρ ἐπιθυμίαν οὐκ ᾔδειν, εἰ "μὴ ὁ νόμος ἔλεγεν, οὐκ ἐπιθυμήσεις."

Πολλῶν ἐπιθυμεῖν ἡμᾶς κατὰ τὸν παρόντα βίον συμβέβηκεν· οὐ βρωμάτων καὶ πομάτων καὶ γαμικῆς κοινωνίας μόνον, ἀλλὰ καὶ δόξης καὶ χρημάτων. ὧν δὲ τὴν ἐπιθυμίαν ἐνοῦσαν ἔχομεν, τούτων οὐκ ἄν ποτε εἶναί τι φαῦλον ἡγησάμεθα, μὴ νόμου διδάσκοντος ἡμᾶς, ὧν ἐπιθυμοῦντας ἀπέχεσθαι προσήκει. ὥσπερ οὖν καὶ τὸν λόγον ἕκαστον ἀπαραιτήτων τὴν οἰκείαν ἐκπληροῦν ἐπιθυμίαν ἐπείγεται, ἅτε δὴ οὐδενὸς αὐτὰ πρὸς τοὐναντίον ἀνθέλκοντος. ὑφ' οὗ πρὸς μάχην τῆς οἰκείας ὀρέξεως καταστήσεται. εἶτα ὑποδείγματι κέχρηται τοῖς περὶ τὸν Ἀδάμ, εἰς μείζονα τοῦ γενομένου σαφήνειαν· νόμος γὰρ ἦν καὶ ἡ πρὸς ἐκεῖνον ἐντολὴ περὶ τοῦ φυτοῦ γενομένη· καὶ συνεβάλλετο τὰ κατ' ἐκεῖνον εἰς σύστασιν τῶν περὶ τοῦ νόμου λόγων.

Ὠριγένους. Νόμον ὧδε νοοῦμεν οὐ μόνον τὸν Μώσεως τὸν κωλύοντα τὴν ἐπιθυμίαν, ἀλλὰ καὶ τὸν φυσικόν. ἐνέσπαρται γὰρ

ἡμῖν φυσικῶς ἡ ἐπιθυμία ὡς πάθος, καὶ ὁ περὶ ταύτην νόμος, καὶ ἔλαβεν ἀφορμὴν ἡ ἁμαρτία, οὐ διὰ τῆς γραπτῆς μόνης ἐντολῆς, ἀλλὰ καὶ διὰ τῆς φυσικῆς. καὶ ὁ Ἀδὰμ δὲ ᾔδει τοῦτο καὶ πρὸ τοῦ Μώσεως νόμου.

Ἀφορμὴν δὲ λαβοῦσα ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς.

Γεννάδιου. Μὴ διδάξαντός με τοῦ νόμου, φησὶ, διὰ τῆς ἀπαγορεύσεως, ἐπίψογόν τε καὶ φαύλην ἐπιθυμίαν ὑπάρχειν οὐκ ἠπιστάμην. νυνὶ δὲ διὰ τῆς ἐντολῆς τοῦτο μεμάθηκα. μετρούσης γάρ μοι ταύτης τὴν ἐγκειμένην ἐπιθυμίαν τῇ φύσει, καὶ τὴν χρῆσιν αὐτῆς ἄφετον οὐκ ἐώσης, ἀλλ' ὅροις τακτοῖς αὐτὴν περιγραφούσης τε καὶ περιλαμβανούσης, ἡ ἁμαρτία λαβοῦσα δι' αὐτῆς ἀφορμὴν, τουτέστιν ἰσχύος εὐπορήσασα καὶ ἐπικουρίας, εἶτά με πρὸς ἀμετρίαν ὑποσκελίσασα, ἐνεργὸν εἰς ἁμαρτίαν μοι πᾶσαν ἐπιθυμίαν ἀπειρημένην κατέστησε· τὸ γὰρ "κατειργάσατο ἐν ἐμοὶ πᾶσαν "ἐπιθυμίαν," ἐνδεῖτο ἀπηγορευμένην.

Θεοδώρου. Ὑποδείγματι κέχρηται τοῖς περὶ τὸν Ἀδὰμ, ἐπεὶ κἀκεῖνος προκειμένων ἐπὶ τοῦ παραδείσου τῶν φυτῶν ἀδεῶς ἁπάντων μεταλαμβάνειν ἐδύνατο, εἰ μὴ νόμος αὐτῷ τις περὶ ἀποχῆς ἔτυχε δοθείς. καὶ οὐκ ἦν ἁμάρτημα τὸ μετὰ τῶν λοιπῶν βουληθέντα κἀκείνου φαγεῖν. ἐπειδὴ δὲ ἐντολὴν ἐδέξατο ἀποσχέσθαι τοῦ φυτοῦ τῆς βρώσεως, ἐπιθυμία μέν τις ἐνῆν αὐτῷ τῆς μεταλήψεως ὡς εἰκὸς τοῦ καρποῦ. ἐκωλύετο δὲ ὅμως ὑπὸ τῆς ἐντολῆς, ἁμάρτημα εἶναι τὸ φαγεῖν τῶν ἀπηγορευμένων ἡγούμενος. ἐντεῦθεν ἡ ἁμαρτία πάροδον ἔσχε. τῆς μὲν ἐντολῆς ἐπεχούσης τὴν βρῶσιν· τοῦ δὲ Ἀδὰμ οὐ πρὸς τὴν ἀξιοπιστίαν τῆς ἐντολῆς βουληθέντος ἰδεῖν, ἀλλὰ πιστωθέντος μὲν τοῦ ἐπιβούλου τοῖς λόγοις, ὅλου δὲ τῆς ἐπιθυμίας τοῦ φαγεῖν γεγονότος.

Καὶ οὐ μονὸν ἀφορμὴ τῆς ἁμαρτίας ἐντεῦθεν ἐγένετο, ἀλλὰ γὰρ ἔτι κἀκεῖνο ἐμάθομεν, ὡς οὐκ ἀπάτῃ ταῖς ἐπιθυμίαις προσῆκεν ἕπεσθαι ἡμᾶς. δοκιμάζοντες δὲ ἃ χρὴ ποιεῖν, τῶν ἑτέρων ἀπέχεσθαι· οἷς οὐκ ἐμμένοντες, δῆλοι πάντως ἐσμὲν ἁμαρτάνοντες. ὥστε οὐ κατ' ἐκεῖνο μόνον ἡ ἁμαρτία τὴν πάροδον ἔσχε διὰ τῆς ἐντολῆς, καθὸ τοῦ φυτοῦ μετειλήφαμεν· ἀλλὰ γὰρ καὶ ὅτι μὴ πάσαις ἕπεσθαι ταῖς ἐπιθυμίαις ἁπλῶς ἐντεῦθεν μανθάνοντες ἡμαρτάνομεν, τὰ τῆς ἐπιθυμίας παρὰ τὸ δέον πληροῦν ἐπει-

γόμενοι. τοῦτο γὰρ λέγει τὸ "κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυ-"μίαν" ἀντὶ τοῦ παντὸς ἁμαρτήματος ἀπό τινος ἐπιθυμίας τικτομένου, ἐντεῦθεν ἡ ἀρχὴ γέγονεν ἡμῖν, ἅτε δὴ τῆς διακρίσεως τὰς ἀφορμὰς δεξαμένης ἐντεῦθεν. οὕτω καὶ ἐν τοῖς ἀνωτέροις τὸ "τὴν "ἐπιθυμίαν οὐκ ᾔδειν, εἰ μὴ ὁ νόμος ἔλεγεν, οὐκ ἐπιθυμήσεις." ἀντὶ τοῦ οὐκ ἂν ᾔδειν ὡς οὐ δεῖ τι ποιεῖν τῶν ἐν ἐπιθυμίᾳ κειμένων, εἰ μὴ νόμος ἦν ὁ τοῦτο διορίζων ἡμῖν.

Καὶ γὰρ τὸ "ἐν ἐμοὶ" ὅτε λέγει, τὸ κοινὸν λέγειν τῶν ἀνθρώπων καὶ τοῦ Ἀδὰμ εἰς ἀπόδειξιν κέχρηται τῶν κοίνων. ὅθεν ἐπὶ τοῦ οἰκείου κἀκεῖνο λέγει προσώπου· διὰ πάντων δεῖξαι βουλόμενος ὅτι ἀναγκαίως μὲν κατὰ τὸν παρόντα βίον νόμοις πολιτευόμεθα, ὑφ' ὧν ἡ ἔμφυτος ἀνακινεῖται διάκρισις· παιδευομένων ὧν τε ἀπέχεσθαι καὶ ἃ ποιεῖν προσήκει· ὥς τε καὶ τὸ λογικὸν ἐν ἡμῖν ἐνεργὸν εἶναι. χρεία δὲ τῆς μελλούσης ἡμῖν καταστάσεως, ἐν ᾗ γεγονότες, τὰ φαινόμενα ἡμῖν καλὰ ταῦτα καὶ ποιῆσαι δυνησόμεθα ῥαδίως. ὅθεν τῆς οἰκείας ἐχόμενος ἀκολουθίας καὶ τοῦ δεικνύναι, ὡς οὐδ' ἄν τις ἦν ἐν ἡμῖν διάκρισις τοῦτε καλοῦ καὶ τοῦ χείρονος, οὐδὲ ἁμαρτίας ἐπίγνωσις, εἰ μὴ νόμῳ ταῦτα διώριστο παρ' ἡμῖν, ἀλόγων δὲ δίκην τὸ προστυχὸν ποιεῖν ἅπαν ἐμέλλομεν, ἐπάγει, "χωρὶς γὰρ νόμου, ἁμαρτία νεκρά." οὐδ' ἂν ἐνεργηθείη, φησιν, ἁμάρτημα, μὴ νόμῳ διωρισμένον· διά τι; ὅτι οὐχ ἡ πρᾶξις ἁμάρτημα ἁπλῶς, ἀλλὰ τὸ εἰδότα ὧν ἀπέχεσθαι προσήκει, ποιεῖν τι παρὰ τὰ ἐγνωσμένα καλῶς ἔχειν.

Ὠριγένους. Οὐκ ἐν Παύλῳ μόνῳ ἀλλ' ἐν πάσῃ ψυχῇ, ὅτε ἡ ἁμαρτία ὑπέστη, πᾶσα ἐπιθυμία κατεπολέμει τὸ γένος. ἀμήχανον γὰρ ἀνθρωπίνην ψυχὴν, μὴ ἀποπεσεῖν πάθεσι· κἂν ἐξ ἐπιμελείας ὕστερον οἱονεὶ ἐν ἀπαθείᾳ γένηται. ὧδε δὲ ὁ Παῦλος πᾶσαν ἐπιθυμίαν λέγει παθητικὴν καὶ ἁμαρτωλὸν, ἣν ὁ νόμος ἀπαγορεύει, διδάσκων τὸ "οὐκ ἐπιθυμήσεις." ἥτις ἐστὶν ὄρεξις ἄλογος γινομένη κατὰ ὁρμὴν πλεονάζουσαν παράλογον, καθ' ἣν φιλοζωοῦμεν ὡς ἀγαθοῦ ὀρεγόμενοι, πλούτῳ καὶ δόξῃ καὶ γυναιξὶ καὶ ταῖς λοιπαῖς ἐπιθυμίαις, κατὰ τὸ τῆς ἁμαρτίας βούλημα ποιούσης ἡμᾶς ἐκτείνεσθαι ὡς ἐπὶ ἀγαθὸν πᾶν τὸ ὑφ' ἡμῶν ἐπιθυμούμενον. φαντασία γὰρ ἀγαθοῦ ἡ ἐπιθυμία γίνεται.

Σευηριανοῦ. Οὐ κακός, φησιν, ὁ νόμος, οὐδὲ ἁμαρτία, ἀλλὰ

γνωρίζεται μὲν τὴν ἁμαρτίαν, ἀποστῆσαι δὲ αὐτὴν οὐ δεδυνημένος, ἐπιδόσεως ἀφορμὴν αὐτῇ πάρεσχε. τοῦτο δὲ διατί φησι; δεικνὺς τῆς ἁμαρτίας τὸ μέγεθος, ἵνα συναποδείξῃ τῆς χάριτος τὴν ὑπερβολήν. οὕτω, φησὶν, ἦν ἰσχυρὰ ἡ ἁμαρτία, ὅτι διὰ τῶν ἀπαγορευόντων μᾶλλον ἐκράτει καὶ πλέον ἴσχυεν· ὥσπερ φλόγα ἀρξαμένην μὲν καὶ τὸ τυχὸν σβέννυσιν. ἐξαφθεῖσαν δ' ἐπὶ πλέον, καὶ τὸ σβεστικὸν ὕδωρ πλέον ἅπτει. οὕτως τὴν ἁμαρτίαν πάσης τῆς οἰκουμένης κρατήσασαν καὶ πάντας ἐπινεμομένην, ὁ νόμος ἤλεγξαι, σβέσαι δὲ οὐκ ἴσχυσεν.

'Απολιναρίου. Τοῖς μὲν οὐκ ἀκούσασι νόμου, φυσικῶς ἡ τούτου γνῶσις ἐγγίνεται, καθὰ καὶ πρότερον εἴρηκεν· "ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιοῦντα, γραπτὸν ἐνδείκνυσθαι "τὸ ἔργον τοῦ νόμου ἐν ταῖς ἑαυτῶν καρδίαις." τοῖς δὲ ὑπὸ νόμον τὸ τοῦ νόμου γράμμα καὶ τὴν φυσικὴν ἔννοιαν ἀνακινεῖ, κατηχουμένοις ὑπὸ τοῦ διδασκάλου, πρὸς τὸ καὶ συνιέναι τὸ καλὸν καὶ τὸ φαῦλον ἀφ' ἑαυτῶν δύνασθαι.

Χωρὶς γὰρ νόμου, ἁμαρτία νεκρά.

Κυρίλλου. Εἰ γὰρ μὴ κέοιτο φησὶν ὁ τὸν τῆς φαυλότητος τρόπον καταδικάζων νόμος, ἀδρανὲς ἂν γένοιτο τὸ κακόν. κατερεθίζεται γὰρ μονονουχὶ πρὸς ἰσχὺν διὰ τοῦ νόμου· καὶ ῥαθυμότερον μέν τισι τὸ τῆς ἡδονῆς ἐγκείσεται κέντρον, ἐπιτιμῶντος αὐτῷ μηδενός. μόνον δὲ οὐχὶ καὶ ἀπαμβλύνεται τῷ τῆς ἐξουσίας πλάτει γοητευόμενον. οὗ γὰρ ὅλως τὸ ἀντιστατοῦν οὐδὲν, ἐκεῖ που πάντως ἀργεῖ τὸ φιλόνεικον. νεκρὰ τοιγαροῦν ἡ ἁμαρτία, νόμου τὸ πρακτέον διακρίνοντος. ἐζηκέναι δὲ, φησὶν ὁ μυσταγωγὸς, χωρὶς νόμου ποτέ. εἶτα τῆς ἐντολῆς ἐλθούσης, ἀναβιῶναι μὲν τὴν ἁμαρτίαν· τεθνάναι γε μὴν αὐτὸν ἰσχυρίζεται. καὶ σχηματίζει μὲν ἐν τούτοις ἐφ' ἑαυτῷ τὸν λόγον. οἶμαι δὲ ἔγωγε τοιοῦτόν τι βούλεσθαι δηλοῦν αὐτόν. ὑπὸ δίκην μὲν γὰρ ὁμολογουμένως ἐστὶ καὶ τὸ ἐν ἀγνοίᾳ πλημμελεῖν, ἢ τὸ ἐν εἰδήσει νόμων. εἰ δὲ δή τις γέγονεν ὑπὸ νόμον, τὴν ἔξω νόμου ποτὲ διαζήσας ζωήν· εἶτα τῶν τεθεσπισμένων ἀφειδεῖν ᾑρημένῳ, ἥλω γραφῇ ἁμαρτίας, καὶ πέπτωκεν ὑπὸ δίκην, τότε δὴ τότε, ταῖς ἑαυτοῦ ῥαθυμίαις ἐπιστύγνασας. καὶ τῆς ἀκριβείας τοῦ νόμου μονονουχὶ κατακεκρά-

ζεται λέγων, "ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτέ. ἐλθούσης δὲ τῆς "ἐντολῆς ἡ ἁμαρτία ἔζησεν. ἐγὼ δὲ ἀπέθανον." εἰ γάρ ἐστιν ἀληθῶς ἁμαρτία νεκρὰ χωρὶς νόμου, πῶς οὐ πιθανὸν ἐννοεῖν ζωοποιεῖσθαι τρόπον τινὰ διὰ τοῦ νόμου τὴν ἁμαρτίαν, τοῦ καὶ ἐμφανῆ καθιστάντος αὐτὴν, καὶ οἷον ἐμπνοῦν ἀποτελοῦντος; καίτοι πάλαι μὴ ἐγνωσμένην, εἰ καὶ τῷ ἐν ἡμῖν. οὐ γὰρ ἦμεν δίκαιοι. ὥσπερ δὲ νεκρᾶς οὔσης τῆς ἁμαρτίας, διάτοι τὸ μὴ εἶναι τυχὸν τὸν καταδικάζοντα νόμον, ἔζωμεν ἡμεῖς τῆς ἀγνοίας τὴν παραίτησιν εὐάμορφον (sic) ἔχοντες. "οὗ γὰρ οὐκ ἔστι νόμος, οὐδὲ παράβασις," καθὰ φησὶν αὐτός. οὕτω παρελθούσης εἰς μέσον τῆς ἐντολῆς, ἀνεβίωμεν[u] ὥσπερ ἡ ἁμαρτία, κατηργήθη δὲ ὁ θάνατος, καὶ ἄρα καὶ δίκη τῶν ταῖς παραβάσεσιν ὑποπιπτόντων ἐξ ἀσθενείας.

Καὶ τί τὸ ἐντεῦθεν; πέπρακταί τι τῶν ἐλπίδος ἔξω καὶ ἀδοκήτων ἐφ' ἡμῖν. εὕρηται γὰρ ἡ ἐντολή, φησιν, ἡ δοθεῖσα πρὸς ζωὴν, αὕτη εἰς θάνατον. ὥσπερ γὰρ κατασίνεταί πως τῆς ἡλιακῆς ἀκτῖνος τὸ φῶς, τοὺς οἵσπερ ἂν εἶεν τὴν ὄψιν ἠρρωστηκότες· καίτοι πεφυκὸς εἶναι γλυκὺ καὶ τριπόθητον. καὶ ὁ κατ' αὐτὸ πάντως ἐστὶ τὸ ἀδικοῦν. νοοῖτο δὲ μᾶλλον τῆς τῶν πεπονθότων ἀρρωστίας ἔγκλημα τὸ ἀδικεῖσθαι παρ' αὐτοῦ· κατὰ τὸν ἴσον οἶμαι τρόπον πρόφασιν διδόσθαι τῇ ἁμαρτίᾳ, φησὶ, τὴν ἐντολὴν, ἐξηπατῆσθαί τε δι' αὐτῆς, κατακομισθῆναι δὲ καὶ εἰς θάνατον.

Φαίη δ' ἄν τις καὶ ἑτέρως, ὅτι δὴ[x] σφόδρα φιλεῖ ταῖς τοῦ νόμου βουλαῖς ἀεί πως μάχεσθαι τὸ φιλόπονον· καὶ οἱ τῆς φαυλότητος τρόποι ταῖς ἐπιεικείαις ἀνακοπτόμενοι γενικώτερον ἀντεξάγουσι· καὶ τονοῦν[y] ἐσθ' ὅτε καταληΐζονται, καταστρέφοντες εἰς παράβασιν, καὶ ταῖς ἐκ νόμου ποιναῖς ὑποφέροντες· καίτοι νόμον ἐσχηκότες τοῦ πολέμου τὴν ἀφορμήν. ταυτή τοι, φησὶ, σοφὸς ὢν ὁ Παῦλος, ἠπατῆσθαί τε διὰ τῆς ἐντολῆς, καὶ δι' αὐτῆς ἀποθανεῖν. ἀπέκτεινε γὰρ μονονουχὶ καταθήγουσα πρὸς ἀντίστασιν τὰς ἐν ἡμῖν ἡδονὰς, κατάγε τοὺς προειρημένους τρόπους.

Ἰσιδώρου. Ἐπειδή πως χωρὶς νόμου ἡ ἁμαρτία νεκρὰ, ἠθέλησας μαθεῖν, φημὶ ὅτι τοῦτο βούλεται εἰπεῖν ὁ Παῦλος, ὅτι οὔπω

[u] Leg. ἀνεβίω μέν. [x] Cod. δεῖ. [y] In marg. ἴσως γρ. καίτοι νοῦν (sic) sed leg. καὶ τὸν νοῦν.

ἦν γνώριμος. οὐ γὰρ τοῦτο αἰνίττεται, ὅτι οὐκ ᾔδεσαν ἁμαρτάνοντες, ἐπεὶ ἀλόγως εὑρεθεῖεν κολασθέντες οἱ πρὸ τοῦ νόμου. οἱ μὲν γὰρ ὕδατος, οἱ δὲ πυρὸς ἔργον ἐγένοντο. ἀλλ᾽ ὅτι ᾔδεσαν μὲν, οὐχ οὕτω δὲ ἀκριβῶς. διὸ ἐκολάζοντο μὲν, οὐχ οὕτω δὲ σφοδρῶς.

Γεννάδιου. "Χωρὶς γὰρ νόμου" φησὶν, "ἡ ἁμαρτία νεκρά." τὴν γὰρ πρᾶξιν ἁμαρτωλὸν ὁ νόμος ἀπαγορεύων συνίστησιν, ὡς ἐὰν μὴ τούτου μοι προπαρηγγελκότος αὐτῆς ἀποχὴν ἐπιτετηδευκῶς ὑπῆρχον αὐτὴν, οὐκ ἂν ἦν ἔνοχος πλημμελήματι. "οὗ γὰρ οὐκ "ἐστὶ νόμος, οὐδὲ παράβασις." οὐ γὰρ ἐλλογεῖται ἁμαρτία, μὴ ὄντος νόμου. "ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτέ." τὸ "ἐγὼ" νῦν ἀντὶ τοῦ ὁ ἄνθρωπος λέγει, λέγει δὲ περὶ τοῦ Ἀδάμ. "ἐλθούσης δὲ τῆς "ἐντολῆς, ἡ ἁμαρτία ἀνέζησεν, ἐγὼ δὲ ἀπέθανον." ἐμὲ γοῦν τὸν ἄνθρωπον ἔχοντα πρὸ τοῦ νόμου τὸ ζῆν ἡ ἐντολὴ προσελθοῦσα διὰ τῆς πρόσθεν νεκρᾶς ἁμαρτίας, ἀναζησάσης, τοῦτο ἀφείλετο· καὶ εὑρέθη μοι ἡ ἐντολὴ ἡ εἰς ζωὴν, αὕτη εἰς θάνατον. καὶ πέπονθά τι σχέτλιον, καὶ ὄντως ἐλεεινὸν, τῇ εὐεργεσίᾳ βλαβεὶς, καὶ τῷ πρὸς ζωὴν δοθέντι μοι βοηθήματι, τούτῳ τὸ ζῆν ἀπόλεσας. "ἡ γὰρ "ἁμαρτία ἀφορμὴν λαβοῦσα διὰ τῆς ἐντολῆς ἐξηπάτησέ με, καὶ δι᾽ "αὐτῆς ἀπέκτεινεν." ἔχουσα γὰρ διὰ τῆς ἐντολῆς πρόφασιν ἡ κατάρατος ἁμαρτία, καὶ δυνατωτέρα τῷ ὅπλῳ τῷ ἐμῷ γενομένη, δι᾽ αὐτοῦ με τούτου παρακρουσαμένη κατέσφαξε. δίεισι μέντοι περὶ τῆς ἁμαρτίας, ὡς ζώσης τε καὶ ὑφεστηκυίας καὶ σοφιζομένης τὸν ἄνθρωπον, κατὰ τὸ τῆς θείας ἔθος γραφῆς. οὕτω γοῦν καὶ τὴν δικαιοσύνην προσωποποιῶν ὁ μακάριος εἰσάγει λέγων, "δικαιοσύνη "ἐνώπιον αὐτοῦ προπορεύσεται" καὶ πάλιν ὁ Σολομὼν τὴν σοφίαν. καὶ ὅλως ἐν τοῖς θείοις λογίοις πολὺ τὸ τοιοῦτον ἰδίωμα.

Διοδώρου. "Ἐλθούσης δέ," φησι, "τῆς ἐντολῆς, ἡ ἁμαρτία "ἀνέζησεν· ἐγὼ δὲ ἀπέθανον." εἰ ἀνέζησε, δῆλον ὅτι ἔζη ποτὲ, καὶ ἀποθανοῦσα ἀνέζησε. πότε οὖν ἔζη; ὅτε εἰληφότα τὸν Ἀδὰμ ἐντολὴν καὶ εἰδότα, τὴν παράβασιν ὀλέθριον ἠπάτησε καὶ κατηγωνίσατο ὁ διάβολος. ὡσαύτως δὲ ὅτε καὶ τὸν Κάϊν. καὶ γὰρ αὐτὸς ἐν γνώσει ἥμαρτε παραγγελθεὶς μὴ φονεύειν τὸν ἀθελφὸν, διὰ τοῦ "ἥμαρτες, ἡσύχασον." μὴ οὔσης οὖν μεταξὺ, μήτε ἐντολῆς, μήτε νόμου, ἐνεκροῦντο ἡ ἁμαρτία τῇ τῶν ἁμαρτανόντων

ἀγνωσίᾳ. τὰ γὰρ πλεῖστα ἠγνόουν πταίοντες· ὥστε οὔτε ὑπὸ τοῦ συνειδότος κατεκρίνοντο. τί οὖν ἐκ τούτων; ἐλυσιτέλει μὴ δοῦναι τὸν νόμον; ἀλλ᾽ ἐζημιοῦντο οἱ μέλλοντες κατορθοῦν. ἄτοπον δὲ διὰ τοὺς ῥαθύμους καὶ φιληδόνους ἀνελεῖν τῶν σπουδαίων καὶ ἐναρέτων τὴν τῆς σωτηρίας ὑπόθεσιν.

Θεοδωρου. Πάλιν ἐπὶ τὸ παράδειγμα χωρεῖ εἰς τὴν τοῦ προκειμένου πίστωσιν, καὶ φησὶν, "ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτὲ," περὶ τοῦ Ἀδὰμ λέγων. ὡς ἂν ὅτε εὐθὺς ἐγένετο, ἔξω νόμου τυγχάνοντος· πρὶν ἢ δέξασθαι παρὰ τοῦ Θεοῦ τῆς ἀποχῆς τοῦ φυτοῦ τὸ ἐπίταγμα. δῆλον γὰρ ὡς ἐγένετο πρότερον· εἶτα τὴν ἐντολὴν ἐδέξατο ὕστερον. ὅθεν ἐπάγει· "ἐλθούσης δὲ τῆς ἐντολῆς, ἡ ἁμαρτία "ἀνέζησεν, ἐγὼ δὲ ἀπέθανον· καὶ εὑρέθη μοι ἡ ἐντολὴ ἡ εἰς ζωὴν, "αὕτη εἰς θάνατον." ἐπειδὴ δέ, φησιν, ὁ Θεὸς τὸν περὶ τοῦ φυτοῦ δέδωκε νόμον, καὶ διάκρισις ἐγένετο δύο πραγμάτων, ἡ μὲν ἁμαρτία παρείσδυσιν ἔσχεν· ἐγὼ δὲ ταναντία ποιήσας τοῖς τῷ Θεῷ δεδογμένοις, θανάτῳ κατεκρίθην. γέγονέ τε ἡμῖν λοιπὸν θανάτου παρεκτικὸς ὁ παρὰ τοῦ Θεοῦ τεθεὶς νόμος, ἐπὶ τῷ ζῆσαι πεισθέντας αὐτῷ. ὁ γάρ τοι μακάριος Παῦλος ἐλήλυθε μὲν ἐπὶ τούτοις ἀπὸ τοῦ νόμου τοὺς λόγους· δεῖξαι βουλόμενος ὡς οὐ φαῦλον αὐτὸν ἡγεῖται. κοινῶς δὲ λοιπὸν περὶ τῆς τοῦ νόμου φύσεως διαλέγεται, τὸ χρειῶδες αὐτοῦ καὶ ὠφέλιμον διδάσκων. ὅθεν καὶ τῆς πρὸς τὸν Ἀδὰμ μέμνηται ἐντολῆς. ἐπειδὴ ἀρχὴ νόμου τοῖς ἀνθρώποις ἐκεῖνος ἐγένετο. καὶ συμπλέκων ἀμφότερα καλῶς ἐπάγει· "ὥστε ὁ μὲν νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία" καὶ τὰ ἑξῆς.

Ὠριγενους. Τότε γὰρ καὶ γένοιτ᾽ ἂν περὶ τοῦ τοιούτου, ὅτι οὗτος ζῇ χωρὶς νόμου. ἐπὶ ταύτην γὰρ τὴν κατάστασιν ἀναφέρων ὁ Παῦλος καὶ πᾶς ἄνθρωπος ἐρεῖ, "ἐγὼ δὲ ἔζων χωρὶς νόμου "ποτέ." ἐπεὶ ποτὲ ἦν χωρὶς νόμου, ὅπου καθὼς αὐτὸς φησὶ, περιτομὴ ὀκταήμερος, ἐκ γένους Ἰσραὴλ, Ἑβραῖος ἐξ Ἑβραίων. οὐ γὰρ δύναται τὸ ἔτι ἄλογον ἔχον κατάστασιν παιδίον ζῆν ὑπὸ νόμον. πᾶς γὰρ ἄνθρωπος ἔζη χωρὶς νόμου ποτὲ, ὅτε παιδίον ἦν. καὶ παντὶ ἀνθρώπῳ ἦλθε ποτὲ ἡ ἐντολή. ποτὲ δὲ ἢ ὅτε συνεπλήρωσε τὸν λόγον, καὶ νενόηκε τὴν ἐντολὴν προτάττουσαν μὲν τὰ τοιάδε, ἀπαγορεύουσαν δὲ τὰ τοιάδε. ἅμα δὲ τοῦ ἐλθεῖν τὴν ἐντο-

λὴν κατὰ τὸν πρῶτον αὐτῆς καιρὸν, ὑφίσταται ἡ κακία, ἣ ὡς ὁ Παῦλος ὠνόμασεν, ἀναζῇ ἡ ἁμαρτία, τέως οὖσα νεκρά. ἐπειδὴ μὴ πέφυκεν ἀναζῆν ἁμαρτία, καὶ ὁ ἔσω ἄνθρωπος, διὰ τοῦτο ἐλθούσης τῆς ἐντολῆς, ἡ μὲν ἁμαρτία ἀναζῇ, ἡ δὲ ψυχὴ ἀποθνήσκει· κατὰ τὸ, "ψυχὴ ἡ ἁμαρτάνουσα, αὕτη ἀποθανεῖται." τὸ γὰρ "ἐγὼ" ἐπὶ τὴν ψυχὴν καὶ ἐπὶ τὸν ἔσω ἄνθρωπον ἀναφέρεται. μὴ νομίσῃς δὲ παραπλήσιον τι ἔχειν τὸν θάνατον τὸν πρῶτον τῆς ἁμαρτίας, τῷ δευτέρῳ ταύτης θανάτῳ. ὡς γὰρ πολλὴ διαφορὰ ὅτε νεκρὰ ἡ ἁμαρτία χωρὶς νόμου, καὶ ὅτε νεκρὰ ἡ ἁμαρτία, νεκρωθέντων τῶν μελῶν τῶν ἐπὶ γῆς ἀπὸ τοῦ λόγου. οὕτως καὶ τὴν καθ' ἑκάτερα νεκρότητα τῆς ἁμαρτίας ζωῆς, πολλή τις ἂν εἴη καὶ οὐ συγκριτικὴ ἡ ἑτέρα τῇ ἑτέρᾳ διαφορᾷ τοῦ ζῆν. δῆλον γὰρ ὅτι ἡ νεκρὰ ἁμαρτία ζῇ, ὅτε μήπω νεκροῦται τὰ μέλη τὰ ἐπὶ τῆς γῆς ὑπὸ τοῦ λόγου. πρὸ δὲ τοῦ νόμου καὶ τοῦ ἐλθεῖν τὴν ἐντολὴν ἔζη, νεκρὰ οὖσα.

Ἀπολιναρίου. Νόει γοῦν μοι, φησι, μὴ τεθέντα πρῶτον νόμον, ὡς νῦν οὐ πάρεστιν ἐπιτίμησις. ἄγνοια γὰρ ἀνεύθυνον κόλασιν οὐχ ὑπόκειται. μετὰ ταῦτα ἐπεισιοῦσαν θεώρει τὴν ἐντολήν. ἐνταῦθα κατεξανίσταται καθ' ἡμῶν ἡ ἁμαρτία, προσγενομένης τῆς γνώσεως, καὶ μηκέτι τῆς ἀγνοίας τὴν ὀργὴν ἀφιστάσης τὴν ἐπὶ τοῖς γινομένοις. οὕτω δὲ ζῇ μὲν ἡ ἁμαρτία, δύναμιν καὶ ἰσχὺν λαμβάνουσα. ἀποθνήσκει δὲ ἄνθρωπος, τῇ γνώσει καταδικαζόμενος· καὶ περιίσταται τὸ ζωοποιοῦν ἀγαθὸν ἡ τοῦ νόμου πρόσταξις, εἰς θανάτου πρόφασιν. ἧς γὰρ ἄνευ, τὴν ἁμαρτίαν, οὐχ οἷόν τε ἁμαρτίαν εἶναι, οὐδὲ καταδικάζειν θανάτῳ τὸν ἄνθρωπον, διὰ ταύτης δήπου καὶ τὸ τῆς πονηρίας ἔγκλημα, καὶ τὸ τῆς κολάσεως ἐπιτίμιον συνίσταται.

Φωτίου. Ἡ μὲν ἁμαρτία νεκρά· ἐγὼ δὲ ἐν ζωῇ, ἅτε μὴ ἐνοχλούμενος μηδὲ νυττόμενος, μηδὲ νεκρούμενος ὑπ' αὐτῆς. πῶς οὖν ἀνέζησεν ἐκείνη διὰ τοῦ νόμου; τίνα τρόπον; ὅτι τοῦ νόμου δοθέντος μᾶλλον ἐκείνη πρὸν ἐπίθεσιν παρωξύνθη, καὶ οἷον ἐπηρεάσαι ὥρμησεν· ἅτε δὴ καὶ στεφανοῦσθαι μέλλοντα τὸν φυλάξαντα τὴν ἐντολὴν ὑπολογιζομένη, καὶ διὰ τοῦτο μᾶλλον διαβασκαίνουσα. καὶ ἐγὼ πάλιν γνοὺς διὰ τῆς ἐντολῆς τὴν ἁμαρτίαν, ὡς ἐν

γνώσει πράττων ἃ φεύγειν ἔδει, μᾶλλον κατὰ τοῦτο ἡμάρτανον· καὶ μᾶλλον αὐτὴν κατ' ἐμαυτοῦ ἐπερώννυον, ἰσχὺν αὐτῇ διὰ τῆς κατὰ γνῶσιν ἀτόπου πράξεως ἐπιχορηγῶν, καὶ οἷον ἀσθενῆ καὶ νενεκρωμένην οὖσαν ἐνισχύων καὶ ἀναζωπυρῶν. ἡ δὲ ζήσασα ἐμὲ ἐνέκρωσε. πρὸ δὲ τοῦ ἀναζῆσαι ἐκείνην, ἐγὼ ἔζων μᾶλλον. τοῦτο δὲ ἦν πρὸ τοῦ νόμου καὶ τῆς ἐντολῆς. ὥστε εἰ καὶ μὴ ὁ νόμος ἁμαρτία, ἀλλ' οὖν ἐκείνου δοθέντος, κατὰ δύο τρόπους ἡ ἁμαρτία ἀνέζησεν. αὐτῆς τε ἐκείνης μᾶλλον πρὸς ἐπίθεσιν ἀνακινηθείσης καὶ διεγερθείσης, καὶ ἡμῶν τῇ κατὰ γνῶσιν ἐκτόπῳ πράξει ἐνισχυσάντων αὐτήν· καὶ τὴν καθ' ἡμῶν ἐπιβουλὴν σὺν παρρησίᾳ παρασχομένην. "ἀλλ' ἐκείνη μὲν ἀνέζησεν, ἐγὼ δὲ ἀπέθανον."

"Ἡ γὰρ ἁμαρτία ἀφορμὴν λαβοῦσα." ἀνωτέρω εἰπὼν "ὅτι "ἀφορμὴν λαβοῦσα ἡ ἁμαρτία, κατειργάσατο ἐν ἐμοὶ πᾶσαν "ἐπιθυμίαν," ἐπάγει ὅτι οὐ μόνον ἐπιθυμίαν πᾶσαν κατειργάσατο, ἀλλὰ καὶ ἐθανάτωσέ με. αὕτη γέγονεν εἰς θάνατον. εἶτα ὡς ἔθος αὐτῷ αἰτίας αἰτίαις συναίρειν, καὶ τὴν ἀκολουθίαν ἐνδεικνύναι καὶ τῶν πραγμάτων ἐν τοῖς λόγοις, ἀνατρέχει καὶ τίθησί πως "κατειργάσατο πᾶσαν ἐπιθυμίαν," καὶ φησὶν, "ὅτι ἀφορμὴν λα- "βοῦσα ἐξηπάτησέ με." εἶτα ἀφῆκε τὸ προρρηθὲν νοεῖν ἐνταῦθα ὅτι ἐκ τούτου δὲ εἰργάσατο τὴν ἐπιθυμίαν, καὶ τοῦτο ἀφεὶς ἐπισυνάπτει τὸ τέλος, "καὶ ἀπέκτεινεν·" ἵν' ᾖ κατὰ συνέχειαν εἴ τις ἀναλάβοι οὕτως αὐτῷ εἰρημένον. "ἀφορμὴν λαβοῦσα ἡ ἁμαρτία "κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν·" τὴν δὲ ἐπιθυμίαν κατειργάσατο ἀπατήσασα· ἐργασαμένη δὲ τὴν ἐπιθυμίαν, ἀπέκτεινέ με. ἔστιν οὖν ἀπάτη αἰτία τῆς ἐπιθυμίας. ἡ δὲ ἐπιθυμία τοῦ θανάτου. τὴν δὲ ἀπάτην εἰργάσατο διὰ τῆς ἐντολῆς ἡ ἁμαρτία· ἵνα φανῇ τὸ ὑπερβάλλον τῆς κακίας αὐτῆς, διὰ τοῦ ἀγαθοῦ τὸ κακιστὸν ἐργαζομένης.

12 Ὥστε ὁ μὲν νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία καὶ δίκαια καὶ ἀγαθή.

Κυρίλλου. "Ἅγιος ὁ νόμος καὶ ἡ ἐντολὴ ἁγία καὶ δίκαια "καὶ ἀγαθή." ἀποφαίνει γὰρ ἁγίους τε καὶ δικαίους καὶ ἀγαθοὺς τοὺς οἵπερ ἂν δύναιντο φυλάττειν αὐτόν. ἵνα δὴ γένοιντο ταῖς ἐκ

παραβάσεων αἰτίαις οὐδαμόθεν ἁλώσιμοι. ἀλλ᾽ ἦν τοῦτο πῶς ἀνέφικτον. "παραπτώματα γάρ τις συνήσει;" κατὰ τὸ γεγραμμένον.

Γενναδίου. "Ὥστε," φησὶν, "ὁ μὲν νόμος ἅγιος, καὶ ἡ "ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή." ὁ μὲν σύνδεσμος ἁπλῶς ἐνταῦθα προσέρριπται· νόμον δὲ καὶ ἐντολὴν ταυτὸν ἀμφοτέρως ὠνόμασεν. ἁγίαν μέντοι τὴν ἐντολὴν εἶπεν, ὡς τῆς ἁμαρτίας ἀπαγοῦσαν, καὶ διϊστῶσάν τε καὶ ἀφορίζουσαν τοῦ κακοῦ. δικαίαν δὲ, ὡς μετὰ τοῦ δικαίου τιμῶσάν τε ὑπακούοντας, καὶ κολάζουσαν παρακούοντας. ἀγαθὴν δὲ ὡς ὁδηγοῦσάν τε πρὸς τὸ ἀγαθὸν καὶ δι᾽ ἀγαθότητα δοθεῖσαν Θεοῦ. οὐ τοίνυν ὁ νόμος ἁμαρτία φησὶν, ὅσγε γνωρίζει τέ μοι τὸ φαῦλον, καὶ τῆς τούτου πράξεως εἴργει. ἀλλὰ τουναντίον, ἅγιός τε καὶ δίκαιος καὶ ἀγαθός.

Θεοδώρου. Τῆς πρὸς τὸν Ἀδὰμ μέμνηται ἐντολῆς. ἐπειδὴ ἀρχὴ νόμου τοῖς ἀνθρώποις ἐκεῖνος ἐγένετο. καὶ συμπλέκων ἀμφότερα λέγει, "ὥστε ὁ μὲν νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή." ἵνα εἴπῃ ὅτι ἀμφότερα τοίνυν ἄγαν ὠφέλιμα. καλῶς δὲ ἐπὶ τῆς ἐντολῆς πλείοσιν ἐχρήσατο τοῖς ἐπαίνοις, ἅτε δὴ καὶ τῆς δόσεως οὐκ ἐπ᾽ ἀναγκαίοις κατὰ τὸ πρόχειρον δοξάσης δέδοσθαι, καὶ θανάτου παρεκτικῆς ἅπασι γενομένης. ἐκάλεσε δὲ αὐτὴν ἁγίαν μὲν, ὡς τὰς ἀφορμὰς παρέχουσαν τῆς τε τοῦ καλοῦ καὶ τοῦ κακοῦ διακρίσεως, καὶ τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος ἀφορίζουσαν· δικαίαν δὲ, ὡς ἀναγκαίως μετὰ τὸ δεῖξαι τὸ καλὸν ἐπάγουσαν τῷ παραβάτῃ τὴν τιμωρίαν· ἀλλὰ καὶ ἀγαθὴν, ὡς καλῶν παρεκτικὴν, τό τε παρέχειν τὴν διάγνωσιν, καὶ τὸ μείζονα πειθομένοις ὑπισχνεῖσθαι καλά.

13 Τὸ οὖν ἀγαθὸν ἐμοὶ γέγονε θάνατος.

Κυρίλλου. "Ἅγιος μὲν ὁ νόμος, ἁγία δὲ καὶ ἡ ἐντολὴ καὶ "ἀγαθή." εἶτα πῶς ἔφασκε, "καὶ εὑρέθη μοι ἡ ἐντολὴ ἡ εἰς ζωὴν "αὕτη εἰς θάνατον;" ἆρα οὖν, εἰπέ μοι, γέγονε τὸ ἀγαθὸν ὀλέθρου πρόξενον; μὴ γένοιτό, φησιν, ἐπαιτιῶμαι γὰρ ἐν τούτοις, ἥκιστα μὲν τὸν νόμον, ἕστηκα δὲ ὥσπερ τῆς ἁμαρτίας κατήγορος. καταβιάζεται γὰρ οὕτω τὴν ἀνθρώπου φύσιν, καὶ τῆς ἐν ἡμῖν διανοίας κεκράτηκεν, ὥστε αὐτὸν τὸν εἰς σωτηρίαν ἡμῖν καὶ ζωὴν δοθέντα νόμον, τὴν ἁγίαν ὄντως καὶ ἀγαθὴν ἐντολὴν, θανάτου γενέσθαι

πρόφασιν τοῖς ὑπεζευγμένοις. πῶς, ἢ τίνα τρόπον; εἰ γὰρ ἕψεται μὲν ἀεὶ τοῖς παρανομοῦσιν ἡ δίκη, διεληλάκαμεν δὲ πρὸς τοῦτο λοιπὸν ἀσθενείας ἡμεῖς, ὡς ἀεὶ ταῖς παραβάσεσιν ἐναλίσκεσθαι, ἐναργὲς ἤδη πῶς, ὅτι κατὰ τοῦτον τὸν τρόπον, ὁ σώζων νόμος, ὁ ἅγιός τε καὶ ἀγαθὸς, νεῦρά πως δοκεῖ γενέσθαι τῇ ἁμαρτίᾳ, καὶ ὁδὸς εἰς θάνατον τοῖς ὑφ' ἁμαρτίαν. καὶ τάχά που φησὶν, "ἵνα "γένηται καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς." τοῖς μὲν ἠγνοηκόσι τὸ τῷ δεσπότῃ δοκοῦν ἕψεται μὲν πάντως τὸ ἐναλῶναι δίκαις. ἠνομήκασι γὰρ, εἰ καὶ μὴ ἐγνώκασι. πλήν ἐστιν αὐτοῖς καὶ ἀπολογίας οὐκ ἀπίθανος οἶμαι λόγος. προβαλοῦνται γὰρ κατὰ τὸ εἰκὸς τὴν ἄγνοιαν. τοῖς γε μὴν ἐν νόμῳ τὸ μὴ εἰδέναι λέγειν τὸ θέλημα τὸ δεσποτικὸν, εἰ καὶ μὴ ὀνείδη πως, οὐκοῦν ἐφαίνετο διαβιοῦν ἡρημένοις ἀνοσίως, οὐκ ἀγνοίας ἔσται, ἀλλ' ἀπονοίας τὸ κατηγόρημα, καὶ τῆς ἀνωτάτω λοιπὸν ἀφιλοθεΐας. οὕτως ἂν λέγοιτο "καθ' ὑπερβολὴν ἁμαρτωλός." ἁμαρτωλοῦ μὲν ὑπάρχοντος καὶ τοῦ πεπλημμεληκότος ὡς ἐν ἀγνοίᾳ, ἥκιστα γε μὴν καθ' ὑπερβολὴν λεγομένου τε καὶ ὄντος ἁμαρτωλοῦ.

Γενναδίου. Τὸ οὖν ἀγαθὸν ἐμοὶ, φησὶ, γέγονε θάνατος; μὴ γένοιτο. ἀλλ' ἡ ἁμαρτία. οὐκ ἄρα, φησὶ, τοῦ κακοῦ μοι τὸ ἀγαθὸν αἰτιάσομαι· τῆς δὲ ἁμαρτίας κρατηγορῶ, καὶ ταύτην μισῶ. καὶ πρὸς ταύτην οὐκ ἂν ἑκὼν εἶναι σπεισαίμην ποτέ. ἵνα φανῇ, φησὶν, ἡ ἁμαρτία διὰ τοῦ ἀγαθοῦ μοι κατεργαζομένη θάνατον. αὕτη γὰρ βλάψασά με τῷ ἀγαθῷ, δι' αὐτοῦ μοι τούτου καὶ τὴν ἑαυτῆς φύσιν ἥτις ἐστὶ κατεφάνη· "ἵνα γένηταί," φησι, "καθ' ὑπερβολὴν "ἁμαρτωλὸς καὶ ἁμαρτία διὰ τῆς ἐντολῆς." ἐλέγχεται γὰρ διὰ τοῦ νόμου, φησὶν, ἡλικόν τε καὶ ὅσον ἐστὶν ἡ ἁμαρτία κακόν. τὸν γὰρ παρακελευόμενον αὐτήν μοι φυλάττεσθαι καὶ δεδομένον εἰς συμμαχίαν, ὑποσκελίσασά με, δι' ἀπάτης αὐτόν μοι τοῦτον ἐπέστησε φονευτήν.

Διοδώρου. Ἔλεγχός, φησι, τῆς τοῦ διαβόλου πονηρίας ὁ νόμος. ἀγαθὸν δὲ τὸν νόμον εἶπε. φαίνεται οὖν ὁ πονηρὸς δεινὸς ὢν πονηρός. ὅταν διὰ τοῦ δοθέντος ἀγαθοῦ θάνατον τοῖς λαβοῦσι τὸν ἀγαθὸν νόμον προὐξένησεν. "ἁμαρτωλός," φησιν, "ἡ ἁμαρτία." φανερώτατα νῦν ἔδειξεν ὅτι ἁμαρτίαν τὸν διάβολον ἔλεγε, καὶ

ἁμαρτωλὸν νῦν αὐτὸν ὠνόμασεν· ἁμαρτωλὸς γάρ ἐστιν ὁ ἁμαρτιῶν ποιητικός.

Ὠριγένους. Εἴ τις πρὸς τὰ εἰρημένα ἀνθυποφέρει λέγων, μήποτε ὁ ἅγιος νόμος γέγονεν εἰς θάνατον τῷ ἀνθρώπῳ; "ἐλθούσης "γὰρ τῆς ἐντολῆς ἀνέζησεν ἡ ἁμαρτία. ὁ δὲ ἄνθρωπος ἀπέθανεν." ἀκούσετε ὅτι οὐ τὸ ἀγαθὸν γέγονε θάνατος, ἀλλ' ἔδει τὴν ἁμαρτίαν φανῆναι ἡλικόν ἐστι κακόν. ὅτε γὰρ ἐπιδημεῖ τὸ ἀγαθὸν τῇ ψυχῇ, φανεροῦται τὸ κακόν. καὶ ἐάν τις μετὰ τοῦτο ἁμαρτῇ, εὑρίσκεται τὸν θάνατον ποιοῦσα θανάτου πρόξενος. καὶ ἡ ἁμαρτία οὐχ ἁπλῶς ἁμαρτία, ἀλλὰ καθ' ὑπερβολὴν ἁμαρτωλὸς αὕτη, διὰ τῆς ἁγίας ἐντολῆς παρεισδύνουσα, καὶ τὸν θάνατον ἡμῖν κατεργαζομένη.

14 Οἴδαμεν γὰρ ὅτι ὁ νόμος πνευματικός ἐστιν.

Κυρίλλου. Πνευματικόν φησι τὸν νόμον, ὡς ἀποτελοῦντα πνευματικοὺς τοὺς ἑπομένους αὐτῷ. νοεῖται δὲ πνευματικὸς, ὁ μὴ κατὰ σάρκα ζῶν, ἀπονενευκὸς δὲ μᾶλλον ἐπὶ τὸ θέλειν ἕπεσθαι τῇ θελήσει τοῦ Πνεύματος. ἔφη δὲ καὶ ὁ μακάριος Δαβὶδ, "ὁ νόμος "Κυρίου ἄμωμος, ἐπιστρέφων ψυχάς. ἡ μαρτυρία Κυρίου πιστὴ, "σοφίζουσα νήπια· ὁ φόβος Κυρίου ἁγνὸς, διαμένων εἰς αἰῶνα αἰῶ"νος." ὥσπερ οὖν ἄμωμόν φησιν εἶναι τὸν νόμον, οἶδε γὰρ ἀμώμους ἀποτελεῖν· πιστὴν δὲ τὴν μαρτυρίαν, ὡς πιστοὺς ἀποφαίνουσαν· καὶ ἁγνὸν τὸν φόβον· ἔστι γὰρ ἁγνοποιός· οὕτως ἐκδέξῃ κἀνθάδε πνευματικὸν εἰρῆσθαι τὸν νόμον, ὡς πνευματικοὺς ἀποφαίνοντα τοὺς ἑπομένους αὐτῷ. εἰ γάρ ἐστιν ἐν σκίαις, ἀλλ' οὖν ἔχει τῆς ἀληθείας τὴν μόρφωσιν. τί οὖν ὁ Παῦλος; ἰσχυρίζεται μὲν ὅτι πνευματικὸς ὁ νόμος. αἰτιᾶται δὲ τὴν ἀνθρώπου φύσιν ὡς πολὺ νοσοῦσαν τὴν ἁμαρτίαν· καὶ πειρᾶται πληροφορεῖν· ὡς ἐπείπερ ἐστὶ πνευματικὸς ὁ νόμος, ταύτῃ τοι μάλιστα φορτικός ἐστι τῇ τοῦ ἀνθρώπου φύσει. τί γὰρ εἰπέ μοι φησιν; "εἰ ὁ μὲν νόμος ἐστὶ "πνευματικὸς, ἐγὼ δὲ σαρκικός εἰμι" τουτέστι τὸ[z] τῆς σαρκὸς φρονήματι τυραννούμενος. ὁρᾷς ὅπως εἰς ὅσην ἡμῖν ἐναντιότητα θελημάτων τίθησι τὰ δηλούμενα. ἕτερον γὰρ τὸ θέλημα τοῦ πνεύματος, καὶ ἕτερον ἂν νοοῖτο τὸ τῆς σαρκός. ἀντίκεινται γὰρ

[z] Cod. in marg. ἴσως τῷ.

ἀλλήλοις, καὶ ἀσύμβατον ἔχουσι τὴν εἰς ταυτότητα συνδρομήν· ὅτε τοίνυν σαρκικὸς μὲν ὁ ἄνθρωπος, πνευματικὸς δὲ ὁ νόμος, πῶς ἂν γένοιτο καὶ εἰς τὸ τοῖς οὕτως ἠρρωστηκόσι τὴν ἁμαρτίαν; μάλα ἐμφρόνως. εἰ γάρ ἐστι σαρκικὸς, νοηθείη ἂν οἷά τις αἰχμάλωτος, καὶ ἐν τάξει τῇ οἰκετικῇ.

Γενναδίου. Ἐπὶ πλέον ὑπεραπολογούμενός τε τοῦ νόμου, καὶ τῆς αἰτίας ἀπολύων αὐτὸν, τοῦτό, φησιν, ἐπίσταμαι, ὅτι ὁ νόμος πνευματικός ἐστιν· ἵνα εἴπῃ τέλειος καὶ ἀνενδεὴς, καὶ ἀρετὴν ἀπηκριβωμένην ἀπαιτῶν ἀθανάτοις προσήκουσαν. ἀλλ' ἐγὼ τί πάθω; θνητὴν καὶ φθαρτὴν καὶ πολλοῖς πάθεσιν ὑποκειμένην περικείμενος σάρκα, ἐκδεδομένος ὥσπερ εἰς πταίσματα; τὶ γὰρ πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν; ἀντὶ τοῦ ὡς πεπραμένος λέγει· καὶ τοῦτο δὲ ἰδίωμα γραφικὸν τὸ δίχα τοῦ ὁμοιωματικοῦ ἐπιρρήματος λέγειν τι τῶν προκειμένων πολλάκις. οἷόν ἐστι καὶ τὸ "ὁ Θεὸς "ἡμῶν πῦρ καταναλίσκον." ἔοικε δὲ τὸ "δοῦλοι ἦτε τῆς ἁμαρτίας" ἐν τοῖς "τίνι ὑπόχρεως ὧν πέπρακα ὑμᾶς, ἀλλ' ἢ ταῖς ἁμαρτίαις "ὑμῶν ἐπράθητε·" καὶ τῷ ἐν τοῖς ἁγίοις Εὐαγγελίοις εἰρημένῳ παρὰ τοῦ Σωτῆρος ἡμῶν. "ὅτι ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστι "τῆς ἁμαρτίας." ὄντως γὰρ ᾧτις ἥττηται, τούτῳ καὶ δεδούλωται.

Διοδώρου. Εἰκότως λέγεται πνευματικὸς ὁ νόμος. φυλαχθέντα γὰρ τὰ ἐν αὐτῷ παραγγέλματα πνευματικὸν ἐποίει τὸν ἄνθρωπον. ἢ καὶ ὅτι φησὶ κατ' ἐνέργειαν Πνεύματος Ἁγίου ἐπιδεκτικοὺς, κεκαθαρμένους, τῇ τοῦ νόμου παιδαγωγίᾳ. "πεπραμένος[a] ὑπὸ τὴν "ἁμαρτίαν," οὐχ ὑπὸ ἑτέρου τινὸς πεπραμένος, ἀλλ' αὐτὸς ὑφ' αὑτοῦ κατολιγωρῶν τῶν πεπαρηγγελμένων.

Θεοδώρου. Τὸ "πνευματικὸς" ἀντὶ τοῦ ὠφελεῖν καὶ παιδεύειν ἃ δεῖ δυνάμενος τὴν ψυχήν. τὸ δὲ σαρκικὸς ἀντὶ τοῦ θνητὸς, καὶ διὰ τοῦτο πολλὴν περὶ τὸ ἁμαρτάνειν ἔχων ῥοπήν. τοῦτο γὰρ λέγει τὸ "πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν." ἐπειδήπερ ἡ πρᾶσις, δοῦλον πάντως ποιεῖ τὸν πεπραμένον ὑπὸ τὸν τῆς ὑπηρεσίας καθιστάμενον ἀνάγκην, ὡς ἂν οὕτω καὶ ἡμῶν διὰ τῆς θνητότητος εἰς τὴν τοῦ ἁμαρτάνειν ἑτοιμότητα καταστάντων. βούλεται γὰρ εἰπεῖν ὅτι καλὸς μὲν ὁ νόμος, παιδεύει γὰρ τὴν ψυχὴν, τινὰ μὲν ἀγαπᾶν,

[a] Cod. πεπραγμένος et sic iterum posthac.

τινὰ δὲ ἀποστρέφεσθαι προσήκει, καὶ τὸ πάντων προτιμᾶν τῶν θείων τὸ βούλημα· ὄφελος δὲ ἐμοὶ πρὸς τὸ ἀπηλλάχθαι τῆς ἁμαρτίας ἐντεῦθεν οὐ γίνεται. θνητὸς γὰρ ὢν τὴν φύσιν, καὶ πολλὴν διὰ τούτου περὶ τὸ ἁμαρτάνειν τὴν εὐκολίαν δεξάμενος, ἀπηλλάχθαι τοῦ πταίειν οὐ δύναμαι. κἂν μυριάκις ἃ προσήκει διὰ τοῦ νόμου παιδεύωμεν τὴν ψυχήν.

Ὠριγένους. Ζήτημα ἀνακύπτει ἀπὸ πάσης τῆς προκειμένης περικοπῆς, πῶς ταῦτα λέγων ὁ Παῦλος, οὐ δοκεῖ ἐναντιοῦσθαι τοῖς ἰδίοις λόγοις, ὁ λέγων "τιμῆς ἠγοράσθητε," καὶ "Χριστὸς "ἡμᾶς ἐξηγόρασε," καὶ "ζῶ δὲ, οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χρι"στός." εἰ μή που εἴπωμεν ὅτι προσωποποιΐας ἔχει διαφόρους ποιότητας προσώπων, ἔνθα οἱ φαῦλοι ἄλλα πράττουσι παρὰ τὴν προηγουμένην ἑαυτῶν πρόθεσιν. ὁ δὲ παρὼν λόγος ἁρμόζει λέγεσθαι ὑπὸ τῶν μεμαθηκότων τὰ περὶ τοῦ νόμου, ὅτι θεῖός ἐστι, καὶ βλεπόντων αὐτοῦ τὰ προστάγματα ὅτι εἰσὶ καλά. οὐδὲν δὲ ἧττον ὡς πεπραμένοι ὑπὸ τὴν ἁμαρτίαν καὶ σαρκικοὶ ὄντες, καὶ γινώσκουσί πῶς ἐμπίπτουσιν ὑπὸ τὴν ἁμαρτίαν.

15 Ὃ γὰρ κατεργάζομαι οὐ γινώσκω.

Κυρίλλου. Οἴονται κατὰ τὸ εἰκὸς τῶν ἀμαθεστέρων τινὲς τῶν Ἑλλήνων μῦθον ἐμπεδοῦν ἐθέλειν αὐτόν· ὃν οὐκ οἶδ᾽ ὅπως ἐκεῖνοι πρεσβεύειν ἐγνωκάσι, πλανῶντές τε καὶ πλανώμενοι. εἱμαρμένην γάρ τινα πλαστουργοῦντες, καὶ τύχην κατὰ τὸ σφίσι δοκοῦν· εἶτα τὸ κρατεῖν τῶν καθ᾽ ἡμᾶς πραγμάτων ταῖς οὐκ οὔσαις ἀνάπτοντες, παραιροῦνται τὸν ἄνθρωπον τοῦ ὅτι μάλιστα πρέποντος αὐτῷ, φημὶ δὲ τοῦ χρῆναι βιοῦν ἐλευθέρως, ἀνειμένην τε καὶ ἐθελούσιον ἔχοντα τὴν ῥοπὴν, τὴν ἐφ᾽ ὅπερ ἂν ἕλοιτο τῶν πρακτέων. ἀνάγκη δὲ ὥσπερ καὶ τοῖς παρ᾽ ἐκείνων ὅροις τὲ καὶ ψήφοις ὑπάγοντες, οὐ μετρίως ἀδικοῦσι τοὺς κατὰ τόνδε τὸν βίον. εἰ γάρ τις ἴοι κατ᾽ αὐτοὺς ἐπὶ τὸ δρᾶν ἃ μὴ θέμις, οὐκ ἐνὸν αὐτῷ, κἂν εἰ βούλοιτο, τυχὸν τῆς εἱμαρμένης τὸ νεῦμα διαφυγεῖν, οὐδ᾽ ἂν ὅλως διαμωμήσαιτο τις εὖ φρονῶν, κἂν εἰ ὁρῷτο πλημμελῶν. ὃ γὰρ ἦν ἀνάγκη καὶ οὐχ ἕκοντα δρᾶν, εἰ ἁλίσκοιτο πεπραχὼς, ἔξω που πάντως αἰτίας ἔσται καὶ δίκης.

Ἐπαινέσειε δ᾽ ἄν τις οὐ λίαν ἐμφρόνως τὸν ἐπιεικῆ καὶ κόσμιον.

τί γὰρ εἰ γέγονε τοιοῦτος οὐχ ἑκὼν, ἀλλὰ τοῖς ἑτέρου νεύμασι παρενηνεγμένος εἰς τοῦτο· μᾶλλον δὲ καὶ ἄμαχον αὐτῷ τὴν ἀνάγκην κατεξανιστάσης τῆς τύχης; οὐκοῦν ἀπηχὲς μὲν παντελῶς τὸ ταῖς Ἑλλήνων τερθρείαις συναποφέρεσθαι λέγειν τὸν τῶν καλλίστων εἰσηγητήν· ἤγουν οἴεσθαι τῆς ἐκείνων ἀβελτερίας ἰέναι κατόπιν, τὸν τῶν θείων ἡμῖν μυστηρίων γεγονότα ταμίαν, εἰ λέγοι τυχόν· "ὃ γὰρ κατεργάζομαι οὐ γινώσκω. οὐ γὰρ ὃ θέλω, τοῦτο πράσσω. ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ." εἰ γὰρ δή τις ὅλως διισχυρίσαιτο, καὶ δὴ καὶ ἕλοιτο φρονεῖν ὡς εἱμαρμένη μὲν καὶ τύχη τὴν τῶν καθ' ἡμᾶς ἀπονενέμηκεν ἐξουσίαν, πῶς οὐκ ἂν εἰκότως εἴροιτο ἂν αὐτὸν ἐκεῖνό που λέγων· εἰ σκληραῖς καὶ δυσαντήτοις ἀνάγκαις ἐνειλημένοι τῶν πρακτέων ἢ μὴ, κύριοι μὲν ἡμεῖς οὐδάμοθεν καθεστήκαμεν· εἴκομεν δὲ μᾶλλον ὡς κρατοῦσιν ἑτέροις καὶ τοῦ κατὰ γνώμην εἰργόμεθα· πῶς ἡμῖν γέγραφας αὐτὸς, "ἢ ἀγνοεῖτε ἀδελ-" φοὶ, γινώσκουσι γὰρ νόμον λαλῶ, ὅτι ὁ νόμος κυριεύει τοῦ ἀν-" θρώπου ἐφ' ὅσον χρόνον ζῇ." κυριεύει δὴ οὖν τινα τρόπον τῶν ζώντων ὁ νόμος. ἀπρακτήσει μὲν γὰρ ἀραρότως ἐπὶ τοῖς τεθνεῶσιν. ὁρίζεται δὲ οὐκ ἐκείνοις ποθὲν, ἀλλὰ τοῖς ἔτι τῶν ἐν σώματι τρίβουσι βίον. καὶ στεφανοῖ μὲν ἐπαίνοις τὸν εὐδοκιμεῖν εἰωθότα, καταψηφίζεται δὲ τῶν βεβήλων τὴν δίκην. εἶτά πως ὁ νομοθέτης ὅσιος ἔσται κριτὴς κολάζων ἡμαρτηκότας τοὺς εἰς τοῦτο πεσεῖν ἀβουλήτως ἐκ τύχης ἠναγκασμένους; μᾶλλον δέ τε καὶ ὅλως τὸν νόμον ὡρίσατο. τοῖς μὲν γὰρ ἔχουσιν ἐπ' ἐξουσίας ἃ ἂν βούλοιντο δρᾶν, ὁσίαν ὁ νόμος ὁρίζει τὴν δίκην, εἰ παρὸν εὐδοκιμεῖν ταῖς ἀγαθουργίαις ἐπιδόντας τὸν νοῦν, αὐτοὶ τὰ αἰσχίω τετιμηκάσι, καὶ τῶν ἀμεινόνων ἠλλάξαντο τὰ διὰ νόμου κατεγνωσμένα.

Τοῖς γε μὴν ἐπηρτημένον ἔχουσι τὸν τῆς ἀνάγκης ζυγὸν, καὶ οἵπερ ἂν τοῖς κρατοῦσι δοκῇ τρεπομένοις ἀεὶ, περιττὸν οἶμαί που τὸ θέσπισμα· καίτοι πῶς οὐκ ἀληθὲς εἰπεῖν, ὡς οὐδ' ἂν ἡμῖν ὁ πάντα εἰδὼς τὸν ἐκ τοῦ νόμου ζυγὸν ἐπετίθει, τὸ αὐτῷ δοκοῦν εὖ μάλα βραβεύοντα καὶ παιδαγωγοῦντα πρὸς τὸ συμφέρον, εἰ τοῖς εἱμαρμένοις βρόχοις ἐνειλημμένους ἠπίστατο; ἢ γὰρ ἐκεῖνο λεγόντων οἱ δι' ἐναντίας, ὡς ἠγόη[z] (sic) *καὶ τοῦτο Θεός. ἢ εἴπερ ὀρθὰ*

[z] Cod. *αὐτὸ*. Leg. *ἠγνόει*.

φρονεῖν ἡρημένοι, δεδίασι σφόδρα τὸ τῆς ἀρρήτου δόξης καταχέαι τὴν ἄγνοιαν[a]. νενομοθετικέναι δέ φασι, καὶ μὴν καὶ τῶν πλημμελούντων καθορίσαι τὰς δίκας ὁμολογήσουσιν ἐναργῶς. οἶδέ που πάντως ἐλευθέρῳ φρονήματι διαζῶντα τὸν ἄνθρωπον, καὶ ῥοπαῖς ἐθελουσίοις ἐφ᾽ ὅπερ ἂν ἐβούλετο διάττειν ἰσχύοντα, παραποδίζοντος οὐδενός.

Ταύτητοι καὶ ὁ θεσπέσιος Παῦλος κυριεύειν ἔφη τοῦ ἀνθρώπου τὸν νόμον, ἐφ᾽ ὅσον χρόνον ζῇ. οὐκοῦν οὐχ ὡς τῆς ἀνθρώπου διανοίας τοῖς ἑτέρων ὑποκειμένοις νεύμασι τὰ τοιάδε φησί· φιλοσοφεῖ δὲ, καὶ τῆς ἀνθρώπου φύσεως τὰ πάθη περιεργάζεται. μόνον δὲ οὐχὶ καὶ ἀνορύττει λεπτῶς τὰ εἰς νοῦν ἔσω τῶν ἀρρωστημάτων[b], καὶ τῆς ἐμφύτου φιληδονίας τὸ σῶμα γράφεται τοῦ νοσοῦντος ἔτι τὴν φιλοσαρκίαν, ἑαυτῷ τὸ πρόσωπον εὖ μάλα προτιθείς. εἰ γὰρ καὶ ἐσταύρωται μὲν αὐτὸς τῷ κόσμῳ, καὶ μὴν ὁ κόσμος αὐτῷ, καὶ ἦν ἀξιάγαστος ἀληθῶς, ἀλλ᾽ ἡγεῖτο σοφὸν, μὴ εἰς τὸ οἰκεῖον χάρισμα βλέπειν, ἀλλὰ τὴν οὔπω γεγονότων κατ᾽ αὐτὸν ἀσθένειαν ὑπόθεσιν ἀναγκαίαν ποιεῖσθαι τῷ λόγῳ.

Ὅταν οὖν ἀκούσῃς λέγοντος, "ὃ γὰρ κατεργάζομαι, οὐ γινώσκω," ἐννόει τινὰς τῶν ὑπεράγαν[c] ἁμαρτωλῶν οἰομένους, ὅτι τὸν πανάριστον ἀληθῶς διαζῶσι βίον· καὶ ὅτι τῆς ἐν τῷδε τῷ κόσμῳ τρυφῆς καὶ ἐξιτηλίας οὐδὲν ἂν γένοιτο τὸ ἰσοστατοῦν. καταμυσάττονται μὲν γὰρ τῆς ἐπιεικείας τοὺς τρόπους, ἐναμβρύνονται δὲ καὶ ἐνσπαταλῶσι λίαν ταῖς σφῶν αὐτῶν ἡδοναῖς. καὶ περὶ αὐτῶν οἶμαί που φησὶν ὁ Παῦλος, "οἱ τὰ ἐπίγεια φρονοῦντες, ὧν ὁ θεὸς "ἡ κοιλία· καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν." οὗτοι φαῖεν ἂν εἰκότως ὥς τι τῶν ἄγαν ἐπαινουμένων πληροῦντες τὸ φαῦλον, "ὃ "γὰρ κατεργάζομαι οὐ γινώσκω." οὐκοῦν ἀκουέτωσαν, "ἐκνήψατε "οἱ μεθύοντες ἐξ οἴνου αὐτῶν." ὅνπερ γὰρ τρόπον οἱ φιλοπόται καὶ κάτοινοι παρακεκομμένοι τῷ πάθει τῆς διανοίας τὸ ἀκριβὲς, οὐκ ἂν εἰδεῖεν τὰ σφισὶ δρώμενα[d], κατὰ τὸν τοῦ μεθύειν καιρὸν, οὕτως οἱ τὴν φρένα κατηρρωστηκότες, ἐκ φιλοσαρκίας καὶ τῶν αἰσχίστων ἡδονῶν, οὐδὲ ὅτι ποτε δρῶσιν εἰδεῖεν ἄν.

Νόσημα οὖν ἡμῖν ἀνθρώπου καρδίας ὁ Παῦλος ἐξηγεῖται λέγων,

[a] Leg. vid. ἄνοιαν. [b] Cod. ἀρηστημάτων. [c] Cod. ὑπερ ἄγαν.
[d] Cod. δρόμενα.

"ὃ γὰρ κατεργάζομαι οὐ γινώσκω." εἰ δὲ δή τις εἴη τοῖς μὲν ἀπὸ τοῦ συνειδότος ἐλέγχοις τρυφερωτέραν ὥσπερ ὑπέχων τὴν ἑαυτοῦ καρδίαν· καὶ ἀσχάλλων μὲν ὅτι πλημμελεῖ· πλὴν ἔτι πλεονεκτούμενος ταῖς εἰς ἁμαρτίαν ἡδοναῖς, καὶ οἷον ἀβουλήτως ἰὼν πρὸς τὸ πλημμελὲς, φαίην ἂν εἰκότως. "οὐ γὰρ ὃ θέλω, τοῦτο "πράσσω, ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ." ὡς πόσοι ποσάκις τεθαυμάκασι μὲν τὴν ἐγκράτειαν· καὶ δὴ καὶ μελέτης τῆς εἰς αὐτὴν ἀρξάμενοι, τοῖς τῆς μυσαρᾶς ἡδονῆς νενίκηνται κέντροις, καὶ ὀκλάσαντος αὐτοῖς τοῦ νοῦ πρὸς τὸ χεῖρον ἐνηργήκασι[e] τὴν ἁμαρτίαν· κατηφείας γε μὴν μεμέστωνται· τούτοις ἂν πρέποι καὶ μάλα εἰκότως μονονουχὶ καὶ ἀβουλήτως ἠσθενηκόσι τὸ φάναι δὴ πάλιν, "νυνὶ δὲ οὐκέτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ "ἡ ἁμαρτία."

Γενναδίου. Ἐπειδὴ εἶπεν τὸ "πεπραμένος[f] ὑπὸ τὴν ἁμαρτίαν·" καὶ διὰ τούτου τὴν μὲν ἐν τάξει δεσποίνης ὑπέθετο· ἑαυτὸν δὲ ἐν δούλου, πρὸς τοῦτο ἀκολούθως ἐπάγει, "ὃ γὰρ κατεργάζομαι οὐ "γινώσκω." τοῦτο γὰρ ἴδιον οἰκετῶν, τὸ μὴ γνώμης ἰδίας εἶναι κυρίους, ἀλλὰ δεσποτικοῖς ὑπηρετεῖσθαι προστάγμασι. πολλάκις γοῦν τι φησὶ, οὐ προαιρούμενος αὐτὸς διαπράττομαι. τὸ γὰρ "οὐ "γινώσκω" οὐχ ὅτι ἀγνοῶν λέγει· πῶς γὰρ, εἰ ὃ πράττει τις τοῦτο αὐτὸν ἀγνοεῖν ἐγχωρεῖ. ἢ ὅλως ἂν αὐτῷ τὸ τοιοῦτον εἰς σφάλμα καταλογίζοιτο ἐν εὐαγγελίοις τοῦ Σωτῆρος, "οὐκ οἶδα ὑμᾶς, ἀπέλ-"θετε ἀπ' ἐμοῦ." ἀντὶ τοῦ κατεργάζομαι τι πολλάκις, οὐκ οἰκειούμενος, οὐδὲ χαίρων, οὐδὲ ἡδόμενος αὐτῷ κατὰ πρόθεσιν· οὐδὲ ἐμαυτοῦ, συντόμως εἰπεῖν, ὑπακούων, ἀλλ' ἄλλου. καὶ ὅτι τοῦτο οὕτως ἔχει, φησι, δῆλον. "οὐ γὰρ ὃ θέλω, τοῦτο πράσσω, ἀλλ' ὃ μισῶ, "τοῦτο ποιῶ." τουτέστιν, ἃ μὲν αὐτὸς ἐμαυτῷ θέλω, τούτων οὐδὲν διαπράττομαι. ποιῶ δὲ τἀναντία· καὶ ἃ μισῶ, οὐκ ἂν ἐμαυτῷ βουληθείην ποτέ. διὰ μὲν τοιούτων τὸν τοῦ Σωτῆρος ἐκείνου νόμον παραβαίνειν φησὶ τὸν φυσικόν τε καὶ περιεκτικὸν τῶν ἁπάντων· τὸν "ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς "ποιεῖτε. οὗτος γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται."

[e] Cod. ἐνηργήμασι. [f] Cod. πεπραγμένος.

Διοδώρου. Οὐχ ὅτι τὴν ἁμαρτίαν, ὅτι ἁμαρτία ἐστὶν ἀγνοεῖν φησὶν, ἀλλ᾽ ἀντὶ τοῦ πῶς αὐτὴν ποιῶ, καὶ πῶς ὑποβλέπτομαι οὐκ αἰσθάνομαι. οἷον πολλάκις κρίνας κρατῆσαι θυμοῦ, ἡττήθην ἐμαυτοῦ. χρὴ μέντοι εἰδέναι, ὅτι οὐχ ἑαυτοῦ κατηγορεῖ, ἀλλὰ τὸ κοινὸν τῶν ἀνθρώπων ἐν ἑαυτῷ ὑπογράφει. τὸ φορτικὸν ἐπὶ ἑτέρου τάξαι παραιτούμενος. δείκνυσι γὰρ ὅτι ὀρεγόμεθα μὲν τῆς ἀρετῆς, ἡττώμεθα δὲ τῆς ἡδονῆς, ὅσοι ὑπὸ νόμον ἐσμέν. οὐ μὴν ὅσοι ὑπὸ χάριν· οἳ καὶ ἔξω ἁμαρτίας διὰ τὴν χάριν γεγόναμεν.

Ὠριγένους. Ἁρμόζει τὰ ῥήματα ταῦτα λέγειν τοῖς παλαίσασι πρὸς τὰς ἐπιθυμίας· διὰ δὲ ἀσθένειαν λογισμοῦ πεσοῦσι· καὶ τοῖς ὑπὸ θυμοῦ ἐσθ᾽ ὅτε νικωμένοις καὶ ὑπὸ φόβου, καὶ πράττουσιν ἃ μὴ θέλουσι, καὶ ἃ μισοῦσιν· ὅταν δὲ καὶ ἀπὸ λόγου ἐπάρσεως ἡττηθέντες νικηθῶμεν ἐκ τοῦ δοκοῦντος εἶναι ἀγαθοῦ οὐ μὴν ἀληθοῦς, σύμφαμεν τῷ νόμῳ ὅτι καλὸς, ποιοῦμεν δὲ τὸ καθ᾽ ἡδονήν.

Εἰ δὲ οὐ θέλω τοῦτο ποιῶ, σύμφημι τῷ νόμῳ ὅτι καλός.

Γενναδίου. Εἰ τοίνυν φησὶν, "ὃ μὴ αὐτὸς θέλω, τοῦτο ποιῶ," διὰ τοῦτο τὸν νόμον εἶναι καλὸν καθομολογῶ. ἃς γὰρ ἐκεῖνος κακίζων πράξεις ἀπαγορεύει μοι, τούτων καὶ αὐτὸς ἐγὼ προκατέγνωκα, κἂν μετίω τοῖς ἔργοις αὐτά,

Κυρίλλου. Ἐνίησι πάλιν τῆς θεωρίας τὸ ἀκριβὲς, τῇ τοῦ σώματος φύσει, καὶ τῶν ἐνόντων αὐτῷ φυσικῶν ἀρρωστημάτων τὴν δύναμιν κατασκέπτεται· αἵ τε γὰρ ὀρέξεις αἱ πρὸς πᾶν ὅτι οὖν ἀποκομιζοῦσαι τῶν παθῶν, καὶ τῆς φιληδόνου ζωῆς τὰ ἐγκλήματα πηγὴν ἔχουσι τὴν σάρκα· καὶ πρός γε τοῦτο, ἡμᾶς ἐμπεδοῖ λέγων τοῦ Σωτῆρος ὁ μαθητὴς, "πόθεν πόλεμοι ἐν ὑμῖν, καὶ πόθεν "μάχαι; οὐχ ἐντεῦθεν ἐκ τῶν ἡδονῶν ὑμῶν τῶν στρατευομένων "ἐν τοῖς μέλεσιν ὑμῶν;"

ΚΕΦ. ΙΑ.

Περὶ τῶν ἐν ἀνθρωπίνῃ φύσει παθῶν, ἀδύνατον ποιούντων τὴν πρὸς νόμον συμφωνίαν.

18 *Οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοί, τουτέστιν ἐν τῇ σαρκί μου, ἀγαθόν.*

Θεοδώρου. *Καὶ τοῦτο μὲν νόμου, φησὶ, τὸ χρήσιμον δείκνυται· ἀφ' ὧν οὐδενὶ τῶν πραττομένων ἀρέσκομαι. ὁμολογῶ γὰρ ἄτοπα εἶναι, κἂν μυριάκις αὐτὰ διαπράττωμαι, τὸ πεπαιδεῦσθαι τοῦτο ὑπὸ τοῦ νόμου. φαίνεται δὲ ἡ τῆς ἁμαρτίας ἰσχὺς, οὕτω μου διὰ τὴν θνητότητα κρατοῦσα, ὡς καὶ ἄκοντα πολλάκις ἐπὶ τὴν τῶν ἀτόπων καταφέρεσθαι πρᾶξιν· καὶ τὸ αὐτὸ πάλιν· "οἶδα γὰρ ὅτι "οὐκ οἰκεῖ ἐν ἐμοὶ, τουτέστιν ἐν τῇ σαρκί μου, τὸ ἀγαθόν·" καὶ γὰρ ἐπίσταμαί, φησιν, ὅτι ὅσον ἐπὶ τῇ σαρκὶ, θνητὴν ἐχούσῃ τὴν φύσιν, οὐδὲν τῶν εἰς ἀρετὴν συντελούντων πραχθῆναι δύναται. ἡ μὲν γὰρ θνητότης τῶν παρόντων ἐφίεσθαι μόνον ἡμᾶς παρασκευάζει. ἐκ δὲ τῆς περὶ ταῦτα σπουδῆς ἀρετὴν εἰς ἄκρον οὐδαμῶς οἷόν τε μὴ τῶν παρόντων ὑπερορῶντα κρείττονι λογισμῷ ἀθανάτων ἀφιέμενοι πραγμάτων.*

Τὸ γὰρ θέλειν παράκειταί μοι, τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν οὐχ εὑρίσκω.

Κυρίλλου. *"Τὸ γὰρ θέλειν," φησὶ, "παράκειταί μοι, τὸ "δὲ κατεργάζεσθαι τὸ καλὸν οὔ," καὶ τὰ ἑξῆς· εἰς ἀπόδειξιν τοῦ κατηγορεῖσθαι τὴν σάρκα δεινῶς ὠδινοῦσαν ἐν ἑαυτῇ, τὴν ἁμαρτίαν παραδέχεται σοφῶς· τὸ παρακεῖσθαι μὲν ἡμῖν τὸ ἀγαθόν· μὴ μὴν ἔτι καὶ τὸ δύνασθαι διαπεραίνειν αὐτό. καταβιάζεται γὰρ εἰς ἀβούλητον ἐντροπὴν, καὶ οὐχ ἑκόντα τὸν νοῦν. οὐκοῦν ὅσον ἧκεν εἴς γε τὸ αὐτῷ δοκοῦν, ἦν ἂν ἔξω καὶ ἁμαρτίας. ἐπειδὴ δὲ δυσδιάφυκτον ὑπομένει πλεονεξίαν εἴη ἄν· εἰκότως οὐκ αὐτοῦ δὴ μᾶλλον ἀλλὰ τοῦ πλεονεκτοῦντος ἡ αἰτία· ταύτῃ τοι φησίν· "εἰ "δὲ ὃ οὐ θέλω, ἐγὼ τοῦτο ποιῶ, οὐκέτι ἐγὼ κατεργάζομαι αὐτὸ, "ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία."*

Διὰ πάντων τούτων τὸ ἐν τοῖς εὐαγγελίοις λέγει παρὰ τοῦ

δεσπότου λεχθὲν ὅτι "τὸ πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής." τὸ γὰρ φθαρτὸν τῆς σαρκὸς καὶ συμπαθὲς τῆς παρανομίας καταιτιᾶται, "οὐκ οἰκεῖ," γάρ φησιν, "ἐν τῇ σαρκί μου ἀγαθόν." τουτέστιν οὐκ ἔχει τὸ ἀπαθὲς οὐδὲ τὸ τέλειον, καὶ ἀνενδεές τε καὶ ἀναμάρτητον· ὅθεν αὐτὴν καὶ σάρκα πολλάκις ἁμαρτίας καλεῖ, καὶ σῶμα ἁμαρτίας καὶ σῶμα θανάτου. αἱροῦμαι γοῦν τῷ νῷ τὸ ἀγαθὸν, καὶ παρεσκεύασμαι πρὸς τοῦτο κατὰ ψυχήν· ἐπὶ δὲ τῶν διὰ σαρκὸς ἔργων αὐτὸ μετελθεῖν οὐχ εὑρίσκω, ἀλλ' ἐσπούδακα μὲν καὶ ἀγωνίζομαι ποιῆσαι τὸ ἀγαθόν. ὑπάγομαι δὲ παρ' αὐτῆς πράττειν ἃ μὴ προῄρημαι. τὴν οὖν τοιαύτην πρᾶξιν εἰκότως οὐκ ἐμὴν, ἀλλ' ἀλλοτρίαν λογίζομαι.

ΘΕΟΔΩΡΟΥ. Ἐπιμένων τοῖς αὐτοῖς, "οὐ γὰρ ὃ θέλω," φησὶ, "ποιῶ ἀγαθὸν, ἀλλ' ὃ οὐ θέλω κακὸν τοῦτο πράσσω. εἰ δὲ ὃ οὐ θέλω "τοῦτο ποιῶ, οὐκέτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ' ἡ οἰκοῦσα ἐν "ἐμοὶ ἁμαρτία." τὸ γὰρ αὐτὸ κἀνταῦθα λέγει· ὅτι τῇ μὲν ψυχῇ αἱροῦμαι τὸ καλὸν, ὑπὸ τοῦ νόμου παιδευόμενος ἃ δεῖ· ποιῶ δὲ οὐχ ἃ βούλομαι πολλάκις, ἀλλὰ ἃ μὴ βούλομαι μᾶλλον. βούλομαι μὲν γὰρ τὰ τοῖς θείοις νόμοις ἀκόλουθα. πράττω δὲ τἀναντία, ὧν ἐπίσταμαί τε καὶ βούλομαι καλῶν. ὡς ἐντεῦθεν τῆς ἁμαρτίας φαίνεσθαι τὴν ἰσχὺν, ἣν κατ' ἐμοῦ διὰ τῆς θνητότητος ἐπεκτήσατο· εἴπερ δὴ καὶ παρὰ γνώμην ἐπὶ τὴν οἰκείαν με καθέλκειν δύναται πρᾶξιν. τὸ γὰρ "οὐκ ἐγὼ κατεργάζομαι," ἀνωτέρω κἀνταῦθα λέγει τὸ παρὰ γνώμην. διὰ πάντων δὲ τούτων ἀπὸ τοῦ "οἴδαμεν γὰρ ὅτι ὁ νόμος πνευματικός ἐστι," βούλεται εἰπεῖν, ὅτι καλὸς μὲν ὁ νόμος, παιδεύων ἃ δεῖ τὴν ψυχήν· καὶ τούτου γε ἕνεκεν σφόδρα χρήσιμος.

Ἐγὼ δὲ διὰ τῆς θνητότητος δεξάμενος ἀπηλλάχθαι τοῦ πταίειν διὰ τῆς τοῦ λόγου διδασκαλίας, οὐ δύναμαι. πολλὴν μὲν γὰρ ἔχει τὴν ἰσχὺν ὁ νόμος ἐν τῇ τῆς ψυχῆς διδασκαλίᾳ. καὶ τοῦτο δῆλον, ἐξ ὧν ἀκριβὴς ἔγκειται ἡμῖν ἥτε τοῦ καλοῦ καὶ τοῦ κακοῦ διάκρισις· οὐδὲ πώποτε γοῦν ὑπὸ τοῦ πλήθους τῶν ἁμαρτημάτων, τὸ εἰδέναι τοῦτο ἀπεβάλομεν. τοὐναντίον δὲ καὶ μυρία πταίοντες. τοῦ γοῦν εἰδέναι τῆς ἁμαρτίας τὴν φαυλότητα ἐκτὸς οὐ γεγόναμεν. οὐ μὴν ἀφελεῖν ἡμῶν τὸ ἁμαρτάνειν δεδύνηται, τῆς θνητότητος πολλὴν τὴν εὐκολίαν ἡμῖν ἐργασαμένης. ἀλλὰ κἂν σφόδρα

διὰ τῆς οἰκείας διδασκαλίας πολλὴν τοῦ προσήκοντος ἐργάσηται τὴν διάθεσιν, ἄκοντες καὶ ὡς οὐκ ἴσμεν πολλάκις, εἰς τὴν τῶν ἀτόπων ὑποφερόμεθα πρᾶξιν.

Διοδώρου. Ἀγαθοεργῶν ὁ θεῖος Ἀπόστολος, εἰκὼν ἀκηλίδωτος[f] ἐγίνετο τῶν μαθητευομένων· ὅτου χάριν καὶ ἐκέκραξε, "μιμηταί "μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ." τοιγαροῦν οὐκ αὐτοῦ ἐστὶ κατὰ κυριότητα ὃ ἔφη· "οἶδα δὲ ὅτι οὐκ οἰκεῖ ἐν τῇ σαρκί μου "τὸ ἀγαθὸν," ἀλλ' οὐδὲ τὸ "ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με "ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου." ἀλλὰ ταῦτα καὶ ὅσα τοιαῦτα, ἐν παρενθέτῳ προσώπῳ ὑποκρινόμενος λέγει· πρὸς ἔλεγχον τῶν φιλαμαρτημόνων. ὥσπερ δὲ τοὺς ἀνθρώπους ἀπὸ τῶν σφῶν πράξεων, σαρκικοὺς, ψυχικοὺς, πνευματικοὺς, καὶ ἑτέροις μυρίοις ὀνόμασι καλεῖν οἶδεν ἡ θεία γραφὴ, οὕτω δὴ καὶ τὸν διάβολον, οὐ μόνον Σατανᾶν καὶ ἀντικείμενον καὶ διάβολον καὶ ὄφιν, καὶ λέοντα καλεῖν οἶδε, καὶ Βελίαρ, ἀλλὰ γὰρ καὶ σάρκα καὶ νόμον καὶ ἁμαρτίαν καὶ θάνατον· τούτοις γὰρ ἐδουλεύσαμεν διὰ τῆς παρακοῆς, καὶ οὐ τῷ Χριστῷ.

Ὅτου χάριν λέγει, "ὅτε ἦμεν ἐν τῇ σαρκὶ," δηλῶν ὡς νυνὶ οὐκ ἔτι ὄντων αὐτῶν ἐν σαρκὶ, καίπερ ὄντων ἐν σαρκί· ὡς οὐκ ἄρα τὴν σάρκα ἣν περικείμεθα διαβάλλων, ἀλλὰ τὴν ὁμωνύμως αὐτὴν λεγομένην σάρκα. ἧς καὶ ἀπηλλάγημεν διὰ τὸ ἀποθανεῖν ἡμᾶς ἐν Χριστῷ, διὰ τοῦ συνταφῆναι αὐτῷ διὰ τοῦ βαπτίσματος. ὄντως ταύτης ἠλευθερώθημεν τῆς σαρκός. ἐπιφέρει γὰρ λέγων, "νυνὶ "δὲ κατηργήθημεν ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας, ἀποθανόντες ἐν "ᾧ κατειχόμεθα, ὥστε δουλεύειν ἡμᾶς ἐν καινότητι πνεύματος, "καὶ οὐ παλαιότητι γράμματος." εἶθ' οὕτως ἤρξατο πάλιν τῆς καθ' ὑπόθεσιν προσωποποιΐας, ἀρξάμενος ἀπὸ τοῦ "τί οὖν ἐροῦ-"μεν; ὁ νόμος ἁμαρτία; μὴ γένοιτο," ἕως τοῦ "ταλαίπωρος ἐγὼ "ἄνθρωπος, τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;" ἄσειστον θεμέλιον προθέμενος ἐν προλόγῳ τὴν ἑαυτοῦ ἀπολογίαν οὕτω λέγων· "τί οὖν; ὁ νόμος ἅγιος, καὶ ἐντολὴ ἁγία καὶ δικαία "καὶ ἀγαθή." ἐνταῦθα νόμον λέγει, οὐ τὸν ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός ἡμῶν, ἀλλὰ τὸν προπαραινετικὸν, τὸν τοὺς ἁμαρτά-

[f] Cod. ἀκηλίδοτος.

νοντας κολάζοντα. ὅτου χάριν καὶ συνεψηφίσατο αὐτῷ ὡς ὁσίῳ καὶ δικαίῳ καὶ ἀγαθῷ.

Εἶθ' οὕτως ἤρξατο ἐπιλύειν ἀκολούθως οἷς ἀνωτέρω προεῖπεν, λόγον εὐχάριστον προοιμιασάμενος οὕτως· "εὐχαριστῶ τῷ Θεῷ διὰ "Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν." εἶτα πρὸς κατάκρισιν τῶν τοιάδε ἀφορμαζομένων καὶ κακιζόντων ἃς περικείμεθα σάρκας, λέγει ἐπερωτηματικῶς, "ἆρα οὖν αὐτὸς ἐγὼ τῷ μὲν νοῒ δουλεύων νόμῳ "Θεοῦ, τῇ δὲ σαρκὶ νόμῳ ἁμαρτίας." ἆρα κἀγὼ Παῦλος μεμέτρισμαι[g]; πῇ μὲν δουλεύων νόμῳ Θεοῦ, πῇ δὲ νόμῳ ἁμαρτίας; ἆρα τὸν Χριστὸν καὶ τὸν Βελίαρ, ἅμα καὶ κατὰ τὸ αὐτὸ ἔχω ἐν ἐμαυτῷ; ἆρα ἐγὼ ὁ λέγων "ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ "Χριστὸς," ψευσάμενος τὴν ἁμαρτίαν ζῶσαν ἔχω ἐν ἐμαυτῷ; ἄλλοις προφωνήσας, "οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ "ἐν ὑμῖν Ἁγίου Πνεύματός ἐστι;" καὶ "δοξάσατε τὸν Θεὸν ἐν "τοῖς μέλεσιν ὑμῶν," αὐτὸς ἐγὼ ἐν τῷ σώματι οὐδὲν ἔχων ἀγαθόν; ἀλλ' οὐκ ἔστι τοιοῦτος, οὐκ ἔστι· μὴ γένοιτο. τέκνον γὰρ ὀργῆς καὶ σκεῦος ὀργῆς πρὶν, μεταβαλὼν τὸν τρόπον οὐ τὴν φύσιν, ἐγένετο τίμιον ἐκλογῆς σκεῦος. ἐπεὶ οὖν τὰ προσωποποιηθέντα ῥήματα οὔτε τῷ θεσπεσίῳ Παύλῳ ἁρμόζει, οὔτε μὴν παντὶ τῷ συνταφέντι Χριστῷ διὰ τοῦ βαπτίσματος· διότι τῆς ὀνομαζομένης σαρκὸς ἠλευθερώθησαν. οὐ γὰρ ἔτι κατακριθήσονται οἱ τοιοῦτοι διὰ τὴν τοῦ Ἀδὰμ παρακοήν· οὐκέτι βασιλεύει αὐτῶν ἡ ἁμαρτία· οὐχ ὁ θάνατος ὁ διὰ τῆς ἁμαρτίας· συνετάφησαν γὰρ τῇ ζωῇ τοῦ Χριστοῦ, διὰ τῆς ὑπακοῆς τὴν παρακοὴν ἐξαφανίσαντος, καὶ τῷ ἑκουσίῳ ἑαυτοῦ θανάτῳ τὸν ἐξ αὐτῆς ἐπισυμβάντα ἡμῖν θάνατον ἐκκρουσαμένῳ· γέγονε γὰρ ἑκὼν ὑπὸ νόμον τὸν τῆς παρακοῆς, ἵνα ἡμᾶς τοὺς ὑπὸ νόμον τὸν τῆς κατακρίσεως ἐξαγοράσῃ. διὰ τοῦτο ἔφη "πᾶς λελυτρώμενος."

"Χάρις δὲ τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. τὸ "γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ Θεὸς "τὸν ἑαυτοῦ Υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, κατέ"κρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί." ὅτι δὲ ταῦθ' οὕτως καλῶς τεθεώρηται, ἐπιφέρει λέγων ὁ θεῖος Ἀπόστολος· "οὐδὲν ἄρα κατάκριμα

[g] Sic Cod. sed leg. *μεμέρισμαι*.

"τοῖς ἐν Χριστῷ Ἰησοῦ—ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρ-"τίας καὶ τοῦ θανάτου," καὶ τὰ τούτων ἑξῆς. πειράσω δὴ διὰ βραχέων καὶ εἰς αὐτὰ τὰ ῥήματα τὰ κατὰ προσωποποιΐαν εἰρημένα παρατρεχόντως εἰπεῖν, ἀρξάμενος ἀπὸ τοῦ, "ἀφορμὴν δὲ "λαβοῦσα ἡ ἁμαρτία, διὰ τῆς ἐντολῆς ἐξηπάτησέ με, καὶ δι' "αὐτῆς ἀπέκτεινε."

Τὸ ἁμαρτίας ὄνομα, οὐκ οὐσίαν ὑφεστῶσαν δηλοῖ, ἀλλὰ τρόπον καὶ βίον τοῦ διημαρτηκέναι τινὰ τοῦ κατὰ λόγον καὶ ὀρθῶς ἔχοντος πράγματος. ὥσπερ γὰρ γενικώτατόν ἐστιν ὄνομα ἡ ἁμαρτία, κατὰ πολλῶν καὶ διαφόρων πραγμάτων κατηγορουμένη. πᾶν δὲ ἁμάρτημα οὔτε λόγῳ, οὔτε νόμῳ προστακτικῷ γίνεται· εἰ γὰρ κατὰ νόμον καὶ λόγον ἐγίνετο ὀρθὸν, οὐκέτι ἂν ἦν ἁμάρτημα ὡρισμένον καὶ τεταγμένον ἔχον τὸν τῆς γενέσεως λόγον. ἐπειδὴ ὁ θεῖος Ἀπόστολος οὐχ ἁπλῶς ἁμαρτημάτων, ἀλλ' ἁμαρτίας γενικωτάτης ἐχούσης φρόνημα, ἐχούσης νόμον, δυναμένης σοφίσασθαι, ἀφορμὰς πορίσασθαι πρὸς τὴν τοῦ κακοῦ κατασκευὴν, μνημονεύει, οὐκ ἄλλον τινα γενικωτάτως ἁμαρτίαν ὀνομάζει, ἀλλ' ἢ αὐτὸν τὸν τῶν ἁμαρτημάτων ἀρχηγέτην καὶ πατέρα διάβολον, ὅτου χάριν καὶ βασιλεύειν τῶν ἁμαρτημάτων αὐτὸν ὁ Ἀπόστολος ἀπεφήνατο. "μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι." ὡς γὰρ τοὺς ἀνθρώπους ἀφ' ἧς ἐπιτηδεύουσι τέχνης καλοῦμεν, οὕτω δὴ καὶ αὐτὸν τὸν διάβολον ὡς πρώτως ἐφευρετὴν γενόμενον τῆς ἁμαρτίας, ἁμαρτίαν καλεῖ.

Ἐπειδὴ τοίνυν διὰ τῆς δοθείσης τῷ Ἀδὰμ ἀφορμὰς πορισάμενος διὰ τῆς ἐντολῆς. ἔστι δὲ αὕτη. "τὶ ὅτι," φησὶν, "εἶπεν ὁ "Θεὸς, ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ, οὐ φάγεσθε [h] ἀπ' "αὐτοῦ, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοὶ, καὶ ἔσεσθε ὡς Θεοὶ, "γινώσκοντες καλὸν καὶ πονηρόν." σοφίζεται δὲ αὐτοὺς μείζον, ἐπαγγελίᾳ κατακρύψαι τὴν ἀπάτην, ὑπισχνεῖται τὸ πλέον, ἵνα τοὺς τῆς ἐντολῆς φυλάκας τῶν τῆς ἀρετῆς βάθρων τῷ ὁμοίῳ αὐτοὺς πτώματι καταστρέψῃ. τὸν γὰρ ἄνθρωπον ἐξοιστρήσας, ἴσα Θεῷ ἐθέλει γενέσθαι, τῆς κατὰ ἀπάτην ὁμιλίας τὴν ἀφορμὴν ἐπορίζετο ἐκ τῆς παραχθείσης ἐντολῆς· ὅτου χάριν ὁ Παῦλος ἔφη, "ἀφορμὴν δὲ λαβοῦσα ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς ἐξηπά-

[h] Hæc mutila sunt, Gen. iii. 1. et seq,

" τησέ με." ἵνα δὲ μὴ τὴν ἐντολὴν ἢ τὸν ταύτην δεδωκότα Θεὸν, αἰτιάσονται τινὲς, γείτονι καὶ ὁμοσπόρῳ ἐχρήσατο ῥήματι τοιάδε φάσκων· " οἴδαμεν δὲ ὅτι ὁ νόμος ἅγιος καὶ ἡ ἐντολὴ ἁγία καὶ " δικαία καὶ ἀγαθή."

Ἐπεὶ οὖν οὐδ' αὐτὴ ἡ ἁμαρτία, τουτέστιν ὁ διάβολος, φύσει καὶ οὐσίᾳ ἁμαρτία ἐστιν, ἐπιφέρει λέγων, " ἵνα γένηται καθ' ὑπερ-" βολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς." τὸ γὰρ κατ' οὐσίαν τι ὂν, τὸ πλεὸν καὶ τὸ ἔλαττον οὐκ ἐπιδέξεται. ἔστι γὰρ ὅπερ ἐστιν, ἀεὶ τοῦτο ὂν ὅπερ ἐστιν οὐσιωδῶς. τῷ γὰρ γινομένῳ καὶ ἐπιγινομένῳ τι, εἴτε ὀλίγον, εἴτε καθ' ὑπερβολὴν, ἕτερός ἐστι κατ' οὐσίαν τῶν αὐτῷ ἐπιγινομένων· τὸ γὰρ ποσὸν, οὐκ οὐσία, ἀλλὰ περὶ τὴν οὐσίαν, ἐστὶν, οὐκ ὂν οὐσία. ἡ ἄρα τοίνυν καλουμένη ὑπὸ τοῦ Ἀποστόλου ἁμαρτία, τὸ πλέον ἐπιδεχομένη ἁμαρτήσειν, ἵνα γένηται καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία, ἄρα καὶ τοῦ εἶναι ἁμαρτία, ᾗ ἁμαρτία ἐστὶν, ἀρχὴν ἔλαβεν, οὐκ οὖσα καθ' ὑπερβολὴν ἐν ἀρχῇ κατὰ τὸ ἡμαρτηκέναι ἁμαρτωλὸς ἡ ἁμαρτία· διὸ δὴ καὶ τὴν ἐπίτασιν τοῦ γενέσθαι καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς. εἰ δὲ λέγοιεν καὶ πῶς ἂν εἴη ἀγαθὴ καὶ δικαία; πῶς δὲ ἁγία ἡ ἐντολὴ καὶ ὁ νόμος, ὁπότε διὰ τῆς ἀφορμῆς αὐτῶν ἁμαρτωλὸς καθ' ὑπερβολὴν ἐγένετο ἁμαρτωλὸς ἡ ἁμαρτία; πρὸς ταῦτα ἀκουέτωσαν, ὅτι οὐκέτι καταβλάπτεται ἤδη, καὶ ἡ ἀφορμὴ δι' ἣν βλάπτεται φαύλη ἐστὶ καὶ πονηρά. οὐδὲ γὰρ ὅτι οἱ ἀνόδως καὶ ἀμέτρως ἐνατενίζοντες τῷ ἡλίῳ βλάπτονται τὰς ὄψεις, ἤδη καὶ τὸν ἥλιον φαμὲν πονηρόν. οὐδ' ὅτι καθ' ὑπερβολὴν ὁ διάβολος ἁμαρτωλὸς γέγονε τῷ ἐπιχειρηκέναι κατὰ τοῦ Υἱοῦ τοῦ Θεοῦ, ἤδη καὶ τὸν Υἱὸν τοῦ Θεοῦ φαῦλον καὶ πονηρὸν εἶναι λέγομεν.

" Οἶδα δὲ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοὶ, τουτέστιν ἐν τῇ σαρκί μου, " ἀγαθόν." νῦν εἰς τὸ τοῦ Ἀδὰμ πρόσωπον ἐξηγεῖται. καὶ ὅτι στερηθεὶς τὸν Θεὸν ἔχειν ἐν ἑαυτῷ ἀντὶ τῆς ὄντως ζωῆς θάνατον καταλλαξάμενος. καὶ γὰρ θάνατος οὐχ ὁ κοινὸς μόνος τῶν μελῶν αὐτοῦ ἐκράτησεν, ἀλλὰ καὶ ὁ τῆς παρακοῆς, κατὰ τῆς ψυχῆς αὐτοῦ εἰσβαλών. μάλιστα γὰρ ὁ κρατῶν θάνατος πρὸ τῆς τοῦ Χριστοῦ ἐπιδημίας, ἐβασίλευσε, κατὰ πάντων νόμον καὶ σκῆπτρον τῆς ἑαυ-

τοῦ βασιλείας ἔχων τὴν παρακοήν. ἀλλ' οὐκ ἄναρχος ἢ ἀγένητος ἡ τοῦ θανάτου βασιλεία. ἐκ γὰρ τῶν ζώντων τὸ τεθνάναι συμβαίνει, καὶ ἐκ τῆς τῶν ὑπηκόων ὑπακοῆς τὸ παρακοῦσαί τινα. " τὸ γὰρ " θέλειν παράκειταί μοι· τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν οὔ. ὃ γὰρ " θέλω ἀγαθὸν, τοῦτο οὐ ποιῶ, ἀλλ' ὃ μισῶ, τοῦτο πράττω." εἰ τὸ θέλειν μόνον ἐν ἡμῖν ἐστὶ, τὸ δὲ κατεργάζεσθαι τὸ θεληθὲν καλὸν, οὐκ ἔστιν ἐν ἡμῖν, εἰς μάτην ὁ ἀγαθὸς Θεὸς τὰς ὁμοουσίας ἑαυτοῦ ψυχὰς ἐν τοῖς σώμασι κατέπεμψε· τὸ γὰρ αὐτῷ καὶ αὐταῖς φιλὸν οὐ πράττουσιν, οὐκ ἐνεργοῦσιν, ἀλλὰ μόνον θέλουσι. τάχα δὲ οὐδὲ αὐτὸ, ἄδηλον γάρ.

Εἰ δὲ τοῦτο ἀληθές ἐστι, κατὰ τοὺς ἀσεβεῖς ἐρῶ· ἄρα οὐκ ἦν, οὐδὲ ἔσται ἐν βίῳ τὸ καλόν. οὔτε τίς ποτε αὐτὸ ἐνήργησεν, εἴγε κατὰ ἀναίρεσιν τοῦ καλοῦ καὶ ἀγαθοῦ ἐπὶ παντὸς ἀνθρώπου ἐκλαμβάνωσιν, ὅτι " ὃ θέλω ἀγαθὸν, τοῦτο οὐ ποιῶ, ἀλλ' ὃ μισῶ, " τοῦτο πράττω." πόθεν δὲ καὶ ἐν τῷ τῶν ἀνθρώπων βίῳ ἀρετῶν ὀνόματα εὑρέθη· εἰ δὲ εἰσὶν ἐνεργοῦντες τὸ καλὸν, κἂν ὀλίγοι εἶεν οἱ ταῦτα δρῶντες, ἄρ' οὐχ οἱ πάντες φήσουσιν, οἴδαμεν δὲ ὅτι οὐκ οἰκεῖ ἐν ἡμῖν ἀγαθόν. ὃ γὰρ ἠθέλησαν ἀγαθὸν, τοῦτο οὐ πράττουσιν. εἰ δὲ οἱ τὸ ἀγαθὸν ἐνεργοῦντες, ἐν σαρκὶ ὑπάρχοντες τοῦτο ἐνεργοῦσιν, καὶ οἱ τοῦτο μὴ ποιοῦντες ἀλλὰ τὸ κακὸν, ἐν σαρκί εἰσιν, ἄρα οὐ τῇ σαρκὶ τὸ αἴτιον τοῦ μὴ γίνεσθαι τὸ ἀγαθὸν περιαπτέον, ἀλλὰ τῇ τούτων μαλακοψυχίᾳ. εἰ γὰρ τοῖς ἐθέλουσι τὸ καλὸν ποιῆσαι παροικεῖται τὸ κακὸν, ὁμοίως δὲ καὶ τοῖς ἐθέλουσι κακοοργεῖν, οὐ καλὸν παράκειται. προνοήσαντες δὲ καὶ προθελήσαντες ἐπὶ τοσοῦτον ἐνεργείας ἔρχονται, ἄρα οὐ φύσει καὶ οὐσίᾳ τὰ σώματα ἡμῶν ἐστὶ φαῦλα. τῶν γὰρ πρακτέων ἡμῶν προηγεῖται βουλὴ καὶ θέλησις. ψυχῆς δὲ ταῦτα φρόνημα ἐχούσης αὐτεξούσιον, ῥέψαι δυναμένης πρὸς ἃς βούλεται πράξεις.

" Νυνὶ δὲ οὐκέτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ' ἡ οἰκοῦσα ἐν " ἐμοὶ ἁμαρτία." ἀπελογήσατο διὰ τούτου τοῦ λογίου, ὅτι περ οὐ φαύλη κατὰ φύσιν ἡ σάρξ. οὐ γὰρ ἡ σὰρξ ἣν περικείμεθα οἰκεῖ ἐν ἡμῖν, ἀλλ' ὁ ἐν τοῖς παρανόμοις οἰκῶν διάβολος. ᾧ γὰρ λέγω, Χριστὸς οἰκεῖ ἐν παντὶ δικαίῳ τὸ ἀγαθὸν ἐργαζομένῳ· τὸν αὐτὸν οἶμαι τρόπον οἰκεῖν τὸν διάβολον ἐν παντὶ κακοποιῷ. οὐκ

οὖν οὐχ ἡμεῖς ἐσμεν, καθὸ σάρκα ἔχομεν, πονηροὶ, ἀλλ' ἡ οἰκοῦσα ἐν ἡμῖν ἁμαρτία, ἄλλη τις οὖσα παρὰ τὴν σάρκα καὶ τὴν ψυχὴν τοῦ ἀνθρώπου· καὶ γὰρ ἐν ψυχῇ μαλίστα λέγεται ἐπιχωριάζειν ὁ διάβολος, κατὰ τὸ "εἰσῆλθεν ὁ Σατανᾶς εἰς τὴν καρδίαν Ἰούδα." καὶ κατὰ τὸ "Ἀνανία, ἵνα τι ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν "σου;" ἐν δὲ τῷ εἰπεῖν "οὐκέτι ἐγὼ κατεργάζομαι αὐτὸς, ἀλλ' "ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία." ἔργου γὰρ καὶ κατέργου πολὺ τὸ μέσον· διότι τοῦ μὲν ἔργου ποιεῖται τὸ κάτεργον, ὥστε φέρε εἰπεῖν οἰκίας, ἢ νηός. τὸ δὲ κάτεργον, τουτέστι τῆς ὕλης ἡ προπαρασκευή.

Ἡ τοίνυν οἰκοῦσα ἐν τοῖς ἁμαρτάνουσιν ἁμαρτία, τουτέστιν ὁ Σατανᾶς, ὁμολογουμένως ἐν τοῖς λογισμοῖς ἡμῶν προκατεργάζεται τοῦ ἐσομένου κακοῦ τῆς ἰδέας τὴν κατασκευὴν, τῆς ὑποδεξαμένης αὐτὸν ψυχῆς συμπραττούσης αὐτῷ τῆς κακίας· καθάπερ τοῖς σπείρουσιν ἡ τῆς θήλεος μήτρα πρὸς τὸ τελεσφορηθῆναι τὸ σπαρέν. καὶ ἐπειδήπερ ἐκ τῆς καρδίας ἐκπορεύονται λογισμοὶ πονηροὶ ἐκ τῆς γενναμένης τοῦ διαβόλου συλλήψεως, κέκραγε τὸ θεῖον λόγιον, "λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον "κατὰ τῆς γνώσεως τοῦ Θεοῦ." ὥσπερ τοῖς αὐτοῖς φιλαρέτοις ψυχαῖς τὸ Ἅγιον Πνεῦμα συγκοπιᾶν λέγεται, κατὰ τὸ "περισ"σότερον πάντων ἐκοπίασα, οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ "ἡ σὺν ἐμοί." ἐπὰν ῥάθυμος ψυχὴ ταῖς τοῦ διαβόλου προτροπαῖς ἐπεσθῇ, συνεργὸν ἔχει πρὸς τὸ κακὸν αὐτὸν τὸν διάβολον. αὐτὸς γὰρ καὶ τὸν τύπον τῆς ἐσομένης ἁμαρτίας προκατηργάσατο ἐν αὐτῇ. ὅτου χάριν εἴρηται, "οὐκέτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ' "ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία."

21 Εὑρίσκω ἄρα τὸν νόμον τῷ θέλοντι ἐμοὶ ποιεῖν τὸ καλὸν, ὅτι ἐμοὶ τὸ κακὸν παράκειται.

Ἄθρει δὲ πάλιν ὡς σοφῶς καὶ εὐτέχνως ἀποδέχεται τὸν νόμον. οὐχ ὡς τῆς ἁμαρτίας τὸ κέντρον ἀπαμβλύνειν ἰσχύοντα· οὔτε μὴν κατανεκροῦν οἷόν τε τὴν ἐν ἡμῖν ἁμαρτίαν, ἀλλ' ὡς ἐνιέντα μόνῳ τῷ νῷ τὴν τοῦ συμφέροντος γνῶσιν. εἰ γὰρ ἐμοὶ, φησὶ, παράκειται τὸ κακὸν, ὡς ἐνοικοῦν τῇ σαρκὶ, κατακιβδηλεύει γε μὴν ὁ νόμος αὐτῷ χαρίζεται[g] τὴν ἐπικουρίαν· καὶ νοεῖται σύμ-

[g] Leg. vid. χαρίζεσθαι.

βουλος, οὐ μὴν ἔτι καὶ λυτρωτής. δεῖ δὲ δὴ πάντας τοῖς ἀρρωστοῦσι τὴν ἁμαρτίαν, οὐ τοῦ διειδέναι μόνον, ὅτι τὰ ἀμείνω προσήκει δρᾶν αὐτοὺς, ἀλλὰ καὶ τοῦ δύνασθαι κατορθοῦν ἅπερ ἂν εὖ ἔχοι, καὶ τῷ νόμῳ δοκῇ. καθάπερ ἀμέλει καὶ τοῖς ἐθέλουσι εὐδοκιμεῖν ἐν μάχαις, οὐκ ἀπόχρη πρὸς τοῦτο γυμνὴ καὶ μόνη τῶν τακτικῶν ἡ εἴδησις, ἀλλ' εἰ προσυπάρχοι τούτῳ καὶ τὸ εὐσθενὲς, εἶεν ἂν οἱ τοιοίδε μόλις λαμπροὶ καὶ ἀπόβλεπτοι. οὐκοῦν εἰ διδάσκει μὲν ὁ νόμος τὸ ἐν ἀγαθοῖς εὐτεχνὲς, κατ' οὐδένα δὲ τρόπον τοῖς πλεονεκτουμένοις ἐπικουρεῖ τὴν ἁμαρτίαν ἀπονευρῶν, καλὸς μὲν ὅτι καὶ διδάσκαλος· οὐ μὲν ἔτι καὶ ἐν ἴσῳ χάριτι τῇ διὰ Χριστοῦ καταλογισθείη ἂν εἰκότως, τοῦ καὶ σοφοῦν ἰσχύοντος, καὶ ἀλκιμωτέρους ἡμᾶς ἀποφαίνοντος τοῦ κακοῦ.

Γεννάδιου. *Οὐκοῦν φησὶν ἐκ τούτων δείκνυται βουλόμενος καὶ ὁ νόμος συνῳδὰ τῷ περὶ τὸ καλόν μου θελήματι, ἐξ ὧν καὶ τὸ κακὸν, ἀμφοτέροις, ἐμοίτε κἀκείνῳ, ταυτὸν ἀποφαίνεται.*

Διοδώρου. *Τῷ "εὑρίσκω τὸν νόμον" λείπει τὸ δυσκατόρθωτον. φησὶ γὰρ, ὅτι ἐξ ὧν καὶ βουλόμενός τι ποιῆσαι καλὸν, οὐ δύναμαι, ἀλλ' ἐπὶ τὸ χεῖρον παρατρέπομαι, εὑρίσκω τὸν νόμον δυσκατόρθωτόν μοι θέλοντι ποιεῖν τὸ καλόν. παράκειται γάρ μοι τὰ ἑτοιμότερα τὰ κατὰ πρὸς τὸ ποιεῖν αὐτά. διὰ δὲ τοῦ "παράκειται" δείκνυσιν, ὡς οὐκ ἐργῶδές ἐστι μετιέναι τὴν κακίαν.*

Θεοδώρου. *Κατὰ διαίρεσιν ἀναγνωστέον. "εὑρίσκω ἄρα τὸν "νόμον ἐμοὶ τῷ θέλοντι ποιεῖν τὸ καλόν." εἶτα ἑξῆς, "ὅτι ἐμοὶ τὸ "κακὸν παράκειται." ἕκαστον γὰρ αὐτῶν ἰδίᾳ τελείαν καὶ ἀπηρτισμένην ἔχει τὴν ἔννοιαν. τὸ μὲν, τῷ θέλοντι ἐμοὶ κατὰ τὴν ψυχὴν λέγοντος. τὸ δὲ, ὅτι ἐμοὶ τὸ κακὸν παράκειται κατὰ τὴν σάρκα. λέγει γὰρ ὅτι κατὰ μὲν τὴν ψυχὴν, χρήσιμος ὁ νόμος, παιδεύων αὐτὴν ἐφίεσθαι τοῦ καλοῦ, ἀποστρέφεσθαι δὲ τὸ κακόν. τὴν περὶ τὸ ἁμαρτάνειν δὲ ἡμῶν εὐκολίαν, οὐδαμῶς δύναται ἀφελεῖν, ἥτις ἀπὸ τῆς θνητότητος ἐνεγένετο.*

22 Συνήδομαι γὰρ τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον.

Κυρίλλου. *Ὡς ἔφην ἤδη, διψᾷ[h] μὲν ὁ νοῦς τὸ ἐλεύθερον, καὶ τῶν διαβεβλημένων ἀπαλλακτίᾳ, καὶ ταῖς ἀνωτάτω τιμαῖς στε-*

[h] Cod. δίψῆ.

φανοῖ τὸν νόμον ὡς τῶν καλλίστων εἰσηγητήν. καταβιάζεται δὲ εἰς ἐκτόπους ἡδονὰς ἡ τῆς σαρκὸς φύσις, πολεμοῦντός τε καὶ ἐγκειμένου τοῦ νόμου τῆς ἁμαρτίας. νόμον δὲ ἁμαρτίας εἶναί φησι τὸ ἔμφυτον κίνημα, καὶ ὅπερ ἂν ὑπάρχειν οἴοιτό τις, τῆς φιλοσαρκίας τὸ πάθος. καθάπερ ἀμέλει καὶ νόμον ἔφη νοὸς, τὴν εἴς γε τὸ ἀγαθὸν αὐτοῦ ῥοπήν τε καὶ θέλησιν.

Γενναδίου. "Συνήδομαι γὰρ," φησὶ, "τῷ νόμῳ τοῦ Θεοῦ "κατὰ τὸν ἔσω ἄνθρωπον," καὶ τὰ ἑξῆς. τῷ "γὰρ" ἀντὶ τοῦ τοίνυν κἀνταῦθα ἐχρήσατο. πάντων γὰρ ἀπὸ τοῦ "οἴδαμεν ὅτι ὁ "νόμος πνευματικός ἐστι" προειρημένων αὐτῷ, συναγωγὴν ἠβουλήθη ποιήσασθαι· τῷ μὲν νόμῳ τοίνυν συνήδομαι τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον, ὀνομάζει τὸν ἐν ἡμῖν νοερὸν, καὶ χαίρω καὶ γέγηθα τούτου τοῖς παραγγέλμασι. βλέπω δὲ νόμον ἕτερον τῶν ἑαυτοῦ μελῶν ἀντιπαραττόμενον[1] τούτῳ, καὶ πρὸς βίαν ὡς ἑαυτὸν ἀποσπῶντά με, καὶ οἷον αἰχμαλώτῳ τινὶ παρακεχρημένῳ μοι. ἃ γὰρ ἐκεῖνος ἐπιτάττει, καὶ ὧν ἐκεῖνος ἔχεσθαί μοι κελεύει, οὗτος ἀπέχεσθαι τούτων ἐπαναγκάζει. νόμον δὲ ἁμαρτίας ἐν τοῖς μέλεσιν αὐτοῦ, τὸ βούλημα καὶ τὸν σκοπὸν τῆς παθητῆς λέγει σαρκός· ἐπειδὴ καὶ παντὸς ἴδιον νόμου, τὸ τοῖς ὑπ' αὐτὸν τὰ αὐτῷ δοκοῦντα παρακελεύεσθαι. ἐγὼ τοίνυν οὐχ ᾧ χαίρω νόμῳ, φησὶν, ὑπακούω, ἀλλ' ᾧ μὴ χαίρω. οὐ πράττω γὰρ ἃ βούλομαι· ἃ δὲ μὴ βούλομαι πράττω· καὶ μᾶλλόν μου τῶν μελῶν ὁ νόμος τοῦ θείου νόμου κατακρατεῖ. καὶ πρὸς αὐτὸν ἀγωνιζόμενος ἀντισχεῖν οὐκ ἀρκῶ. τὸ μὲν γὰρ τὸ καὶ τὸ ποιῆσαι, καὶ πάλιν τὸ καὶ τὸ μὴ ποιῆσαι, διὰ τοῦ θείου νόμου παιδευόμενος ἔχω μετρούμενος ὑπὸ τὴν γνῶσιν τῆς ἀρετῆς. ἐνεργῆσαι δὲ αὐτὴν κωλυόμενος ὑπὸ τῆς σαρκὸς, παρ' αὐτοῦ βοηθείας οὐκ ἀξιοῦμαι. ἀλλ' ὁ τῶν μελῶν μου νόμος ἀμετραίνων οἴχεται μετὰ πολέμου λάφυρον κατακτώμενος.

Διοδώρου. Τὸν κοινὸν καὶ ἐν τούτοις ἄνθρωπον διαγράφει. τοῦ γὰρ κοινοῦ ἀνθρώπου τὸ συνορᾶν μὲν τῷ νῷ τὰ δέοντα, μὴ πάντως δὲ κατορθοῦν. τοῦ δὲ εἰς Χριστὸν πεπιστευκότος, τὸ σὺν τῷ νῷ κατορθοῦν διὰ τῆς τοῦ Πνεύματος ἐπικουρίας. διὸ καὶ πνευματικὸς ὁ τοιοῦτος καλεῖται. δείκνυσι δὲ ὅτι ὥσπερ ἀντινομοθετεῖ τῇ

[1] In marg. γρ. ἀντιπαραταττόμενον.

τοῦ Θεοῦ νομοθεσίᾳ ὁ διάβολος· οἷς γὰρ προσέταξεν ὁ Θεὸς, ταναντία ποιεῖν, πείθει τοὺς ἀνθρώπους. πεφυλαγμένως δὲ πάνυ ἐν τοῖς μέλεσιν εἶναι φησὶ τὸν τῆς ἁμαρτίας νόμον· δεικνὺς ὡς οὐκ ἀρέσκεται τοῖς τοῦ σώματος πάθεσιν ἡ ψυχὴ, εἰ καὶ συγκαθέλκεται πολλάκις αὐτῷ.

Θεοδώρου. Σφόδρα μὲν γὰρ ἐπὶ τοῖς τοῦ Θεοῦ νόμοις ἥδομαι, φησὶ, τὴν ψυχὴν, ἐπαινῶν τε αὐτοὺς, καὶ περὶ πολλοῦ ποιούμενος, ἀντιπράττουσα δὲ ἡ ἁμαρτία τῷ βουλήματι τῆς ψυχῆς, διὰ πάντων ὡς εἰπεῖν τῶν μελῶν ἐπὶ τὴν ἑαυτῆς μεθέλκει πρᾶξιν· καὶ καλῶς εἶπεν "ἐν τοῖς μέλεσιν," ἐπειδὴ πολύτροπος ἡ ἁμαρτία διὰ πάντων ἐπιτηδεύεσθαι φύσιν ἔχουσα τῶν μελῶν. τὰ μὲν γὰρ δι' ὀφθαλμῶν, τὰ δὲ διὰ γλώττης, τὰ δὲ ἑτέρως ἁμαρτάνομεν. θαυμάσαι δὲ ἄξιον ἐνταῦθα τοὺς διαπορήσαντας, πότερον τρεῖς ἢ τέσσαρας νόμους ὁ Ἀπόστολος βούλεται λέγειν· δήλης οὔσης καὶ ἀπολύτου τῆς διανοίας. ἀντὶ γὰρ τοῦ εἰπεῖν τὴν ἁμαρτίαν, νόμον εἶπεν ἁμαρτίαν, οὐδὲν ἀλλοιότερον λέγων. κατά τι δὲ αὐτὸ οἰκεῖον τεθεικὼς ἰδίωμα. οὕτω καὶ ἐν τοῖς ἀνωτέρω λέγει, "ὁ διὰ νόμου πί-"στεως·" καὶ μετὰ βραχέα δέ· "ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς "ζωῆς," ἀντὶ τοῦ εἰπεῖν τὸ πνεῦμα τῆς ζωῆς. ἐπειδὴ γὰρ σκοπός ἐστι νόμου παντὸς, ἰδίως ἐφ' ἑκάστου τὸ τοῦ νόμου προστίθησιν ὄνομα· ἵνα εἴπῃ τὸν σκοπὸν τοῦ πράγματος, περὶ οὗπερ ἂν λέγῃ, αὐτὸ τὸ πρᾶγμα καὶ οὐχ ἕτερον λέγων.

Ὠριγένους. Ἐν τοῖς μηδέπω κρατύνασι τὴν ἕξιν ἐπὶ τὰ βέλτιστα διαγράφει ὁ Παῦλος τὸν παρόντα λόγον. ὥσπερ τοίνυν στρατιώτης κρατήσας πολεμίων αἰχμαλώτους ἄγει, οὕτως ἐν τοῖς προειρημένοις προσώποις ἐστιν ὁ ἐν τοῖς μέλεσιν αὐτῶν νόμος ἀντιστρατευόμενος τῷ νόμῳ τοῦ νοὸς αὐτῶν, καὶ αἰχμαλωτίζων τὴν ταλαίπωρον ψυχὴν, καὶ ἄγων ἐπὶ τὸν τῆς ἁμαρτίας νόμον ἐν τοῖς σωματικοῖς μέλεσιν.

24 Ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἐκ τοῦ θανάτου τούτου.

Γενναδίου. Οὐκ εἶπε κακὸς ἄνθρωπος, οὐδὲ πονηρὸς, ἀλλὰ "ταλαίπωρος." προσδιηγησάμενος γὰρ καὶ δείξας αὐτὸν τῷ νῷ μὲν ὁρῶντα πρὸς τὸ καλὸν, ὑποσυρόμενον δὲ πρὸς τὸ φαῦλον τῷ

πάθει τῷ τῆς σαρκὸς, εἰκότως ὡς ἐλεεινὸν μᾶλλον ταλαίπωρον προσηγόρευσεν, οὐχ ὡς μισητὸν πονηρόν. θαυμασιώτατα δὲ ἔφη τὸ "τίς;" ἐμφαίνων διὰ τῆς ἀπορήσεως τὸ τοῦ πράγματος δύσκολον. τίς οὖν ἄρα, φησὶ, τοσοῦτος, ὅς με τῆς τυραννίδος τοῦ σώματος ἀπαλλάξει, ὑφ' ἧς πρὸς ἁμαρτίαν καθελκόμενος θανατοῦμαι; σῶμα γὰρ θανάτου, τὸ θανάτου παραίτιον λέγει. ἐκ τοῦ ἀποτελέσματος αὐτὸ προσειπών. ὑποδείξας δὲ αὐτάρκως τὴν ἀνάγκην, καὶ δηλώσας τὸ τοῦ πράγματος μέγεθος, ἐπάγει, μετ' εὐχαριστίας καὶ ὕμνου τὸν εὐεργέτην δηλῶν, "εὐχαριστῶ τῷ Θεῷ "μου διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν." τοῦτο λέγων ὅτι χάρις τῷ φιλανθρώπῳ Θεῷ δωρησαμένῳ τὴν ἀθανασίαν ἡμῖν, καὶ τὴν ἀφθαρσίαν καὶ τὴν ἀπάθειαν διὰ τῆς οἰκονομίας τῆς κατὰ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ὃς μεγαλοφώνῳ πρὸς ἡμᾶς κηρύγματι κέκραγε, "δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορ"τισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς."

Διοδώρου. Ἐπισημαντέον ὡς οὐχ ἁπλῶς ἐκ τοῦ σώματος τούτου, ἀλλ' ἐκ τοῦ θανάτου τοῦ σώματος. οὐ γὰρ τοῦ σώματος εὔχεται ῥυσθῆναι, ἀλλὰ τοῦ κατέχοντος θανάτου τὸ σῶμα διὰ τῆς ἁμαρτίας.

Σευηριανοῦ καὶ Θεοδώρου. Θεωρήσας τῷ νῷ τὸν διὰ τοῦ σώματος κατὰ τῆς ψυχῆς γινόμενον πόλεμον, καὶ διὰ τοῦ[h] τὸν ἄνθρωπον αἰχμαλωτιζόμενον, καταφυγὴν σωτηρίας ζητεῖ, καὶ τὸν ῥυόμενον περιβλέπεται, ἵνα αὐτὸ τὸ σῶμα τοῦ θανάτου εἰς σῶμα ζωῆς μεταποιήσῃ. εἶτα ὡς εὑρεθέντος τοῦ ῥυομένου, καὶ ἑτοίμου ὄντος πρὸς τὴν χάριν τῆς σωτηρίας, τὴν πρέπουσαν εὐχαριστίαν ἀναπέμπει τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ, δι' οὗ αὐτῷ καὶ τὸ ῥυσθῆναι τοῦ πολεμίου προσεγένετο. οὐ λέγει δὲ ἁπλῶς, οὐδὲ εὔχεται ῥυσθῆναι τοῦ σώματος, ἀλλὰ τοῦ κατασχόντος τὸ σῶμα θανάτου, διὰ τῆς ἁμαρτίας τοῦ θανάτου. θέλει γὰρ τὸ σῶμα αὐτοῦ ζωῆς εἶναι σῶμα, οὐ σῶμα θανάτου, οὐδὲ σῶμα ἁμαρτίας.

Ὠριγένους. Ὡς κακίζων τὴν ἀνθρωπίνην ἀσθένειαν τὴν περιέλκουσαν καὶ περισπῶσαν τὸν λογισμὸν, καὶ προσκαλουμένην ἐπὶ τὰ ἐναντία, λέγει τὸ, "ταλαίπωρος ἐγὼ ἄνθρωπος." καὶ ὡς διὰ

[h] Leg. τούτου.

ἐπικουρίας θείας ῥυσθεὶς τοῦ σώματος, τοῦ ὀνομασθέντος σώματος θανάτου, διὰ τὰς προειρημένας αἰτίας ἐπάγει τὸ, "εὐχαριστῶ "τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ."

25 Ἄρα γοῦν αὐτὸς ἐγὼ, τῷ μὲν νοῒ δουλεύω νόμῳ Θεοῦ, τῇ δὲ σαρκὶ, νόμῳ ἁμαρτίας.

Κυρίλλου. Μακρὸς μὲν αὐτῷ ἐκπεποίηται λόγος, βασανίζοντι λεπτῶς ἕκαστα τῶν ἐν ἡμῖν, καὶ τῆς πλεονεξίας τοὺς τρόπους, οὓς ὑπομένειν ἔθος τὴν ἀνθρώπου διάνοιαν, ἀντεξάγοντος αὐτῇ τοῦ κακοῦ. διϊσχυρίζετο δὲ ὡς ἀσχάλλει μὲν ἔσθ' ὅτε τῶν ἐπιεικεστέρων ὁ νοῦς, τοῖς τῆς σαρκὸς πάθεσι τυραννούμενος[1]. ἀλύει δὲ σφόδρα, καὶ ἀσθενῶν αἰσχύνεται. τόγε μὴν ἀποφορτίσασθαι τὴν ἀβούλητον ἁμαρτίαν, οὐδαμόθεν ἔχει, δεινῶς κατεμπιπτούσης τῆς ἡδονῆς. ταυτήτοι καὶ ἀσθενεῖ πρὸς ἀντίστασιν, οὐδὲν τὸ παράπαν διάγε τοῦ νόμου πρὸς τοῦτο ἐπικουρούμενος. ἀληθεύει δὴ οὖν ὁ θεσπέσιος Παῦλος, εἰ τῷ μὲν νοῒ δουλεύειν τῷ Θεῷ διϊσχυρίσαιτο νόμῳ, τῇ δὲ σαρκὶ νόμῳ ἁμαρτίας. καὶ τοῦτο οἶμαι ἐστὶν ὅπερ ἔφη· "τὸ γὰρ θέλειν παράκειταί μοι, τὸ δὲ κατεργάζεσθαι "τὸ καλὸν, οὔ." πάλαι μὲν οὖν, ὡς ἔφην, ἐνυπῆρχεν ἡμῖν τόγε ἧκον εἰς νοῦν καὶ τὴν ἐν αὐτῷ θέλησιν, τὸ ἑλέσθαι τῷ θείῳ δουλεύειν νόμῳ. κατεβιάζετο δὲ πρὸς ἁμαρτίαν ἡ σὰρξ, τὸ οἰκεῖον ὥσπερ ἀντιστᾶσα θέλημα. ἦν οὖν ἄρα κατάκριμα τοῖς ἐθέλουσι μὲν ἀποπεραίνειν τὸ ἀγαθὸν, οὐ μὴν ἔτι καὶ δυναμένοις διὰ τὸ τυραννεῖσθαι τοῖς πάθεσιν. ἀλλ' ἐν Χριστῷ πέπαυται τὸ κατάκριον, τουτέστιν ἡ τῶν σαρκικῶν κινημάτων πλεονεξία.

Γενναδίου. Ἀποδοὺς τῷ εὐεργέτῃ τὴν καθήκουσαν εὐφημίαν, ἔχεται τοῦ προκειμένου· ἐγὼ τοίνυν ὁ αὐτὸς Θεοῦ τε δοῦλος, καὶ ἁμαρτίας εἰμὶ, καί με διὰ τοῦ παθητοῦ τῆς σαρκὸς ἡ ἁμαρτία μερίζεται πρὸς Θεόν. ὑποδείξας δὲ τῶν ὑπὸ νόμον τὸ πρὸς δικαίωσιν ἐλλιπὲς, ἐπιφέρει τὸ τῆς χάριτος τέλειον, καὶ φησὶν, "οὐδὲν "ἄρα κατάκριμα νῦν τοῖς ἐν Χριστῷ Ἰησοῦ," καὶ τὰ ἑξῆς. ἀλλ' ἰδοὺ γὰρ νῦν ἡ διὰ Χριστοῦ χάρις, φησὶ, τῆς κατακρίσεως ταύτης ἡμᾶς ἠλευθέρωσε· πρὸς γὰρ ἀπαθῆ καὶ ἀθάνατον ζωὴν διὰ τῆς τοῦ

[1] Cod. τραννούμενος sed in marg. ἴσως γρ. τυραννούμενος.

πνεύματος δωρεᾶς μεθιστάμενοι, καὶ ὅλοι πνευματικοὶ δι᾽ ὅλων γινόμενοι, τῆς τε ἁμαρτίας ἀπαλλαττόμεθα, καὶ τοῦ θανάτου τοῦ δι᾽ αὐτήν.

Διοδώρου. Παραμένει ἐλέγχων τοῦ παλαίου ἀνθρώπου τὴν πρὸς ἑαυτὸν ἐκπολέμωσιν, οὐκ εἰρηνεύοντος πρὸς τὴν ψυχὴν τοῦ σώματος. ταῦτα δὲ διελέγχει, ἵνα τῆς τοῦ Σωτῆρος ἐπιδημίας ἐπιδείξῃ τὰ κατορθώματα, καὶ τὴν γενομένην ἕνωσίν τε καὶ εἰρήνην ψυχῆς καὶ σώματος διὰ τῆς τοῦ λουτροῦ παλιγγενεσίας. συνήγαγεν οὖν ὃ ἐβούλετο, καὶ ἦλθεν ἐφ᾽ ὃ κατεσκεύαζεν, εἰπών, "οὐδὲν "ἄρα κατάκριμα νῦν τοῖς ἐν Χριστῷ Ἰησοῦ." ἀποδείξας γὰρ ὅτι οἱ ὑπὸ νόμον ὄντες, ἅτε δὴ κατὰ σάρκα ζῶντες, ὑπὸ ἁμαρτίαν εἰσὶ καὶ κατάκριμα, ἐπήγαγεν, ὅτι οἱ ὑπὸ Χριστὸν ὄντες, οὐκ εἰσὶν ὑπὸ κατάκριμα, ἐπειδὴ μὴ κατὰ σαρκὰ περιπατοῦσιν.

Θεοδώρου. Τῇ μὲν γὰρ ψυχῇ, φησίν, αἱροῦμαι τὰ δοκοῦντα τῷ νόμῳ τοῦ Θεοῦ, ὑπὸ δὲ τῆς θνητότητος ἐπὶ τὴν ἁμαρτίαν καθέλκομαι. ἀλλ᾽ ἀπηλλάγμεθα τούτων ἁπάντων, καὶ τιμωρίας ἁπάσης κατέστημεν ἐκτός, οἱ διὰ τῆς ἐπὶ τὸν Χριστὸν πίστεως ἔξω γενόμενοι τῆς θνητότητος καὶ τοῦ κατ᾽ αὐτὴν ζῆν. τοῖς γὰρ θνητοῖς καὶ τὴν ἐπὶ τὸ χεῖρον ῥοπὴν δεχομένοις, ἀναγκαῖος ὁ νόμος, ἀπείργων τοῦ χείρονος. ἀθανάτοις δὲ καὶ ἀτρέπτοις γεγονόσι, περιττὸς ἐξ ἀνάγκης καθέστηκεν.

2 Ὁ γὰρ νόμος τοῦ Πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ.

Κυρίλλου. Ἀναγκαῖον δὲ οἶμαι πρὸς ἀκριβῆ διασάφησιν τῶν ἐν τούτοις ἐννοιῶν, ἐκεῖνο εἰπεῖν. ὥσπερ γὰρ ἁμαρτίας καὶ θανάτου νόμον τὸ σαρκικὸν ὀνομάζει φρόνημα, πρὸς πᾶν εἶδος φαυλότητος ἀποφέρον ἡμᾶς, οὕτω καὶ νόμον Πνεύματος ζωῆς τὸ θέλημα τὸ πνευματικόν· τουτέστι τὴν εἴς γε τὸ ἀγαθὸν τῆς διανοίας ῥοπήν. ἀλλ᾽ "ὁ μὲν σπείρων εἰς τὴν σάρκα, ἐκ τῆς σαρκὸς θερίσει "φθοράν, ὁ δὲ σπείρων εἰς τὸ Πνεῦμα, ἐκ τοῦ Πνεύματος θερίσει "ζωὴν αἰώνιον." οὐκοῦν "ὁ μὲν νόμος τοῦ Πνεύματος τῆς ζωῆς," τουτέστι τὸ θέλημα τοῦ νοῦ τὸ ἀποφέρον εἰς ζωήν, ἦν μὲν ἐν ἡμῖν καὶ πάλαι· ἐδουλεύομεν γὰρ τῷ νοΐ, νόμῳ Θεοῦ· ἀλλ᾽ ἠρρώστησεν, ὡς ἔφην, τὸ ἀδρανὲς εἰς ἀντίστασιν, καὶ ταῖς τῆς

σαρκὸς ἐπιθυμίαις ἡττώμενος κατεκρίνετο τῷ νόμῳ. ἐπειδὴ δὲ τὸ νοσεῖν[k] ἀποβαλὼν, ἐρρώσθη διὰ Χριστοῦ, κατεσφραγίσμεθα γὰρ δι' αὐτοῦ τῷ Ἁγίῳ Πνεύματι, καὶ τὴν ἐξ ὕψους δύναμιν ἠμφιέσμεθα. ταύτητοι καὶ λελυτρώμεθα· καὶ ὑπεζευγνύμεθα μὲν οὐκέτι τῷ κακῷ, κεκλήμεθα δὲ, ὡς ἔφην, εἰς ἐλεύθερον ἀξίωμα.

Οὐκοῦν "ὁ νόμος τοῦ Πνεύματος τῆς ζωῆς," τουτέστιν τὸ θέλημα τοῦ νοῦ τὸ νενευκὸς εἰς ἀγαθουργίαν, καὶ εἰς ζωὴν ἀποφέρον, ὅτε τὴν διὰ Χριστοῦ πεπλούτηκε χάριν, καὶ τῆς ἀρχαίας ἀσθενείας ἀπήλλακται, τότε τῶν ἐξ ἁμαρτίας ἀλογήσας κακῶν, καὶ τοῦ τῆς σαρκὸς κατευμεγεθήσας νόμου, ἠλευθέρωσέ με φησί. καὶ οὐκ αὐτός που πάντων τὴν ἐλευθερίαν διδούς· γεγονὼς δὲ μᾶλλον ἡμῖν ἐλευθερίας πρόξενος τῆς διὰ Χριστοῦ. ὥσπερ δὲ τοὺς ὑπὸ νόμον ὄντας τὸν τῆς ἁμαρτίας, πᾶσα πῶς ἀνάγκη καὶ τοῖς τοῦ θανάτου καταδεσμεῖσθαι βρόχοις, οὕτω τοὺς ἔξω γεγονότας αὐτῆς ἐλευθερωμένους τε διὰ Χριστοῦ, δεῖ πάλιν ἔξω τε εἶναι θανάτου, καὶ ἀμείνους ὁρᾶσθαι φθορᾶς, καὶ ζῆν ἐν ἁγιασμῷ.

Διοδώρου. Νόμον τοῦ Πνεύματος εἶπεν, ἀντιδιαστέλλων πρὸς τὸν νόμον τοῦ γράμματος, ἀντὶ τοῦ ἡ παρὰ Χριστοῦ χάρις ἡ ζωοποιός.

Θεοδώρου. Τῇ τοῦ Πνεύματος μετουσίᾳ, τὴν ἀνάστασιν γίνεσθαι ὁ Ἀπόστολός φησι. "σπείρεται γάρ," φησι, "σῶμα "ψυχικὸν, ἐγείρεται σῶμα πνευματικὸν," ὡς ἂν αὐτοῦ τότε κρατοῦντος ἡμᾶς ἐν ἀφθαρσίᾳ τε καὶ ἀτελευτότητι. Πνεῦμα οὖν αὐτὸ ζωῆς καλεῖ, ὡς ἂν τῆς ἀθανάτου ζωῆς παρεκτικὸν, ἧς τότε τευξόμεθα. τὸ τοίνυν Πνεῦμά φησι, τὸ ἐπ' ἐλπίδι τῆς ἀθανασίας ἡμῖν δεδόμενον, οὗ τὴν ἀπόλαυσιν ἡ ἐπὶ τὸν Χριστὸν πίστις παρέσχηκεν ἡμῖν, ἀπήλλαξέ με τοῦ τε θανάτου καὶ τῆς ἁμαρτίας. δῆλον δὲ ὅτι ἀπὸ τῶν μελλόντων ποιεῖται τὴν ἀποδειξιν τῶν διὰ Χριστοῦ παρεσχεθέντων ἡμῖν, ὅτε ἐπὶ τῶν πραγμάτων τὴν ἔκβασιν λήψεται. ἐπεὶ καὶ ἡ τοῦ θανάτου ἐλευθερία τότε ἡμῖν προσγενήσεται, οὐκ ἀνισταμένοις μόνον, ἀλλὰ [γὰρ] καὶ ἀθανάτου ζωῆς ἀξιουμένοις. τότε δὲ καὶ τῆς ἁμαρτίας ἀπαλλαττόμεθα. τότε

[k] Cod. νοσεῖ.

ἄτρεπτοι γεγονότες τῇ τοῦ Πνεύματος χάριτι, ἁμαρτεῖν οὐκ ἐπιδεχόμεθα. κατὰ γάρ τοι τὸν παρόντα βίον, πρόδηλον ὡς θνητοί τε ἐσμὲν, καὶ ὑπὸ τὴν τῆς ἁμαρτίας ἐνόχλησιν κείμεθα.

ΚΕΦ. ΙΒ.

Περὶ ἀποδόσεως τῶν φυσικῶν παθημάτων, διὰ τῆς πρὸς τὸ Πνεῦμα συμφωνίας.

3 Τὸ γὰρ ἀδύνατον τοῦ νόμου ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός.

Κυρίλλου. Ἀξιάγαστος μὲν ὁ μυσταγωγὸς καὶ ἰσχνὸς ἄγαν εἰς θεωρίας. ἰδιώτης δὲ εἶναι φησὶ τῷ λόγῳ· ταύτητοι φαμὲν ἐρυθριῶντες οὐδὲν, ὅτι τῇ συνθήκῃ τῶν προκειμένων λέξεων, λείπει τί βραχὺ πρὸς ἐντελῆ διασάφησιν. ἔδει γὰρ εἰπεῖν, τὸ γὰρ ἀδύνατον τοῦ νόμου ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, λέλυται τυχὸν, ἢ πέπαυται. εἶτα προσυπενεγκεῖν τοῦ πράγματος τὴν ἀπόδοσιν, καὶ τοῦ λελύσθαι συνάψαι τὸν τρόπον, προστιθέντα πάλιν, "ὁ γὰρ "Θεὸς τὸν ἑαυτοῦ Υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, "καὶ περὶ ἁμαρτίας, κατήργηκε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί." καὶ τὰ τούτοις ἐφεξῆς δέδωκε τῆς τῶν λέξεων συνθήκης, κατάγε τὸν ἐνόντα σκοπὸν αὐτῷ. φέρε καταθρήσωμεν τῆς διὰ Χριστοῦ θεραπείας τὸν τρόπον.

Πέπαυται δὲ ὅπως τὸ ἀδύνατον τοῦ νόμου; καὶ ποῖον ἂν ὅλως τὸ ἀδύνατον νοοῖτο τοῦ νόμου; λεπτομυθεῖ γὰρ λίαν ὁ θεηγόρος ἐν τούτοις. ἀποδέχεται τοίνυν ὡς ὠφελεῖν εἰδότας τόν τε τοῦ Θεοῦ νόμον, φημὶ δὴ τὸν ἐν γράμμασι, καὶ τόν γε τοῦ Πνεύματος, καθ' ὃν ἐσχήκαμεν τὸ θέλειν τὸ ἀγαθόν· εἰ μὴ παρακέοιτο τυχὸν τὸ δύνασθαι δρᾶν αὐτό. ἔφη γὰρ, ὅτι "τὸ γὰρ θέλειν παράκειταί "μοι, τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν οὔ." πλεονεκτούσης δῆλον ὅτι τῆς ἁμαρτίας, καὶ τοῦ τῆς σαρκὸς νόμου καταστρέφοντος εἰς τὰ οἰκεῖα καὶ οὐκ ἑκόντα τὸν νοῦν. κατὰ τὸν αὐτὸν οἶμαι τουτονὶ τρόπον νοοῖτ' ἂν εἰκότως τὸ ἀδύνατον τοῦ νόμου, τοῦτε ἐν γράμμασι καὶ διὰ Μώσεως, καθάπερ ἔφην ἀρτίως. καὶ μέντοι τοῦ ἐμφύτου καὶ ἐν ἡμῖν, καθ' ὃν "καὶ τὰ ἔθνη καί τοι τὸν γραπτὸν "οὐκ ἔχοντα νόμον, φύσει ποιοῦντα τὸν νόμον φαίνεται, καὶ νόμος

" εἰσὶν ἑαυτοῖς, ἐνδείκνυνται γὰρ τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς " καρδίαις αὐτῶν, καθὰ γέγραπται." ποῖον δὲ τὸ ἐν ἀμφοῖν ἀδύνατον, βασανίσαι καιρός.

Ὁ μὲν γὰρ ἐν γράμμασι νόμος διδάσκαλος ἦν εὐκοσμίας καὶ τῶν ἀρίστων εἰσηγητής· δεδικαίωκε δὲ παντελῶς οὐδένα. ὅγε μὴν ἔμφυτός τε καὶ ἐν ἡμῖν, ὃν καὶ ὀνομάζει τοῦ Πνεύματος, ἀπονένευκε μὲν εἰς τὸ ἀγαθὸν, ἡττᾶται δὲ λίαν τοῦ πρὸς τὰ αἰσχίω καλοῦντος νόμου. οὐκοῦν τὸ ἀδύνατον, τουτέστι τὸ ἀσθενοῦν, εἴτε[u] τοῦ ἐν γράμμασιν, εἴτε τοῦ ἐμφύτου νόμου, πέπαυται διὰ Χριστοῦ. νενεκρωμένης γὰρ τρόπον τινὰ τῆς σαρκὸς, καὶ οἷον ἀνῃρημένης τῆς ἐν ἡμῖν ἡδονῆς, κατ᾿ οὐδένα τρόπον ὁ τοῦ Πνεύματος, ἤτοι τοῦ νόος ἀσθενήσει νόμος· νενέκρωται δὲ τίνα τρόπον ἡ ἐν ἡμῖν ἁμαρτία, φέρε λέγωμεν ὡς ἔνι.

Ὁ γὰρ τοῦ Θεοῦ Λόγος, ἐν εὐδοκίᾳ τοῦ Θεοῦ καὶ Πατρὸς ἐν ὁμοιώματι γέγονε σαρκὸς ἁμαρτίας, ἵνα κατακρίνῃ τὴν ἁμαρτίαν ἐν σαρκί. γέγονε γὰρ ἄνθρωπος καθεὶς ἑαυτὸν εἰς κένωσιν. καὶ ὁμοειδὲς μὲν ὅτι καὶ ὁμοφυὲς τοῖς ἡμετέροις σώμασι τὸ αὐτοῦ, πῶς ἂν ἐνδοιάσειέ τις; πλὴν τὰ μὲν τῶν ἄλλων ἁπάντων σώματα σάρκες ἂν λέγοιντο τῆς ἁμαρτίας· διά τε τὸ πεφυκέναι νοσεῖν τῶν ἐκτόπων ἡδονῶν τὴν γένεσιν. τὸ δέ γε σῶμα Χριστοῦ φαίη τίς [γὰρ] οὐχ ἁμαρτίας εἶναι σάρκα; μὴ γένοιτο. ὁμοίωμα δὲ μᾶλλον σαρκὸς ἁμαρτίας· τουτέστι προσεοικὸς μὲν τοῖς ἡμετέροις σώμασιν, οὐ μὴν ἔτι καὶ νοσεῖν εἰδὸς σαρκικὴν ἀκαθαρσίαν. ἅγιος γὰρ ἐκ μήτρας ὁ θεῖος ἐκεῖνος νεὼς, καὶ ὅσον μὲν ἧκεν εἰς ἐννοίας τε καὶ λόγους τοὺς ἐν τῇ φύσει, κατοκνήσειεν ἂν οὐδεὶς ἐκεῖνο εἰπεῖν, ὡς ἐπείπερ ἦν σὰρξ, ἔσχεν ἂν ἐν ἑαυτῇ τὸ ἴδιόν τε καὶ ἔμφυτον κίνημα. ἐπειδὴ δὲ ὁ πᾶσαν τὴν κτίσιν ἁγιάζων Λόγος κατῴκησεν ἐν αὐτῇ, κατακέκριται τῆς ἁμαρτίας ἡ δύναμις, ἵνα καὶ εἰς ἡμᾶς διαβαίνῃ τὸ κατορθώμενον. μετεσχήκαμεν γὰρ αὐτοῦ πνευματικῶς τε καὶ σωματικῶς. ὅταν γὰρ καὶ ἡμῖν ἐναυλίζεται Χριστὸς, διὰ τοῦ Ἁγίου Πνεύματος, καὶ διὰ τῆς μυστικῆς εὐλογίας, τότε δὴ πάντως καὶ ἐν ἡμῖν ὁ τῆς ἁμαρτίας κατακρίνεται νόμος.

[u] Cod. hic et infra εἴς τε.

Ἀληθὲς οὖν ὅτι τὸ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, πέπαυται διὰ Χριστοῦ, κατακρίναντός τε καὶ κατηγορηκότος τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν. πεπλήρωται γὰρ τὸ δικαίωμα τοῦ νόμου, τουτέστιν ἡ δύναμις τῶν τεθεσπισμένων διὰ τοῦ νόμου· ἤγουν τὸ θέλημα τὸ βλέπον εἰς ἀρετήν· τοῦ ἐν ἡμῶν ὄντος νόμου κατ᾽ οὐδένα τρόπον, ὡς ἔφην, ἀσθενοῦντος ἐστὶ [k] διὰ τοῦ τυραννεῖσθαι ταῖς ἐμφύτοις ἡδοναῖς. πεπλήρωται τοίνυν ἐν ἡμῖν τὸ δικαίωμα τοῦ νόμου τοῖς μὴ κατὰ σάρκα περιπατοῦσι· ζῇν δὲ μᾶλλον ἐθέλουσι πνευματικῶς.

Γενναδίου. Ἣν ὁ νόμος, φησὶ, δικαίωσιν ὑπαγορεύων ἠτόνει διὰ τῆς ἡμετέρας σαρκὸς ἐν ἡμῖν κατορθῶσαι, ταύτης ἐν Χριστῷ πάρεσχεν ἡμῖν ὁ Θεός. τὸν γὰρ Υἱὸν πέμψας τὸν ἑαυτοῦ, σάρκα τὴν αὐτὴν ἡμῖν ἔχοντα, παθητήν τε καὶ ἁμαρτεῖν ἐπιδεχομένην· ὁμοίωμα γὰρ σαρκὸς ἁμαρτίας, τὴν ἐνδεχομένην ἁμαρτῆσαι σάρκα φησίν· ὡς καὶ τὸ "ἐν ὁμοιώματι ἀνθρώπου γενόμενος" ἀντὶ τοῦ γενόμενος ἄνθρωπος. ταύτην οὖν ἔχοντα τὴν σάρκα φησὶν, ὁ Θεὸς τὸν ἑαυτοῦ Υἱὸν πέμψας περὶ ἁμαρτίας, τουτέστιν ἐφ᾽ ὅτε τὴν ἁμαρτίαν καταγωνίσασθαι, κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ, κατεδίκασεν αὐτὴν ἐν αὐτῇ. ἀνέπαφον αὐτὴν καὶ ἀνάλωτον παντελῶς διαφυλάξας αὐτήν. ἢ καὶ ἄλλως. ὅτι περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί. ἀντὶ τοῦ, ἀναμαρτήτου τῆς σαρκὸς οὔσης αὐτῷ, καὶ οὐχ ὑποκειμένης διὰ τοῦτο θανάτῳ· κατέκρινε μὲν περὶ ἁμαρτίας τὴν ἁμαρτίαν ὁ Θεὸς ἐν αὐτῇ, ὡς οὐκ ἐν δίκῃ τῷ θανάτῳ τὴν τοῦ Κυρίου σάρκα περιβαλοῦσαν. διὰ δὲ τῆς ἐκ νεκρῶν ἀναστάσεως, ἐκείνην μετέβαλε πρὸς ἀπάθειαν. καὶ οὕτω λοιπὸν ἡ τοῦ νόμου δικαίωσις ἐν ἡμῖν κατορθοῦται, διὰ πίστεως ἡμῶν ἑνουμένων αὐτῷ, καὶ πνευματικῶν ἀντὶ σαρκικῶν γινομένων. τοιοῦτόν ἐστι καὶ τὸ ἐν Ἀντιοχείᾳ τῆς Πισιδίας εἰρημένον αὐτῷ, ὅτι "ἀπὸ πάντων ὧν οὐκ ἠδυνήθητε ἐν τῷ νόμῳ Μώσεως δικαιωθῆναι, ἐν τούτῳ καὶ ὁ πιστεύων δικαιοῦται.

Διοδώρου. "Τὸ γὰρ ἀδύνατον τοῦ νόμου ἐν ᾧ ἠσθένει διὰ τῆς "σαρκός." οὐχ ὁ νόμος φησὶν, ἀδύνατα προσέτασσεν, ἀλλ᾽ ἡ

[k] Leg. credo ἔτι.

σὰρξ οὐκ ἠδύνατο πληροῦν τὴν τοῦ νόμου πολιτείαν, διὰ τὸν ἐμποδίζοντα πονηρὸν, ὃν διὰ τῆς ἑαυτοῦ σαρκὸς κατέκρινε Χριστός. " ὁ Θεός, φησι, τὸν ἑαυτοῦ Υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς " ἁμαρτίας." ὅταν μὲν ἀποβλέψῃ πρὸς τὴν τοῦ Κυρίου σάρκα ὁ Ἀπόστολος, ἀληθῶς οὖσαν σάρκα, ἐξ ὧν καὶ ἐγεννήθη καὶ ἀνετράφη καὶ ἐπολιτεύσατο τῷ βίῳ, φανερῶς τὴν σάρκα προσαγορεύει, ὡς καὶ ἐνταῦθα ἐπάγει " κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί·" καὶ πρὸς Τιμόθεον γράφων, " Θεὸς ἐφανερώθη ἐν σαρκί·" ὅταν δὲ ἀποβλέψῃ πρὸς τὸ τῆς σαρκὸς ἀναμάρτητον καὶ καθαρὸν καὶ ὅσιον, ὁμοίωμα αὐτὸ σαρκὸς ὀνομάζει. οὐχ ὅτι κατὰ τὴν φύσιν διήλλαττεν, ἀλλ' ὅτι ὅμοιον ἦν τῇ σαρκικῇ ἁμαρτίᾳ. ἔπεμψεν οὖν, φησὶν, ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, οὐκ ἐν ὁμοιώματι ἀγγέλου ἢ τινὸς τοιαύτης δυνάμεως, ἀλλ' ἐν ὁμοιώματι σαρκὸς, ἵνα σαρκὸς ἡττηθείσης ἐπὶ τοῦ Ἀδὰμ, σὰρξ καταγωνίσηται τὸν πονηρὸν ἐπὶ τοῦ Κυρίου. ἀπεστάλη δέ, φησιν, ὁ Κύριος διὰ τὴν ἐπικρατήσασαν τῶν ἀνθρώπων ἁμαρτίαν. τοῦτο γὰρ τὸ " περὶ ἁμαρτίας," ἀντὶ τοῦ διὰ τὴν ἁμαρτίαν.

Παρέλκει δὲ τὸ " καὶ" ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ, φησὶν ἐν ἡμῖν. οἷον ἐβούλετο μὲν πληρῶσαι δικαίωμα ὁ νόμος, ἠσθένει δὲ διὰ τὸ συγχωρῆσαι αὐτὸν αὐτοῖς τρυφᾶν. τί οὖν συνεχώρει. ὅτι οὐκ ἂν παρεδέχθη, εἰ μὴ συγκατέβαινεν αὐτῶν τῇ ἀσθενείᾳ. τί οὖν ὠφέλησε συγκαταβὰς, εἰ μὴ ἐδικαίωσεν; ὅτι τὸν νοῦν εἰς ἀναισθησίαν ἀγνοίας ἐκπεσόντα ἀνεκαλέσατο. " τοῖς " μὴ κατὰ σάρκα περιπατοῦσι," φησὶν, ἀντὶ τοῦ κατὰ τὸν νόμον. εἶχε γὰρ ὁ νόμος παρατηρήσεις σαρκικάς· σαρκικὸν δὲ ἦν καὶ τὸ συγχωρῆσαι τρυφᾶν.

Θεοδώρου. *Ὁ μὲν οὖν νόμος, εἰ καὶ τὴν ψυχὴν ὠφελεῖ, φησὶν, ἀλλὰ τῇ κατορθώσει τῆς ἀρετῆς ἀτονῶν ἐφαίνετο· ἀντιπραττούσης αὐτῷ τῆς θνητότητος; καὶ πολλὴν τῆς ἁμαρτίας τὴν ἐνόχλησιν ἡμῖν ἐργαζομένης. ὁ δέ γε Υἱὸς τοῦ Θεοῦ*[1] *ἐν ταύτῃ γεγονὼς τῇ φύσει τῇ θνητῇ, καὶ ἁμαρτίαις ὑποκειμένῃ, οὐχ ἑτέρου ἕνεκεν, ἀλλ' ἢ ὥστε ἀφελεῖν αὐτῆς τὴν ἁμαρτίαν, ἀνεῖλε τὸ ἐνεῖναι δοκοῦν αὐτῇ κῦρος τῆς ἁμαρτίας. ἀφελὼν μὲν αὐτῆς τὴν θνητό-*

[1] Cod. om. Θεοῦ.

τητα, συνανελὼν δὲ αὐτῇ καὶ τῆς ἁμαρτίας τὴν ἐνόχλησιν. ὡς λοιπὸν τοῦ νόμου τὸν σκοπὸν καὶ τὸ βούλημα ἐν ἡμῖν πληροῦσθαι, τοῖς ἀπηλλαγμένοις μὲν τῆς θνητότητος, ἐν ἀθανασίᾳ δὲ καθεστῶσιν. ὃ γὰρ οὐκ ἴσχυσε ποιεῖν ἐν ἡμῖν ὁ νόμος, ὅτε ἔτι θνητοὶ τὴν φύσιν ὦμεν, καίτοιγε πλεῖστα περὶ τοῦ μὴ δεῖν ἁμαρτάνειν διαλεγόμενος, τοῦτο ἡμῖν ἐν τῇ τῆς θνητότητος ἀφαιρέσει προσεγένετο. οὐδὲ μίαν[m] *ἐνόχλησιν ἁμαρτίας δυναμένοις ὑπομένειν, ἐπειδ᾽ ἂν ἅπαξ τὴν φύσιν ἀθάνατοι γενόμεθα.*

Ὠριγένους. *Μᾶλλον τὸ ἀδύνατον τοῦ νόμου τοῦ τῆς ἁμαρτίας καὶ τοῦ θανάτου ὧδε λέγει. ὥσπερ γὰρ ἡ ἀρετὴ ἰδίᾳ φύσει ἰσχυρὰ, οὕτω καὶ ἡ κακία καὶ τὰ ἀπ᾽ αὐτῆς ἀσθενῆ καὶ ἀδύνατα. κρατεῖ γὰρ οὐ τῶν ἰσχυρῶν, ἀλλὰ τῶν ἐκλύτων· οὐ διὰ τὴν ἰδίαν ἰσχὺν, ἀλλὰ διὰ τὴν ἐκείνων ἀδράνειαν. τοῦ τοιούτου νόμου ἡ φύσις ἀδύνατός ἐστι. διὸ καὶ ἐνήργει ἐν τῇ ἀσθενεῖ σαρκί. ὃν τρόπον κατέκρινεν ὁ Θεὸς, πέμψας τὸν ἑαυτοῦ Υἱὸν, οὐκ ἐν σαρκὶ ἁμαρτίας τοιαύτης, ᾗ ὁ δουλεύων κατὰ νόμον ἁμαρτίας δουλεύει, ἀλλ᾽ ἐν ὁμοιώματι τοιαύτης σαρκός. διὰ δὲ τοῦτο οὐκ ἦν ἁμαρτία ἡ σὰρξ τοῦ Υἱοῦ τοῦ Θεοῦ, ἀλλ᾽ ὁμοίωμα. ἐπείπερ οὐκ ἦν ἐκ σπέρματος ἀνδρὸς καὶ γυναικὸς ὕπνῳ συνελθούσης. οὐκοῦν ὁ Θεὸς κατεδίκασε τὴν ἁμαρτίαν γενομένην καθ᾽ ὑπερβολὴν ἁμαρτωλόν· καὶ διὰ τῆς σαρκὸς ἐπληρώθη τὸ τοῦ θείου νόμου δικαίωμα ἐν ἡμῖν, ὅτε μὴ κατὰ σάρκα περιπατοῦμεν. ἐν ᾗ σαρκὶ ἐνεργεῖ τὸ ἀδύνατον τοῦ νόμου καὶ ἀσθενὲς, ὅ ἐστιν ἡ κακία. ἀλλ᾽ ἑπόμενοι Θεῷ κατὰ τὸ Πνεῦμα αὐτοῦ, πράττομεν πάντα, εἰς ἑαυτοὺς παραδεχόμενοι τὸν Υἱὸν τοῦ Θεοῦ.*

5 Οἱ δὲ κατὰ σάρκα ὄντες τὰ τῆς σαρκὸς φρονοῦσιν.

Κυρίλλου. *Θάνατον μὲν εἶναι φησὶ τὸ τῆς σαρκὸς φρόνημα, καὶ μάλα ὀρθῶς. τὸ δέ γε τοῦ Πνεύματος ζωὴν καὶ εἰρηνήν. θανάτου μὲν γὰρ ἀληθῶς ἡ φιλοσαρκία πρόξενος· ζωῆς δὲ τῆς εἰς αἰῶνα καὶ τῶν ἄνωθεν ἀγαθῶν τὸ διαβιοῦν ἑλέσθαι πνευματικῶς.*

Γενναδίου. *Ὥσπερ, φησὶ, τοὺς ὄντας φθαρτοὺς, καὶ τὸ φρόνημα φθαρτὸν ἔχειν ἀνάγκη, οὕτω καὶ τοὺς ὄντας ἀφθάρτους*

[m] Cod. *μία.*

ἄφθαρτον εἰκός ἐστιν ἔχειν καὶ τὸ φρόνημα. ἑκατέρων ἀνάλογον τῆς οἰκείας φύσεως τῶν λογισμὸν κεκτημένων. "τὸ γὰρ φρόνημά," φησι, "τῆς σαρκὸς, θάνατος." θάνατον τουτέστι προξενοῦν, καὶ πρὸς κόλασιν παροξύνον Θεόν. "τὸ δὲ φρόνημα τοῦ Πνεύματος ζωὴ "καὶ εἰρήνη" τουτέστιν ἀθανασίαν δωρούμενον καὶ φιλίαν τὴν πρὸς Θεόν.

Θεοδώρου. Ἀπεντεῦθεν λοιπὸν διὰ πλειόνων λέγει, ὅτι τοῖς μὲν θνητοῖς τὸ ἁμαρτάνειν ἕπεται πάντως. ἀθάνατοι δὲ γεγονότες, ἀπηλλάγμεθα τούτου. ὥστε κατὰ παράθεσιν φανῆναι τὰ κατὰ Χριστὸν πλεῖστον ὑπερέχοντα τοῦ νόμου, εἴπερ ἐκεῖνος μὲν ἀφελεῖν τὸν θάνατον οὐκ ἠδύνατο, καὶ ἀνάγκη πᾶσα ἦν κρατεῖν ἐν ἡμῖν τὴν ἁμαρτίαν· καὶ μυριάκις ἐπαιδεύετο ἡ ψυχὴ τὸ δέον. ὁ δέ γε Χριστὸς τόν τε θάνατον ἀφεῖλε, καὶ τὴν ἐνοῦσαν ἡμῖν τῆς ἁμαρτίας ἐνόχλησιν συνανεῖλε τῷ θανάτῳ. ἤρξατο μὲν οὖν ἀπὸ τοῦ "δικαιωθέντες οὖν ἐκ πίστεως, εἰρήνην ἔχομεν πρὸς τὸν Θεὸν "διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ," τῶν διὰ τοῦ Χριστοῦ παρασχεθέντων ἡμῖν ἐξηγεῖσθαι τὸ μέγεθος σὺν πολλοῖς ἑτέροις, παραθέσει τῆς πρὸς τὸν νόμον δείξας αὐτῶν τὴν ὑπεροχήν.

Ἐπειδὴ δὲ εἰς τὴν τῶν ἀνακυπτόντων ζητημάτων ἐτράπη λύσιν, ἀπολογησάμενος ὑπὲρ αὐτῶν ὡς τοῖς προκειμένοις δέδεικται ἡμῖν σαφέστερον, καὶ δὴ καὶ ὑπὲρ τοῦ ἁμαρτίας ποιητικὸν λέγειν τὸν νόμον· ἔδειξε μὲν αὐτοῦ τὸ χρήσιμον ἀναγκαίως. καὶ τοῦτο δὲ ἐν τοῖς ἀρτίως ἑρμηνευθεῖσι σαφέστερον δεδηλώκαμεν. πάλιν δὲ κατὰ παράθεσιν τοῦ νόμου λέγων τῶν διὰ τοῦ Χριστοῦ τὸ μέγεθος, ἐπὶ τὸν τῶν πρώτων ζητημάτων ἀνατρέχει λόγον· καὶ τὸ δεικνύναι ὡς μεγίστων ἡμῖν ἀγαθῶν ὁ Χριστὸς ἐγένετο πρόξενος. οὗπερ ἕνεκεν κἀνταῦθα βούλεται διὰ πολλῶν δεικνύναι, ὅτι τῇ μὲν θνητότητι τὸ ἁμαρτάνειν ἕπεται. ἀθάνατοι δὲ γεγονότες, ἀπηλλάγμεθα τούτου. διό φησιν, "οἱ γὰρ κατὰ σάρκα ὄντες, τὰ τῆς σαρκὸς "φρονοῦσι" καὶ τὰ ἑξῆς. τοῦτο λέγει, ὅτι οἱ μὲν θνητοὶ τὴν φύσιν, ἀναγκαίως πλείστην τοῦ ἁμαρτάνειν τὴν ἐνόχλησιν ὑπομένουσι. τί γὰρ ἂν καὶ βουλεύσαιτο ἀθάνατον φύσις θνητή; εἰ δὲ καί τις ἐστὶν ἐν ἡμῖν ἀρετὴ, οὐ τῆς σαρκός ἐστιν αὕτη, ἀλλὰ τοῦ φρονήματος τῆς ψυχῆς, ἐπειδὰν ἀνωτέρα γένηται τῶν παρόντων. οἱ μέντοι τοῦ Πνεύματος ἤδη μετεσχηκότες, κρείττονα τούτων

ἔχουσι τὸν λογισμὸν, ἀθάνατοι γεγονότες τὴν φύσιν, καὶ πάσης τῆς ἀπὸ τῶν χειρόνων ἐνοχλήσεως ἀπηλλαγμένοι. τοῦτο γὰρ λέγει τὸ εἰρήνην. ἐπειδὴ ἐν τοῖς ἀνωτέροις παρὰ τοῖς τὴν φύσιν θνητοῖς πόλεμον εἶναι ἔφη, τῆς ἁμαρτίας ἀντιπραττούσης τῷ βουλήματι τῆς ψυχῆς. εἰρήνην ἐνταῦθα λέγων τὸ ἀφαιρεῖσθαι τῆς[n] ἁμαρτίας τὴν ἐνόχλησιν.

7 Διότι τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς Θεόν.

Γενναδίου. Ἀμήχανον γάρ, φησι, τοῖς τοῦ Θεοῦ θελήμασι, τοῖς διὰ τοῦ νόμου γνωριζομένοις ἡμῖν, τὸ θέλημα τῆς σαρκός ποτὲ συνελθεῖν καὶ φιλίαν ἀσπάσασθαι. ὁ μὲν γὰρ ἀπάθειαν ἐπαγγέλλεται, ἡ δὲ ἐστὶ παθητή. οὐ τοίνυν οὐδὲ τοὺς ἀνεχομένους τῷ φρονήματι τῆς σαρκὸς, καὶ μετέχοντας τῆς φύσεως ταύτης, οἷόν τε ἀρέσαι Θεόν. ἐπὶ τοσοῦτον γὰρ αὐτοῦ διεστήκασιν, ἐφ' ὅσον εἰσὶ ταύτης ἐγγύς· καὶ εἰσὶν ἀρετῆς πόρρω τοσοῦτον, ὅσον θνητότητος[o] ἀθανασίας.

Ὠριγένους. Ἀφ' ὧν διδάσκει ὁ Παῦλος, μανθάνομεν τίνες εἰσὶ κατὰ σαρκά· οἱ τὰ τῆς σαρκὸς φρονοῦντες. καὶ τίνες οἱ κατὰ Πνεῦμα· οἱ τὰ τοῦ Πνεύματος φρονοῦντες. τὰ δὲ φρονήματα τῆς σαρκός εἰσι, πορνεία, ἀσέλγεια, εἰδωλολατρεία καὶ τὰ ὅμοια· ὅπερ αὐτὸ τοῦτο θάνατός ἐστι. τὰ δὲ τοῦ Πνεύματος, ἀγάπη, χαρὰ, εἰρήνη, μακροθυμία, καὶ τὰ τούτοις ἀκόλουθα· ἅπερ ἐστὶ ζωή. καὶ ἤδη ἐν τῇ ζωῇ εἰσὶν οἱ τοιοῦτοι, καὶ ἐν εἰρήνῃ εὐφραίνονται. ἀκόλουθον οὖν τοὺς μὲν εἰς τὴν σάρκα σπείροντας, θερίζειν φθοράν. τοὺς δὲ Πνεύματι ζῶντας, σπείρειν εἰς τὸ Πνεῦμα, ἀφ' οὗ ἐστι θερίσαι ζωὴν αἰώνιον. πρὸς δὲ τούτοις καὶ ἐχθροί εἰσι τοῦ Θεοῦ οἱ τοῦ φρονήματος τῆς σαρκός. φρονοῦσι δὲ τὰ τῆς σαρκὸς καὶ ὅσοι βούλονται πλουτεῖν, ἢ ἐπιθυμοῦσι δόξης· καὶ οἱ κατὰ τὸ γράμμα ζῶντες Ἰουδαῖοι· καὶ τὴν ἐν φανερῷ περιτομὴν ἐν σαρκὶ ἀσκοῦντες· οὗτοι τὰ τῆς σαρκὸς τοῦ νόμου φρονοῦσιν. οἱ δὲ κατὰ Πνεῦμα, οἱ ἐν κρυπτῷ Ἰουδαῖοι, οἱ τὴν ἐν καρδίᾳ καὶ πνεύματι περιτομὴν ποιοῦντες, ἤτοι φρονοῦσι τὰ τοῦ Πνεύματος.

Καὶ ἐν μὲν τῷ φρονήματι τῆς σαρκὸς τοῦ νόμου, θάνατόν τις εὑρήσει καὶ ἔχθραν τὴν εἰς Θεόν. ἐν δὲ τῷ φρονήματι τοῦ νόμου

[n] Cod. τὴν. [o] Leg. vid. θνητότης.

τοῦ Πνεύματος, ζωὴν καὶ εἰρήνην. οἱ δὲ ἐν τῇ σαρκὶ τοῦ νόμου ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται· ἀλλ' οἱ ἐν τῷ Πνεύματι τοῦ νόμου ὄντες. ἀμφότεροι γὰρ ἐπαγγελλόμεθα τὸν Μώσεως νόμον. ἀλλ' ἐκεῖνοι μὲν, κατὰ σάρκα, ἡμεῖς δὲ κατὰ Πνεῦμα. διὸ ἐκεῖνοι σαρκικὰς ἡγοῦνται τὰς ἐπαγγελίας, ἀκολούθως τῷ σαρκικῷ νόμῳ· ἡμεῖς δὲ πνευματικὰς, ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις.

9 Ὑμεῖς δ' οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν Πνεύματι. εἴπερ Πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν.

Γενναδίου τοῦτο καὶ Θεοδωρήτου. Ἀλλ' ὑμεῖς γάρ, φησιν, ἐκ θνητότητος εἰς ἀθανασίαν μεταβεβήκατε· ἀντὶ σαρκικῶν γεγενημένοι πνευματικοί. καὶ ἀναντίρρητον τοῦ λόγου τούτου τὴν ἀπόδειξιν ἔχων. "εἴπερ Πνεῦμα Θεοῦ," φησὶν, "οἰκεῖ ἐν ὑμῖν." τότε γὰρ πρὸς τῷ τῆς υἱοθεσίας χαρίσματι καὶ ἑτέρων ἐπὶ θαυματουργίᾳ χαρισμάτων ἀπέλαβον, τοῦ Πνεύματος αὐτοὺς διὰ τούτων καὶ περὶ τῶν τέως ἀφανῶν πιστουμένου. ὅτι τοίνυν, φησὶ, πρὸς πνευματικὴν μετέστησε ζωὴν ἐκ τῆς σαρκικῆς, ἡ τοῦ Πνεύματος κατοικοῦσα χάρις ὑμᾶς ἀποχρώντως δηλοῖ.

Διοδώρου. "Ὑμεῖς δέ," φησιν," οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν "Πνεύματι·" ἀντὶ τοῦ οὐκ ἐστὲ ἐν σαρκικαῖς ἐπιθυμίαις, ἀλλ' ἐν πνεύματι ζῆτε, "εἴπερ Πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν." διεγείρων αὐτοὺς εἰς τὸ ἐγρηγορέναι τὸν νοῦν, καὶ μὴ ὑπτιοῦσθαι ὡς κατωρθωκότας, κατὰ δισταγμὸν ἐξήνεγκε τὸν λόγον εἰπὼν, "εἴπερ Πνεῦμα "Θεοῦ οἰκεῖ ἐν ὑμῖν." τὸ γὰρ ὀφρυῶσαι αὐτοὺς καὶ φυσιῶσαι, ὡς ἤδη ἔχοντας Πνεῦμα Θεοῦ, ἐπιβλαβὲς[o] ἦν, καὶ τὴν σπουδὴν διακόψαι ἱκανόν.

Εἰ δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ.

Γενναδίου. "Εἰ δέ τις," φησι, "Πνεῦμα Χριστοῦ οὐκ ἔχει, "οὗτος οὐκ ἔστιν αὐτοῦ." ὥσπερ οἱ ἐξ Ἀδὰμ τοῦ Ἀδὰμ εἶναι λεγόμεθα, τῆς φύσεως αὐτῷ κοινωνήσαντες, ἑνώσεως εἶναι λέγοντες τοῦ Χριστοῦ, διὰ τῆς τοῦ ἑνὸς πνεύματος κοινωνίας μετουσίας εἰ

[o] Cod. ἐπιβλαβής.

δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα νεκρὸν διὰ ἁμαρτίαν, τὸ δὲ πνεῦμα ζωὴ διὰ δικαιοσύνην. εἰ τοίνυν γνωρίζεται Χριστὸς φησὶν, ἐν ὑμῖν, τὸ τοῦ Πνεύματος αὐτοῦ μετέχειν ὑμᾶς, ὃν τρόπον ἐστὶ τὸ σῶμα διὰ τὴν ἁμαρτίαν ἀθανασίας ἀμέτοχον, οὕτως αὖ θανάτου πόρρω διὰ τὴν δικαιοσύνην τὸ πνεῦμα. Πνεῦμα δὲ τὸ πνευματικὸν σῶμα προσεῖπεν· ἐκ τοῦ μεθεκτικοῦ τὸ μέτοχον καλέσας, ὡς καὶ ἐν τοῖς Εὐαγγελίοις, "τὸ γεγενημένον," φησὶν, "ἐκ τοῦ Πνεύματος, Πνεῦμα."

11 Εἰ δὲ τὸ Πνεῦμα τοῦ ἐγείραντος Χριστὸν Ἰησοῦν οἰκεῖ ἐν ὑμῖν.

Γενναδίου. Ἀλλὰ μὴν οὐδὲ δεῖ περὶ τούτου, φησὶ, διαμφισβητεῖν, ὅτι τοὺς ἠξιωμένους λαοὺς γενέσθαι τοῦ Πνεύματος, καὶ ταύτῃ κεκοινωνηκότας Χριστῷ, ἐχόμενόν ἐστι κοινωνῆσαι αὐτῷ δι' αὐτὸ τοῦτο καὶ τῆς ἐκ νεκρῶν εἰς ἀθάνατον ζωὴν ἀναστάσεως.

Θεοδώρου. Προειπὼν "Πνεῦμα Χριστοῦ," πάλιν φησὶ, "τὸ Πνεῦμα τοῦ ἐγείραντος Χριστὸν οἰκεῖ ἐν ὑμῖν." ἐπαναγαγὼν ἀπὸ τοῦ Χριστοῦ ἐπὶ τὸν Πατέρα· οὐδὲν ἕτερον ἢ σαφῶς διδάσκων ὅτι ἐκ τοῦ Υἱοῦ καὶ τὸ Πνεῦμα οὐκ ἀλλότριον τῆς πατρικῆς θεότητός ἐστι· καὶ οἷς μία ἡ ἐνέργεια, τούτοις πάντως καὶ ἡ οὐσία τῷ Πατρὶ συναΐδιος. ἀκολούθως μέντοι ἐνοικήσαντος Πνεύματος Ἁγίου καὶ τῆς ἁμαρτίας νεκρωθείσης, ἕπεσθαι τοῖς ἀγωνιζομένοις τὰ ἔπαθλα φησίν· ὧν πρῶτον καὶ μέγιστον ἦν ἡ ἐκ νεκρῶν ἀνάστασις.

12 Ἄρα οὖν, ἀδελφοὶ, ὀφειλέται ἐσμὲν, οὐ τῇ σαρκὶ, τοῦ κατὰ σάρκα ζῇν.

Γενναδίου. Ἀγωνισάμενος διὰ πάντων, καὶ δείξας οὐκ ἔτι προσήκειν αὐτοὺς τῷ Ἀδὰμ, τουτέστι τῇ παθητῇ καὶ ὑπὸ νόμον ζωῇ, ἀλλ' εἶναι Χριστοῦ, τουτέστι πνευματικούς τε καὶ ἀκηράτους, συγκεφαλαιούμενος τὰ διὰ πλειόνων ἐν τοῖς ἔμπροσθεν εἰρημένα, νουθεσίαν σαφῆ τε καὶ σύντομον ἐπιφέρει λέγων, μὴ χρῆναι τοῦ λοιποῦ τοῖς τῆς σαρκὸς ἑαυτοὺς πάθεσιν ἐκδιδόναι. διατί; εἰ γὰρ κατὰ σάρκα ζῆτε, φησὶ, μέλλετε ἀποθνήσκειν. τῆς γὰρ τοιαύτης ζωῆς, φησὶ, φθορὰ τὸ τέλος ἐστίν. εἰ δὲ πνεύματι

τὰς πράξεις τοῦ σώματος θανατοῦτε, ζήσεσθε. εἰ μέντοι, φησι, κατὰ τὴν ἐνοῦσαν ὑμῖν τοῦ Πνεύματος χάριν σπουδάζοιτε ζῆν, ἀνενεργήτους ἑαυτοὺς πρὸς τὰς τοιαύτας τοῦ σώματος πράξεις διαφυλάττοντες, οἴσεσθε τὴν ἀθανασίαν.

14 Ὅσοι γὰρ Πνεύματι Θεοῦ ἄγονται, οὗτοι εἰσὶν υἱοὶ Θεοῦ.

Γενναδίου. Οἱ γὰρ Πνεύματι Θεοῦ κυβερνώμενοι, τουτέστιν οἱ πνευματικοὶ καὶ οὐ ψυχικοὶ, ἑαυτοῖς ὡς ἀληθῶς τὸ εἶναι υἱοὶ Θεοῦ βεβαιοῦσιν. ἔφη δὲ τοῦτο πρὸς ἀντιδιαστολὴν τῶν ὑπὸ τὸν νόμον χρηματισάντων υἱῶν Θεοῦ, καὶ αὐτῶν διὰ τὴν ὡς πρὸς τοὺς λοιποὺς ἀνθρώπους ἐξαίρετον τοῦ Θεοῦ κηδεμονίαν περὶ αὐτούς. "ἐλάλησας γὰρ ἐν ὁράσει τοῖς υἱοῖς σου," φησι· καὶ "ἐγὼ εἶπα "Θεοὶ ἐστὲ, καὶ υἱοὶ ὑψίστου πάντες." ὡς πρὸς τούτους οὖν ἀντιδιαιρῶν τοὺς κατὰ Χριστὸν, ἔφη, "οὗτοι εἰσὶν υἱοὶ Θεοῦ."

Θεοδώρου. Δῆλον οὖν ὅτι οἱ τοιοῦτοι τὴν μακαρίαν ζωὴν παρὰ τῷ ἑαυτῶν πατρὶ ζήσονται.

15 Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε Πνεῦμα υἱοθεσίας.

Διοδώρου. Τὸν νόμον "πνεῦμα δουλείας" εἶπε, καὶ δούλους τοὺς ὑπὸ τὸν νόμον. τὸ γὰρ ἐπιτάττεσθαι ὑπὸ τοῦ νόμου, καὶ τῆς ἐπιταγῆς ἀμελήσαντας, τιμωρίαν ἀπειληθεῖσαν φοβεῖσθαι, δουλείας[p] σημεῖόν ἐστι. τὸ δὲ ἐπιτραπῆναι πατέρα τὸν Θεὸν ἀποκαλεῖν, διὰ τὴν τοῦ βίου καθαρότητα, υἱοθεσίας ἐλπίδας ἐπαγγέλλεται. εἴτε δὲ δουλείας ἐδόθη πνεῦμα, ἐπ' ἀμφοτέρων ἐστὶ κατὰ τὸ συμφέρον καὶ ἁρμόζον εἰς ἑκάτερον τὸν λαὸν ἐνεργεῖσαν κατὰ τὴν ἀμφοτέρων ἀξίαν.

Θεοδώρου. Τὸ "πάλιν," ὡς πρὸς τὸ "δουλείας" ἀπέδωκεν. ἀναγνωστέον οὖν οὕτως· "οὐ γὰρ ἐλάβετε πνεῦμα·" εἶτα διαστήσαντα ἐπαγαγεῖν χρὴ, "δουλείας πάλιν εἰς φόβον." περὶ γὰρ τῶν ἐν νόμῳ λέγει· καὶ ἐν τῇ πρὸς Γαλάτας, ὅτι μία μὲν ὄρους Σινᾶ εἰς δουλείαν γεννῶσα δούλους τοὺς ἐν νόμῳ, παραθέσει τῶν τοῦ μέλλοντος αἰῶνος καλῶν. ἐπειδὴ οὗτοι μὲν ὑπὸ προστάγματα

[p] Cod. δουλείαν.

ὄντες, ἢ παραβαίνοντες ἐτιμωροῦντο, ἢ φυλάττοντες ἐπαινοῦντο. ὅπερ οὖν τῶν δούλων ἴδιον εἶναι συμβέβηκεν. ἐκεῖνοι δὲ χάριτι τοῦ δεσπότου τῶν μελλόντων ἀγαθῶν κομιζόμενοι τὴν ἀπόλαυσιν, οὐδεμίαν ἔτι μεταβολὴν ὑφορῶνται. ὅπερ οὖν ὑπάρχει τοῖς τέκνοις ἐκ τῶν πατέρων ἔθος. ὥσπερ γὰρ ἐν τῇ πρὸς Τιμόθεον λέγει· "οὐ "γὰρ ἐλάβετε πνεῦμα δειλείας[q]·" οὐχ ὡς ὄντος δειλίας πνεῦμα, ἀλλ' ἀντὶ τοῦ ταῦτα ἐμποιεῖν τὸ πνεῦμα φύσιν οὐκ ἔχει. οὕτως ἐνταῦθα, "οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον·" ἀντὶ τοῦ Πνεύματος μετεσχήκατε, οὐχ ἵνα πάλιν ὑπὸ δουλείαν ἦτε καὶ φόβον κατὰ τοὺς ἐν νόμῳ, ταῦτα γὰρ ἐκεῖναι τοῖς παντελῆ τοῦ Πνεύματος δεξαμένοις τὴν χάριν οὐχ οἷόν τε· λάβετε[r] Πνεῦμα υἱοὺς ἐργαζόμενον Θεοῦ. ὅθεν καλεῖν[s] πατέρα τὸν Θεὸν προαγόμεθα.

Δῆλον γὰρ ὅτι κατὰ τὴν τοῦ Κυρίου παράδοσιν τὴν "Πάτερ "ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς," ἐκάλουν Πατέρα τὸν Θεὸν, οἱ τοῦ βαπτίσματος ἠξιώμενοι. καλῶς δὲ τὸ "ἀββᾶ ὁ πατὴρ," ἐπειδὴ τῶν νηπίων ἴδιόν ἐστι τὸ ἀββᾶ καλεῖν τοὺς πατέρας. νήπιοι δὲ ἔτι κατὰ τὸν παρόντα βίον ἦσαν, οἱ διὰ τοῦ βαπτίσματος ἠξιωμένοι τῆς υἱότητος, τὴν τελείαν καὶ ἀληθῆ ἐπὶ τοῦ μέλλοντος προσδοκῶντες αἰῶνος. τὸ οὖν ἀββᾶ ὁ πατὴρ τέθεικε, τὸ μὲν, εἰς μήνυσιν τῆς προσδοκωμένης τελειότητος· τὸ δὲ, σύμβολον τῆς παρούσης καταστάσεως, ἐν ᾗ νηπίων δίκην, οὐχ ὁλοτελῶς τῆς μετουσίας τῶν ἀγαθῶν κομισάμενοι[t] τὴν ἀπόλαυσιν, περιέμενον τὸ ποτὲ αὐτοῖς προσέσεσθαι κἀκεῖνα ταῖς νῦν ἐπαγγελίαις ἀκολούθως.

Σετηριανοῦ. Ἔνιοι δὲ "πνεῦμα δουλείας" τοῦ πονηροῦ φασὶν, ἀλλ' οὐκ ἔστι. τὸν γὰρ νόμον ὧδε πνεῦμα δουλείας λέγει, καὶ δούλους τοὺς ὑπὸ νόμον. διὸ ὡς τιμωρούμενοι εἰ ἔπταισαν ἐφοβοῦντο. ὅπερ δουλείας ἐστὶ σημεῖον. τὸ δὲ ἐπιτραπῆναι πατέρα τὸν Θεὸν καλεῖν διὰ τὸ τοῦ βίου καθαρὸν, υἱοθεσίας ἐλπίδας ἐπαγγέλλεται. τὸ δὲ αὐτὸ πνεῦμα ἐστὶν ἐπ' ἀμφοτέρων τῶν λαῶν ἐνεργῆσαν τὸ τῆς δουλείας καὶ υἱοθεσίας κατὰ τὸ συμφέρον καὶ ἁρμόδιον κατὰ τὴν ἀμφοτέραν ἀξίαν.

[q] Cod. δουλείας. [r] Leg. ἀλλ' ἐλάβετε sed plura desunt.
[s] Cod. καλεῖ. [t] Cod. κομησάμενοι.

16 Αὐτὸ τὸ Πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν.

Διοδώρου. Ἔδειξε διὰ τούτου, ὅτι καὶ τὴν ψυχὴν πνεῦμα λέγει, ὅταν ᾖ πνευματική. καὶ τὸ χάρισμα τοῦ Πνεύματος Πνεῦμα. τοῦτο οὖν ἐστὶν ὅ φησιν ἀλλαχοῦ. "τὸ γὰρ τί προσ-"ευξόμεθα οὐκ οἴδαμεν· αὐτὸ τὸ Πνεῦμα ἐντυγχάνει ὑπὲρ ἡμῶν "στεναγμοῖς ἀλαλήτοις·" καὶ τοῦτο δὲ δεῖται ἑρμηνείας. ἔστι δὲ τοιοῦτον χάρισμα προσευχῆς ἡ ἐπὶ τῶν Ἀποστόλων. ἐπειδὴ πολλάκις κατὰ τὰ μὴ συμφέροντα αἰτοῦμεν. διὰ τοῦτο ἀνιστάμενός τις ἐπὶ τῶν Ἀποστόλων, ὁ τὸ χάρισμα τῆς προσευχῆς ἔχων ἐπὶ τοῦ λαοῦ τὰ συμφέροντα τὸν Θεὸν ᾔτει, στεναγμοῖς ἀλαλήτοις χρώμενος, ἵνα πρὸς εὐλάβειαν καὶ φόβον πάντας ἑλκύσῃ. καὶ τοῦτό ἐστιν ὅ φησιν ἀλλαχοῦ, "ἕκαστος ὑμῶν ψαλμὸν ἔχει· "προσευχὴν ἔχει." οὐκοῦν καὶ τοῦ ψάλλειν χάρισμα ἦν, καὶ τοῦ προσεύχεσθαι χάρισμα ἦν. συμμαρτυρεῖ δὲ τῷ πνεύματι ἡμῶν, ἐπειδὴ ὑπὲρ ὅλου τοῦ λαοῦ πνεύματι προσηύχετο ὁ ἔχων τὸ χάρισμα. προσευχόμενος δὲ τὸ "Πατὲρ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς" ἔλεγε. διὰ τοῦτο φησὶ, συμμαρτυρεῖ τὸ Πνεῦμα τῆς προσευχῆς τῷ πνεύματι ἡμῶν, ὃ ἔχομεν διὰ τοῦ βαπτίσματος, "ὅτι ἐσμὲν "τέκνα Θεοῦ." κράζει γὰρ τὸ πνεῦμα, τουτέστι τὸ χάρισμα τὸ τῆς προσευχῆς, "ἀββᾶ ὁ πάτηρ."

Θεοδώρου. Αὐτὸ τὸ Πνεῦμα τὸ Ἅγιον συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, ὅτι πνευματικῶς διάγομεν· διὸ καὶ ἐσμὲν τέκνα Θεοῦ. ἐὰν οὖν συμπάσχωμεν τῷ Χριστῷ, τουτέστιν ἐὰν τὰ αὐτὰ πάσχειν αἱρησώμεθα, ἅπερ ὁ Χριστὸς τὴν ἀλήθειαν πρεσβεύων ἔπαθεν ἑκών· ἐὰν διωκόμενοι καρτερῶμεν, καὶ ὅσα ὅμοια πάσχωμεν ὑπὲρ εὐσεβείας, συνδοξασθησόμεθα αὐτῷ, ἐν τῷ γενέσθαι τέκνα Θεοῦ καὶ συγκληρονόμοι Χριστοῦ. τίς δὲ ἡ κληρονομία προείρηται ὀπίσω, ἔνθα ὁ λόγος ἦν περὶ τοῦ, "εἰ γὰρ οἱ ἐκ νόμου κληρονόμοι, κεκένωται ἡ πίστις.

ΚΕΦ. ΙΓ.

Ἐπανάληψις περὶ τῆς ἀποκειμένης τοῖς ἁγίοις δόξης.

17 *Εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξάσθωμεν.*

Κυρίλλου. Κατορθοῦται μὲν οὐ * * * * τὸ ἀγαθόν. πλὴν ἐπὶ μεγάλοις ἐλπίσι τοῖς ἁγίοις ὁ πόνος καὶ τῶν ὑπὲρ νοῦν καὶ λόγον ἡ μέθεξις. οἱ γὰρ τῶν ἐπὶ γῆς ὑπερορῶντες, ἄξιοι καὶ τῶν ἀνωτάτω γερῶν· καὶ οἱ προπονηκότες ἐν ἀνδρείᾳ καὶ ὑπομονῇ, μέλλουσι στεφάνων ἀπολαύειν ἐν ἀσυγκρίτοις ὑπεροχαῖς. μειονεκτεῖται γὰρ ὁ εἰς ἀρετὴν πόνος τῶν μετὰ ταῦτα τιμῶν. δόξαν δὲ λέγει τῶν ἁγίων, ἐπείπερ ἐκλάμψουσιν οἱ δίκαιοι κατὰ καιροὺς ὡς ὁ ἥλιος, ἐν τιμῇ καὶ δόξῃ καὶ ἀφθαρσίᾳ γεγονότες, ἐν τῷ μεταβληθῆναι αὐτῶν τὸ σῶμα, καθὼς μετεμορφώθη ὁ Χριστὸς ἐν τῷ ὄρει.

Γενναδίου. Ἐν τοῖς πρὸ ὀλίγου τῆς ἀντεξετάσεως ἁψάμενος τῆς πρὸς τὰ παλαιὰ, καὶ διὰ τῆς παράλληλα θέσεως αὐτῶν, τὸ ὑπερέχον γνωρίσας τῆς χάριτος· εἶτα ἵνα μὴ διὰ τὸ μέγεθος τοῖς μαθηταῖς ἀμφιβάλοιτο, πιστωσάμενος αὐτὸ τῇ τοῦ Ἁγίου Πνεύματος μετουσίᾳ, μέτεισιν ἐπὶ παράκλησιν ἀκολούθως, καὶ προτρέπει μηδὲν ἀκίνδυνον ὑπὲρ τῶν τοιούτων ἀποδιδράσκειν. σφόδρα χρησίμης καὶ ἀναγκαίας αὐτῷ τῆς περὶ τούτων οὔσης διδασκαλίας· ἄλλως τε καὶ πολλῶν πολέμων ἐν ταῖς ἀρχαῖς τοῦ κηρύγματος ἐπιφερομένων τοῖς μαθηταῖς. χρὴ τοίνυν, φησὶ, τῆς διὰ Χριστοῦ δόξης ὀρεγομένους, ὁμοίως αὐτῷ πρὸς τοὺς ὑπὲρ αὐτῆς ἐνίστασθαι πειρασμούς. ἡ γὰρ τῶν παθημάτων κοινωνία, καὶ τῆς ἀντιδόσεως κοινωνίαν ἐργάσεται. ἐγὼ γοῦν φησὶν, ἐνθυμούμενος, καὶ πάσας ἀντιπαρατιθεὶς τὰς ἐπὶ τοῦ παρόντος θλίψεις αἰῶνος, τοῖς ἐπηγγελμένοις ἡμῖν ἀγαθοῖς ἐν Χριστῷ, μικρὰς καὶ τὸ μηδὲν οὔσας εὑρίσκω.

Θεοδώρου. Τὸ "λογίζομαι" ἀντὶ τοῦ λογισμῷ τῷ προσήκοντι πέπεισμαι τοῦτο οὕτως ἔχειν, ὡς τὸ "λογιζόμεθα οὖν πίστει δικαιοῦσθαι ἄνθρωπον χωρὶς ἔργων νόμου."

19 *Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκαλύψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται.*

ΚΥΡΙΛΛΟΥ. Ἀποκαραδοκία μέν ἐστιν, ἡ ἐλπὶς καὶ ἡ τῆς τῶν πραγμάτων ἐκβάσεως προσδοκία τε καὶ ἐπιτήρησις. ἐκδέχεται γέ μην ἡ κτίσις τὴν ἀποκάλυψιν τῶν τέκνων τοῦ Θεοῦ, οὐκ αὐτή που πάντως εἰδυῖα τὸ ἐσόμενον τοῦ Θεοῦ. πῶς γὰρ, ἢ πόθεν; ἀλλ' ὅτι ταῖς ἀπορρήτοις οἰκονομίαις τοῦ πάντα μεταρυθμίζοντος εἰς τὸ ἄμεινον Θεοῦ, πρὸς τοῦτο ἥξει τὸ τέλος. μεταπλαττομένων γὰρ ὥσπερ εἰς δόξαν ἐξ ἀτιμίας, καὶ ἐκ φθορᾶς εἰς ἀφθαρσίαν τῶν τοῦ Θεοῦ τέκνων, τουτέστι τῶν τὴν εὐδόκιμον κατορθωκότων ζωήν· καὶ αὐτοί που πάντως ἡ κτίσις μεθαρμοσθήσεται πρὸς τὸ ἄμεινον. καὶ πρόσγε τοῦτο ἡμᾶς ὁ θέσπεσιος Πέτρος ἐνδοιάζειν οὐκ ἐᾷ, εἰπὼν, ὅτι καινοὺς οὐρανοὺς καὶ καινὴν γῆν· καὶ τὰ [t] ἐπαγγέλματα αὐτοῦ προσδοκῶμεν.

ΓΕΝΝΑΔΙΟΥ. Τοσοῦτον ἐστὶ, φησὶ, τῆς εἰς ἡμᾶς ἀποκαλυφθησομένης δόξης τὸ περιὸν, ὡς καὶ τὴν ἀποκαραδοκίαν τῆς κτίσεως, τουτέστι τὴν ἄπωθεν αὐτῆς προσδοκίαν δήλην ὑπάρχειν, ὅτι τὴν ἀποκάλυψιν ἐκδέχεται τῶν υἱῶν τοῦ Θεοῦ, διὰ τὸ τέως τὴν ζωὴν ἡμῶν κεκρύφθαι σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ. τὸ μέντοι σύμπαν νόημα, τοιοῦτον ἐστίν. εἰώθαμεν πολλάκις οἱ ἄνθρωποι μετὰ τὰς τῶν πραγμάτων ἐκβάσεις, ὡς σαφῆ ταῖς μνήμαις ἀναλαμβάνειν τὰ πρόσθεν ἡμῖν ἀσαφῆ. οἷόν τι λέγω· πεφώραταί τις ἀγαθόν τι πεποιηκὼς, ἢ πάλιν κακόν. εὐθὺς παριόντες φαμὲν, ἀλλὰ καὶ πόρρωθεν οὗτος τοιοῦτος ὢν κατεφαίνετο, καὶ ἐδείκνυ τῷ σχήματι. καὶ ἐγὼ μὲν αὐτὸν ἐκ τῆσδὲ τῆς ῥήσεως ὅστις ἦν, αὐτίκα μάλα κατέμαθον. καὶ ὅλως τοιαῦτά τινα πρὸς τὴν παροῦσαν πρᾶξιν τῶν παλαιῶν λαμβάνοντες σύμβολα, βεβαιοῦμεν ἑαυτοῖς ἐκ τῶν προτέρων τὰ δεύτερα. τοιοῦτόν τι φησὶ καὶ ὁ Εὐαγγελιστὴς περὶ τῶν μαθητῶν τοῦ Κυρίου, ὅτι οὐ συνίεσαν μὲν τὰ περὶ αὐτὸν οἰκονομούμενα πρότερον· ὅτε δὲ ἀνέστη ἐκ τῶν νεκρῶν, τότε ἔγνωσαν ὅτι ταῦτα ἦν ἐπ' αὐτῷ γεγραμμένα· καὶ ἐπίστευσαν τῇ γραφῇ, καὶ τῷ λόγῳ ᾧ εἶπεν ὁ Ἰησοῦς. κἀνταῦθα τοίνυν ὁ μακάριος Παῦλος πνευματικῇ χάριτι τῆς οἰκονομίας τῆς ἐν Χριστῷ τὴν γνωμὴν παρειληφὼς, καὶ γνοὺς ὅτι ἄνωθεν δέδοκτο

[t] Leg. κατὰ τὰ.

τῷ Θεῷ, καὶ ὅτι ἐξελέξατο ἡμᾶς πρὸ καταβολῆς κόσμου, διδάσκει τὰ τοῖς πρόσθεν ἀπόρρητα. λέγει γὰρ ὅτι αὐτῆς τῆς κτίσεως ἡ τοιουτότροπος διασκεύη προκηρύττει τὸ νῦν πεφηνὸς εὐαγγέλιον, καὶ δήλη καὶ σαφής ἐστι τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ περιμένουσα. ἐπεὶ μηδὲ ματαίως ὄντως ἔκτισε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων.

Διοδώρου. Ἐν τοσαύτῃ φησὶν ἔσεσθαι ἡμᾶς τῶν ἀγαθῶν δωρεᾷ τοῦ Θεοῦ, ὥστε ἡ ἔλπις καὶ ἡ προσδοκία τῆς κτίσεως ἐκδέχεται τῶν υἱῶν τοῦ Θεοῦ τὴν ἀποκάλυψιν· οἷον τὴν κεκρυμμένην αὐτῶν μακαριότητα, μικρὸν ὕστερον ἀποκαλυφθησομένην. ὑπόνοιαν δὲ τοῖς πολλοῖς δίδωσι τὰ γεγραμμένα ὡς ἔμψυχός ἐστιν ἡ ὁρωμένη κτίσις, καὶ λογικήν τινα ἔχειν αἴσθησιν ὁ κόσμος. εἰ γὰρ συστενάζει καὶ συνωδίνει, καὶ τὴν ἀποκάλυψιν ἀπεκδέχεται, δῆλον ὅτι, φησὶ, καὶ συναισθάνεται, καὶ λογισμῷ κινεῖται. οὐχ οὕτω δὲ ἔχει· ἀλλὰ τὰς ἐφεστηκυίας αὐταῖς δυνάμεις, τὰς ταγείσας παρὰ Θεοῦ διέπειν τὴν κτίσιν κατὰ τὴν τοῦ δημιουργοῦ βούλησιν κατὰ τὸ γεγραμμένον, "ὅτε διεμέριζεν ὁ ὕψιστος ἔθνη, ὡς ἔσπειρεν "υἱοὺς Ἀδὰμ, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ." οὕτω δὲ καὶ ἐπὶ τοῦ, "εὐλογεῖτε ψῦχος καὶ καῦμα·" καὶ πάλιν "χάλαζα καὶ χιὼν" καὶ τὰ ὅμοια, ταῖς ἐφεστηκυίαις ἐπὶ τούτων δυνάμεσι λέγεσθαι νοητέον. οὐ γὰρ ἀναισθήτοις ὕλαις παρακελεύεται αἰνεῖν τὸν Θεόν. ὥσπερ γὰρ, "πᾶσα ἡ γῆ προσκυνησάτω "σοι, καὶ ψαλάτωσάν σοι" καὶ ὥσπερ "ὁ Κύριος ἐβασίλευσεν· "ἀγαλλιάσθω ἡ γῆ·" τοὺς ἐπὶ τῆς γῆς ἀνθρώπους λέγει· καὶ "πενθήσει οἶνος, καὶ πενθήσει ἄμπελος," τοὺς ἐφεστηκότας λέγει γεωργούς· οὕτω καὶ νῦν τὴν κτίσιν λέγει τὰς δυνάμεις τὰ; ἐφεστηκυίας ταῖς ἀψύχοις ὕλαις, καὶ αὐτὰς κτιστὰς οὔσας. ὥσπερ στολισμὸς ἀνδρὸς, καὶ γέλως ὀδόντων, καὶ βῆμα ποδὸς ἀναγγελεῖ τὰ περὶ αὐτοῦ.

Θεοδώρου. Καραδοκεῖν λέγεται τὸ ἐλπίζειν· ἀποκαραδοκεῖν τὸ ἀπελπίζειν. ὃ τοίνυν λέγει τοιοῦτόν ἐστιν. ἓν σῶμα τὴν σύμπασαν κτίσιν ἐποίησεν ὁ Θεός. ὅθεν καὶ κόσμος λέγεται πάντα, εἴτε ὁρατὰ, εἴτε ἀόρατα· ὡς ἐν τῇ πρὸς Κορινθίους Ἐπιστολῇ φησὶν, "ὅτι θέατρον ἐγενήθημεν τῷ κόσμῳ καὶ Ἀγγέλοις καὶ ἀν-

" θρώποις." ἐπειδὴ τοίνυν διαφορά τίς ἐστιν ἐν αὐτοῖς, τὸ τὰ μὲν εἶναι ὁρατὰ, τὰ δὲ ἀόρατα· βουλόμενος εἰς ἓν τὰ πάντα συνῆφθαι, πεποίηκε τὸν ἄνθρωπον. ἐξ ὁρατοῦ μὲν συγκείμενον τοῦ σώματος, καὶ συγγενοῦς τῇ φαινομένῃ κτίσει. ἐκ γῆς γὰρ σύγκειται καὶ ἀέρος καὶ ὕδατος καὶ πυρός· ἀοράτου δὲ τῆς ψυχῆς, καὶ οἰκείας τοῖς ἀοράτοις. καὶ δὴ πεποίηκεν αὐτὸν, ὥσπέρ τι φιλίας ἐνέχυρον τοῖς πᾶσι. χρήσιμα μὲν γὰρ αὐτῷ τὰ φαινόμενα, ὡς αὐτῇ τῇ πείρᾳ μανθάνομεν. ἐφεστᾶσι δὲ αὐτοῖς αἱ νοηταὶ φύσεις, πρὸς τὸ ἡμῖν ὠφέλιμον αὐτὰ κινοῦσαι. καὶ τούτου μάρτυς ὁ Ἀπόστολος, περὶ τῆς ἐναντίας λέγων δυνάμεως, " κατὰ τὸν ἄρχοντα τῆς ἐξου-" σίας τοῦ ἀέρος, τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας." ὡς εἶναι δῆλον ἡμῖν, ὅτι πρὸ τῆς παραβάσεως εἰς τοὺς ἐφεστῶτας τῇ τοῦ ἀέρος κινήσει ὁ διάβολος συνετέλει. καὶ μὴν καὶ τοῖς πρὸς διδασκαλίαν τῆς εὐσεβείας εἰς ἡμετέραν ὠφέλειαν ὑπηρετεῖσθαι σύνηθες αὐτοῦ, ὡς καὶ Ἀπόστολός φησιν, " οὐχὶ πάντες " εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ " τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν;"

Ἐντεῦθεν τοίνυν ἀόρατοι φύσεις εἰς οἰκεῖα τίθενται τὰ καθ' ἡμᾶς εὐφραινόμεναι. εἴ δὴ πρὸς τὸ κρεῖττον ῥέπειν ἡμᾶς συμβαίνει. καὶ τοῦτο ἡμᾶς ὁ Κύριος διδάσκει λέγων, " ἐπὶ ἑνὶ ἁμαρ-" τωλῷ μετανοοῦντι καὶ ἀγγέλους χαίρειν ἐν οὐρανοῖς." δῆλον δὲ ὅτι καὶ λύπην αὐτοῖς προξενεῖ τὰ καθ' ἡμᾶς ἐπὶ τὸ χεῖρον διακείμενα. οὐδὲ γὰρ ἂν εὐφραίνοιντο ἡμῶν ἀφισταμένων τῆς τῶν ἀτόπων πράξεως, εἰ μὴ καὶ λύπην αὐταῖς ἐκίνει τὸ μένειν ἡμᾶς ἐπ' ἐκείνων. οὕτω δὴ γνώμης ἔχουσαι περὶ ἡμᾶς, ὡς ἅτε δὴ οἰκεῖον ζῶον καὶ συγγενὲς αὐταῖς, ἡνίκα γεγονὼς ὁ Ἀδὰμ, ἐδέξατο τοῦ Θεοῦ τὸ ἐπίταγμα, ὁμοῦ κἀκεῖνο ἀκούσας, ὡς παραβὰς ἀποθανεῖται, ἐσκόπουν ἥντινα ἄρα τὰ κατ' αὐτὸν τὴν ἔκβασιν λήψεται· καὶ ἐπειδὴ παραβὰς θνητὸς ἐγένετο διὰ τῆς ἀποφάσεως, ἐχωρίζετό τε ὡς εἰκὸς ἡ ψυχὴ τοῦ σώματος, καὶ ὁ μηχανηθεὶς διὰ τοῦ ἀνθρώπου σύνδεσμος τῆς κτίσεως διέλυτο.

Τούτῳ τῷ τρόπῳ ἐσκυθρώπαζον αἱ νοηταὶ φύσεις ἐπὶ τοῖς γιγνομένοις, περὶ ἡμᾶς τε οὐκ εἶχον οἰκείως, ὡς ἂν τοιούτων γεγονότων αἰτίους κακῶν. ὡς δὲ τοῦ χρόνου προϊόντος, οἱ καθεξῆς

ἄνθρωποι μειζόνως ἐπὶ τὸ χεῖρον προβαίνοντες ἐπέσφιγγον ἑαυτοῖς τοῦ θανάτου τὴν ἀπόφρασιν· πάντα μὲν τὰ καθ' ἡμᾶς ἀπεγίνωσκον· μεῖζον δὲ καθ' ἡμῶν ἀνεδέχοντο τὸ μῖσος. ὅθεν οὐδὲ πράττειν ὑπὲρ ἡμῶν ἐβούλοντό τι λοιπόν. τοῦτο μὲν, ὡς ἀλλοτρίους ἑαυτῶν ἀποστρεφόμενοι, τοῦτο δὲ ὡς ἐχθροὺς τοῦ Θεοῦ μυσαττόμενοι.

Τί οὖν ἐπὶ τούτοις ἐγένετο; ἔφησεν αὐτοῖς ὁ Κύριος, ὡς ποιήσει τὴν καθ' ἡμᾶς διόρθωσιν, ἀναστήσας τε ἡμᾶς καὶ ἀθανάτους ἐργασάμενος, ὡς μηκέτι δεδοικέναι[t] *μηδεμίαν πάλιν μεταβολὴν καὶ διάλυσιν τοῦ κοινοῦ συνδέσμου τῆς κτίσεως. ταύτην δεξάμενοι τὴν ὑπόσχεσιν ηὐθύμουν μαθόντες ὡς ἡ θεία χάρις τῶν ἡμῶν ἐπταισμένων ποιήσεται τὴν διόρθωσιν, καὶ φιλοτιμίᾳ πάντα ἡμῖν ἀποδώσει, ὧν ἡμεῖς ἑαυτοὺς διὰ μοχθηρίαν ἀπεστερήσαμεν τρόπου. καὶ μενεῖ μὲν ὁ καθόλου σύνδεσμος διάλυσιν οὐδεμίαν ἐπιδεχόμενος τοῦ λοιποῦ. μενεῖ δὲ ἄρρηκτος καὶ τῇ κτίσει πρὸς ἑαυτὴν ἡ φιλία. ἐντεῦθεν καὶ πράττει ἅπαντα ὑπὲρ ἡμῶν οὐκ ὤκνουν. καίτοιγε ἐν τοῖς χείροσιν ἐξεταζομένων τῇ τῶν μελλόντων ἐλπίδι, διὰ τὴν τοῦ Θεοῦ ἐπαγγελίαν κρατούμενοι. τοῦτο οὖν λέγει, ὅτι ἡ κτίσις τόγε ἐφ' ἡμῖν πολλάκις τὰ καθ' ἡμᾶς ἀπελπίσασα, ταύτην ἀπεκδέχεται τῶν ἁπάντων διόρθωσιν, τὴν προσδοκίαν τῶν μελλόντων, ὅτι ἀναστησόμεθα πάντες εἰς τὸ εἶναι ἀθάνατοι. τὴν γὰρ ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ, λέγει τὴν ἀνάστασιν· καθόλου τὴν υἱοθεσίαν τὴν ἀθανασίαν καλῶν. ἐπειδὴ υἱῶν εἶναι νομίζει Θεοῦ τὸ ἀθανάτους εἶναι. ὅθεν καὶ ὁ Δαβὶδ λέγει, "ἐγὼ εἶπα "θεοὶ ἐστὲ, καὶ υἱοὶ ὑψίστου πάντες·" ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε. ὡς ἂν οὐκ ἔχοντος λόγου τὸ ἀποθνήσκειν τοὺς υἱοὺς τοῦ Θεοῦ χρηματίσαντας.*

ΣΕΗΡΟΥ[u] ἈΝΤΙΟΧΕΙΑΣ. *Προσωποποιεῖται τὴν κτίσιν ὁ κήρυξ τῆς ἀληθείας, παραστῆσαι βουλόμενος τὸ τοῦ πράγματος μέγεθος, καὶ φησὶν ἀποκαραδοκεῖν αὐτὴν, τουτέστι σφοδρῶς προσδοκᾶν τὴν τῆς ἀναστάσεως ἡμέραν, ἥτις ἐστὶν ἡ ἀποκάλυψις τῶν υἱῶν τοῦ Θεοῦ, καὶ ἡ τῶν δικαίων φανέρωσις. καραδοκία γὰρ ἡ ἐπιτεταμένη*

[t] Cod. δεδοκέναι. [u] Cod. Σευηριανοῦ.

τῶν ἐλπιζομένων ἐπιτήρησις εἴρηται. ὡς τὸν προσδοκῶντα μονονουχὶ καὶ ἐπικλίνειν τὴν κεφαλὴν καὶ τοὺς ὀφθαλμοὺς ἐντείνειν, ὡς παραυτίκα ἰδεῖν μέλλων τὸ προσδοκούμενον.

Ἀπολιναρίου. Πᾶσα, *φησὶν, ἡμᾶς ἡ κτίσις ἀναμένει, καὶ τὸν καιρὸν ὁπότε ἐπὶ τῆς προσηκούσης ἡμῖν δόξης ὀφθησόμεθα ποθεῖ. ὡς μηδὲν εἶναι λαμπρότερον τῆς πρὸς ἡμᾶς ἐσομένης εὐδοξίας. ἀκόλουθον δὲ υἱοῖς Θεοῦ τὴν κτίσιν ἕπεσθαι κτῆμα οὖσαν Θεοῦ. ἐλευθέρῳ γὰρ τὸ δοῦλον ἀκολουθεῖ, καὶ υἱῷ τὸ κτῆμα διὰ τὴν εὐγένειαν ὑποτέτακται. καὶ ἡ πρὸς τὸν πατέρα οἰκείωσις τοῖς υἱοῖς ὑποτάττει τὸ δοῦλον. δῆλον δὲ ὅτι κατὰ χάριν ἔχοντες τὸ υἱοὶ εἶναι Θεοῦ, διὰ τὴν τοῦ Πνεύματος, ὡς προείρηκε, μετουσίαν, κατὰ χάριν ἔχομεν τὸ ἡγεμονικὸν ἐν τῇ κτίσει τῇ δόξῃ τοῦ ἀληθοῦς Υἱοῦ δεξάμενοι. ὥστε μὴ εἶναι παρὰ δόξαν τὸ τὴν τοσαύτην καὶ τοιαύτην κτίσιν ἀνθρώποις ὑποτετάχθαι, μικροῖς ἐν τῇ κτίσει φαινομένοις.*

20 Τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη.

Κυρίλλου. Ματαιότητα *ἔνθαδε φησὶ τοὺς ζῶντας ἐν ματαιότητι, τουτέστιν ἐν φρονήματι σαρκικῷ· περὶ ὧν ἂν λέγοιτο καὶ μάλα εἰκότως, "ἄνθρωπος ματαιότητι ὡμοιώθη," καὶ μὴν καὶ ὅτι παρασυνεβλήθη τοῖς κτήνεσιν τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς. ματαιότης γὰρ ἀληθῶς τῶν τοιούτων ὁ βίος. τούτοις ἡ κτίσις ὑποτάσσεται, καὶ οὔτι που πάντως ἑκοῦσα ποτέ. πῶς δὲ δὴ ἄρα καὶ τοῦτο φαμέν; οἶδε μὲν γὰρ ὅλως τῶν καθ' ἡμᾶς ἡ αἰσθητή τε καὶ ὁρωμένη κτίσις. οὐ γάρ ἐστι λογική. ἀλλ' εἰ καί τις δοίη τὸ δύνασθαί τι νοεῖν αὐτὴν, οὐκ ἂν ἠνέσχετο, φησὶ, τῆς οὕτως αἰσχρᾶς δουλείας, οὐδ' ἂν ἠθέλησεν ὑποτετάχθαι τε καὶ ὑπηρετεῖν τοῖς ἐπ' οὐδενὶ τῶν ἀναγκαίων ἤγουν ἀγαθῶν διαβιοῦν ἑλομένοις. ἀλλ' ἐπ' ἐλπίδι, φησὶ, τῶν σωθησομένων καὶ τῶν κατὰ καιροὺς ἁγίων τε καὶ ἐκλεκτῶν ὑποτέτακταί τε, ὡς ὑποζευγνῦντος αὐτὴν τοῦ Θεοῦ, καὶ οἷον τηροῦντος εἰς ἐλευθερίαν τὴν ὑπόγε τοῖς ἁγίοις καὶ τοῖς ἀγαπῶσιν αὐτόν. ἵνα δὴ μόνοις ὑπηρετεῖ[x] τοῖς αὐτοῦ τέκνοις καὶ ταῖς τῶν ἐξειλεγμένων παραβαίσετο[y] χρείαις· ἀλύει μὲν γὰρ μονονουχὶ καὶ ὠδίνουσα καὶ ἀλγυνομένη· καὶ εἴπερ ἦν αὐτῇ τὸ καὶ εἰδέναι τί*

[x] Leg. credo ὑπηρετεῖν. [y] Leg. vid. παραβιάσαιτο.

δύνασθαι τῶν καθ' ἡμᾶς πραγμάτων, τάχα που καὶ ἀνοιμώζουσα. πλὴν τοῖς θείοις εἴκουσα νεύμασι, καραδοκεῖ τρόπον τινὰ τὴν ἀποκάλυψιν, ὡς ἔφην, τῶν υἱῶν τοῦ Θεοῦ.

Γενναδίου. Ματαιότητα λέγει τὸν ῥευστὸν τοῦτον καὶ φθαρτὸν βίον ἡμῶν. ἐπεὶ τίνος χάριν, φησὶν, οὕτω πρὸς τὴν ὑπηρεσίαν τῶν φθαρτῶν ἅπασα συνετείνετο· μὴ ἐπ' ἐλπίδι καὶ προσδοκίαις τοιαύταις ποιεῖν αὐτῇ, τοῦ Θεοῦ τοῦτο νομοθετήσαντος; τὸ δὲ "οὐχ ἑκοῦσα" προσωποποιήσας ἔφη. πολὺ δὲ τοῦτο παρὰ τῇ θεοπνεύστῳ γραφῇ τὸ ἰδίωμα· λέγω τὸ καὶ φωνὰς καὶ ἤθη τοῖς ἀψύχοις περιτιθέναι. ὥσπερ ἀμέλει κἀν τῇ τετάρτῃ τῶν Βασιλειῶν, "ἀπέστειλε γὰρ," φησὶν, "Ἰωᾶς βασιλεὺς Ἰσραὴλ πρὸς "Ἀμεσίαν βασιλέα Ἰούδα, λέγων, ὁ ἀκὰν ὁ ἐν τῷ Λιβάνῳ ἀπέ"στειλε πρὸς τὴν κέδρον τὴν ἐν τῷ Λιβάνῳ λέγων, δὸς τὴν θυγα"τέρα σου τῷ υἱῷ μου εἰς γυναῖκα." ἀλλὰ καὶ ἐν τοῖς Κριταῖς, Ἰωθὰμ ὁ Γεδεῶνος τοῦ καὶ Ἱεροβοὰμ υἱὸς, εἶπε, φησὶ, πρὸς ἄνδρας Σικίμων, "ἐξεπορεύθη τὰ ξύλα τοῦ χρίσαι ἐφ' ἑαυτὰ βασιλέα· "καὶ εἶπον τῇ ἐλαίᾳ, βασίλευσον ἐφ' ἡμᾶς." καὶ ὅλως ἀνάπλεως ὡς ἔφην τῶν τοιούτων ἡ θεῖα γραφή. τὸ οὖν "οὐχ ἑκοῦσα" κατὰ τοῦτο καὶ ὁ Ἀπόστολος ἔφησε τὸ ἰδίωμα. ἢ καὶ διὰ τοὺς Ἀγγέλους τυχὸν, ἵνα ἀπὸ τοῦ κρείττονος ὡς περὶ πάσης αὐτῆς ᾖ τὸ λεγόμενον.

Θεοδώρου. Ἀμέλει, φησὶν, οὐδὲν ἔτι ποιεῖν ὑπὲρ ἡμῶν οἱ Ἄγγελοι ἀνεχόμενοι, διὰ τὴν ἐπαγγελίαν ταύτην εἵλαντο πάντα ποιεῖν. καίτοιγε περὶ τὰ μάταια ἡμῶν ἀσχολουμένων, τοῦτο κατὰ τὴν τοῦ Θεοῦ ἐπαγγελίαν ἀπεκδεχόμενοι, τὸ πάντα ἀπαλλαγῆναι φθορᾶς, καὶ μεταβολῶν καὶ τροπῆς. ἐπειδὰν καὶ ἡμεῖς ἀξιωθέντες τῆς ἀναστάσεως, ἀθάνατοι τῇ τοῦ Θεοῦ δυνάμει γινόμεθα.

21 Ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς.

Γενναδίου. Ἀνέχεται μέντοιγε νῦν φησὶν, ὡς καὶ αὐτὴ τῆς ἡμετέρας ἐλευθερίας συναπολαύουσα. παύσεται γὰρ τηνικαῦτα λοιπὸν δουλεύουσα τῇ φθορᾷ. τουτέστιν οὔτε ἡμῖν ἔτι φθαρτοῖς οὖσιν ἐξυπηρετήσεται. ἴσμεν γὰρ ὅση νῦν ἡ τῶν στοιχείων κτίσις ἀλλοίωσιν ὑφίσταται καὶ φθοράν. καὶ μὴν καὶ τοὺς Ἀγγέλους

ὅτι μήπω φύσει τὸ ἄτρεπτον ἔχουσιν ἐπιστάμεθα· οὐκ ἀπὸ τῶν ἐκπεπτωκότων μόνον, καὶ διὰ τοῦτο πεσόντων ἐξ οὐρανοῦ, ἀλλὰ καὶ ἀφ' ὧν Παῦλος ἔφη περὶ αὐτῶν ὡς ἐνδεχομένων τὸ ἁμαρτεῖν· "κἂν γὰρ ἡμεῖς," φησὶ, "κἂν Ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζε-"ται ὑμᾶς παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω."

Διοδώρου. Τῆς ὑλώδους φύσεως δεδουλωμένης τῷ πονηρῷ, καὶ ἐπιβουλευομένης ὑπ' αὐτοῦ πολλάκις κατὰ συγχώρησιν Θεοῦ, ὥστε καὶ λιμοὺς καὶ λοιμοὺς καὶ νόσους καὶ πολέμους καὶ ἄλλας φθορὰς ὑπ' αὐτοῦ κατασκευάζεσθαι. καὶ γὰρ οἶκος τῶν ἐνοικούντων ἀσεβῶς διαγόντων, ἔχειν χώραν τὸν πονηρὸν, ὡς ἰδίων κατεπιβαίνειν· καὶ ἐπὶ τῇ αὐτῶν κακώσει τὰ περὶ αὐτοὺς στοιχεῖα κακοῦν. ὧν γενομένων, αἱ ταγεῖσαι ἐπὶ τῇ εὐταξίᾳ τῆς κτίσεως δυνάμεις στενάζουσι καὶ ὠδίνουσι, καὶ τὴν ἐλευθερίαν τοῦ ἀνθρώπου διαμένουσιν. ᾧ καὶ ἡ κτίσις συνελευθερωθεῖσα, τῆς τοῦ διαβόλου ἐξουσίας ἀπαλλαγήσεται. τὸ οὖν ταῖς λογικαῖς δυνάμεσι συμβαῖνον, τοῦτο τῇ ἀψύχῳ περιτέθεικεν ὕλῃ, ὡς καὶ νῦν φαμὲν, ἡ οἰκία θορυβεῖται, ἡ πόλις ἀγανακτεῖ, ἡ χώρα ὀργίζεται· ἐκ τῶν διοικουμένων καὶ περιπολουμένων τόπων, τοὺς διοικοῦντας καὶ περιπολοῦντας πολλάκις σημαίνοντες.

Καὶ καθ' ἕτερον δὲ λόγον ἡ κτίσις ἐκδέχεται ἐλευθερωθῆναι ἀπὸ τῆς δουλείας τῆς φθορᾶς. ἐπεὶ τῇ τοῦ διαβόλου κατασκευῇ ἄκουσα προσκυνεῖται ὑπὸ τῶν συνδούλων αὐτῆς. ἐσεβάσθησαν γὰρ καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα, ὥστε τῆς δεσποτικῆς ἀκουσίως ἀπολαύουσα τιμῆς, βάρεως φέρει τὸ γινόμενον, καὶ ὠδίνει καὶ ἄχθεται πρὸς τὴν τῶν ἀνθρώπων ματαίαν προσκύνησιν, καὶ ἐπιθυμεῖ τῆς τούτων ἀπαλλαγῆς. φησὶ δὲ ὅτι οὐδὲ ἐξ ἀρχῆς ἑκοῦσα οὐδὲ αὐτομολήσασα πρὸς τὸν διάβολον ὑπετάγη αὐτῷ. ἀλλ' ὑπετάγη συγχωρήσαντος τοῦ Θεοῦ· καὶ ὑπετάγη ἐπ' ἐλπίδι μελλούσῃ. ποιᾷ; ταύτῃ, ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται. πότε δὲ ἐλευθερωθήσεται; εἰς τὸν καιρὸν τῆς ἐλευθερίας τῶν δικαίων· διὸ εἰκότως "ἡ καραδοκία τῆς κτίσεως, τὴν ἀποκάλυψιν "τῶν τέκνων τοῦ Θεοῦ ἀπεκδέχεται."

Θεοδώρου. Ἀπαλλάττονται γὰρ, φησὶ, τότε καὶ αὐτοὶ τοῦ ὑπηρετεῖσθαι φθοριμαίοις πράγμασιν, ἐπειδὰν ἡμεῖς ἀθάνατοι

γενώμεθα· καὶ τὰ πάντα ἀπαλλαγῇ τοῦ τρέπεσθαι· ἐπεὶ μηδὲ ἔστι τοῦ λοιποῦ τὸ συναναγκάζον αὐτοὺς πρὸς τὴν τούτων ὑπηρετεῖσθαι κίνησιν.

22 Οἴδαμεν γὰρ ὅτι πᾶσα ἡ κτίσις συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν.

Γεννadίου. *Γνώριμός ἐστιν ἅπασί, φησιν, ἡ φύσις τῆς κτίσεως συνταλαιπωρουμένη τέως ἡμῖν, καὶ οἷον ἡ*[x] *κατεπείγουσα καὶ προευτρεπιζομένη πρὸς τὴν κοινὴν ἀναγέννησιν.*

Θεοδώρου. *Καλῶς οὐκ εἶπε στενάζει καὶ ὠδίνει, ἀλλὰ "συστενάζει καὶ συνωδίνει." ἐπειδὴ καὶ τὸ "πᾶσα ἡ κτίσις" ἐνταῦθα προσέθηκεν. ἄνω "ἡ κτίσις" εἰρηκὼς μόνον. βούλεται δὲ εἰπεῖν ὅτι συμφώνως ἐπιδείκνυται τοῦτο πᾶσα ἡ κτίσις· ἵνα καὶ τὸ παρὰ πάσης τὸ αὐτὸ γίνεσθαι ὁμοίως, παιδεύσῃ τούτους τὴν πρὸς ἅπαντας κοινωνίαν αἱρεῖσθαι τῇ τῶν λυπηρῶν καρτερίᾳ. πῶς δὲ πᾶσαν ἔφη τοῦτο ὑπομένειν τὴν κτίσιν; τὰς μὲν ἀοράτους ὡς εἰκὸς, ἅτε δὴ λογικὰς καὶ τῶν γινομένων ἐχούσας τὴν αἴσθησιν· τὰς δὲ ὁρατὰς, τῇ κοινωνίᾳ τοῦ πράγματος.*

23 Οὐ μόνον δὲ, ἀλλὰ καὶ αὐτοὶ τὴν ἀπαρχὴν τὴν πνεύματος ἔχοντες, καὶ ἡμεῖς αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν.

Κυρίλλου. *Δέδεται πρὸς ἀπόδειξιν τῶν εἰρημένων τὸ ἐν ἡμῖν γίνεσθαι πεφυκός. αὐτοὶ γὰρ ἡμεῖς, φησὶν, οἱ τὴν ἀπαρχὴν τοῦ Πνεύματος ἔχοντες, στενάζομεν βαρούμενοι, υἱοθεσίαν ἀπεκδεχόμενοι τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν. ἀληθὲς γὰρ ὅτι φθαρτὸν σῶμα βαρύνει ψυχὴν, καὶ βρίθει τὸ γεῶδες ὀκήνος*[y] *νοῦν πολυφρόντιδα. γεγονότος δὲ ἅπαξ ἐν ἡμῖν τοῦ Πνεύματος, καὶ μεταστοιχειοῦντος ἡμᾶς εἰς ἔφεσιν ἀρετῆς, ἀντεξάγει ὥσπερ ἡ φιλοσαρκία ἰξοτοῖς*[z] *μέλεσιν ἡμῶν ἐγκατασκήψας νόμος*[a] *ἀεὶ καταφεύγων εἰς ἐκτόπους ἡδονὰς, ἀπηνῶς ἀντανίσταται. ταύτητοι στενάζομεν τὴν τοῦ σώματος ἡμῶν ἀπολύτρωσιν. ἔσεσθαι δὲ προσδοκῶ*[b] *τὸ σῶμα πνευματικὸν, τουτέστιν ἀποβεβληκὸς εἰς ἅπαν φρόνημα τὸ σαρκικὸν καὶ*[c] *γεῶδες, καὶ τῆς ἁμαρτίας τὸ*

[x] Leg. οἱονεί. [y] Leg. σκῆνος. [z] Fors. καὶ τοῖς. [a] Leg. νόσος.
[b] Leg. προσδοκῶμεν. [c] Cod. νὺξ.

κέντρον. τοῦτο εἶναι φαμὲν τὸ σῶμα τὸ πνευματικόν. εἰ δὲ τῆς υἱοθεσίας ἡ χάρις τὴν τοῦ σώματος ἡμῶν ἀπολύτρωσιν ἔχει, μηδέ τινες ὅλως συκοφαντείτωσαν τὴν ἀνάστασιν· μήτε μὴν εἰς τοῦτο ἡκόντων ἀσεβείας, ὡς ἀπόβλητον μὲν ποιεῖσθαι τὴν σάρκα καὶ ἀφαντισθήσεται λέγειν εἰς ἅπαν αὐτὴν πεσοῦσαν εἰς γῆν. ἀντανίστασθαι δὲ ὥσπερ ἕτερόν τι πνευματικὸν, ἰσχνόν φημι καὶ ἀερῶδες[z]*· νοοῦσι γὰρ ὧδε τὸ πνευματικὸν αὐτοί.*

Γενναδίου. *Τί περὶ τῆς κτίσεως ταῦτα λέγω; φησίν· ἀλλ' ἡμεῖς αὐτοὶ τὸ κεφάλαιον τῆς δημιουργίας· καὶ δι' οὓς καὶ μεθ' ὧν τὰ πάντα ἀνακαινίζεται, δεδεγμένοι τὴν τοῦ Πνεύματος ἀπαρχὴν, τοσοῦτον τῶν μελλόντων εἰλήφαμεν πόθον, ὥστε ἀσχάλλομεν πρὸς τὴν μέλλησιν, καὶ ῥαδίως οὐχ ὑποφέρομεν τὴν ἀναβολήν· ἀλλὰ κομίσασθαι τὸ πᾶν ἤδη γλιχόμεθα. καὶ τὴν υἱοθεσίαν δηλῶν, τὴν ἀπολύτρωσίν, φησι, τοῦ σώματος ἡμῶν ἐπιθυμοῦμεν, τουτέστιν ἀπολυθῆναι τὸ ἡμέτερον σῶμα φθορᾶς καὶ ἁμαρτίας καὶ θανάτου ποτέ. ἐπειδήπερ ἐν τοῖς ἀνωτέροις μὲν ὡς ἤδη τῆς θνητότητος τὴν εὐχαριστίαν ἀνέκραγεν, ἐνταῦθα πάλιν ὡς οὔπω τούτου τετυχηκὼς, ἀλλ' ἔτι τυχεῖν ἐφιέμενος προστίθησι· "τῇ γὰρ ἐλπίδι ἐσώθημεν· "ἐν ἐλπίσιν ἔτι, φησὶ, τὰ τῆς σωτηρίας ἡμῶν.*

Διοδώρου. *Οὐ μόνον, φησὶν, ἡ κτίσις στενάζει καὶ ὠδίνει τὴν ἐλευθερίαν διὰ τοῦ Πνεύματος ἀπεκδεχομένην, ἀλλὰ καὶ ἡμεῖς, καίτοι ἤδη τὰς ἀπαρχὰς τοῦ Πνεύματος εἰληφότες, καὶ πειρασθέντες αὐτοῦ τῆς εὐεργεσίας. εἰ καὶ μηδέπω τὸ τέλειον τῆς ὑποσχέσεως εἰλήφαμεν. ὅ ἐστιν ἡ υἱοθεσία διὰ τῆς τοῦ σώματος ἀπολυτρώσεως.*

Διοδώρου. *Οὐδέπω γάρ, φησι, τῆς ἀναστάσεως τετυχήκαμεν· ἀλλὰ δεξάμενοι τὴν ὑπόσχεσιν ταῖς ἐλπίσι ψυχαγωγούμεθα.*

Γενναδίου. *"Ἐν ἐλπίδι," φησὶν, "ἐστὶ τὰ τῆς σωτηρίας "ἡμῶν."*

Θεοδώρου. *Σωτηρίαν καλεῖ τὴν παντελῆ τῶν κακῶν ἀπαλλαγήν· ἥτις αὐτοῖς ἐπὶ τοῦ μέλλοντος αἰῶνος προσγίνεσθαι ἔμελλε. ταῦτα τοίνυν, φησὶ, βεβαίως ἐλπίζειν ὅτι πρόσεσται ἡμῖν, ἐπὶ τοῦ παρόντος εἰλήφαμεν βίου.*

[z] Cod. ὁ ἐρῶδες in marg. ἴσως γρ. ἀερῶδες.

24 Ἐλπὶς δὲ βλεπομένη οὐκ ἔστιν ἐλπίς.

Θεοδώρου. Εἰ μὲν γὰρ ἀπελαύομεν ἤδη τῶν προσδοκωμένων, φησὶν, ὑπ' ὄψιν ἔκειτο πάντως τὴν ἡμετέραν. περὶ δὲ τῶν φαινομένων ἐλπίζειν οὐδαμῶς ἐδεόμεθα. ἐπειδὴ δὲ ἐλπίζομεν περὶ αὐτῶν ὡς οὐ φαινομένων, εἰκότως, ἀνάγκη ἅπασαν τὴν ἔκβασιν αὐτῶν περιμένοντας, ὑπομένειν ἅπαν ὅτι ἂν καὶ παθεῖν ὑπὲρ ἐκείνων δέοι.

Ὠριγένους. Ἀνθ' οὗ ἐν ἄλλοις εὕρομεν· ἀντὶ τοῦ "ὃ γὰρ βλέ-"πει" μέγα δὲ ποιεῖ ὁ ἐλπίζων εἰς μὴ βλεπόμενον· καὶ δι' ἐκεῖνο τὸ τετάσθαι τὸν νοῦν αὐτοῦ πρὸς αὐτὸ, πᾶν ὁτιποτοῦν ὑπομένων.

26 Ὡσαύτως καὶ τὸ Πνεῦμα συναντιλαμβάνεται.

Κυρίλλου. "Στεναγμοῖς ἀλαλήτοις ἐντυγχάνει ὑπὲρ ἡμῶν," τὸ ἡμῶν δηλονότι πνεῦμα· στενάζομεν γὰρ ἔσθ' ὅτε, τὰς πρὸς τὸν Θεὸν ἱκετείας ποιεῖσθαι σπουδάζοντες· οὐκοῦν ἐν Ἁγίῳ Πνεύματι καὶ τοῦτο μανθάνομεν. σοφὸν γάρ ἐστι καθάπερ καὶ ὁ εἷς. ἐπειδὴ δὲ φησὶ, τὸ "τί προσευξόμεθα καθὸ δεῖ οὐκ οἴδαμεν," ἐκεῖνο ζητήσωμεν. καίτοι τὸ τίνα δεῖ[a] τρόπον προσεύξεσθαι δεῖ, προπεπαιδεύμεθα παρὰ Χριστοῦ λέγοντος ἐναργῶς· "οὕτως οὖν ὑμεῖς "προσεύχεσθε, Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ "ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, "ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς," καὶ ὅσα τούτοις ἐστὶν ἐφεξῆς. ὅτε τοίνυν ἐγνώκαμεν καθ' ὃν ἂν πρέποι τρόπον ποιεῖσθαι τὰς ἱκετείας, τίς ἂν γένοιτο λόγος τῶν ἀποστολικῶν γραμμάτων, ἢ ὅποιπερ ἂν βλέποιτο διὰ τῆς τοῦ Παύλου φωνῆς; φαμὲν οὖν ὅτι προσευξόμεθα μὲν τὴν τῶν ἀγαθῶν ζητοῦντες αἴτησιν, καὶ πρόγε τῶν ἄλλων τὰ εἰς δόξαν Θεοῦ, καὶ τὰ δι' ὧν ἂν γένοιτο βιῶναί τε ὀρθῶς, καὶ τὴν εὐδόκιμον ἀληθῶς κατορθῶσαι ζωήν. "τὴν δὲ ἀπαρ-"χὴν τοῦ Πνεύματος ἔχοντες καὶ αὐτοὶ στενάζομεν ἐν ἑαυτοῖς, "υἱοθεσίαν ἀπεκδεχόμενοι, τὴν ἀπολύτρωσιν τοῦ σώματος." καὶ ὡς ἔν γε τούτῳ τῷ μέρει τὸ "τί προσευξόμεθα, καθ' ὃ δεῖ οὐκ "οἴδαμεν." εἰ γὰρ "ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ "ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγα-"πῶσι αὐτὸν," τί προσιόντες αἰτήσομεν; ἢ πῶς ἂν ἐδειημα[b] καὶ

[a] Leg. δή.

[b] Sic Cod. fors. εἰδείημεν ἃ καὶ οὐ τεθ.

τεθεάμεθα· μᾶλλον δὲ καὶ τὰ ἐπέκεινα νοῦ, καὶ ταῖς ἀνθρώπων καρδίαις οὐκ ἐγνωσμένα; ποία δ' ἂν γένοιτο καὶ ἡ τοῦ σώματος ἀπολύτρωσις; ἢ τίς ὁ μετάπλασμος; ἀναστοιχειοῦται δὲ ὅπως εἰς ἀφθαρσίαν καὶ δόξαν, αὐτὸς ἂν εἰδείη καὶ μόνος ὁ τούτων τεχνήτης.

Ἔφη δέ που πρός τινας τοῦ Σωτῆρος ὁ μαθητὴς, καθ' ὃ δεῖ προσεύχεσθαι μὴ εἰδότας, αἰτεῖτε καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε, ἵνα ἐν ταῖς ἡδοναῖς ὑμῶν δαπανήσητε. οὐκοῦν πρέπει ἂν καὶ μάλα εἰκότως τοῖς ὧδε διακειμένοις εἰπεῖν τὸ "τί προσευξό-"μεθα καθ' ὃ δεῖ οὐκ οἴδαμεν." ἀλαλήτοις δὴ οὖν στεναγμοῖς αἰτοῦμεν ἐν πνεύματι, ἃ καὶ ὅτι μὲν ἔσται πεπιστεύκαμεν· τίνα δὲ τρόπον, ἀγνοοῦμεν παντελῶς. ἡ μὲν φύσις ἡμῶν, φησιν, ἐστὶν ἀσθενὴς, καὶ τὸ καθ' αὐτὴν ἀρνουμένη τὸ αὖθις ἀναμώσεσθαι· τὰ δὲ ἐπηγγελμένα μεγάλα τε καὶ θεῖα καὶ οἷον μηδενὶ [b] χωρηθῆναι δυνάμενα, μηδ' ὅλως ἐπὶ ἀνθρώπου καρδίαν ἀνέβη ποτέ. ἀλλ' ὅμως πρὸς πίστιν τούτων τῶν τηλικούτων οὐ μικρὰν ἐπικουρίαν ἀπὸ τοῦ Πνεύματος ἔχομεν. ταῦτα γὰρ καὶ αἰτήσεως κρείττονα, καὶ περὶ ὧν οὐκ ἴσμεν οὐδὲ ὅπως εὔξασθαι χρή. ἵνα εἴπῃ τὰ καὶ ὑπὲρ νοῦν ἀνθρώπινον καὶ ὑπὲρ εὐχὴν ταῦτα ἡμῖν ἡ δεδομένη τοῦ Πνεύματος χάρις ἀπορρήτως εἰσπράττεται· καὶ δίδωσιν ἡ ἀπαρχὴ θαρρεῖν περὶ τοῦ παντός. ὥσπερ γὰρ οἱ ἐπὶ τῶν γάμων ἀρραβῶνες, οἷς ἀλλήλοις οἱ γαμοῦντες δίδωσιν, ἐγγυῶνται τὰ μετὰ ταῦτα, καὶ προφερόμενοι τὰς ἐφ' οἷς δέδονται συνθήκας ἐπὶ πέρας ἀχθῆναι καταναγκάζουσιν· οὕτως οἶμαι καὶ ἡ ἀπαρχὴ τοῦ Πνεύματος, τουτέστι τὸ μερικὸν τοῦ Πνεύματος χάρισμα, ὅ ἐστιν ἀρραβὼν τῆς κληρονομίας ἡμῶν, τὴν ἐπὶ καιροῦ δοθησομένην καθόλου χάριν ἡμῖν βεβαιοῖ. δέον οὖν ἄρα, τοὺς ὑπὲρ αὐτῆς πόνους μὴ ἀποφεύγειν. τὸ δὲ ἐντυγχάνειν μεταφορικῶς εἶπεν ἀπὸ τοῦ καὶ ἡμῶν τὰς χεῖρας ταῖς πρὸς ἀλλήλους ἐντυχίαις ἀνύεσθαι.

Θεοδώρου. Σχηματισμός ἐστι κατὰ τὸ σύνηθες τῇ θείᾳ γραφῇ τὸ εἰρημένον, ὡς ἑτέρου φαίνεσθαι τῷ προχείρῳ, μᾶλλον ἢ ὃ βούλεται λέγειν. λέγει μὲν γὰρ ὅτι ἡμεῖς οὐδὲ προσδοκᾶν ἐκεῖνα κατάγε τὴν τῆς φύσεως ἀκολουθίαν δυνάμεθα, ἀλλ' ἡ τοῦ Πνεύ-

[b] Cod. οἷ μηδενὸς.

ματος χάρις, ἧς τὴν ἀπαρχὴν ἐνταῦθα εἰλήφαμεν, ἀναμφιβόλως ἡμῖν ἐγγυᾶται τὴν μετουσίαν ἐκείνων· ἐσχημάτισε δὲ οὕτως. ἃ προσδοκῶμεν, ταῦτα καὶ αἰτοῦμεν παρὰ Θεοῦ. ἃ δὲ μὴ δυνατὸν ἐλπίσαι λαβεῖν, ταῦτα οὐδ' ἂν αἰτῆσαι ποτὲ ἀνασχοίμεθα. τὸ οὖν μὴ δύνασθαι προσδοκᾶν ἐκεῖνα, τὸ μὴ εἰδέναι καθ' ὃ δεῖ προσεύξασθαι περὶ αὐτῶν ἐκάλεσεν. ἐπειδὴ, ὡς ἔφην, ταῦτα οὐδ' ἂν αἰτήσειέν τε ἃ μηδενὶ λόγῳ δύναται προσδοκᾶν. τὸ δὲ τῇ τοῦ Πνεύματος δυνάμει πάντως αὐτοῖς αὐτὰ περιέσεσθαι ἐλπίζειν, τὸ Πνεῦμα ἐντυγχάνειν ἔφη. ἐπειδὴ γὰρ ἀρχῇ (sic) *πολλάκις λαμβάνομεν ἐκεῖνα ἃ μηδαμῶς ἑαυτοῖς περιποιῆσαι δυνάμεθα, ἐνετίθη δὲ αὐτοῖς καὶ τὸ πιστεύειν περὶ μελλόντων ἡ ἐπὶ τοῦ πάροντος βίου τοῦ Πνεύματος δόσις· αὐτό φησι τὸ Πνεῦμα ἐντυγχάνει ὑπὲρ ἡμῶν. ἵνα εἴπῃ ὅτι τοῦτο ἡμῖν ἐκείνων αἴτιον, ὃ ὥσπερ ἐν ἀρραβῶνος τάξει κατὰ τὸν παρόντα βίον ἡμῖν δοθὲν, ἀναγκαίως καὶ περὶ τοῦ τελείου πιστεύειν ποιεῖ. ὅθεν ἵνα μὴ νομίσῃς περὶ εὐχῆς λέγειν αὐτὸν ἀληθῶς, ἐπήγαγε, "στεναγμοῖς "ἀλαλήτοις," ἵνα εἴπῃ ὅτι ἀπορρήτῳ τρόπῳ ἐκεῖνα ἐφέλκεται. τὸ γὰρ ἐπὶ ταῖς μελλούσαις ἐπαγγελίαις κατά γε τὸν παρόντα βίον δεδομένον ἡμῖν παρέχεται πάντως ἡμῖν ἐκεῖνα. καὶ τὸ "στεναγ-"μοῖς" δὲ ἀκολούθως τῷ σχηματισμῷ ὡς ἐπὶ εὐχῆς ἔφη. ἐπειδή πως μετὰ στεναγμῶν εὐχόμενοι, ἀκούεσθαι νομίζονται μᾶλλον. ὡς ἂν συντονώτερον ποιούμενοι τὰς δεήσεις. οὕτω καὶ ἀνωτέρω περὶ τῆς κτίσεως ἔφη τὸ στενάζειν καὶ περὶ ἡμῶν, ὅτι στενάζομεν· στεναγμὸν ἁπανταχοῦ τὴν προσδοκίαν ἐκείνων καλέσῃς· ὥσπερ οὖν κἀνταῦθα ἔφη τὸ Πνεῦμα μετὰ στεναγμῶν ἐντυγχάνειν. ὡς ἂν παρέχον ἡμῖν ἐκεῖνα καὶ προσδοκᾶν ἃ τῶν παρασκευαζόντων τὴν ἔκβασιν οἰ(μ)κου*[c] (sic). *ὡσαύτως δὲ καὶ τὸ Πνεῦμα φροντίσει που. εἰ δὲ ἀμελεῖς, ἀμεληθήσῃ.*

Τοῦ αὐτοῦ. *Τοῦτο οὖν ὁ Διάκονος πληροῖ, ταῦτα λιτανεύων.*

Ὠριγένους. *Τουτέστιν ἂν πληροῖ τὰ τῆς ἡμετέρας ἀσθενείας ἀντιλαμβανόμενον αὐτῆς. ἅμα δὲ μανθάνομεν ὅτι πᾶσιν ἀνθρωπίνη φύσις διὰ τούτων δεδήλωται.*

Τοῦ αὐτοῦ. *Ἐν δεισεξαριθμήτ(οις)ους*[d] *τὸ Πνεῦμα ἀντιλαμβάνεται*

[c] Œcumenii ut vid. est notula. [d] Fort. leg. *ἐν δεήσεσι δυσεξαριθμήτοις.*

τῇ ἀσθενείᾳ ἡμῶν. οὐκ ἔλαττον δὲ καὶ ἐν τῷ προσεύχεσθαι ἡμᾶς, ἐπὰν διαβαίνωμεν ὥστε προσεύχεσθαι. τότε γὰρ τί προσευξώμεθα καθ' ὃ δεῖ οὐκ εἰδότες, ἀντιλαμβανομένου τοῦ Πνεύματος τῆς ἐν ἡμῖν ἀσθενείας, διὰ τὴν ἀπὸ τούτου βοήθειαν, προσευχόμεθα πνεύματι· εἶτ' ἐφεπομένου αὐτῷ βοηθοῦντι τοῦ νοῦ, προσευχόμεθα καὶ τῷ νοΐ. ἐλλειπὴς δὲ ἡ εὐχὴ τοῦ μὴ προσευχομένου ἀμφοτέροις· ὡς δῆλον ἐκ τοῦ, "ἐὰν γλώσσαις λαλῶ, τὸ πνεῦμά μου προσεύχεται· ὁ δὲ νοῦς μου ἄκαρπός ἐστιν." ἵνα οὖν μὴ ἄκαρπος ᾖ ὁ νοῦς, "προσεύξομαί," φησι, "τῷ πνεύματι, προσεύξομαι καὶ τῷ νοΐ.

27 Ὁ δὲ ἐρευνῶν τὰς καρδίας, οἶδε τί τὸ φρόνημα τοῦ πνεύματος, ὅτι κατὰ Θεὸν ἐντυγχάνει ὑπὲρ Ἁγίων.

Γενναδίου. Οὐκ ἄγνοιαν ἀλλὰ τὴν ἀκριβῆ τοῦ Θεοῦ γνῶσιν τῶν καθ' ἡμᾶς διὰ τῆς "ἐρευνῶν" ἐσήμανε λέξεως. ἐπειδὴ καὶ ἡμεῖς ἐρευνῆς ταῦτα καὶ πλείονος ἀξιοῦμεν ζητήσεως, ἅπερ ἂν ἀκριβῶς μαθεῖν βουληθείημεν. τούτῳ προσέοικε κἀκεῖνο "τὸ "Πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ·" καὶ τὸ παρὰ τῷ προφήτῃ Σοφονίᾳ, "ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγει ἢ ἐξερευνήσω "τὴν Ἱερουσαλὴμ μετὰ λύχνου." Θεὸς οὖν φησὶν, ὁ σαφῶς τὰ πάντα τῶν ἀνθρώπων εἰδὼς, οὐ δὲ τὸν σκοπὸν τοῦ πνεύματος ἡμῶν ἀγνοεῖ, ἀλλ' οὐδὲν ὅτι κατὰ τοῦ αὐτοῦ βούλημα ἐφ' ᾧ δέδωκεν αὐτό· τοῦτο γάρ ἐστι τὸ "κατὰ Θεὸν," πρὸς αὐτὸν ποιεῖται τὴν ἔντευξιν. ὥστε τυχεῖν τοὺς οἷς πρὸς σὲ τὴν ὁλόκληρον τῆς ἁγιότητος. τουτέστιν ὅτε αὐτοῖς διὰ τῆς ἀναστάσεως εἰς ἀθάνατον καὶ ἀπαθῆ καὶ παντελῶς ἀνόλεθρον μεταστῆναι ζωήν. εἰδὼς δὲ τοῦτο, μὴ πληρώσῃ τὴν δωρεάν.

Θεοδώρου. Ἐνταῦθα βούλεται εἰπεῖν, ὅτι ταῦτα ἡμῖν παρασχεθήσεται ὑπὸ τοῦ Πνεύματος, γνώμῃ Θεοῦ· ὃς ἐπειδὴ ἠβουλήθη τὴν ἀπαρχὴν ἡμᾶς τοῦ Πνεύματος ἐπὶ τοῦ παρόντος κομίσασθαι βίου, ἀναγκαίως παρέξει κακεῖνα, ὧν ἐπ' ἐλπίδι ταύτην ἐκομισάμεθα. ἐπεὶ δὲ ἐσχημάτισεν ὡς ἐπὶ εὐχῆς τὸ διὰ τῆς ἐνταῦθα ἀπαρχῆς τοῦ Πνεύματος, ἀναγκαίως ἡμᾶς προσδοκᾶν καὶ τὰ μέλλοντα, ἀναγκαίως ἐπήγαγεν, ὅτι καὶ ὁ Θεὸς εἰδὼς τὸ βούλημα τοῦ Πνεύματος, καὶ ὅτι κατὰ γνώμην αὐτοῦ τὰς αἰτήσεις ποιεῖ-

ται, ἐπινεύει τῇ προσευχῇ. καλῶς δὲ καὶ τὸ ὑπὲρ ἁγίων, ἵνα εἴπῃ τῶν πρὸς τοῦτο ἀφωρισμένων, καὶ μετεσχηκότων ἤδη τοῦ Πνεύματος. ἐντυγχάνειν δὲ τὸ Πνεῦμα τὸ χάρισμα λέγει τὸ ἐπὶ τοῦ παρόντος ἡμῖν δεδομένον βίου. καὶ ἀπαρχὴν τοῦ Πνεύματος οὐ τῆς ὑποστάσεως αὐτοῦ καλεῖ, ἀλλὰ τῆς τότε ἡμῖν εἰς παντελῆ μετουσίαν τῶν ἀγαθῶν προσδοκωμένης δοθήσεσθαι χάριτος. ὅτι[e] μέντοι σύνηθες τῇ θείᾳ γραφῇ σχηματίζειν τὰς τὰ δὲ ἀπὸ τῶν παρὰ τῷ μακαρίῳ Δαβὶδ συνεχῶς τὰ τοιαῦτα λέγειν εἴωθε "γνόφον ἔχοντα ὑπὸ τοὺς πόδας," καὶ ὅσα κατ' ἐκεῖνο τὸ μέρος φησίν. οὐδὲ γὰρ τοῦ παρόντος ἅπαντα λέγειν ἐπὶ καιροῦ. ἐν δὲ τῷ κγ', πρός τε τὰς πύλας φωνὴν σχηματίζειν ὡς ἂν ἀνοιχθῆναι ὀφειλούσας, καὶ παρ' αὐτῶν ἀπόκρισιν. τούτων γὰρ οὐδὲν μὲν, ὡς εἴρηται, νοεῖσθαι δύναται. ἕτερα δέ τινά ἐστι τὰ ἀπ' αὐτῶν ἐμφαινόμενα. ἐγὼ μέντοι τέθεικα καὶ τοῦτο, ὥστε μηδένα καινόν τι νομίζειν λέγεσθαι παρ' ἡμῶν τὸ κατὰ σχηματισμὸν εἰρῆσθαι τῷ Ἀποστόλῳ τὰ προκείμενα.

28 Οἴδαμεν δὲ ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθὸν τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν.

Κυρίλλου. "Συνεργεῖ μὲν ἅπαντα πρὸς τὸ ἀγαθὸν τοῖς ἀγα-"πῶσι Θεὸν, τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσι." "κατὰ πρόθεσιν" δὲ ἄρα τὴν τινῶν; τί δ' ἂν νοοῖτο τὸ "κατὰ πρόθεσιν;" οὐκοῦν τὸ "κατὰ πρόθεσιν" εἴη ἂν τὸ κατὰ βούλησιν; κέκληνται δὴ οὖν οἱ περὶ ὧν ὁ λόγος, κατὰ βούλησίν τινων, πότερον δὴ τοῦ κεκληκότος, ἢ καὶ αὐτῶν τῶν κεκλημένων; οὐκοῦν ἅπασα μὲν ἔφεσις πρὸς δικαιοσύνην ἡμᾶς ἀποφέρουσα, γένοιτ' ἂν ἡμῖν παρὰ τοῦ Θεοῦ καὶ Πατρός; ἔφη γάρ που, ὁ Χριστὸς, "οὐδεὶς δύναται "ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ Πατὴρ ὁ πέμψας με, ἑλκύσῃ αὐτόν." πλὴν ἔν γε τούτοις οὐκ ἄν τις ἁμάρτοι τοῦ πρέποντος λέγω[f], ὡς κλητοὶ γεγόνασί τινες κατὰ πρόθεσιν, τήν τε τοῦ κεκληκότος καὶ τὴν ἑαυτῶν.

Γενναδίου. Ἀλλὰ μὴν καὶ τοῦτο ἡμῖν φησί που, πάντως ἀνομολόγηται ὅτι Θεὸς οὐκ ἔγνω καταλείπειν τοὺς ἀγαπῶντας αὐτὸν, ἀλλὰ πάντα αὐτοῖς τὰ περὶ αὐτοῖς συμβαίνοντα γίνεται[g]

[e] Quæ seq. pessime depravata sunt. [f] Leg. λέγων. [g] Leg. γίνεσθαι.

παρασκευάζει πρὸς ἀγαθὸν, ἅτε καὶ κατὰ τὴν ἀγαθὴν αὐτῶν πρόθεσιν προσκεκλημένους[f] αὐτούς· ἐντεῦθεν μέντοι καὶ τὴν ἀπολογίαν τῆς ὑπὲρ τῆς Ἰουδαίων ἀποβολῆς ἤρξατο προκατασκευάζειν.

Θεοδώρου. Οὐ δεῖ θαυμάζειν, φησὶν, εἰ τοιαῦτα μὲν τότε προσδοκῶμεν ἡμῖν ἀγαθὰ περιέσεσθαι, ἐν ἀνηκέστοις δὲ ἄγαν κακοῖς κατὰ τὸ παρὸν εὑρισκόμεθα. πάνυγε εἰδότας ὡς διὰ πάντων εὐεργετεῖν[g] ἔθος τῷ Θεῷ τοὺς ἀγαπῶντας αὐτόν. ἄφθονον αὐτοῖς τῶν ἀγαθῶν τὴν χορηγίαν παρεχόμενος. ὥστε καὶ ἀπὸ τῶν δοκούντων εἶναι λυπηρῶν, μείζονας αὐτοῖς τοὺς αἰωνίους προξενεῖσθαι μισθούς. καλῶς δὲ τοῦτο οἴδαμεν, ἐπειδὴ σφόδρα ὡμολογημένον ἔφη πρᾶγμα, παντὸς οὕτινος οὖν πάνυγε συνθησομένου, ὅτι τοῖς ἀγαπῶσιν αὐτὸν ἀγαθῶν πρόξενος γίνεται Θεός· ὅπουγε καὶ πλημμελούντων ἀνέχεται, ἡλίουτε ἀνατολὴν καὶ ὑετῶν χορηγίαν αὐτοῖς χαριζόμενος. εἶτα καὶ ἀποδείξεων ὅπερ ἔφην πιστούμενος, "τοῖς "κατὰ πρόθεσιν κλητοῖς οὖσι·" τούτων γὰρ ἤδη καὶ πάλαι ὁ Θεὸς τὴν περὶ αὐτῶν πρόθεσιν, οἷά τις ἔσται. ὅθεν αὐτοὺς καὶ ἐκάλεσεν ἐπὶ τῷ τῆς οἰκείας ἀξίως τιμῆσαι προαιρέσεως.

Φωτίου. "Τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσι·" τουτέστι τοῖς κατὰ γνώμην, κατὰ πρόθεσιν ἀξιωθεῖσι τῆς κλήσεως.

29 Ὅτι οὓς προέγνω, καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς.

Γενναδίου. Προώρισε δὲ τοῦτο, φησὶ, καὶ μετέδωκε τῆς υἱοθεσίας καὶ ἄλλοις. οὐ τὸν Υἱὸν ταυτήτοι ζημιώσας· ἔχει γὰρ οὕτως ἐκεῖνος τὴν κατὰ πάντων ὑπεροχὴν, καὶ πλεονεκτεῖ τοῖς πρωτοτόκοις τῶν ἀδελφῶν.

30 Οὓς δὲ προώρισε, τούτους καὶ ἐκάλεσε. καὶ οὓς ἐκάλεσε, τούτους καὶ ἐδικαίωσεν· οὓς δὲ ἐδικαίωσε, τούτους καὶ ἐδόξασεν.

Κυρίλλου. Εὐάφορμον τῆς ἀπιστίας τὸ χρῆμα ποιεῖσθαι τινὰς τὸ ἀπεικὸς οὐδὲν, ἐξ ἀμαθίας συνηρπασμένους, καὶ λέγοντας, εἰ οὓς

[f] Cod. προσκεκλημένος. [g] Cod. εὐεργετεῖ.

αὐτὸς προέγνω κατὰ πρόθεσιν καὶ προαίρεσιν, οὗτοι κέκληνται, πρὸς ἡμᾶς οὐδὲν τοὺς οὔπω πεπιστευκότας· οὐ γάρ τοι κεκλήμεθα· οὔτε μὴν προωρίσμεθα. πρὸς οὓς ἐροῦμεν, ὅτι ὁ ποιῶν τοὺς γάμους τῷ υἱῷ αὐτοῦ, τοὺς μὲν οἰκέτας ἀπέστειλε συναγεῖραι τοὺς κεκλημένους· οἱ δὲ οὐκ ἤθελον ἐλθεῖν. εἰσῆλθον δὲ μετ' ἐκείνους οἱ κλητοὶ κατ' ἰδίαν πρόθεσιν· πέπλησται δὲ οὕτως ὁ νυμφὼν τῶν ἀνακειμένων. οὐδ' οὖν ἀφ' αὐτοῖς ἐθέλουσιν ἐλθεῖν ἐμποδῶν ὁρᾶται κειμένων. ἀδικεῖ δὲ οὐδένα τὸ σύμπαν ἡ πρόγνωσις. οὔτε μὴν ὀνίνησι τινὰς ἐπιδιδασκόντων, εἰ μὴ καὶ αὐτοὶ προεγνώσθησαν, οἱ ταῖς ἀπειθίαις ἐξυβρικότες τὸν κεκληκότα Θεόν. ἀλλὰ καὶ κέκληνται μὲν, καὶ εἰσπεπηδήκασί τινες εἰς τὸν γάμον. πλὴν οὐ γεγόνασιν ἐκλεκτοὶ, οὐδὲ δεδικαίωνται, οὐδὲ ἐδοξάσθησαν. διὰ ποίαν αἰτίαν; ὅτι μὴ πρέπουσαν[h] τοῖς γάμοις ἠμφιέννυντο στολήν· ἄλλωστε καὶ αὐτὸν εὑρίσκομεν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀναφανδὸν εἰρηκότα, "δεῦτε πρός με πάντες οἱ κοπιῶντες "καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς." ἰδοὺ ἤδη σύμπαντας ἐκάλει πρὸς ἑαυτόν. ἀμοιρήσειεν δ' ἂν οὐδεὶς τῆς ἐπὶ τῷ κεκλῆσθαι χάριτος· ἐν γὰρ τῷ πάντας εἰπεῖν, ἀπόπεμπτον ποιεῖται παντελῶς οὐδένα· οὓς εἰδὼς πόρρωθεν, φησὶν, ὁποῖοί τινες ἔσονται, ἀφώρισεν εἰς τὸ τῶν μελλόντων μετασχεῖν ἀγαθῶν, τούτους καὶ ἐκάλεσεν, ὥστε διὰ τῆς ἐπ' αὐτὸν πίστεως ἀπολαῦσαι δικαίωσιν[i], ἁμαρτεῖν οὐκ ἐπιδεχομένοις τότε· ἡ δέ γε δόξα ἐν ἀφθαρσίᾳ τε καὶ ἀθανασίᾳ γεγονόσι καθάπαξ. ἅπαντα μέντοι ταῦτα ἀπέδωκε πρὸς τὸ, "οἴδαμεν δὲ ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν "πάντα συνεργεῖ εἰς ἀγαθὸν," διδάξαι βουλόμενος, ὡς οὐ περιορῶν[k] αὐτοὺς ὁ Θεὸς ἐν ταῖς παρούσαις ἐξετάζεσθαι ποιεῖ συμφοραῖς. πῶς γὰρ, ὅγε ἐπὶ τοσούτων ἀγαθῶν ἀπόλαυσιν καλέσας αὐτούς. καὶ τούτου[l] νῦν, ἀλλὰ πάλαι καὶ προπάλαι, ἐξότεπερ αὐτοὺς κατὰ τὴν ἀπόρρητον ἑαυτοῦ πρόγνωσιν ἠπίστατο ὁποῖοί τινες ἔσονται, καὶ πρὸ τοῦ γενέσθαι. εἰδὼς γὰρ ἄνωθεν τοιούτους ἐσομένους[m] αὐτοὺς, ἀνάλογα τῇ περὶ αὐτῶν διαθέσει πόρρωθεν αὐτοῖς ἡτρέπιζεν ἀγαθά. πῶς οὖν αὐτοὺς περιιδεῖν οἷόν τε, καὶ πρὸ τοῦ

[h] Cod. πρέπου. [i] Cod. δικαίωσις. [k] Cod. ὡς σοῦ περιορῶ.
[l] Leg. τοῦτο οὐ νῦν. [m] Cod. ἐπομένους sed in marg. ἐσομένους.

γενέσθαι τῆς προαιρέσεως αὐτῶν τὰς ἀμοιβὰς εὐτρεπίσαντα, καὶ ἐπὶ τούτους αὐτοὺς καλέσαντα, ὥστε διὰ τῆς ἐπ' αὐτὸν πίστεως τῶν προσδοκωμένων ἀγαθῶν.

31 Τί οὖν ἐροῦμεν πρὸς ταῦτα; εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν; ὅς γε τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο.

Γεννάδιου. *Θεοῦ τοίνυν, φησὶν, ὄντος ὑπὲρ ἡμῶν, ἡμεῖς ἄλλον τινὰ τῶν πάντων φοβηθησόμεθα; καὶ τὸν ἴδιον Υἱὸν οὕτως ὑπὲρ ἡμῶν διδοὺς ἀφειδῶς, οὗτος εἰς ἡμᾶς περὶ τῶν ὑπολοίπων σμικρολογήσεται; οὐκ ἔστι πάντα δεύτερα Θεῷ τῆς ἀγάπης αὐτοῦ τῆς περὶ ἡμᾶς; εὔκαιρον τούτῳ νῦν ἐπισχεῖν· ὅτι ἐνταῦθα τοῦ Υἱοῦ παρὰ τοῦ Πνεύματος ὑπὲρ ἡμῶν παραδέδοσθαι* [n] *λέγων ὁ Παῦλος, ἐν τῇ πρὸς Ἐφεσίους, αὐτὸν παρ' ἑαυτοῦ λέγει τὸν Υἱὸν τοῦτο πεποιηκέναι. "ὁ Χριστὸς, γὰρ," φησὶν, "ἠγάπησεν ἡμᾶς, "καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν." τί διδάσκων ἡμᾶς ἕτερον ἢ ἓν εἶναι Πνεύματι καὶ Υἱῷ τῆς ἀνθρώπου σωτηρίας τὸ βούλημα;*

Διοδώρου. *Δείξας διὰ τῶν πράξεων ὅτι συνεργεῖ πάντα ἡμῖν εἰς ἀγαθὸν διὰ τὴν τοῦ Θεοῦ περὶ ἡμᾶς ἀγάπην, οὓς εὗρε κατὰ πρόθεσιν κλητοὺς, τὸ μέγα τεκμήριον τῆς ἀγάπης τοῦ Θεοῦ, ἐπάγει, ὃ ἐπεδείξατο ἐν τῷ τοῦ μονογενοῦς μὴ φείσασθαι· εἰ καὶ μὴ θάνατος κατεκυρίευσε τοῦ Σωτῆρος, ἐπεὶ καὶ ἐπ' αὐτῷ Κυρίῳ τῷ θεῖναι* [o] *τὴν ψυχὴν αὐτοῦ καὶ πάλιν λαβεῖν αὐτὴν, ἀλλ' ὅμως σκοπητέον ὅτι Χριστὸς ἑαυτὸν τοῖς ἀνθρωπίνοις ὑπέβαλε πάθεσι· τήν τε ἰδίαν τοῦ Πατρὸς ἐκπληρῶν βούλησιν. πάντα οὖν ὑπὲρ ἡμῶν Θεοῦ οἰκονομοῦντος, τίς ἐμποδίσει; τίς οὗτος ἰσχυρὸς, ὥστε τὰς εἰς ἡμᾶς τοῦ Θεοῦ δωρεὰς διακωλῦσαι. εἰκότως γὰρ ὁ τοῦ Υἱοῦ δι' ἡμᾶς μὴ φεισάμενος, καὶ τὰ ἄλλα πάντα ὑπὲρ ἡμῶν οἰκονομήσει, καὶ τῶν ἄλλων προθήσει τὴν χάριν.*

Κυρίλλου. *Τοῖς ἀγαθοεργεῖν ᾑρημένους, πάντα συνεργεῖ, Θεοῦ ὑπερασπίζοντος. ὁ γὰρ τοῦ κατὰ φύσιν ἠφειδηκὼς Υἱοῦ, ἵνα σώσῃ κινδυνεύοντας, καὶ ἀπαλλάξῃ κινδύνων, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαριεῖται;*

[n] Cod. παραδέδωσθαι.

[o] Cod. θῆναι.

33 Τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν Θεοῦ; Θεὸς ὁ δικαιῶν. τίς ὁ κατακρίνων;

Γενναδίου. Ἐγκαλούντων τοιγαροῦν οἱ βουλόμενοι καὶ κατηγορούντων ἡμᾶς· οὐ γὰρ ἰσχύουσιν ἡμῖν ἀμύνεσθαι τὸ παράπαν τῆς Θεοῦ ψήφου, μεθ' ἡμῶν τε καὶ ὑπὲρ ἡμῶν τεταγμένης· βούλεται εἰπεῖν ὅτι μηδενὶ δυνατὸν ταῦτα ἡμῶν ἀφελέσθαι, ἃ προλαβὼν ἡμῖν ὁ Θεὸς ἐχαρίσατο. οὔτε οὖν ἐκλεξαμένου ἡμᾶς τοῦ Θεοῦ ἐπὶ τῇ τῶν μελλόντων ἀπολαύσει ἀνατραπῆναι ὑπό τινος τὴν ἐκλογὴν ἡμῶν δυνατόν. οὔτε παρέχοντος ἡμῖν τὰ προσδοκώμενα· καὶ πρόγε πάντων τὴν ἀληθινὴν ἐκείνην δικαίωσιν ἐν ᾗ καταστησόμεθα, ἁμαρτεῖν οὐκ ἐπιδεχόμενοι, τότε ἔσται τις ὁ μεταβολὴν τῶν καθ' ἡμᾶς ποιῆσαι δυνάμενος; ὥστε οὐ προσῆκε δεδιέναι τοὺς διώκοντας. ἀφελέσθαι γὰρ τὰ ἀγαθὰ παρ' ἡμῶν δύνανται οὐδαμῶς, ἅπερ ἐπὶ τοῦ μέλλοντος ἡμῖν αἰῶνος προσέσεσθαι ἐλπίζομεν. διὸ εἶπε "τὴν ἐκλογὴν καὶ τὴν δικαίωσιν." διὰ μὲν τῆς ἐκλογῆς τὸ πρὸς τοῦτο ἐντεῦθεν ἤδη ἀφωρίσθαι. σημαίνων δὲ διὰ τῆς δικαιώσεως τὸ εἶναι αὐτῶν ἐν ἀπολαύσει. τό τε δικαίωσιν τὸ ἁμαρτίαν μὴ ἐπιδέχεσθαι καλῶν. αὕτη γὰρ ἀληθὴς δικαίωσις. ἀπὸ δὲ τούτου τὸ βέβαιον τῶν διδομένων ἡμῖν σημαίνων. οἱ[p] γὰρ ἁμαρτάνοντες ἐν τοῖς διδομένοις μενοῦμεν ἀεί. ὅθεν οὐδὲ ἀνατραπῆναι ὑπό τινος αὐτὸ δυνατὸν εἶναι ἔφη.

Ὠριγένους. Δοκεῖ μοι τοῦτο ἀναφέρεσθαι ἐπὶ τὸν διάβολον, ὄντα κατήγορον καὶ τῶν ἐκλεκτῶν οἷς ἐγκαλέσει. οὐδεὶς γάρ ἐστιν, οὗ ἐκεῖνος μὴ κατηγορήσῃ, καὶ ᾧ οὐκ ἐγκαλέσῃ, εἰ μὴ μόνον Ἰησοῦ, "ὃς ἁμαρτίαν οὐκ ἐποίησεν· οὐδὲ εὑρέθη δόλος ἐν τῷ "στόματι αὐτοῦ·" καὶ διὰ τοῦτο λέγων, "νῦν ἔρχεται ὁ ἄρχων τοῦ "κόσμου τούτου, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν." διὰ τοῦτο οὖν ἐκεῖνος ἐξευτελίζεται, ἐγκαλῶν καὶ κατὰ ἐκλεκτῶν Θεοῦ. τοῦ γὰρ Θεοῦ δικαιοῦντος, τίς κατακρίναι δύναται; κἂν ὁ κατήγορος φέρῃ εἰς μέσον τὰ ἀπηλιμμένα ἐφ' οἷς κατεκρίθησαν, εἰ μὴ ἀπείλιπτο. ἐδικαίωσε δὲ αὐτούς, ὡς νεφέλην ἀπαλείψας τὰς ἀνομίας αὐτῶν, καὶ λευκάνας τοὺς πρότερον ἡμαρτηκότας ὡς χιόνα.

Χριστὸς ὁ ἀποθανὼν, μᾶλλον δὲ καὶ ἐγερθείς.

Γενναδίου. Πρὸς τὴν ἀπόδειξιν αὖθις τῶν προειρημένων χω-

p Leg. vid. οὐ.

ρεῖ, καὶ φησὶ, "Χριστὸς ὁ ἀποθανὼν, μᾶλλον δὲ καὶ ἐγερθεὶς," καὶ τὰ ἑξῆς. οὐ γὰρ ὥς τινες ᾠήθησαν μέλλουσαν ἀντίρρησιν αὐτῷ παρά τινῶν ταύτην ἀνθυποφέρεσθαι διαλύων τοῦτο ἐπήγαγεν, ἐπεὶ μηδὲ ὑπεφύετο μηδαμόθεν ἐκ τῶν προειρημένων αὐτῷ τοιαύτη τις ἔνστασις· ὅ περ ἐπὶ τῶν ἄλλων εὕρομεν ἀντιθέσεων. τίς γὰρ ἂν τοῦτο ὑπέλαβε πρὸς τὸν Παῦλον, τὸ ὅτι τοῦ Θεοῦ καὶ Πατρὸς δικαιοῦντος ἡμᾶς, ὁ Χριστὸς ὁ Υἱὸς οὐκ ἐάσει; οὐδὲ εἷς δήπου· οὐ τοίνυν οὐδὲ ὁ Ἀπόστολος πρὸς οὐκ ἀνθιστάμενον αὐτῷ λόγον ἔμελλεν εἰκῇ διαγωνίζεσθαι καὶ σκιομαχεῖν. πιστοῦσθαι μέντοι καὶ βεβαιοῦν πλέον τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, ὡς προέφαμεν, ἦν αὐτῷ καὶ σφόδρα γε ἀναγκαῖον. διὰ τοῦτο τοῖς προειρημένοις ἐπήγαγε, "Χριστὸς ὁ ἀποθανὼν, μᾶλλον δὲ καὶ ἐγερθεὶς, "ὃς καὶ ἐστὶν ἐν δεξιᾷ τοῦ Θεοῦ. ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν." μὴ γὰρ ἐνί; τί δεῖ σε, φησὶ, τοῦ λοιποῦ; μὴ γὰρ ὑπείδεσθαι μεταβολήν. ἔχει τέλος· τὸ πρᾶγμα πρὸς πέρας ἐκβέβηκεν. οὐδὲν ἐνδεῖ πρὸς τὴν σωτηρίαν ἡμῶν. τέθνηκε Χριστὸς, μᾶλλον δὲ καὶ ἐγήγερται, καὶ τετίμηται τὰ πρῶτα παρὰ Θεῷ· καὶ τὴν χάριν αὐτὸς ἐκβιβάζει τὴν εἰς ἡμᾶς. τουτέστιν αὐτῷ τῷ πράγματι δῆλος ἐστὶν ὡς ἑαυτὸν ἡμᾶς προσκαλούμενος, καὶ ἡ ἀπαρχὴ τὸ πᾶν ἀπολήψεται· καὶ τῇ κεφαλῇ τὸ λοιπὸν ἀποδοθήσεται σῶμα. τὴν γὰρ ὑπὲρ ἡμῶν πληρώσας οἰκονομίαν, καὶ ὑψωθεὶς, ἕλξει καὶ ἡμᾶς ὡς ἑαυτὸν κατὰ τὴν οἰκείαν ὑπόσχεσιν. "ὅταν γὰρ," φησὶν, "ὑψωθῶ, τότε πάντας ἑλκύσω πρὸς ἐμαυτόν." ἐσχημάτισε δὲ κἀνταῦθα τὸ πρᾶγμα διὰ τῆς "ἐντυγχάνει" λέξεως, πρὸς πληροφορίαν ἡμῶν. καθὰ καὶ πρὸ βραχέως ἐν τοῖς περὶ τοῦ Πνεύματος ἔφαμεν.

Ἀπολιναρίου. Λέλυκε, φησὶν, ἡ ἐκλογὴ τὰ ἐγκλήματα, καὶ τὴν κατάκρισιν προανήρηκεν ἡ δικαίωσις. ὥστε οὔτε νόμος καταδικάζων, οὔτε ἄρχοντες τοῦ αἰῶνος τούτου κατέχοντες ὑφ' ἁμαρτίαν τὸν ἄνθρωπον, καὶ διὰ τῆς ἁμαρτίας ἐπὶ δουλείαν θανάτου καθέλκοντες, ἰσχυροὶ καθ' ἡμῶν ἔτι γενήσονται· ἀλλὰ παύσεται μὲν τὸ τοῦ νόμου φοβερὸν, χάριτι Χριστοῦ νικώμενον. ἐξασθενεῖ δὲ ἡ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου πονηρία, τῇ ἀγαθότητι τοῦ δι' ἡμᾶς σφαγιασθέντος, καὶ ἑκουσίως ἑαυτὸν ἐκδεδωκότος εὐδοκίᾳ τοῦ Θεοῦ καὶ Πατρὸς, εἰ καὶ ἐπῆλθεν ἀνάστασις τὸν θάνατον

ἀποκρύπτουσα· καὶ οὐκέτι τεθνεῶτα ὁρῶμεν Χριστὸν, ἀλλὰ ζῶντα καὶ συνεδρεύοντα τῷ Πατρὶ, καὶ ὑπὲρ ἀνθρώπων πρεσβεύοντα κατὰ τὸ ἀνθρώπινον, καθὸ καὶ πρὸς ἀνθρώπους συνήφθη, τὰ διεστῶτα συνάπτων.

Σετηριανοῦ. Διὰ τούτων τὴν ἄμετρον τοῦ Χριστοῦ δείκνυσιν ἀγάπην, ἣν ἔχει περὶ ἡμᾶς. οὐκ ἠρκέσθη γὰρ τῷ ἀποθανεῖν ὑπὲρ ἡμῶν. καὶ δῆλον ὅτι ταῦτα ἐντυγχάνει, ἅπερ καὶ ἡνίκα συνῆν ἀνθρώποις κατὰ σάρκα· ᾔτει γὰρ τὸν Πατέρα λέγων, "ἵνα ὅπου ἐγώ εἰμι, "καὶ αὐτοὶ ὦσιν." περὶ τούτου ἐντυγχάνει ὁ Σωτὴρ, οὔτε δὲ ὡς ἀγνοοῦντα τὸν Πατέρα τὰ καθ' ἡμᾶς διδάσκει ἐντυγχάνων, οὔτε ὡς μὴ βουλόμενον· ἃ γὰρ βούλεται ὁ Πατὴρ, βούλεται καὶ ὁ Υἱός. τὸ οὖν βούλεται ἡ πρεσβεία καὶ ἡ ἐντυχία, τὴν μέλλουσαν ἀσέβειαν Σαβελλίου προεκκόπτει ὁ λόγος· διδάσκων, ὡς εἰ καὶ μία ἐστὶ τῆς Τριάδος ἡ οὐσία, ἀλλ' οὐχὶ μία ὑπόστασις. διὰ γὰρ τῆς ἐντεύξεως ἕτερος ὁ αἰτῶν, καὶ ἕτερος ὁ αἰτούμενος δείκνυται. οὐκ ἄτοπον γὰρ τὸν μὲν Υἱὸν αἰτεῖν, τὸν δὲ Πατέρα χαρίζεσθαι. ὅπως ἂν ἁρμόζουσα τάξις ἐπ' ἀμφοτέρων τῶν προσώπων φυλάττηται. ἢ οὐκ ἄτοπον ἦν εἰδότα τοῦ Πατρὸς τὴν γνώμην φθάνειν τὸν Υἱὸν τοῦ Πατρὸς τὴν δωρεὰν, καὶ ὑφαρπάζοντα διδόναι τὴν χάριν. οὕτω γοῦν καὶ πάντα μὲν διὰ τοῦ Υἱοῦ ἐδημιουργήθη, βουλήσει δὲ τοῦ Πατρὸς, ἵνα διόλου τὸ ἀκόλουθον καὶ πρέπον ἐπ' ἀμφοτέρων τῶν προσώπων φυλάττηται. διδάσκει οὖν ἡμᾶς ὁ λόγος τὴν περὶ τοῦ Πατρὸς καὶ Υἱοῦ ἀσύγχυτον τάξιν. ἐὰν δὲ καὶ τὸν ἐν σαρκὶ Χριστὸν λογίσῃ αἰτοῦντα, πόλλῳ σοι μᾶλλον φανεῖται ὁ λόγος εὐσυνοπτότερος.

ΚΕΦ. ΙΔ.

Περὶ τῆς ὀφειλομένης ἀγάπης Χριστῷ.

35 Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ.

Γενναδίου. Αὐξήσας τὸ περὶ ἡμᾶς φίλτρον τοῦ Θεοῦ, καὶ τὴν ἡμετέραν λοιπὸν εὐγνωμοσύνην, ἣν περὶ τὸν τοσοῦτον ἡμᾶς εὐεργέτην ἔχειν χρεὼν, διεξέρχεται λέγων, ὡς οὐδὲν τῶν ἐν ἀν-

θρώποις ὄντων δεινῶν τῆς εἰς Χριστὸν ἀγάπης προσῆκεν ἡμᾶς ἐπιστᾶν.

Τοῦ αὐτοῦ. Ταῦτα προείρηται τῷ προφήτῃ Δαβὶδ περὶ τῆς ὑπὲρ τοῦ νόμου τῶν Μακκαβαίων ἐνστάσεως. τί γὰρ τὸ θαυμαστὸν, φησὶν, ἐργασόμεθα, τὴν ἴσην τοῖς πρεσβυτέροις εὔνοιαν ἐπιδεικνύμενοι περὶ τὸν Θεόν; οἷς οὐκ ἴσην ἀλλὰ καὶ πολλῷ μείζοσα κεκοσμήμεθα χάριν· καὶ ἐπειδὴ τῆς οἰκείας γνώμης ἐξεῖπε τὴν πρόθεσιν, ἵνα μὴ δόξῃ κατ' ἀλαζονείας ἐψέσθαι, τάχεως ἐπήγαγε τὸ ἑξῆς.

37 *Ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς.*

Γενναδίου. Ἔχομεν μέντοι, φησὶ, τὸ τούτων κατὰ περιουσίαν κρατεῖν, οὐκ ἀφ' ἑαυτῶν, ἀλλὰ διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς.

Θεοδώρου. Δεικνὺς ὅτι μηδὲ τὴν βαρύτητα δεδιέναι προσήκει τῶν ἐπαγομένων κακῶν, εἰκότως ἐπήγαγεν, "ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς." παρ' αὐτοῦ γὰρ ἡμῖν καὶ τὸ δοκοῦν εἶναι βαρὺ τῶν θλίψεων ἐπικουφίζεται. ἀνεπαίσθητον τῇ παρ' αὐτοῦ συνεργείᾳ τῶν λυπηρῶν ἐργαζομένου τὴν πεῖραν.

Ὠριγένους. Νικᾷ μὲν ὁ μετὰ ἀμφηρίστου ἀγῶνος τοὺς ἐν τοῖς ἀγωνιζομένοις περὶ νίκης περιγινόμενος τοῦ ἀνταγωνιστοῦ. ὑπερνικᾷ δὲ ὁ μηδὲ τὴν ἀρχὴν ἐπιτρέψας στῆναι πρὸς αὐτὸν τῷ ἐναντιουμένῳ. τοιοῦτος ὁ Παῦλος καὶ οἱ τὴν ὁμοίαν αὐτῷ παρασκευὴν πρὸς τοὺς πειρασμοὺς ἀνειληφότες, τὸ θλίβον καταπατοῦντες καὶ ἐντρυφῶντες τῷ στενοχωροῦντι, καὶ τὸ διῶκον τῇ ὑπομονῇ διώκοντες· καὶ τὸν λιμὸν διὰ τὴν οὐράνιον τροφὴν γελῶντες· καὶ τὴν γυμνότητα ἐν οὐδενὶ τιθέμενοι, δι' ἣν ἐνδέδυνται Χριστὸν, καὶ τὸν κίνδυνον ὡς οὐ κινδυνεύοντες καταπατοῦντες, καὶ τὴν μάχαιραν, διὰ τὸν ζῶντα τοῦ Θεοῦ λόγον, οὐδὲν χαλεπὸν ἐργάσασθαι αὐτοὺς πειθόμενοι.

Σευηριανοῦ. Λαμπρῶς δείξας τὴν τοῦ Θεοῦ περὶ ἡμᾶς διάθεσιν, καὶ τὴν τοῦ Υἱοῦ αὐτοῦ ἀγάπην, ἀκολούθως διδάσκει, οἵους λοιπὸν εἶναι δεῖ περὶ τὸν εὐεργέτην τοὺς εὐγνώμονας. ὥστε μηδὲ τῶν πάνυ φοβερῶν δύνασθαι διαστῆσαι ἡμᾶς τοῦ Χριστοῦ.

38 *Πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος, οὔτε ζωή.*

Γενναδίου. Θάνατον μὲν οὖν πάντα λέγει τὰ χαλεπά· ἐπειδὴ τῶν τοιούτων πάντων τέλος ὁ θάνατος. ζωὴν δὲ πάντα τὰ τρυφηλά τε καὶ ἀγαθά· ἐπειδὴ τῶν τοιούτων πάντων τέλος πάλιν ἐστιν ἡ ζωή. Ἀγγέλους δὲ καὶ ἀρχὰς καὶ δυνάμεις, τὰς ἀοράτους οὐσίας αἳ τοῖς διαφόροις τούτοις ὀνόμασι καταλλήλως αἷς ὑπηρετοῦνται χρείαις προσαγορεύονται. Ἄγγελοι μὲν παρὰ τὸ ἐξαγγέλλειν τοῖς ἀνθρώποις τὰ ἐκ Θεοῦ. ἀρχαὶ δὲ, παρὰ τὸ ἄρχειν, ἢ πόλεων, ἢ ἐθνῶν ὅλως οἷς ἐφεστᾶσι. δυνάμεις δὲ, παρὰ τὸ δυνατὰς δεδημιουργεῖσθαι πρὸς ὑπηρεσίαν Θεοῦ. "εὐλογεῖτε," γὰρ φησὶ, "τὸν Κύριον, πάντες οἱ Ἄγγελοι αὐτοῦ, δυνατοὶ ἴσχυι, "ποιοῦντες τὸν λόγον αὐτοῦ." ἐνεστῶτα δὲ, σύμπαντα περιληπτικῶς τὰ παρόντα· μέλλοντα δὲ, ὁμοίως πάντα τὸν προσδοκώμενα· ὕψωμά τε καὶ βάθος, ὑπερουράνιά τε καὶ ὑποχθόνια· προσέθηκε δὲ καὶ τοῦτο, οὔτε τις κτίσις ἑτέρα, δεικνὺς τῆς περὶ Θεὸν ἀγάπης αὐτοῦ τὴν ὑπερβολήν· καὶ ὅτι ταύτης χάριν ἕτοιμός ἐστιν τοῖς τε οὖσι καὶ τοῖς οὐκ οὖσι διαμάχεσθαι. διὰ μέντοι τοῦ "οὔτε μέλλοντα," δῆλον πεποίηκεν ἀκριβῶς, ὅτι οὐ διά τι φιλεῖ τὸν Θεὸν, οὐδὲ ἀμοιβῶν ἐλπίδι τινῶν, ἀλλ' αὐτὸ τοῦτο στέργων τὸ φιλεῖν τὸν Θεὸν, καὶ καθ' αὐτὸ κρίνων αὐτὸ περισπούδαστον. οὐδὲν οὖν τῶν προαπηριθμημένων, φησὶν, ἀποστήσει τῆς εἰς Θεὸν ἀγάπης ἡμᾶς, ἕνεκε τῆς ἀφάτου περὶ ἡμᾶς αὐτοῦ σχέσεως, ἣν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ποιησάμενος ἐνεδείξατο.

Ὠριγένους. Ὅρα εἰ μὴ εὐλόγως τὸ μὲν "πέπεισμαι," ὅτι οὐ δύναται ἡμᾶς χωρίσαι. τὰ δέ τινα ἔταξεν ἐπὶ τῶν μειζόνων ἢ κατὰ ἄνθρωπον πειρασμῶν. τὸ δὲ "τίς ἡμᾶς χωρίσει" ἐξευτελίζων τοὺς ἀνθρωπίνους ἐπὶ τῶν ἐλαττόνων γυμνασίων τῆς ἀνθρωπίνης ψυχῆς· καὶ ἐὰν ὑπερνικῶμεν δὲ τὰ πρότερα καὶ ἀνθρώπινα, οὐ χωρὶς συμπνοίας καὶ ἐνεργείας κρείττονος αὐτὸν περιεσόμεθα. διὸ καλῶς ὁ Παῦλος προσέθηκε τὸ "διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς." πρόσχες δὲ εἰ θάνατος μὲν παλαίει βουλόμενος χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ, οὐχ ὁ κοινὸς περὶ οὗ ἀνωτέρω εἴρηται, τὸ "ἕνεκεν σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν," ἀλλ' ὁ ἐχθρὸς Χριστοῦ καὶ ἔσχατος καταργηθησόμενος. βουλή-

σεται μὲν γὰρ οὗτος χωρίσαι, φέρε εἰπεῖν Παῦλον· οὐ δυνήσεται δὲ καὶ καταργούμενος ὑπὸ τοῦ ἐν αὐτῷ Χριστοῦ. ζωὴ δὲ, οὐχὶ τῷ θανάτῳ τούτῳ ἐναντία. τὰ γὰρ ἀλλήλοις ἐναντία οὐ πέφυκεν ἓν καὶ ταυτὸ βούλεσθαι, ἀλλὰ ἡ καθ᾽ ἣν ζῇ τις τῇ ἁμαρτίᾳ καὶ τοῖς εἴδεσιν αὐτῆς καὶ τῷ ψεύδει. εἰ δὲ καὶ καθ᾽ ἕκαστον εἶδος ἁμαρτία ἔστι τις, φαύλη ζωῇ ἐπιστήσεις διὰ τὸ κρεῖττον "τὸ "ἔλεός σου ὑπὲρ ζωάς·" αὕτη γὰρ βουλήσεται μὲν χωρίσαι τὸν ἐν τῇ ἀγάπῃ τοῦ Θεοῦ ἐν Χριστῷ Ἰησοῦ. οὐ δύναται δὲ, καταργουμένη, πῇ μὲν ὑπὸ τοῦ θανάτου καθ᾽ ὃν ἀποθνήσκει τις τῇ ἁμαρτίᾳ· πῇ δὲ ὑπὸ τῆς ζωῆς ἣ μέν τις κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ. καὶ Ἄγγελοι δὲ βούλονται ἡμᾶς χωρίσαι τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ, περὶ ὧν λέλεκται τοῖς ἐξ εὐωνύμων, "ὑπάγετε εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ "καὶ τοῖς Ἀγγέλοις." τὸ δὲ "οὔτε ἀρχαὶ" ἐπὶ τὸ, "οὐκ ἔστιν ἡμῖν "ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς" καὶ τὰ ἑξῆς ἀναφέρεται· καὶ εἰς τὸ "ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ "πᾶσαν ἐξουσίαν καὶ δύναμιν." ἑξῆς τοῦτο ἐστὶ "τὰ ἐνεστῶτα·" ταῦτα δὲ ἐπίσκεψαι εἰ δύναται ἀναφέρεσθαι ἐπὶ τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου, καὶ οὐχὶ ἐπί τινα ἐνεστῶτα ἀνθρώπινα.

Ἄλλος δ᾽ ἂν λέγοι τὰ ἐνεστῶτα ἀναφέρεσθαι ἐπὶ τὰ βλεπόμενα καὶ πρόσκαιρα. μετὰ τοῦτο εἴδωμεν τίνα "τὰ μέλλοντα" καὶ εἴτι πρὸς τὸν μέλλοντα χρόνον παλαίσοντα τῷ Ἀποστόλῳ τῆς ἐν τῷ βίῳ τούτῳ παρεπιδημίας ὡς πρὸς ταῖς ἐνεστηκυίαις αὐτῷ τῆς γραφῆς τῆς Ἐπιστολῆς ἡμέραις, ἢ τὰ μετὰ τὸν ἐνεστηκότα αἰῶνα καὶ μετὰ τὴν ἔξοδον εὐθέως ἀπαιτησόμενα, ὅτε ὁ ἄρχων τοῦ κόσμου τούτου, καί τινες ὑπ᾽ αὐτῷ δυνάμεις βουλήσονται μὲν κρατεῖν τοῦ ἐκδημήσαντος, οὐ δυνήσονται δὲ ἐπὶ τῶν προανειληφότων τὴν ἀγάπην τοῦ Θεοῦ ἐν Χριστῷ Ἰησοῦ. ἑξῆς δὲ αὐτῷ ἐστὶ τὸ "οὔτε δυνάμεις," ὅπερ ἔοικεν εἶναι εἴδους τινὸς τῶν ἔξω θνητοῦ σώματος λογικῶν. μήποτε δὲ ἡ τοῦ ἀνθρώπου ψυχὴ ἐπιβουλεύεται, ὑπὸ μὲν ὑψώματος, κατὰ "ἐν τοῖς ἐπουρανίοις πνευματικὰ τῆς "πονηρίας." ὑπὸ δὲ βάθους, κατὰ τὰ καταχθόνια, ὧν οὐδέτερον τὸν ἐν τῇ ἀγάπῃ τοῦ Θεοῦ ὁπλισάμενον χωρισθῆναι αὐτῆς ἐάσει.

Εἰ δὲ καὶ παρὰ τὴν βλεπομένην ὅλην ταύτην κτίσιν ἐστὶν

ἑτέρα κτίσις, τῇ φύσει μὲν βλεπομένη, νῦν δὲ οὐδέπω ὁρωμένη, ζητήσεις εἰ δύναται ἐπ' ἐκείνην ἀναφέρεσθαι τὸ "οὔτε κτίσις "ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ."

ΚΕΦ. ΙΕ.

Περὶ ἐκπτώσεως Ἰσραὴλ τοῦ ἀποβληθέντος, καὶ κλήσεως τοῦ ἀληθοῦς τοῦ εἰσαχθέντος μετὰ ἐθνῶν.

1 Ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι· συμμαρτυρούσης μοι τῆς συνειδήσεώς μου.

Κυρίλλου. Ἀπόλεκτον μὲν ἐποιεῖτο Θεὸς ἐν ἀρχαῖς τὸν Ἰσραήλ· καὶ δὴ καὶ πρωτότοκον αὐτὸν ἀπεκάλει. ἀλλὰ γεγόνασιν ἀλάζονες καὶ ὑβρισταὶ, καὶ τὸ ἔτι τούτων ἐπέκεινα κυριοκτόνοι· ταύτητοι διωλώλασι. γεγόνασι γὰρ ἀπόπεμπτοι καὶ ἐξερριμμένοι, καὶ τῆς πρὸς Θεὸν οἰκειότητος εἰς ἅπαν ὠλισθηκότες, τέθεινται κατόπιν ἐθνῶν· πεφήνασι δὲ καὶ τῆς τῶν πατέρων ἐλπίδος ἀλλότριοι. ἐπειδὴ δὲ ὁ μακάριος Παῦλος, τῶν θείων εὐαγγελίων τέθειται λειτουργὸς, καὶ διεκήρυττε τοῖς ἔθνεσι τὸν Ἰησοῦν, ἄνωτε καὶ κάτω τοὺς ἐξ αἵματος Ἰσραὴλ ἀποπεπτωκέναι λέγων· καὶ τοὺς ἐν σκότῳ ποτὲ καὶ τῶν δαιμονίων θεραπευτὰς κλητοὺς γενέσθαι κατὰ πρόθεσιν καὶ πρόγνωσιν Θεοῦ διισχυρίζομενος, ἵνα μή τινες οἴωνται[q] τῶν ἀμαθεστέρων μονονουχὶ κειμένοις καὶ ἐνάλλεσθαι τοῖς ἐκ γένους αὐτὸν καὶ πεσοῦσιν ἐπιμειδιᾶν, ἀναγκαίαν ποιεῖται τὴν ἀπολογίαν, καὶ φησὶν, "ἀλήθειαν λέγω ἐν Χριστῷ, "οὐ ψεύδομαι," καὶ τὰ ἑξῆς· ἀλλὰ τοῖς μὲν εἰς τοῦτο σκαιότητος τρόπον ἐκπεφοιτηκόσιν ὡς τῆς εἰς Θεὸν ἀγάπης ἀπολισθεῖν, σκληράς τε τὰς ἐπὶ τοῦτο λοιπὸν ἀνατλῆναι δίκας, ἐπιστυγνάσειεν ἄν τις, καὶ τὸ ἐκ φιλαλληλίας αὐτοῖς ἐπιστάξαι δάκρυον, εἴη ἂν οὐ πέρα λόγου, μᾶλλον δὲ τῆς ἀγάπης τὴν πλήρωσιν ἔχει. τό γε δὴ καὶ ὑπὲρ αὐτῶν ἀνάθεμα θέλειν εἶναι Χριστοῦ, μέτρων ἐπέκεινα τῶν ἀγάπης λοιπόν. οὐ γὰρ ἂν ἕλοιτό τις, εἴπερ ἐστὶν ἐν καλῷ φρενὸς, τῆς ἑτέρων ἕνεκα σωτηρίας προσκρούειν Θεῷ· καὶ ποιεῖσθαι μὲν παρουδὲν τὴν ἑαυτοῦ ζωήν· ἑτέροις γε μὴν τὸ χρῆμα

q Cod. οἴονται.

ἐνεῖναι ἑλεῖν. τί οὖν ἄρα, φησὶ, τῆς Ἰουδαίων σωτηρίας ἀντάλλαγμα τὴν ἑαυτοῦ προτιθείς; οὐκοῦν ὑπερβολικὸς[r] *ὁ λόγος· καὶ ἀγάπης ἀπόδειξιν ἔχει τῆς τελεωτάτης. "εὐχόμην γὰρ," φησιν, "ἀνάθεμα εἶναι αὐτὸς ἐγὼ ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν "μου, τῶν συγγενῶν μου." ὅμοιον γὰρ ὡς εἴπερ λέγοι. εἰ προσκεκρουκότος ἐμοῦ τῷ Χριστῷ, ὁ Ἰσραὴλ ἀνασώζεται, εἱλόμην ἂν αὐτὸς ἐγὼ, ὁ καὶ τοῖς ἐν πίστει δεδικαιωμένοις εἰπὼν, "οὐ γὰρ "ἔκρινά τι εἰδέναι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον "ἐσταυρωμένον·" ὁ πᾶσι διακηρύττων, "τίς ἡμᾶς χωρίσει ἀπὸ "τῆς ἀγάπης τοῦ Χριστοῦ, θλίψις ἢ στενοχωρία, ἢ διωγμὸς, ἢ "λιμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα;" τὸ οὕτω δεινὸν ὑποστῆναι κακὸν, καὶ εἷς ὑπὲρ πάντων χωρίσαι πρὸς ὄλεθρον. τοῦτο δὲ ἦν σαγηνεύοντος μὲν τοὺς Ἰουδαίους εἰς εὐπειθίαν, ἀποκρουομένου δὲ τὰς τῶν ἀσυνέτων συκοφαντίας. ᾤοντο γὰρ τῶν Ἰουδαίων τινὲς, οἷον ἀπόπληκτον γεγονότα τὸν θεσπέσιον Παῦλον, τοῖς διὰ Μώσεως ἀντιφέρεσθαι νόμοις. ταύτητοι τοῖς πιστεύσασιν ἐπιστέλλει λέγων· "εἴτε γὰρ ἐξέστημεν Θεῷ, εἴτε σωφρονοῦμεν ὑμῖν·" οὐκοῦν ἑλοίμην ἂν ἔγωγε, καὶ μάλα προθύμως φησὶν, ἵνα τοὺς ἐξ αἵματος ἀνασώσαιμι, ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ. προσεπάγει δὲ ὥσπερ τῆς ἐπ' αὐτοῖς λύπης τὴν αἰτίαν, οὐκ ἀνικάνως ἔχουσαν ἀποφαίνων εἴς γε τὸ δύνασθαι τοιαύτην αὐτῷ τὴν διάθεσιν ἐνεργάζεσθαι. ἵνα μήτι δοκοίη σκληρόν τε καὶ ἀπηχὲς εἰπεῖν τῆς ἑτέρων ζωῆς ἀντάλλαγμα τὴν ἑαυτοῦ δωρούμενος. πρῶτον μὲν γάρ φησιν "Ἰσραηλῖται, αὐτῶν ἡ υἱοθεσία καὶ ἡ δόξα· καὶ αἱ διαθῆκαι καὶ ἡ νομοθεσία καὶ ἡ λατρεία καὶ αἱ ἐπαγγελίαι. ἐξ αὐτῶν "δὲ τὸ κατὰ σάρκα, καὶ αὐτὸς ὁ Χριστός." ἀλλ' εἰ μέν τινες ἦσαν τούτων οὐ πάλαι διεγνωκότων τὸν φύσειτε καὶ ἀληθῶς ὄντα Θεὸν, εἰ μὴ νόμος αὐτοῖς ὁ διὰ Μωύσεως γέγονε βραβευτὴς, τῆς εἰς αὐτὸν οἰκειότητος, εἰ μὴ τῆς τῶν ἁγίων πατέρων ἐξέφυσαν ῥίζης, καὶ τῆς ἐκείνων εὐκλείας τέθεινται κληρονόμοι. εἰ μὴ πρῶτοι τοὺς τῆς εἰς Θεὸν λατρείας μεμελητήκασιν ἐλπίδας, μετριωτέραν ἄν τις τὴν ἐπ' αὐτοῖς ἐποιήσαντο λύπην. ἐπειδὴ δὲ αὐτῶν οἱ πατέρες καὶ τὰ ἄλλα, μόνον δὲ οὐχὶ καὶ ἐξ οὐρίας*[s] *αὐτοῖς τῶν*

o

[r] Cod. ὑπερβολικῶς. [s] Cod. ἐξουρίας.

πραγμάτων ἰόντων εἰς ἀδόκητον ἐκπεπτώκασι τέλος, καὶ διημαρτήκασι τῆς ἐλπίδος· πῶς οὐ πάνδεινον ἀληθῶς τὸ τοῖς ἀθλίοις συμβεβηκός;

Γενναδίου. Τονώσας οὕτω διὰ πάντων αὐτοὺς εἰς τὸ πιστεύοντας τῷ Εὐαγγελίῳ βεβαίως, πάντας ἀόκνως τοὺς ὑπὲρ τούτου πειρασμοὺς καταδέχεσθαι, βούλεται πρὸς ἔνστασιν ἀνθυποφερομένην αὐτῷ καὶ μάλα νεανικὴν ἀποκρίνεσθαι. ἐπειδὴ γὰρ ἐν τοῖς προλαβοῦσι τὸν νόμον ἐκβαλὼν, τὴν χάριν πολυτρόπως καὶ μάλιστά γε ἀπ' αὐτοῦ τοῦ νόμου συνέστησε· καὶ ἀληθῶς υἱοὺς Θεοῦ τοὺς ταύτης ἔφησεν εἶναι, οὓς καὶ πάλαι προειδότα κεκληκέναι νῦν τὸν Θεόν· ἔγνω τὸν Ἰουδαῖον εὐθὺς τοῦτον ἀντιστησόμενον, καὶ τὴν πολυθρύλλητον αὐτοῖς ἐκείνην ἀντίθεσιν αὐτῷ προκαλούμενον. ἔφασκον γὰρ Ἰουδαίων οἱ τοῖς Ἀποστόλοις καὶ τῷ κηρύγματι πολεμοῦντες, δυοῖν ἐξ ἀνάγκης ὑπάρχειν τὸ ἕτερον· ἢ ψευδὲς τὸ εὐαγγέλιον, ἢ τὸν Θεὸν ψεύστην. εἰ μὲν γὰρ ἃ κηρύττετε, φησὶν, εἰσὶν ἀληθῆ, ψευδὴς ὁ Θεὸς, τὰς οἰκείας πρὸς τοὺς πατέρας ἡμῶν περὶ ἡμῶν ὑποσχέσεις τοῖς ἔργοις ἐξαρνησάμενος. ἐπηγγείλατο μὲν γὰρ τῷ Ἁβραὰμ, εἰς τὸ σπέρμα τὸ αὐτοῦ παραπέμψειν τὰς εὐλογίας. νυνὶ δὲ ἀνθ' ἡμῶν, ἀκαθάρτους καὶ ἀλλοφύλους ἀνθρώπους τὰ ἔθνη προσδέδεκται. εἰ τοίνυν ἡ τῶν ἐπαγγελιῶν ἐκείνων ἔκβασίς ἐστιν ὡς φατὲ τὸ ὑμέτερον κήρυγμα, πρόδηλον ὡς ἔψευσται τοὺς πατέρας ἡμῶν ὁ Θεός. εἰ δὲ οὐχ ὅσιον περὶ Θεοῦ τοῦτο εἰπεῖν, ὑμεῖς ἄρα καὶ ὁ παρ' ὑμῶν λόγος ψευδής. τοῦτον πρὸς τοὺς Ἀποστόλους τὸν λόγον συνεχῶς παραβαλλόμενοι, πραγμάτων οὐ μικρῶν αὐτοῖς αἴτιοι καὶ θορύβων καθίσταντο. διὰ γὰρ τῆς τοιαύτης πιθανολογίας αὐτῶν ἐξαπατῶντες τὰς καρδίας τῶν ἀκάκων, τούτους τε ἀφηροῦντο τῆς σωτηρίας, καὶ διωγμοὺς τοῖς Ἀποστόλοις ἀφορήτους ἐπήγειρον.

Ταύτην τοίνυν αὐτῶν καὶ νῦν ὁ ἅγιος Παῦλος τὴν ἀντίρρησιν βούλεται διαλῦσαι, καὶ δεῖξαι τόν τε τοῦ Εὐαγγελίου λόγον ἀληθῆ, καὶ τὸν Θεὸν οὐ ψευσάμενον. μέλλων δὲ τοῦτο κατασκευάζειν, εἰς αὐτοὺς ἐκείνους προτρέψαι βούλεται τὴν κατηγορίαν, καὶ τὴν ἀποβολὴν αὐτῶν, οὔτε τὸν Θεὸν ψεύστην, οὔτε τὸ Εὐαγγέλιον διελέγχειν, ἀλλὰ τὴν ἐκείνων αὐτῶν πονηρίαν τε καὶ πρὸς τὸν Θεὸν

ἀπιστίαν. ἵνα οὖν τοῦτο ποιῶν μὴ δοκοίη ποιεῖν αὐτὸ φιλονεικίᾳ[t] τινὶ καὶ μίσει τῷ πρὸς αὐτοὺς, ἀλλὰ τὸ οὕτως ἀληθείας ἔχειν τὸ πρᾶγμα, προδιορθοῦται τὸν λόγον καὶ τὸ μέλλον ἀνθυφορμεῖν ἐξ αὐτοῦ καὶ προΐστασθαι τῷ ἀκροατῇ προϊόμενος ἄρχεται οὕτως. "ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι," καὶ τὰ ἑξῆς. ἀνάθεμα τὸ ἀφωρισμένον ἐστὶν, εἴτε δὲ ἐπ' ἀγαθῷ οἷον Θεῷ, εἴτε ἐπὶ κακῷ, οἷον ἀπὸ Θεοῦ. τοῦτο δὲ ἐκ τοῦ ὑποκειμένου γνωρίζεται. "εὐχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν "ἀδελφῶν μου, τῶν συγγενῶν μου" καὶ τὰ ἑξῆς. Διελθὼν ἐν τοῖς πρὸ τούτων τῆς ἐν Χριστῷ τοῦ Θεοῦ χάριτος τὴν ὑπερβολὴν, καὶ τὴν ὑπὲρ αὐτῆς ἑαυτοῦ προθυμίαν καὶ ἔνστασιν, νῦν μέμνηται τῶν προτέρων, ὅτε καθ' ὑπερβολὴν ἐδίωκε τὴν ἐκκλησίαν τοῦ Θεοῦ καὶ ἐπόρθησεν αὐτήν· περισσοτέρως ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν αὐτοῦ παραδόσεων· καί φησιν, ὅτι αὐτὸς οὗτος ἐγὼ, ὁ νῦν ἕτοιμος ὢν ὑπὲρ τοῦ Εὐαγγελίου καὶ πᾶν ὁτιοῦν ὑπομεῖναι, οὕτως ἐκ τῆς ἐναντίας γνώμης αὐτοῦ τὸ πρόσθεν πολέμιος ἦν, ὥστε αὐχεῖν τὸ ἀπηλλοτριῶσθαι Θεοῦ, καὶ κοινωνίαν εἶναί μηδετιναοῦν πρὸς αὐτόν. οὕτω δὲ, φησὶ, διεκείμην, πρὸς τὴν κατὰ σαρκά μου τῶν Ἰουδαίων συγγένειαν ἀφορῶν, καὶ νομίζων ἐπείπερ Ἰσραηλῖται τυγχάνουσιν οὗτοι, ψευδὲς εἶναι τὸ κήρυγμα ταῖς θείαις περὶ αὐτῶν ἐναντιούμενον ὑποσχέσεσι. κατὰ γοῦν μὲν τὸν νόμον καὶ προσιέμενον δίχα τούτου τοὺς ἐθνικοὺς, ἀπωθούμενον δὲ τούτους ὧν ἡ υἱοθεσία, τουτέστιν οἵπερ ἦσαν οἱ ἐκλεκτοί· καὶ οὓς ἐνδόξους διὰ τῶν περὶ αὐτοὺς ἀεὶ θαυμάτων ἐποίησεν ὁ Θεός· καὶ οἵτινες ὑπῆρχον τῶν διαθηκῶν οἱ διάδοχοι· καὶ οἷς νομοθετῆσαι Θεὸς κατηξίωσε· καὶ οἷς ἐκ πάντων τὴν αὐτῷ προσήκουσαν λατρείαν ποιεῖν ἐφανέρωσεν. οὓς περιεῖχον αἱ ὑποσχέσεις, καὶ ὧν οἱ πατέρες, οἱ πάνυ φίλοι Θεοῦ. καὶ τὸ μέγιστον πάντων, "ἐξ ὧν Χριστὸς τὸ κατὰ σάρκα, "ὁ ὢν ἐπὶ πάντων Θεὸς, εὐλογητὸς εἰς τοὺς αἰῶνας. ἀμήν."

Πρότερον μὲν οὖν, οὕτω διεκείμην· νυνὶ δέ τι κληθῆναι διὰ τῆς χάριτος καταξιωθεὶς, καὶ γνοὺς ἀληθῶς εἶναι τοῦτο ἐκεῖνο τὸ παρὰ Θεοῦ πρὸς τοὺς πατέρας ἐπάγγελμα, κατέγνωκα μὲν ἐπὶ τοῖς

[t] Cod. φονεικίᾳ sed in marg. γρ. φιλονεικίᾳ.

πρόσθεν ἐμαυτοῦ, λύπῃ δὲ ἀφορήτῳ καὶ ὀδύνῃ συνέχομαι, διαρκῆ λογιζόμενος ὑπὲρ τινῶν τίνι διεμαχόμην. καὶ πῶς Χριστοῦ μὲν χωρίζειν καὶ ἀλλοτριοῦν ἐσπούδαζον ἐμαυτόν· προετίμων δὲ τὴν κατὰ σάρκα πρὸς τοὺς Ἰουδαίους ἠπατημένος οἰκείωσιν. ὅθεν ἐπειδὴ τὸ λεγόμενον οὐκ εὐπαράδεκτον ὄν, ἠπίστατο τῷ ἀκροατῇ, διά τε τὸ τῆς μεταβολῆς ὑπερβάλλον, καὶ ὅτι γνώμης ἦν καὶ προαιρέσεως ἀοράτου, προδιατείνεται μὴ λέγειν ψευδῆ, καὶ ἐπιμαρτύρεται τὸν Χριστὸν, ὡς παρ' ἑαυτοῦ καὶ τῆς αὐτοῦ συνεργείας τῶν λόγων αὐτοῦ τὸ ἀληθεύειν ἐχόντων. συμμαρτυρεῖ δέ μου, φησι, καὶ ἡ συνείδησις, διὰ τῆς πνευματικῆς χάριτος, εἰς τοῦτο φθάσαντος γνώμης. φήσας μέντοι τὸ "εὐχόμην αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ, ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου," προσέθηκε τὸ "κατὰ σάρκα·" διὰ τοῦτο δύο γεννήσεις ἡμῶν οἶδεν ἡ θεία γραφή· μίαν μὲν τὴν θνητὴν, ἣν καὶ σαρκικὴν ὀνομάζει. δευτέραν δὲ τὴν ἐκ νεκρῶν ἀναστάσεως, τὴν ἀθάνατον, ἣν καὶ πνευματικὴν εἶναι φησίν· "οἱ οὐκ ἐξ αἱμάτων," "γὰρ," φησὶν, "οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν." Θεὸς μὲν οὖν ἡμῶν ἐν ἑκατέρᾳ γεννήσει δημιουργός. "σὺ ἔπλασάς με," φησὶ, "καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου." ὅμως ἀνθρώπων μὲν υἱοὺς καλεῖ τοὺς τῆς προτέρας γεννήσεως· Θεοῦ δὲ τοὺς τῆς δευτέρας. θελήσας τοίνυν ὁ Ἀπόστολος τοῦτο ἐμφῆναι, ὅτι μὴ κοινωνοῦσιν αὐτῷ κατὰ τὴν θείαν συγγένειαν ἠπιστηκότες Χριστῷ, καὶ τῇ κατ' αὐτὸν νῦν ἀναφανείσῃ γεννήσει, προσέθηκε τὸ "κατὰ σάρκα·" αὕτη μὲν οὖν ἡ τῆς προεκτεθείσης πίστεως ἀκριβὴς ἑρμηνεία· κωλύει δὲ οὐδὲν καὶ τὴν δοξάσαν ἑτέροις εἰπεῖν. ἔφασαν τοίνυν τὸ, "λύπη μοί ἐστι μεγάλη καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ" τὸν Παῦλον εἰπεῖν, οὐ διότι ἐδίωξε τὴν ἐκκλησίαν τοῦ Θεοῦ, καὶ ηὔχετο ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ, ἀλλ' ὑπὲρ τῆς ἀποβολῆς τῶν Ἰουδαίων τῶν συγγενῶν αὐτοῦ κατὰ σάρκα. ὑπὲρ ὧν καὶ αὐτὸ τοῦτο εὔχεσθαι τὸ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ. ἐγὼ δὲ πρὸς τοῦτο, τοῦτο μὲν, οὔ φημι, ὅτι οὐ περὶ ἐνεστώσης, ἀλλὰ περὶ παρεληλυθυίας γνώμης ὁ λόγος αὐτῷ. εὐχόμην γοῦν εἶπεν, οὐκ εὔχομαι. πολὺ γὰρ τῆς τῶν χρόνων ἐναλλαγῆς τὸ ἀδιάφορον παρὰ τῇ γραφῇ. ἐκεῖνο δὲ λέγω, ὅτι οὐκ ἦν εἰκὸς Παῦλον τὸν ὑπὲρ τῆς εἰς Χριστὸν ἀγάπης

παθεῖν πάντα προθύμως καταδεχόμενον ὡς εὐτελοῦς πράγματος διὰ τοὺς Ἰουδαίους καταφρονεῖν τοῦ Χριστοῦ, καὶ τῆς ἰδίας πρὸς τὸν Χριστὸν οἰκειώσεως, οὕτως ἔμπροσθεν τὴν Ἰουδαίων σωτηρίαν ποιεῖσθαι, ὡς καὶ εὔχεσθαι τὸ ἀπεσχίσθαι Χριστοῦ. ἀλλ᾽ αὐτὸ τοῦτο φησὶ, τὴν τῶν Ἰουδαίων σωτηρίαν ἤδη καταθυμίαν οὖσαν Χριστῷ, καὶ διὰ τοῦτο τοῦ οἰκείου καλοῦ τὸ φίλον Χριστῷ προετίμα. καλῶς οὐκοῦν καὶ τὴν ἰδίαν σωτηρίαν οὖσαν Χριστῷ φίλην ἠπίστατο δήπουθεν· οὐ γάρ ἐστιν ἄλλως εἰπεῖν. εἰ τοίνυν ἐθεράπευε ταύτῃ παρώξυνε, καὶ χαριζόμενος μᾶλλον ἐλύπη. τὸ σώζεσθαι γὰρ, ἄλλων ἀπολλυμένων, ἥκιστα Χριστῷ προσφιλές. ἀλλ᾽ ἐπέπειστο, φησὶ, Χριστὸν αὐτὸν ἀποδεχόμενον τῆς τοιαύτης προθέσεως μὴ ἀναπολεῖν· καὶ διὰ τοῦτο ηὔχετο ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ. ἀλλὰ τοῦτο τοῦ προτέρου βαρύτερον, εἴπερ ἀσμενίζειν διὰ τὴν εἰς Χριστὸν εὔνοιαν ὑπεκρίνετο τιμωρίαν, ἣν οὐδαμῶς συμβησομένην προῄδει. θαρρῶν γὰρ τὸ μὴ παθεῖν, εἰρωνείᾳ τὴν εὔνοιαν διὰ τοῦ τοιούτου πάθους ἐπλάττετο.

ΔΙΟΔΩΡΟΥ. *Ἀναγκαίως τῷ παρέποντι*[u] *ὅρκῳ πιστοῦται τὸν λόγον. προειπὼν γὰρ ὅτι οὐκ ἔστι τι ὃ δυνήσεται αὐτὸν χωρίσαι τῆς ἀγάπης τοῦ Χριστοῦ, ἐπάγει ὅτι μόνος τῆς συγγενείας αὐτοῦ ἡττᾶται. φησὶν οὖν ὅτι ὑπὲρ τῶν Ἰουδαίων ἡδέως ἂν καὶ σῶμα καὶ ψυχὴν προήκατο. ἵνα ὧν ἐκπεπτώκασι, τὰ αὐτὰ πάλιν ἀνακαλέσωνται πιστεύσαντες εἰς Χριστόν. τί γὰρ τῶν καλῶν οὐκ Ἰουδαίων ἦν, ἐφ᾽ οἷς νῦν τὰ ἔθνη σεμνύνεται; ἡ υἱοθεσία, ἡ δόξα, αἱ διαθῆκαι, αἱ ἐπαγγελίαι, ἡ λατρεία, οἱ θεοφιλεῖς πατέρες· καὶ τὸ μέγιστον, ἐξ ὧν ὁ Χριστὸς, τὸ κατὰ σάρκα. ἐξ αὐτῶν, φησὶν, ὁ Χριστός. Θεὸς δὲ οὐ μόνων αὐτῶν, ἀλλὰ κοινῇ ἐπὶ πάντων ἐστὶ Θεός. τούτων οὖν πάντων ἐκπεπτώκασιν Ἰουδαῖοι· ἀλλ᾽ ἵνα ταῦτα ἀνακτήσωνται, φησὶν, ἡδέως ἂν ἀνάθεμα ὑπὲρ αὐτῶν ἐγενόμην ἀπὸ τοῦ Χριστοῦ. τὸ δὲ ἀνάθεμα τὸν ἀλλότριον δηλοῖ. ἐπεὶ τὸ ἀνατεθὲν τοῦ ἀνατεθέντος ἀλλότριον. ἀναγκαίως δὲ ὅσην ἔχει περὶ αὐτοὺς διάθεσιν δείκνυσιν. ἵνα μήτις τοὺς κατ᾽ αὐτῶν ἐλέγχους πρὸς ἀπέχθειαν λέγεσθαι ὑποβάλλοι*[x].

λείπει

[u] Leg. πρέποντι. [x] Hic desinit Codex Bodl.

SUPPLEMENTUM

E CODICE MONACENSI.

---

7 **Τί οὖν ἐροῦμεν· ὁ νόμος ἁμαρτία; μὴ γένοιτο· ἀλλὰ τὴν ἁμαρτίαν οὐκ ἔγνων, εἰ μὴ διὰ νόμου.**

Τοῦ Χρυσοστόμου. Ἀντίθεσιν πάλιν ἀνακύπτουσαν λύει· ἐπειδὴ γὰρ εἶπεν "ἐν καινότητι πνεύματος καὶ οὐ παλαιότητι "γράμματος," ἐπήγαγε, "τί οὖν ἐροῦμεν· ὁ νόμος ἁμαρτία;" καὶ γὰρ πρὸς τούτου ἦν εἰρηκὼς, ὅτι τὰ παθήματα τῶν ἁμαρτιῶν "διὰ τοῦ νόμου ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν· καὶ ἁμαρτία "ὑμῶν οὐ κυριεύσει· οὐ γὰρ ἐστὲ ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν·" καὶ, "οὗ γὰρ οὐκ ἔστι νόμος, οὐδὲ παράβασις·" καὶ, "ὁ νόμος "δὲ παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα." καὶ, "ὁ νόμος "ὀργὴν κατεργάζεται." ἐπεὶ οὖν ταῦτα ἅπαντα ἐδόκει διαβολὴν φέρειν τῷ νόμῳ, ὡς διορθούμενος τὴν ἐκ τούτων ὑπόνοιαν, τίθησι τὴν ἀντίθεσιν, καὶ φησὶ, "μὴ γένοιτο·" πρὸ τῆς κατασκευῆς ἀπηγόρευσε τὸν ἀκροατὴν οἰκειούμενος, καὶ τὸν σκανδαλιζόμενον θεραπεύων· λοιπὸν γὰρ ὁ ἀκούσας καὶ ὑπὲρ τῆς διαθέσεως αὐτοῦ πληροφορηθεὶς, ζητεῖ μετ' αὐτοῦ τὸ δοκοῦν εἶναι ἄπορον· καὶ οὐχ ὑποπτεύει τὸν λέγοντα· διὸ καὶ τὴν ἀντίθεσιν, προσλαβὼν ἐκεῖνον τέθεικεν· οὐ γὰρ εἶπε· τί οὖν εἴποιμι ἄν; ἀλλὰ "τί οὖν ἐροῦμεν;" ὡς βουλῆς καὶ γνώμης προκειμένης· καὶ ἐκκλησίας κοινῆς συγκεκροτημένης· καὶ οὐ παρ' αὐτοῦ, ἀλλὰ παρὰ τῆς τῶν εἰρημένων ἀκολουθίας, καὶ τῆς τῶν πραγμάτων ἀληθείας, τῆς ἀντιθέσεως φανείσης.

Ὅτι μὲν γὰρ τὸ γράμμα ἀποκτεῖναι δύναται, οὐδεὶς ἀντερεῖ, φησί. καὶ ὅτι τὸ πνεῦμα ζωοποιεῖ, καὶ τοῦτο δῆλον. καὶ οὐδεὶς ἂν φιλονεικήσειεν. εἰ τοίνυν ταῦτα ὡμολογημένα, τί ἂν εἴποιμεν

περὶ τοῦ νόμου; ὅτι ἁμαρτία; μὴ γένοιτο· λῦσον οὖν τὴν ἀπορίαν. εἶδες πῶς μεθ' ἑαυτοῦ τὸν ἀντίδικον ἵστησι, καὶ τὸ τοῦ διδάσκοντος ἀξίωμα λαβὼν ἐπὶ τὴν λύσιν ἔρχεται; τίς οὖν ἡ λύσις; ἁμαρτία μὲν οὐκ ἔστι φησί· "τὴν δὲ ἁμαρτίαν οὐκ "ἔγνων, εἰ μὴ διὰ νόμου." ὅρα σοφίας ἐπίτασιν. ὅπερ γὰρ οὐκ ἔστιν ὁ νόμος, ἐξ ἀντιθέσεως τέθεικεν, ἵνα ἀναιρῶν τοῦτο, καὶ ταύτῃ χαριζόμενος τῷ Ἰουδαίῳ, πείσῃ τὸ ἔλαττον αὐτὸν καταδέξασθαι. τί ἐστι τὸ ἔλαττον; "ὅτι τὴν ἁμαρτίαν οὐκ ἔγνων, εἰ μὴ διὰ "νόμου."

Τοῦ Θεοδωρήτου. Πολλὰ γὰρ εἰρηκὼς ἀνωτέρω, τοῦ νόμου καθαπτόμενα, καὶ προορῶν ὡς πνευματικῆς χάριτος ἠξιωμένος, ὅτι τῶν αἱρετικῶν τινὲς εἰς κατηγορίαν ταῦτα τῆς παλαιᾶς λήψονται διαθήκης, καὶ νομιοῦσιν ἄλλου τινὸς εἶναι Θεοῦ τὸν νόμον τὸν παλαιὸν, ἀναγκαίως καὶ τὰς ἀντιθέσεις τίθησι· καὶ ἐπιφέρει τὰς λύσεις. καὶ πρῶτον μὲν, βλάσφημον ἔδειξε τὴν ἐρώτησιν, τὸν ἀπαγορευτικὸν λόγον τεθεικώς· "μὴ γένοιτο." εἶτα διδάσκει τοῦ νόμου τὸ χρήσιμον· οὐ μόνον γάρ φησιν οὐκ ἔστιν ὁ νόμος ἁμαρτίας διδακτικός· ἀλλὰ καὶ τὸ ἐναντίον, ἁμαρτίας κατήγορος· οὐ γὰρ ἂν ἔγνων, τί τὸ κακὸν, εἰ μὴ ὁ νόμος ἐδίδαξεν.

Σευηριανοῦ. Οὐκ εἶπεν οὐκ ἐποίησα· ἀλλ' "οὐκ ἔγνων." ὥστε οὐ τοῦ ποιεῖν, ἀλλὰ τοῦ διαγινώσκειν τὴν ἁμαρτίαν, ὁ νόμος αἴτιος· παιδευτικὸς οὖν ὁ νόμος· μὴ συγχωρῶν διὰ τῆς ἀγνοίας εἰς τὴν τῶν ἀλόγων ἐκπίπτειν φύσιν· ἐκεῖνο μέντοι ζητητέον, πῶς ἐνταῦθα εἰπὼν, "τὴν ἁμαρτίαν οὐκ ᾔδειν, εἰ μὴ διὰ νόμου," ἐν ἑτέροις δείκνυσιν, ὅτι ἔχομεν ἐν ἑαυτοῖς τὸ διακριτικὸν, ἐν οἷς φησί· "ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου "ποιῇ·" παρίστησι γὰρ διὰ τούτων ὅτι καὶ ἄνευ νόμου ἐνῆν συνορᾶν τὰ δέοντα. λεκτέον δὲ ὅτι εἰ καὶ ἐνῆν, ἀλλ' οὐ πάντα· οὕτω γε καὶ νῦν ἔτι ἔνια παρ' ἄλλοις ἔθνεσιν ὡς καλὰ καὶ ἔννομα πολιτεύεται· παρ' ἄλλοις δὲ ὡς ἄνομα καὶ κακῶς ἔχοντα ἐκβάλλεται· διὸ δὴ ἀναγκαία τοῦ νόμου ἡ δόσις· διορίζουσα ἡμῖν τά τε πρακτέα καὶ τὰ μή· καὶ διαρθροῦσα καὶ φωτίζουσα τοῦ δικαίου τὴν πολιτείαν.

Κυρίλλου. Ἄθρει δὴ ὅπως σοφῶς τοὺς ἐπὶ τῷ νόμῳ ποιεῖται λόγους. ἔφη μὲν γὰρ, ὅτι "ὅτε ἦμεν ἐν τῇ σαρκὶ, τὰ παθήματα

"τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν·" ἀπήλλακτο δ' ἂν οὐδαμῶς ὑποψίας ὁ λόγος· ἔφη γὰρ ἄν τις πρὸς ταῦτα εὐθύς· βραβευτὴς οὖν ἄρα καὶ εἰσηγητὴς τῆς ἁμαρτίας ὁ νόμος. εἰ γάρ ἐστιν ἀληθὲς ὡς ἐνεργεῖται δι' αὐτοῦ ἐν ἡμῖν τὰ παθήματα τῆς σαρκὸς, πῶς οὐκ ἂν νοοῖτο καὶ ἁμαρτίας γένεσις; τί οὖν ὁ μυσταγωγός; δριμὺς ἀπαντᾷ· καὶ ἀποφάσκει μὲν, ὅτι οὐ πατὴρ ἁμαρτίας ὁ νόμος· αἰτιᾶται δὲ τὴν ἀνθρώπου φύσιν ὡς ἀσθενῆ μᾶλλον, καὶ δι' αὐτοῦ παθοῦσαν τὸ ἐναλῶναι δίκαις. ταύτῃ τοι φησίν. "τί οὖν ἐροῦμεν; ὁ νόμος ἁμαρτία; μὴ γένοιτο. ἀλλὰ "τὴν ἁμαρτίαν οὐκ ἔγνων, εἰ μὴ διὰ νόμου." ὅρα τοίνυν ὅτι οὐκ εἶπε τὴν ἁμαρτίαν οὐκ εἶχον εἰ μὴ διὰ νόμου· ἀλλ' ὅτι μὴ ἔγνων μᾶλλον αὐτήν· οὐκοῦν οὐ πρόφασις ἁμαρτίας ὁ νόμος· παραδεικτικὸς δὲ μᾶλλον αὐτῆς. τοῖς οὐκ εἰδόσιν αὐτὴν ἐμφανῆ καθιστάς· οὐχ ἵνα μαθόντες ἐργάσοιντο· εἴ γε καὶ πρὶν εἰδέναι πάντως που καὶ ἔδρων. "οὐ γὰρ ἦν δίκαιος οὐδὲ εἷς," κατὰ τὴν τοῦ ψάλλοντος φωνήν. ἀλλ' ἵνα τὸ ἀδικοῦν εἰδότες, πρὸς τὰ ἀμείνω μεταχωρήσειαν.

Καί μοι δοκεῖ γενέσθαί τι τοιοῦτον τοῖς ἀρχαιοτέροις διὰ τοῦ Μωσέως ἐντολῆς. ὑποκείσθω τῷ λόγῳ πλατεῖα τίς οἶμος· ἀποκομίζουσά ποι· καὶ διερρίφθω μὲν ἐν αὐτῇ πολλὴ διὰ μέσου χερμάς· ὀρωρύχθων δὲ εἰ δοκεῖ καὶ βόθροι. εἶτά τινες ἔστωσαν οἱ ἐν νυκτὶ καὶ σκότῳ βαδίζοντες ἐν αὐτῇ· περιπταίοντές τε καὶ μάλα συχνῶς τοῖς διὰ μέσου κειμένοις· καὶ μὴν βόθροις ἀβουλήτως ἐγκαθιέμενοι. ἔχοντος δὲ ὧδε τοῦ πράγματος. δᾶδα τίς λαβὼν, ἐπ' αὐταῖς ἔστησε ταῖς τριόδοις· ἐμφανῆ καθιστὰς τοῖς ἰοῦσι τὰ μεταξύ· οὐχ ἵνα πάλιν αὐτοῖς περιπταίωσιν, ἀλλ' ἵνα ἀπαλλάττοιντο τοῦ κακοῦ. ἆρ' οὖν ἠδίκησε τὸ φῶς, ὅτι παρέδειξε τὸ λυποῦν; ἢ μᾶλλον ἐκεῖνο φαμέν· ὡς πλείστην ὅσην αὐτοῖς ἐνεποίει τὴν ὄνησιν; ἀπετέλει δὲ καὶ ἀσφαλεστέρους; ἀλλ' οἶμαι τοῦτό ἐστιν οὐδενὶ τῶν ὄντων ἀσυμφανές. ὅτε τοίνυν ὄντες ἁμαρτωλοί· πλείστοις τὲ ὅσοις ἐγκλήμασι περιπταίοντες, ἐγνώκαμεν διὰ τοῦ νόμου τὴν ἁμαρτίαν. οὐχ ἁμαρτία μᾶλλον ὁ νόμος νοοῖτ' ἂν εἰκότως ἢ λέγοιτο· πολλοῦ γε καὶ δεῖ. παραδεικτικὸς δὲ μᾶλλον τῆς ἁμαρτίας, ὡς ἔφην.

Φωτίου. Οὐκ εἶπε δὲ, τί οὖν ὁ νόμος ἀπέθανεν, ἢ κατήργηται; τοῦτο γὰρ ἐβούλετο· ἀλλ' ὅπερ μὴ δὲ αὐτῷ ἐδόκει. τί οὖν φησὶν, "ὁ νόμος ἁμαρτία;" διὸ ἐπάγει, "μὴ γένοιτο·" ἅμα κἀκεῖνος (sic) λεαίνων καὶ τὰ αὐτοῦ οὐκ ἀναιρῶν. οὐ γὰρ εἰ μὴ ἐστὶν ἁμαρτία, ἤδη καὶ οὐκ ἀπέθανεν, ἢ οὐ κατήργηται· ὅπερ αὐτὸς καὶ ἐδείκνυ καὶ ἐβούλετο.

Τήν τε γὰρ ἐπιθυμίαν οὐκ ᾔδειν, εἰ μὴ ὁ νόμος οὐκ
8 ἐπιθυμήσεις ἔλεγεν· ἀφορμὴν δὲ λαβοῦσα ἡ ἁμαρτία
διὰ τῆς ἐντολῆς, κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυ-
μίαν.

Τοῦ Χρυσοστόμου. Ὁρᾷς ὅπως κατὰ μικρὸν οὐχὶ μόνον κατήγορον τὸν νόμον δείκνυσι τῆς ἁμαρτίας, ἀλλ' ἠρέμα καὶ κατασκευαστικόν; οὐ μὴν παρὰ τὴν αἰτίαν τὴν αὐτοῦ, ἀλλὰ παρὰ τὴν τῶν ἀγνωμόνων Ἰουδαίων, ἀποφαίνει τοῦτο συμβαῖνον· καὶ γὰρ καὶ Μανιχαίων ἐσπούδακεν ἐμφράξαι τὰ στόματα, τῶν κατηγορούντων τοῦ νόμου· διὸ ἐπήγαγεν "ἀφορμὴν δὲ λαβοῦσα ἡ "ἁμαρτία διὰ τῆς ἐντολῆς." εἶδες πῶς αὐτὴν ἀπήλλαξεν ἐγκλημάτων; ἡ ἁμαρτία φησὶ, οὐχ ὁ νόμος ηὔξησε τὴν ἐπιθυμίαν. καὶ τοὐναντίον οὗπερ ἐβούλετο ὁ νόμος γέγονεν· ὅπερ ἀσθενείας ἦν, οὐ πονηρίας· ὅταν γάρ τινος ἐπιθυμῶμεν, εἶτα κωλυώμεθα, αἴρεται μᾶλλον τῆς ἐπιθυμίας ἡ φλόξ. ἀλλ' οὐ παρὰ τὸν νόμον τοῦτο· αὐτὸς μὲν γὰρ ἐσπούδαζεν ὥς τε ἀπαγαγεῖν· ἡ δὲ ἁμαρτία, τουτέστιν, ἡ ῥαθυμία ἡ σὴ, καὶ ἡ γνώμη ἡ πονηρὰ, τῷ κακῷ πρὸς τὸ ἐναντίον ἐχρήσατο. ἀλλ' οὐ τοῦ ἰατροῦ τὸ ἔγκλημα· ἀλλὰ τοῦ ἀρρωστοῦντος· τῷ φαρμάκῳ κακῶς χρησαμένου. οὐ γὰρ διὰ τοῦτο ἐδόθη ὁ νόμος, ἵνα ἀνάψῃ τὴν ἐπιθυμίαν, ἀλλ' ἵνα σβέσῃ. τοὐναντίον δὲ ἐξέβη. ἀλλ' οὐκ ἐκείνου, ἀλλ' ἡμῶν ἡ κατηγορία· οὐδὲ γὰρ εἴ τις τῷ πυρέττοντι καὶ ψυχροποσίας ἀκαίρως ἐπιθυμοῦντι· μὴ παρασχὼν ἐμφορηθῆναι τῆς ὀλεθρίας ταύτης ἡδονῆς αὐξήσειε τὴν ἐπιθυμίαν, ἐγκαλοῖτ' ἂν δικαίως. τοῦ γὰρ ἰατροῦ, τὸ κωλῦσαι ἦν μόνον, τὸ δὲ ἀποσχέσθαι, τοῦ κάμνοντος. τί γὰρ εἰ ἡ ἁμαρτία ἐξ αὐτοῦ τὴν ἀφορμὴν ἔλαβεν; ἐξ ἀγαθῶν γὰρ ἐπιταγμάτων πολλοὶ τῶν πονηρῶν τὴν ἑαυτῶν πονηρίαν αὔξουσιν. ἐπεὶ καὶ ὁ διάβο-

λος οὕτω τὸν Ἰούδαν ἀπώλεσεν· εἰς φιλοχρηματίαν ἐμβαλὼν, καὶ κλέπτειν τὰ τῶν πενήτων ποιήσας. ἀλλ' οὐ τὸ πιστευθῆναι τὸ γλωσσόκομον αὐτὸν, τοῦτο εἰργάσατο, ἀλλ' ἡ τῆς γνώμης πονηρία. καὶ ἡ Εὔα δὲ τὸν Ἀδὰμ ἀπὸ τοῦ ξύλου παρασκευάσασα φαγεῖν, ἐξέβαλεν ἀπὸ τοῦ παραδείσου. ἀλλ' οὐδὲ ἐκεῖ τὸ δένδρον αἴτιον. εἰ καὶ δι' αὐτοῦ ἡ ἀφορμὴ γέγονεν.

Εἰ δὲ καὶ σφοδρότερον κέχρηται τῷ λόγῳ τῷ περὶ τοῦ νόμου, μὴ θαυμάσῃς· πρὸς γὰρ τὸ κατεπεῖγον ὁ Παῦλος ἵσταται. οὐκ ἀφιεὶς μὲν οὐδὲ τοῖς ἄλλως ὑποπτεύουσι τὰ λεγόμενα, λαβὴν παρασχεῖν. πολλὴν δὲ σπουδὴν ποιούμενος, τὸ παρὸν διορθῶσαι. μὴ τοίνυν γυμνὰ ἐξέταζε τὰ ἐνταῦθα λεγόμενα, ἀλλὰ καὶ τὴν ὑπόθεσιν προστίθει δι' ἣν ταῦτα εἰπεῖν προσάγεται· καὶ τὴν μανίαν λογίζου τὴν Ἰουδαικήν· καὶ τὴν εὔτονον αὐτῶν φιλονεικίαν· ἣν καταλῦσαι σπεύδων, δοκεῖ πολὺς κατὰ τοῦ νόμου πνεῖν· οὐχ ἵνα ἐκεῖνον διαβάλλῃ, ἀλλ' ἵνα τούτων ἐκλύσῃ τὸν τόνον. εἰ γὰρ ἔγκλημα τοῦ νόμου τὸ δι' αὐτοῦ τὴν ἁμαρτίαν ἀφορμὴν λαβεῖν[a], εὑρεθήσεται καὶ ἐν τῇ καινῇ τοῦτο συμβαῖνον. καὶ γὰρ καὶ ἐν τῇ καινῇ νόμοι μυρίοι· καὶ περὶ πολλῷ μειζόνων πραγμάτων. καὶ τοῦτο ἴδοι τίς ἂν ἐκβαῖνον κἀκεῖ· οὐκ ἐπὶ τῆς ἐπιθυμίας μόνον· ἀλλ' ἐπὶ πάσης ἁπλῶς κακίας· "εἰ γὰρ μὴ ἦλθον," φησὶ, "καὶ "ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον." οὐκοῦν ἐντεῦθεν ἡ ἁμαρτία τὴν ὑπόθεσιν ἔλαβε, καὶ ἡ μείζων κόλασις. καὶ πάλιν περὶ τῆς χάριτος ὁ Παῦλος διαλεγόμενος, φησίν. "πόσῳ δοκεῖτε χεί-"ρονος ἀξιωθήσεται τιμωρίας, ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατή-"σας;" οὐκοῦν καὶ ἡ χείρων τιμωρία τὴν ἀφορμὴν ἐντεῦθεν ἔχει ἀπὸ τῆς μείζονος εὐεργεσίας. καὶ τοὺς Ἕλληνας δὲ διὰ τοῦτο φησὶν ἀναπολογήτους εἶναι. ὅτι καὶ λόγῳ τιμηθέντες, καὶ τῆς κτίσεως καταμαθόντες τὸ κάλλος, καὶ ἀπ' αὐτῆς δυνάμενοι πρὸς τὸν δημιουργὸν χειραγωγηθῆναι, τῇ σοφίᾳ τοῦ Θεοῦ οὐκ εἰς δέον ἐχρήσαντο.

Ὁρᾷς πανταχοῦ τοῖς πονηροῖς τὰς ἀφορμὰς τοῦ μειζόνως κολάζεσθαι ἀπὸ τῶν ἀγαθῶν γινομένας πραγμάτων; ἀλλ' οὐ δήπου

[a] Cod. λαβὴν, sed in marg. λαβεῖν a. m. rec.

διὰ τοῦτο κατηγορήσομεν τῶν εὐεργεσιῶν τοῦ Θεοῦ. ἀλλὰ ταύτας μὲν θαυμασόμεθα μειζόνως· καὶ μετὰ ταῦτα, τὴν δὲ γνώμην τῶν εἰς τἀναντία τοῖς ἀγαθοῖς κεχρημένων, διαβαλοῦμεν· τοῦτο τοίνυν καὶ ἐπὶ τοῦ νόμου ποιῶμεν. ἀλλὰ τοῦτο μὲν ῥάδιον καὶ εὔκαλον. τὸ δὲ ἄπορον, ἐκεῖνο ἐστί. πῶς φησὶν "τὴν ἐπιθυμίαν οὐκ ᾔδειν, "εἰ μὴ ὁ νόμος ἔλεγεν, οὐκ ἐπιθυμήσεις." εἰ γὰρ οὐκ ᾔδει τὴν ἐπιθυμίαν πρὶν ἢ λαβεῖν τὸν νόμον ὁ ἄνθρωπος, πόθεν ὁ κατακλυσμὸς γέγονε; πόθεν τὰ Σόδομα ἐνεπρήθη; τί οὖν φησί; τὴν ἐπιτεταμένην ἐπιθυμίαν· διὰ τοῦτο οὐκ εἶπε κατειργάσατο ἐν ἐμοὶ ἐπιθυμίαν, ἀλλὰ "πᾶσαν ἐπιθυμίαν," τὸ σφοδρὸν ἐνταῦθα αἰνιττόμενος.

Θεοδωρήτου. Ἢ τὸ, "οὐκ ᾔδειν" καὶ "οὐκ ἔγνων," οὐ τῆς παντελοῦς ἀγνοίας ἐνταῦθα δηλωτικά· ἀλλὰ τοῦτο λέγει, ὅτι ἀκριβεστέραν τῆς φυσικῆς διακρίσεως ἐδεξάμην γνῶσιν διὰ τοῦ νόμου· ἡ δὲ προσθήκη τοῦ "ἀφορμὴν λαβοῦσα ἡ ἁμαρτία διὰ "τῆς ἐντολῆς πᾶσαν ἐπιθυμίαν ἐν ἐμοὶ κατειργάσατο," δείκνυσι τὸν νόμον τῆς κατηγορίας ἐλεύθερον. ἐπειδὴ γὰρ εἶπεν ὅτι ηὐξήθη τὰ ἁμαρτήματα τῇ θέσει τοῦ νόμου, ἵνα μή τις ὑπολάβῃ τὸν νόμον αἴτιον γεγενῆσθαι, ἀναγκαίως ὑποδείκνυσι τὸν τρόπον· ὅτι πρόφασιν διαμάχης ἡ ἁμαρτία τὴν νομοθεσίαν λαβοῦσα, τὸν ἀσθενέστερον κατετροπώσατο λογισμόν.

Γενναδίου. Μετρούσης γάρ μοι τῆς ἐντολῆς τὴν ἐγκειμένην ἐπιθυμίαν τῇ φύσει· καὶ τὴν χρῆσιν αὐτῆς ἄφετον οὐκ ἐώσης, ἀλλ' ὅροις τακτοῖς αὐτὴν περιγραφούσης τὲ καὶ περιλαμβανούσης, ἡ ἁμαρτία λαβοῦσα ταύτη δι' αὐτῆς ἀφορμὴν, τουτέστιν ἰσχύος εὐπορήσασα καὶ ἐπικουρίας, εἶτά με πρὸς ἀμετρίαν ὑποσκελίσασα, ἐνεργὸν εἰς ἁμαρτίαν μοι πᾶσαν ἐπιθυμίαν ἀπειρημένην κατέστησε. τῷ γὰρ "κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυ-"μίαν," ἐνδεῖ, τὸ, ἀπηγορευμένην.

Τοῦ Χρυσοστόμου. Καὶ τί τοῦ νόμου τὸ κέρδος, εἰ τὸ πάθος ηὔξησε φησίν; οὐδὲν, ἀλλὰ καὶ πολὺ τὸ βλάβος. ἀλλ' οὐ τοῦ νόμου τὸ ἔγκλημα. ἀλλὰ τῆς ῥαθυμίας τῶν δεξαμένων. ἡ γὰρ ἁμαρτία αὐτὸ κατειργάσατο. ἀλλὰ διὰ τοῦ νόμου. ἀλλ' οὐ τοῦτο τοῦ νόμου σπουδάζοντος, ἀλλὰ καὶ τὸ ἐναντίον. ἰσχυρότερα οὖν

γέγονε, φησὶν, ἡ ἁμαρτία; καὶ σφόδρα· ἀλλ᾽ οὐ δὲ τοῦτο ἔγκλημα τοῦ νόμου πάλιν, ἀλλὰ τῆς ἐκείνων ἀγνωμοσύνης.

Σευηριανου. Εἰ δὲ βούλει, ἁμαρτίαν ὧδε νόησον, τὸν διάβολον. ὥσπερ γὰρ τὸν Σωτῆρα ζωὴν ἡ γραφὴ καλεῖ, καὶ δικαιοσύνην, τῷ ζωῆς καὶ δικαιοσύνης αἴτιον εἶναι· οὕτω καὶ τὴν ἐναντίαν δύναμιν ἐκ τῆς οἰκείας ἐνεργείας, ποτὲ μὲν, ἁμαρτίαν, ποτὲ δὲ ψεῦδος καὶ ἀθάνατον[b] καλεῖ. οὕτω καὶ ἐν τοῖς ἑξῆς εἰπὼν "ἡ "ἁμαρτία ἀνέζησε," τὸν διάβολον καλεῖ. λοιπὸν οὖν διὰ τῆς ἐντολῆς ἀφορμὴν ὁ διάβολος ἔλαβεν. ὅτι τὰ παραγγέλματα τοῦ νόμου ὡς ὕλην τινὰ τῆς ἑαυτοῦ τέχνης ποιησάμενος· εἰς τὸ ἐναντίον ταῖς ἐντολαῖς περιέτρεπε τὸν ἄνθρωπον. ἰστέον μέντοι ὅτι δι᾽ ἑαυτοῦ ὁ Ἀπόστολος τὸ κοινὸν δηλοῖ.

Κυρίλλου. Καὶ τὸ τῆς ἡμετέρας φύσεως ἀδρανὲς παρεισάγει. ὅτι δοθεὶς ὁ νόμος εἰς ὄνησιν, ἐπεβούλευσεν ἀδοκήτως. ὡς καὶ τοῖς τὸν ὀφθαλμὸν ἀσθενοῦσι τοῦ ἡλίου τὸ φῶς. ὅταν οὖν λέγῃ, ἀφορμὴν ταῖς ἐπιθυμίαις τρόπον τινὰ τὴν ἐντολὴν γεγενῆσθαι, μηδεὶς κατηγορεῖν αὐτὸν οἰέσθω τοῦ νόμου· ἀλλὰ κατακεκραγέναι μᾶλλον τῆς ἐν ἡμῖν ἀσθενείας. ἀνθ᾽ ὧν ἐχρῆν ἀνακόπτεσθαι διὰ τοῦ νόμου, διὰ τούτων εἰς τὰ χείρω παρατρυνομένους. ἡ γὰρ ἀνθρώπου διάνοια τὸ φιλόκαινον ἀεὶ πρὸς ἐπιθυμίας νοσεῖ. καὶ ὁ μὲν ποιῶν τὰς ἐπιθυμίας, ὡς θέλει ζῇ, ἀνενόχλητος ὤν. ὁ δὲ ἀνακόπτων αὐτὰς, ἀγριωτέραν εἰσδέχεται τὴν τῶν παθῶν ἔφοδον. καὶ τῶν μὲν προχείρων οὐδεὶς ἐπιθυμεῖ· ὧν δὲ κωλύεται τίς ἐπιθυμεῖ. ὅθεν τοῦ νόμου κωλύσαντος τὸ βλάπτον, γέγονεν ἀφορμὴ τοῖς ἀσθενεστέροις, τοῦ πλέον αὐτοῦ ἐπιθυμεῖν.

Θεοδώρου Μονάχου. Τάχα δὲ καὶ εἰς τὰ κατὰ τὸν Ἀδὰμ ὡς ἐν ὑποδείγματος λόγῳ εἴποι τίς ἀναφέρεσθαι τὸ προκείμενον. ἐπεὶ κἀκεῖνος προκειμένων αὐτῷ, φυτῶν ἀδεῶς ἁπάντων μεταλαμβάνειν ἠδύνατο, εἰ μὴ νόμος αὐτῷ περὶ ἀποχῆς ἔτυχε δοθείς. καὶ οὐκ ἦν ἁμάρτημα, τὸ μετὰ τῶν λοιπῶν, κἀκείνου φαγεῖν. ἐπειδὴ δὲ ἐντολὴν ἐδέξατο ἀποσχέσθαι τοῦ φύτου τῆς βρώσεως, ἐπιθυμία μέν τις ἐνῆν αὐτῷ τῆς μεταλήψεως ὡς εἰκὸς τοῦ καρποῦ. ἐκωλύετο

[b] Leg. θάνατον.

δὲ ὑπὸ τῆς ἐντολῆς. ἁμάρτημα εἶναι τὸ φαγεῖν τῶν ἀπαγορευθέντων, ἡγούμενος. ἐντεῦθεν ἡ ἁμαρτία πάροδον ἔσχε. τῆς μὲν ἐντολῆς ἐπεχούσης τὴν βρῶσιν· τοῦ δὲ Ἀδὰμ οὐ πρὸς τὴν ἀξιοπιστίαν αὐτῆς βουληθέντος ἰδεῖν, ἀλλὰ τοῦ ἐπιβούλου πιστωθέντος τοῖς λόγοις, καὶ ὅλου τῆς ἐπιθυμίας τοῦ φαγεῖν γεγόνοτος. καὶ οὐ μόνον ἀφορμὴ τῆς ἐπιθυμίας ἐντεῦθεν ἐγένετο· ἀλλὰ κἀκεῖνο ἐμάθομεν· ὡς οὐχ ἁπάσαις ταῖς ἐπιθυμίαις προσῆκεν ἕπεσθαι ἡμᾶς. δοκιμάζοντας δὲ ἃ χρὴ ποιεῖν, τῶν ἑτέρων ἀπέχεσθαι· οἷς οὐκ ἐμμένοντες, δῆλοι πάντως ἐσμὲν ἁμαρτάνοντες. ὥστε οὐ κατ' ἐκεῖνο μόνον ἡ ἁμαρτία τὴν πάροδον ἔσχε διὰ τῆς ἐντολῆς, καθὸ τοῦ φυτοῦ μετειλήφειμεν. ἀλλὰ γὰρ καὶ ὅτι μὴ πάσαις ἕπεσθαι ταῖς ἐπιθυμίαις μαθόντες, ἡμάρτομεν ἁπάσας παρὰ τὸ δέον πληροῦν ἐπειγόμενοι. τοῦτο τὰρ λέγει, τὸ, "κατειργάσατο ἐν ἐμοὶ "πᾶσαν ἐπιθυμίαν." ἀντὶ τοῦ παντὸς ἁμαρτήματος ἀπό τινος ἐπιθυμίας τικτομένου, ἐντεῦθεν ἡ ἀρχὴ γέγονεν ἡμῖν. ἅτε δὴ τῆς διακρίσεως τὰς ἀφορμὰς δεξαμένοις ἐντεῦθεν· οὕτω καὶ ἐν τοῖς ἀνωτέροις· τῷ, "τὴν ἐπιθυμίαν οὐκ ᾔδειν, εἰ μὴ ὁ νόμος ἔλεγεν "οὐκ ἐπιθυμήσεις," ἀντὶ τοῦ, οὐκ ἂν ᾔδειν εἰ μὴ ὁ νόμος ἦν ὁ τοῦτο διορίζων, ὡς οὐ δεῖ τι ποιεῖν τῶν ἐν ἐπιθυμίᾳ κειμένων. καὶ γὰρ τὸ "ἐν ἐμοὶ" ὅτε λέγει, τὸ κοινὸν λέγει τῶν ἀνθρώπων· καὶ τοῖς τοῦ Ἀδὰμ εἰς ἀπόδειξιν κέχρηται τῶν κοινῶν.

Χωρὶς γὰρ νόμου· ἁμαρτία νεκρά.

Χρυσοστόμου. Τουτέστιν, οὐχ οὕτω γνώριμος. ᾔδεσαν μὲν γὰρ καὶ οἱ πρὸ τοῦ νόμου, ὅτι ἡμάρτανον. ἀκριβέστερον δὲ ἔμαθον μετὰ τὴν τοῦ νόμου δόσιν. διὰ τοῦτο καὶ μείζονος ἦσαν κατηγορίας ὑπεύθυνοι. οὐδὲ γὰρ ἦν ἴσον, φύσιν ἔχειν κατήγορον. καὶ μετὰ τῆς φύσεως καὶ τὸν νόμον φανερῶς διαγορεύοντα ἅπαντα.

Ἰσιδώρου. Οὔκουν τοῦτο αἰνίττεται· ὅτι οὐκ ᾔδεσαν ἁμαρτάνοντες. ἐπεὶ ἀλόγως εὑρεθεῖεν ἂν κολασθέντες, οἱ πρὸ τοῦ νόμου· οἱ μὲν γὰρ, ὕδατος, οἱ δὲ, πυρὸς ἔργον ἐγένοντο· ἀλλ' ὅτι ᾔδεσαν μὲν, οὐχ οὕτω δὲ ἀκριβῶς. διὸ ἐκολάζοντο μὲν, οὐχ οὕτω δὲ σφοδρῶς.

Κυρίλλου. Ἢ καὶ ἁπλῶς· εἰ μὴ κέοιτο, φησὶν, ὁ τῶν τῆς φαυλότητος τρόπων κατηγορῶν νόμος, ἀδρανὲς ἂν γένοιτο τὸ κακόν.

κατερεθίζεται γὰρ μονονουχὶ πρὸς ἴσχυν, διὰ τοῦ νόμου. καὶ ῥαθυμότερον μέν τισι τὸ τῆς ἡδονῆς ἐγκείσεται κέντρον, ἐπιτιμῶντος αὐτῶν μηδενός. μονονουχὶ καὶ ἀπαμβλύνεται τῷ τῆς ἐξουσίας πλάτει γοητευόμενον· οὗ γὰρ ὅλως τὸ ἀντιστατοῦν οὐδὲν, ἐκεῖ που πάντως ἀργεῖ καὶ τὸ φιλόνεικον. νεκρὰ τοιγαροῦν ἡ ἁμαρτία, νόμου τὸ πρακτέον μὴ διαγορεύοντος.

Θεοδωρήτου. Καὶ μὴ ὄντος τοῦ τὸ πρακτέον ὑποδεικνύοντος. καὶ τὸ οὐ πρακτέον ἀπαγορεύοντος, οὐκ ἔχει χώραν ἡ ἁμαρτία.

Σευηριανοῦ. Ὅτι μὴ δὲ δύναται κατακρῖναι τὸν ἐν ἀγνοίᾳ ἡμαρτηκότα. ὁ δὲ νόμος δοθεὶς, καὶ δείξας τὴν ἁμαρτίαν, δύναμιν δέδωκε τῇ ἁμαρτίᾳ· τοῦτο δὲ, οὐ τοῦ νόμου κατηγορία· ἀλλὰ τῆς τῶν μὴ φυλαττόντων αὐτὸν ὀλιγωρίας ἔλεγχος· ὥσπερ δὲ χωρὶς νόμου ἁμαρτία νεκρὰ, οὕτω καὶ φυλαττομένου τοῦ νόμου, ἡ ἁμαρτία νεκρά.

Γενναδίου. Τὴν γὰρ πρᾶξιν ὁ νόμος ἀπαγορεύων, ἁμάρτωλον συνίστησιν· ὡς ἐὰν μὴ τούτου μοι προπαρηγγελκότος τὴν αὐτῆς ἀποχὴν, ἐπιτετηδευκὼς ὑπῆρχον αὐτὴν, οὐκ ἂν ἦν ἔνοχος πλημμελήματι· "οὗ γὰρ οὐκ ἔτι νόμος, οὐδὲ παράβασις·" οὐ γὰρ ἐλλογεῖται ἁμαρτία, μὴ ὄντος νόμου. τὸ οὖν "χωρὶς νόμου ἡ "ἁμαρτία νεκρά·" ἀντὶ τοῦ, οὐκ ἂν ἐνεργηθείη, φησὶ, ἁμάρτημα, μὴ νόμῳ διωρισμένον· διὰ τί; ὅτι οὐχ ἡ πρᾶξις ἁμάρτημα ἁπλῶς. ἀλλὰ τὸ εἰδότα ὧν δεῖ ἀπέχεσθαι, ποιεῖν τί παρὰ τὰ ἐγνωσμένα καλῶς ἔχειν.

9 Ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτέ· ἐλθούσης δὲ τῆς
10 ἐντολῆς, ἡ μὲν ἁμαρτία ἀνέζησεν, ἐγὼ δὲ ἀπέθανον· καὶ
εὑρέθη μοὶ ἡ ἐντολὴ ἡ εἰς ζωὴν, αὕτη εἰς θάνατον.
11 ἡ γὰρ ἁμαρτία ἀφορμὴν λαβοῦσα διὰ τῆς ἐντολῆς,
12 ἐξηπάτησέ με καὶ δι' αὐτῆς ἀπέκτεινεν. ὥστε ὁ μὲν
νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἅγια καὶ δικαία καὶ ἀγαθή.

Κυρίλλου. Ἐζηκέναι μέν φησιν ὁ μυσταγωγὸς, χωρὶς νόμου ποτέ· εἶτα τῆς ἐντολῆς ἐλθούσης, ἀναβιῶναι μὲν τὴν ἁμαρτίαν τεθνάναι γε μὴν ἑαυτὸν διϊσχυρίζετο· καὶ σχηματίζει μὲν ἐν τούτοις ἐφ' ἑαυτῷ τὸν λόγον. οἶμαι δὲ ἔγωγε τοιοῦτόν τι βου-

λεύεσθαι δηλοῦν αὐτόν. ὑπὸ δίκην μὲν γὰρ ὁμολογουμένως ἐστὶ καὶ τὸ ἐν ἀγνοίᾳ πλημμελεῖν. ἔσται δὲ ὅτι φορτικωτέρα τοῖς εἰδόσιν ἡ κόλασις, πεπληροφόρηκεν ὁ Σωτὴρ λέγων· "ὁ εἰδὼς τὸ "θέλημα τοῦ Κυρίου αὐτοῦ, καὶ μὴ ποιήσας, δαρήσεται πολλάς. "ὁ δὲ μὴ εἰδὼς, καὶ μὴ ποιήσας, δαρήσεται ὀλίγας." οὐκοῦν, ἄμεινον ὁμολογουμένως τὸ ἐν ἀγνοίᾳ πλημμελεῖν, ἢ τὸ ἐν εἰδήσει νόμων.

Εἰ δὲ δή τις γέγονεν ὑπὸ νόμον· τὴν ἔξω νόμου ποτὲ διαζήσας ζωήν· εἶτα τῶν τεθεσπισμένων ἀφειδεῖν ᾑρημένος, ἥλω γραφὴν ἁμαρτίας, καὶ πέπτωκεν ὑπὸ δίκην· τότε δὴ τότε ταῖς ἑαυτοῦ ῥαθυμίαις ἐπιστυγνάσας τῆς ἀκριβείας τοῦ νόμου, μονονουχὶ καὶ κατακεκράξεται λέγων, "ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτέ. ἐλθούσης "δὲ τῆς ἐντολῆς, ἡ ἁμαρτία ἀνέζησεν· ἐγὼ δὲ ἀπέθανον·" εἰ γάρ ἐστιν ἀληθῶς "ἁμαρτία νεκρὰ χωρὶς νόμου," πῶς οὐ πιθανὸν ζωοποιεῖσθαι τρόπον τινὰ διὰ τοῦ νόμου τὴν ἁμαρτίαν, ἐννοεῖν· τοῦ καὶ ἐμφανῆ καθίσταντος αὐτὴν, καὶ οἷον, ἔμπνουν ἐπιτελοῦντος; καίτοι πάλαι μὴ ἐγνωσμένην, εἰ καὶ ἦν. οὐχ᾽ ἡμῖν, οὐ γὰρ ἦμεν δίκαιοι. ὥσπερ δὲ νεκρᾶς οὔσης τῆς ἁμαρτίας· διά τοι τὸ μὴ εἶναι τυχὸν τὸν καταδικάζοντα νόμον, ἐζῶμεν ἡμεῖς, τῆς ἀγνοίας τὴν παραίτησιν εὐάφορμον ἔχοντες. "οὗ γὰρ οὐκ ἔστι "νόμος, οὐδὲ παράβασις," καθά φησι αὐτός. οὕτω παρελθούσης τῆς ἐντολῆς εἰς μέσον, ἀνεβίω μὲν ὥσπερ ἡ ἁμαρτία· κατερεθίσθη δὲ ὁ θάνατος· καὶ ἀρὰ καὶ δίκη τῶν ταῖς παραβάσεσιν ὑποπιπτόντων ἐξ ἀσθενείας· καὶ τί τὸ ἐντεῦθεν; πέπρακταί τι τῶν ἐλπίδος ἔξω καὶ ἀδοκήτων ἐφ᾽ ἡμῖν· εὕρηται γάρ, φησι, ἡ ἐντολὴ ἡ δοθεῖσα πρὸς ζωὴν αὕτη εἰς θάνατον. ὥσπερ γὰρ κατασίνεταί πως τῆς ἡλιακῆς ἀκτῖνος τὸ φῶς τοὺς οἵπερ ἂν εἶεν τὴν ὄψιν ἠρρωστηκότες, καί τοι πεφυκὸς εἶναι γλυκὺ καὶ τριπόθητον. καὶ οὐκ αὐτὸ πάντως ἐστὶ τὸ ἀδικοῦν· νοοῖτο δὲ μᾶλλον τῆς τῶν πεπονθότων ἀρρωστίας ἔγκλημα, τὸ ἀδικεῖσθαι παρ᾽ αὐτοῦ· κατὰ τὸν ἴσον οἶμαι τρόπον πρόφασιν δεδόσθαι τῇ ἁμαρτίᾳ φησὶ τὴν ἐντολήν. ἐξηπατῆσθαι τὲ δι᾽ αὐτῆς· κατακομισθῆναι τὲ καὶ εἰς θάνατον. φαίη δ᾽ ἄν τις καὶ ἑτέρως, ὅτι δὴ σφόδρα φιλεῖ ταῖς τοῦ νόμου βούλαις ἀεί πως μάχεσθαι τὸ φιλήδονον· καὶ οἱ τῆς

φαυλότητος τρόποι ταῖς ἐπιεικείαις ἀνακοπτόμενοι, γεννικώτερον ἀντεξάγουσι· καὶ τὸν νοῦν ἔσθ' ὅτε καταληΐζονται, καταστρέφοντες εἰς παράβασιν, καὶ ταῖς ἐκ νόμου ποιναῖς ὑποφέροντες. καί τοι νόμον ἐσχηκότες τοῦ πολέμου τὴν ἀφορμήν. ταύτῃ τοι φησὶ σοφὸς ὢν ὁ Παῦλος, ἠπατῆσθαί τε διὰ τῆς ἐντολῆς, καὶ δι' αὐτῆς ἀποθανεῖν. ἀπέκτεινε γὰρ μονονουχὶ καταθήγουσα πρὸς ἀντίστασιν τὰς ἐν ἡμῖν ἡδονὰς, κατά γε τοὺς προειρημένους τρόπους.

Χρυσοστόμου. Καὶ ὅρα πῶς δεῖξαι σπουδάζει καὶ ἀφ' ὧν οὐκ ἐποίησε βαρήσαντα τὸν νόμον τὴν ἀνθρωπίνην φύσιν· ὅτε γὰρ χωρὶς νόμου ἔζων φησὶ, δηλαδὴ πρὸ Μωσέως, οὐχ οὕτω κατεδικαζόμην· "ἐλθούσης δὲ τῆς ἐντολῆς, ἡ ἁμαρτία ἀνέζησεν· ἐγὼ δὲ "ἀπέθανον." τοῦτο δοκεῖ μὲν εἶναι κατηγορία τοῦ νόμου. εἰ δέ τις ἀκριβῶς ἐξετάσειε, καὶ ἐγκώμιον αὐτοῦ φανεῖται ὄν. οὐ γὰρ μὴ οὖσαν ὑπεστήσατο· ἀλλὰ κρυπτομένην ἔδειξεν· ὅπερ καὶ ἔπαινος ἐστὶ τοῦ νόμου· εἴ γε πρὸ τούτου μὲν ἀνεπαισθήτως ἡμάρτανον· τούτου δὲ ἐλθόντος, εἰ καὶ μηδὲν ἕτερον ἐκαρπώσατο, τοῦτο γοῦν ἀκριβῶς ἔμαθον ὅτι ἥμαρτον· ὅπερ οὐκ ἂν εἴη μικρὸν εἰς[c] κακίας ἀπαλλαγήν. εἰ δὲ μὴ ἀπηλλάγησαν τῆς κακίας, οὐδὲν τοῦτο πρὸς τὸν πάντα ὑπὲρ τούτου ποιήσαντα νόμον. ἀλλ' ἡ πᾶσα κατηγορία τῆς ἐκείνων γνώμης ἐστὶ, παρ' ἐλπίδα πᾶσαν διαφθαρείσης· οὐ γὰρ κατὰ λόγον ἦν τὸ γινόμενον· τὸ διὰ τῶν ὠφελούντων βλάπτεσθαι. διὸ καὶ ἔλεγεν· "εὑρέθη μοι ἡ ἐντολὴ ἡ εἰς "ζωὴν, αὕτη εἰς θάνατον." οὐκ εἶπε γέγονε θάνατος· οὐδὲ ἔτεκε θάνατον, ἀλλ' "εὑρέθη." τὸ καινὸν καὶ παράδοξον τῆς ἀτοπίας οὕτως ἑρμηνεύων. καὶ τὸ πᾶν εἰς τὴν ἐκείνων περιτρέπων κεφαλήν. ἂν γὰρ τὸν σκοπὸν αὐτῆς ἐθέλῃς ἰδεῖν, εἰς ζωὴν ἦγε φησίν. καὶ διὰ τοῦτο ἐδόθη. εἰ δὲ θάνατος ἐντεῦθεν ἐξέβη, τῶν λαβόντων τὴν ἐντολὴν τὸ ἔγκλημα, οὐ τῆς ἐπὶ τὴν ζωὴν ἀγούσης. σαφέστερον δὲ τοῦτο καὶ διὰ τῶν ἑξῆς ἐδήλωσεν εἰπὼν, "ἡ γὰρ ἁμαρ- "τία ἀφορμὴν λαβοῦσα διὰ τῆς ἐντολῆς, ἐξηπάτησέ με, καὶ δι' "αὐτῆς ἀπέκτεινεν·" εἶδες πῶς πανταχοῦ τῆς ἁμαρτίας ἔχεται. τὸν νόμον ἀπαλλάττων κατηγορίας; διὸ καὶ ἐπήγαγεν, "ὥστε ὁ "μὲν νόμος ἅγιος· καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή."

[c] Leg. τῆς.

Θεοδωρήτου. Τέθεικε γοῦν τὸ, "εὑρέθη·" ἵνα δείξῃ, ἄλλον μὲν τὸν τοῦ νόμου σκοπὸν, ἄλλο δὲ τὸ διὰ τὴν ἁμαρτίαν συμβάν.

Σευηριανοῦ. Εἰ δὲ ἀνέζησεν ἡ ἁμαρτία, δηλονότι ἔζη ποτὲ, καὶ ἀποθανοῦσα ἀνέζησε· πότε οὖν ἔζη; ὅτε εἰληφότα τὴν ἐντολὴν τὸν Ἀδὰμ, καὶ εἰδότα τὴν παράβασιν ὀλεθρίας, ἠπάτησε καὶ κατηγωνίσατο ὁ διάβολος. μὴ οὔσης οὖν μεταξὺ μή τε ἐντολῆς μή τε ὡς εἴρηται νόμου, ἐνεκροῦτο ἡ ἁμαρτία τῇ τῶν ἁμαρτανόντων ἀγνωσίᾳ· τὰ γὰρ πλεῖστα ἠγνόουν πάντες. τί οὖν ἐκ τούτων; ἐλυσιτέλει μὴ δοῦναι τὸν νόμον; ἀλλ' ἐζημιοῦντο οἱ μέλλοντες κατορθοῦν· ἄτοπον δὲ διὰ τοὺς ῥαθύμους καὶ φιληδόνους ἀμελεῖν τὸν λόγον τῆς σωτηρίας, καὶ τὴν ὑπόθεσιν τῶν σπουδαίων καὶ ἐναρέτων.

Βασιλείου. Δύνατον μέντοι τὸ, "ἐλθούσης τῆς ἐντολῆς. ἡ "μὲν ἁμαρτία ἀνέζησεν, ἐγὼ δὲ ἀπέθανον," καὶ ἄλλως ἐκλαβεῖν. ἔτι γὰρ ἐπὶ τῆς πρώτης ἡλικίας ὄντες οἱ ἄνθρωποι, οὔτε ἐν κακίᾳ ἐσμὲν, οὔτε ἐν ἀρετῇ· ἀνεπίδεκτος γὰρ ἡ ἡλικία τῆς ἕξεως ἑκατέρας. ἐπειδὰν δὲ ὁ λόγος ἡμῶν συμπληρωθῇ, τότε γίνεται τὸ γεγραμμένον· "ἐλθούσης δὲ τῆς ἐντολῆς, ἡ ἁμαρτία ἀνέζησεν· "ἐγὼ δὲ ἀπέθανον·" ἐπαγγέλλουσι γὰρ λογισμοὶ πονηροὶ ἐκ τῶν παθῶν τῆς σαρκὸς, ταῖς ψυχαῖς ἡμῶν ἐντικτόμενοι. τῷ ὄντι γὰρ ἐχθοῦσα ἡ ἐντολή. τουτέστιν ἡ διάγνωσις τῶν καλῶν· ἐὰν μὴ κατακρατήσῃ τοῦ χείρονος λογισμοῦ. ἀλλὰ συγχωρήσῃ ὑπὸ τῶν παθῶν ἐξανδραποδισθῆναι τὸν λογισμὸν, ἀνέζησε μὸν ἡ ἁμαρτία, ἀπέθανε δὲ ὁ νοῦς νεκρὸς γενόμενος τοῖς παραπτώμασιν.

Ὠριγένους. Ἅπας τοιγαροῦν ἄνθρωπος ἔζη χωρὶς νόμου ποτὲ, ὅτε παιδίον ἦν· ὅτε οὐκ ἦν ἐπιτίμησις. ἄγνοια γὰρ κολάσει οὐχ ὑπόκειται· καὶ παντὶ ἀνθρώπῳ ἦλθε ποτὲ ἡ ἐντολή. πότε, ἢ ὅτε ἀνεπλήρωσε τὸν λόγον, καὶ νενόηκε τὴν ἐντολὴν προστάττουσαν μὲν τὰ τοιάδε· ἀπαγορεύουσαν δὲ τὰ τοιάδε; ἅμα δὲ τῷ ἐλθεῖν τὴν ἐντολὴν, κατὰ τὸν πρῶτον αὐτῆς καιρὸν ὑφίσταται ἡ κακία. ἢ ὡς ὁ Παῦλος φησὶν, ἀναζῇ ἡ ἁμαρτία, τέως οὖσα νεκρά. ἐπεὶ δὲ μὴ πέφυκεν ἁμαρτία ἅμα ζῆν καὶ ὁ ἔσω ἄνθρωπος, διὰ τοῦτο ἐλθούσης τῆς ἐντολῆς, ἡ μὲν ἁμαρτία ἀναζῇ, ἡ δὲ ψυχὴ ἀποθνήσκει. κατὰ τὸ, "ψυχὴ ἁμαρτάνουσα, αὐτὴ καὶ ἀποθανεῖται·" τὸ

γαρ "ἐγὼ," ἐπὶ τὸν ἔσω ἄνθρωπον καὶ ἐπὶ τὴν ψυχὴν ἀναφέρεται. περιΐσταται τοίνυν τὸ ζωοποιὸν ἀγαθὸν ἡ τοῦ νόμου πρόσταξις, εἰς θανάτου πρόφασιν· ἧς γὰρ ἄνευ, τὴν ἁμαρτίαν οὐχ οἷόν τε ἁμαρτίαν εἶναι, οὐδὲ καταδικάζειν θανάτῳ τὸν ἄνθρωπον. διὰ ταύτης δή που καὶ τὸ τῆς πονηρίας ἔγκλημα καὶ τὸ τῆς κολάσεως ἐπιτίμιον συνίσταται.

Θεοδώρου Μονάχου. Τινὲς δὲ τὸ, "ἐγὼ ἔζων χωρὶς νόμου "ποτὲ," καὶ τὰ ἑξῆς, περὶ τοῦ Ἀδὰμ λέγειν φασὶ τὸν Ἀπόστολον· ὡς ὅτε εὐθὺς ἐγένετο, ἔξω νόμου τυγχάνοντος· πρὶν ἢ δέξασθαι παρὰ τοῦ Θεοῦ τῆς ἀποχῆς τοῦ φυτοῦ τὸ ἐπίταγμα. δῆλον γὰρ ὡς ἐγένετο πρῶτον· εἶτα τὴν ἐντολὴν ἐδέξατο ὕστερον· ὅθεν ἐπάγει, "ἐλθούσης δὲ τῆς ἐντολῆς," καὶ τὰ ἑξῆς. ἐπειδὴ δέ, φησι, ὁ Θεὸς τὸν περὶ τοῦ φυτοῦ δέδωκε νόμον, καὶ διάκρισις ἐγένετο δύο πραγμάτων, ἡ ἁμαρτία παρείσδυσιν ἔσχεν. ἐγὼ δὲ τἀναντία ποιήσας τοῖς τῷ Θεῷ δεδογμένοις, θανάτῳ κατεκρίθην. ἐλήλυθε δέ, φησιν ὁ Παῦλος, ἐπὶ τούτους ἀπὸ τοῦ νόμου τοὺς λόγους· δεικνὺς ὡς οὐ φαῦλον ἡγεῖται αὐτόν. κοινῶς δὲ περὶ τῆς τοῦ νόμου φύσεως διαλέγεται· τὸ χρειῶδες αὐτοῦ διδάσκων. ὅθεν καὶ τῆς πρὸς τὸν Ἀδὰμ μέμνηται ἐντολῆς· ἐπειδὴ ἀρχὴ νόμου τοῖς ἀνθρώποις ἐκεῖνος ἐγένετο. καὶ συμπλέκων ἀμφότερα, καλῶς ἐπάγει, "ὥστε ὁ μὲν νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία."

Θεοδωρήτου. Ἀπὸ γοῦν τοῦ κατὰ τὸν Ἀδὰμ παραδείγματος φανερὸν ποιεῖ τὸ χωρὶς νόμου μὴ χώραν ἔχειν τὴν ἁμαρτίαν· ὁ γὰρ Ἀδὰμ πρὸ τῆς παραβάσεως, οὐκ εἶχε τοῦ θανάτου τὸ δέος. τοῦ δὲ Θεοῦ τὴν περὶ τῶν δένδρων ἐντολὴν τεθεικότος, εὐθὺς μὲν προσελήλυθε διὰ τοῦ ὄφεως ὁ διάβολος τῇ γυναικὶ, καὶ τοῖς ἀπατηλοῖς ἐκείνοις ἐχρήσατο λόγοις. δελεασθεῖσα δὲ ἐκείνη· καὶ τοῦ καρποῦ τὴν ὥραν θεασαμένη, ἡττήθη μὲν τῆς ἡδονῆς, παρέβη δὲ τὴν ἐντολήν· ἐδέξατο δὲ σὺν τῷ Ἀδὰμ παρ᾽ αὐτίκα τὸν ὅρον τῆς τελευτῆς. ἐκοινώνησε γὰρ κακεῖνος τῆς βρώσεως.

Γενναδίου. Ὥστε ἐγὼ, ὁ ἄνθρωπος λέγει νῦν· λέγει δὲ περὶ τοῦ Ἀδάμ· τὸ δὲ "ἔζων χώρις νόμου," νόησον καὶ οὕτως. ἐμὲ τὸν ἄνθρωπον ἔχοντα πρὸ τοῦ νόμου τὸ ζῆν, ἡ ἐντολὴ προσελθοῦσα διὰ τῆς πρόσθεν νεκρᾶς ἁμαρτίας ἀναζησάσης, τοῦτο ἀφείλετο· "καὶ "εὑρέθη μοι ἡ ἐντολὴ ἡ εἰς ζωὴν, αὕτη εἰς θάνατον." καὶ πέπονθέ

τι σχέτλιον καὶ ὄντως ἐλεεινὸν, τῇ εὐεργεσίᾳ βλαβείς· καὶ τῷ πρὸς ζωὴν δοθέντι μοι βοηθήματι, τούτῳ τὸ ζῆν ἀπολέσας. "ἡ "γὰρ ἁμαρτία ἀφορμὴν λαβοῦσα," καὶ τὰ ἑξῆς· ἔχουσα γὰρ διὰ τῆς ἐντολῆς πρόφασιν ἡ κατάρατος ἁμαρτία, καὶ δυνατωτέρα τῷ ὅπλῳ τῷ ἐμῷ γενομένη, διὰ τούτου με αὐτοῦ παρακρουσαμένη κατέσφαξε· δίεισι μέντοι περὶ τῆς ἁμαρτίας, ὡς ζώσης τε καὶ ὑφεστηκυίας καὶ σοφιζομένης τὸν ἄνθρωπον· κατὰ τὸ τῆς θείας ἔθος γραφῆς. οὕτω γοῦν καὶ δικαιοσύνην προσωποποιῶν ὁ μακάριος εἰσάγει Δαβὶδ, "δικαιοσύνη ἐνώπιον αὐτοῦ προσπορεύσεται," λέγων· καὶ πάλιν ὁ Σολομῶν τὴν σοφίαν. καὶ ὅλως ἐν τοῖς θείοις λογίοις πολὺ τὸ τοιοῦτον ἰδίωμα.

Καισαρίου. Ἀλλ' ὅπερ εἶπον τὸ, "ἐγὼ δὲ ἔζων χωρὶς νόμου "ποτὲ," οὐ περὶ αὐτοῦ τοῦ Παύλου ληπτέον. οὐ γὰρ προϋπῆρχε τοῦ νόμου Παῦλος, ὁ ἔσχατος πάντων τῶν τοῦ νόμου φοιτητῶν. οὐδ' αὖ πάλιν χωρὶς τούτου ποτὲ ἦν ἢ ἐγένετο· καὶ γὰρ τὸ εὐαγγέλιον κηρύττων, τὰς νομικὰς μαρτυρίας παντὶ παρατίθησιν· ἀλλ' ἐκ προσώπου τοῦ Ἀδὰμ ἀποδυρόμενος ταῦτα φησὶν, "ἐγὼ δὲ ἔζων "χωρὶς νόμου ποτέ." σαφέστερον δὲ ὡς ἐκ προσώπου τοῦ Ἀδὰμ ἀποδυρόμενος ταῦτα φησὶ λευκαίνων τὸ νόημα· οὐκ ἔτι νόμον ἀλλ' ἐντολὴν φάσκων τὴν δοθεῖσαν τῷ Ἀδὰμ δηλονότι· ἐλθούσης δὲ τῆς ἐντολῆς, ὡσανεὶ δοθείσης, ἡ ἁμαρτία ἀνέζησε φησί· ἐγὼ δὲ ἀπέθανον τῇ διὰ τῆς παρακοῆς ἐκπτώσει τῆς μακαρίας ζωῆς.

Θεοδωρήτου. Ἀπὸ δὴ τῶν κατὰ τὸν Ἀδὰμ πιστωσάμενος τὸν περὶ τοῦ Μωσαϊκοῦ νόμου λόγον, συμπεραίνων ἐπάγει· "ὥστε "ὁ νόμος ἅγιος καὶ ἡ ἐντολὴ ἁγία, καὶ δικαία καὶ ἀγαθή." νόμον λέγων, τὸν Μωσαϊκόν· ἐντολὴν δὲ, τὴν τῷ Ἀδὰμ δεδομένην. οὗ χάριν, καὶ πλείοσιν αὐτὴν ἐταινίωσε στεφάνοις· ὡς πλείους παρὰ πολλῶν δεχομένην κατηγορίας. οἱ γὰρ ῥαθυμίᾳ συζῶντες, καὶ τοῦ δεσπότου Θεοῦ κατηγοροῦσιν ὡς τεθεικότος τὴν ἐντολήν. εἰ μὲν γὰρ ἠγνόει φασὶ τὸ γενησόμενον, πῶς Θεὸς ὁ μὴ προγινώσκων τὰ μέλλοντα; εἰ δὲ προορῶν τὴν παράβασιν, τέθεικε τὴν ἐντολὴν, αὐτὸς τῆς παραβάσεως αἴτιος. ἔδει δὲ αὐτοὺς συνιδεῖν, ὡς ἴδιον λογικῶν ἡ τῶν καλῶν καὶ τῶν μὴ τοιούτων διάκρισις· πῶς τοίνυν ἐνῆν τοὺς τοιαύτην ἔχοντας φύσιν, χωρὶς νόμου πολιτεύεσθαι; διά τι τοῦτο τέθεικε τὴν ἐντολὴν ὁ Θεός; ἵνα καὶ τὴν

οἰκείαν φύσιν ἐπιγινώσκῃ, καὶ τὸν νομοθέτην δειμαίνῃ. ἔστι δὲ ἰδεῖν καὶ τοῦ νομοθέτου τὴν φιλανθρωπίαν λίαν εὐχερῆ, καὶ οὐ δυσκατόρθωτον δεδωκότος νόμον. πάντων γὰρ ἐδεδώκει τῶν φυτῶν τὴν ἀπόλαυσιν· ἑνὸς δὲ μόνου ἐκεκωλύκει τὴν μετάληψιν· οὐ φθονῶν αὐτῷ τὴν ἐξουσίαν παρεσχηκώς· ἀλλὰ τῆς δουλείας αὐτὸν ἐκπαιδεύων τοὺς ὅρους· καὶ εὔνουν εἶναι περὶ τὸν πεποιηκότα διδάσκων, καὶ ἀφορμὴν εἰς γυμνασίαν παρέχων τῷ λογικῷ· εἰ δὲ τὴν ἐντολὴν μὴ φυλάξας, ὑπὸ τὸν ὅρον τοῦ θανάτου κατέστη, οὐ κατηγορία τοῦτο τοῦ τεθεικότος, ἀλλὰ τοῦ παραβεβηκότος.

ΧΡΥΣΟΣΤΟΜΟΥ. *Ἀλλὰ ταῦτα μὲν καὶ οἱ περὶ τῆς ἐν τῷ παραδείσῳ ἐντολῆς καὶ τοῦ φυσικοῦ νόμου τὸ ῥητὸν ἐκλαμβάνοντες. ἴδωμεν δὲ, ὡς οὐ σφόδρα τῆς ἀκριβείας ἔχονται· πανταχοῦ γὰρ σκοπὸς τῷ Παύλῳ, τὸν Μωσαϊκὸν παῦσαι νόμον· πρὸς δὲ ἐκείνους, οὐδένα λόγον ἔχει. καὶ μάλα εἰκότως· τοῦτον γὰρ οἱ Ἰουδαῖοι δεδοικότες καὶ φρίττοντες, ἐφιλονείκουν τῇ χάριτι· τὴν δὲ ἐντολὴν τὴν ἐν τῷ παραδείσῳ, οὐδὲ νόμον ποτὲ φαίνεται καλέσας, οὔτε Παῦλος οὔτε ἄλλος οὐδείς. ἵνα δὲ καὶ ἀπ' αὐτῶν τῶν εἰρημένων τοῦτο σαφέστερον γένηται, ἐπεξέλθωμεν τοῖς ῥηθεῖσι· μικρὰ ἀνωτέρω τὸν λόγον ἀναγαγόντες. περὶ γὰρ πολιτείας αὐτοῖς ἀκριβοῦς διαλεχθεὶς, ἐπήγαγεν· " ἢ ἀγνοεῖτε ἀδελφοὶ, ὅτι ὁ νόμος " τοῦ ἀνθρώπου κυριεύει, ἐφ' ὅσον χρόνον ζῇ; ὥστε καὶ ὑμεῖς " ἐθανατώθητε τῷ νόμῳ." οὐκοῦν εἰ περὶ τοῦ φυσικοῦ ταῦτα εἴρηται, εὑρεθησόμεθα μὴ ἔχοντες νόμον φυσικόν· εἰ δὲ τοῦτο ἀληθὲς, τῶν ἀλόγων ἐσμὲν ἀνοητότεροι. ἀλλ' οὐκ ἔστι ταῦτα οὐκ ἔστι· περὶ γὰρ τοῦ ἐν τῷ παραδείσῳ οὐδὲ φιλονεικεῖν ἀναγκαῖον. ἵνα μὴ περιττὸν ἀναδεξώμεθα πόνον πρὸς τὰ ὡμολογημένα ἀποδυόμενοι· πῶς οὖν φησὶ, " τὴν ἁμαρτίαν οὐκ ἔγνων, " εἰ μὴ διὰ νόμου;" οὐ τὴν καθόλου λέγων ἄγνοιαν· ἀλλὰ τὴν ἀκριβεστέραν γνῶσιν· εἰ γὰρ περὶ τοῦ φυσικοῦ τοῦτο εἴρηται, πῶς ἂν τὸ ἑξῆς ἔχοι λόγον; " ἐγὼ," γάρ φησι, " ἔζων χωρὶς νόμου " ποτέ·" οὔτε γὰρ ὁ Ἀδὰμ οὔτε ἄλλος ἄνθρωπος οὐδὲ εἷς οὐδέποτε φαίνεται χωρὶς νόμου ζήσας φυσικοῦ· ὁμοῦ τέ γὰρ αὐτὸν ἔπλαττεν ὁ Θεὸς, καὶ ἐκεῖνον ἐντίθει τὸν νόμον αὐτῷ. σύνοικον νόμον ἀσφαλῆ παρακαθιστὰς τῇ φύσει πάσῃ. χωρὶς δὲ τούτων,*

οὐδαμοῦ φαίνεται τὸν φυσικὸν νόμον ἐντολὴν καλέσας· τοῦτον δὲ καὶ ἐντολὴν ἁγίαν καὶ δικαίαν καλεῖ· καὶ νόμον πνευματικόν· ὁ δὲ φυσικὸς, οὐκ ἀπὸ πνεύματος ἡμῖν ἐδόθη. καὶ γὰρ βάρβαροι καὶ Ἕλληνες, καὶ πάντες τὸν νόμον τοῦτον ἔχουσιν οἱ ἄνθρωποι· ὅθεν δῆλον, ὅτι περὶ τοῦ Μωσαϊκοῦ ἄνω καὶ κάτω καὶ πανταχοῦ διαλέγεται.

Φωτίου. Ἐκ δευτέρου δὲ ἔφη τὸ, "λαβοῦσα ἡ ἁμαρτία "ἀφορμὴν διὰ τῆς ἐντολῆς." τὰ αὐτὰ ποικίλως κατασκευάζων· καὶ εἰκότως· μεγάλην γὰρ εἶχε δόξαν ὁ νόμος. δείκνυσιν οὖν αὐτὸν μηδὲν ὠφελοῦντα, ἀλλ' ἐκ περιστάσεως καὶ βλάψαντα· ἵνα εὐπαράδεκτος γένηται, κηρύσσων τὸ ἀφεῖναι μὲν αὐτὸν προδραμεῖν δὲ τῇ πίστει Χριστοῦ.

Ἄλλος δὲ, ἀνωτέρω εἰπὼν, "ἀφορμὴν λαβοῦσα ἡ ἁμαρτία διὰ "τῆς ἐντολῆς κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν," ἐπάγει ὅτι οὐ μόνον ἐπιθυμίαν πᾶσαν κατειργάσατο· ἀλλὰ καὶ ἐθανάτωσέ με. αὐτή μοι γενομένη εἰς θάνατον· εἶτα ὡς ἔθος αὐτῷ αἰτίας αἰτίαις συνείρειν, καὶ τὴν ἀκολουθίαν ἐνδεικνύναι τῶν πραγμάτων ἐν τοῖς λόγοις, ἀνατρέχει καὶ τίθησι πῶς κατειργάσατο πᾶσαν ἐπιθυμίαν. καὶ φησὶ ὅτι "ἀφορμὴν λαβοῦσα, ἐξηπάτησέ με." εἶτα ἀφῆκε τὸ προρρηθὲν νοεῖν ἐνταῦθα· ὅτι, ἐκ τούτου δὲ εἰργάσατο· τί εἰργάσατο; τὴν ἐπιθυμίαν· καὶ τοῦτο ἀφεὶς, ἐπισυνάπτει τὸ τέλος. "καὶ ἀπέ-"κτεινεν·" ἵν' ᾖ κατὰ συνέχειαν, εἴ τις ἀναλάβοι οὕτως αὐτῷ εἰρημένον. "ἀφορμὴν λαβοῦσα ἡ ἁμαρτία κατειργάσατο ἐν ἐμοὶ πᾶσαν "ἐπιθυμίαν." τὴν δὲ ἐπιθυμίαν κατειργάσατο, ἀπατήσασα, τουτέστι δελεάσασα· ἐργασαμένη δὲ τὴν ἐπιθυμίαν, ἀπέκτεινέ με. ἔστιν οὖν ἡ ἀπάτη αἰτία τῆς ἐπιθυμίας. ἡ δὲ ἐπιθυμία, τοῦ θανάτου· τὴν δὲ ἀπάτην εἰργάσατο διὰ τῆς ἐντολῆς ἡ ἁμαρτία· ἵνα φανῇ τὸ ὑπερβάλλον τῆς κακίας αὐτῆς· διὰ τοῦ ἀγαθοῦ τὸ κάκιστον ἐργαζομένης.

Γενναδίου. "Ὥστε ὁ μὲν νόμος, ἅγιος· καὶ ἡ ἐντολὴ δικαία "καὶ ἀγαθή." ὁ "μὲν," σύνδεσμος, ἁπλῶς ἐνταῦθα παρέρριπται. νόμον δὲ καὶ ἐντολὴν, τὸ αὐτὸ εἰ βούλει εἰπέ. ἁγίαν μέντοι τὴν ἐντολὴν εἴρηκεν, ὡς τῆς ἁμαρτίας ἀπάγουσαν, καὶ διϊστῶσαν καὶ ἀφορίζουσαν τοῦ κακοῦ· δικαίαν δὲ, ὡς μετὰ τοῦ δικαίου τιμῶσαν

τὲ ὑπακούοντας, καὶ κολάζουσαν παρακούοντας. ἀγαθὴν δὲ, ὡς ὁδηγοῦσαν τὲ πρὸς τὸ ἀγαθὸν, καὶ δι᾽ ἀγαθότητα δοθεῖσαν Θεοῦ· καὶ καλῶν παρεκτικὴν, τῷ τε παρέχειν τὴν διάγνωσιν, καὶ τῷ μείζονα πειθομένοις ὑπισχνεῖσθαι κατάστασιν.

Κυρίλλου. Εἴποις δ᾽ ἂν τὸν νόμον ἅγιον καὶ τὴν ἐντολὴν ἁγίαν καὶ δικαίαν καὶ ἀγαθήν· καὶ ὅτι ἀποφαίνει ἁγίους καὶ δικαίους τοὺς, οἵπερ ἂν ἕλοιντο φυλάττειν αὐτόν· καὶ ἀπαλλάσσει τῶν ἐκ παραβάσεως ἐγκλημάτων.

Χρυσοστόμου. Εἰ γὰρ καὶ ἀκάθαρτοι γεγόνασιν Ἰουδαῖοι μετὰ τὸν νόμον, καὶ ἄδικοι καὶ πλεονέκται· οὐ καταργεῖ τοῦτο τοῦ νόμου τὴν ἀρετήν· ὥσπερ τοῦ Θεοῦ τὴν πίστιν οὐκ ἀναιρεῖ, ἡ ἀπιστία αὐτῶν.

Ὠριγένους. Κἀνταῦθα δέ τις νόμον τὸν φυσικὸν ἀπέδωκεν. οὕτω λέγων· ὡς εἰ καὶ "ἡ ἁμαρτία ἀφορμὴν λαβοῦσα διὰ τῆς "ἐντολῆς ἐξηπάτησε," καὶ διὰ τοῦτο ἀπέκτεινεν, οὐδὲν ἧττον τὴν ἀλήθειαν ὁμολογητέον· καὶ τὸν ἐγγεγραμμένον τῇ καρδίᾳ ὑπὸ τοῦ Θεοῦ νόμον ὡς ἅγιον ἀποδεκτέον. καὶ τὴν ἐντολὴν ὡς ἀγαθὴν καὶ ἐξ ἀγαθοῦ Θεοῦ ἐπαινετέον.

Θεοδωρήτου. Ἄλλος δὲ νόμον μὲν τὸν Μωσαϊκὸν εἶπεν· ἐντολὴν δὲ τὴν τῷ Ἀδὰμ δεδομένην. ἣν ἁγίαν μὲν προσηγόρευσεν, ὡς τὸ δέον διδάξασαν· δικαίαν δὲ, ὡς ὀρθῶς τοῖς παραβάταις τὴν ψῆφον ἐπενεγκοῦσαν. ἀγαθὴν δὲ, ὡς ζωὴν τοῖς φυλάττουσιν εὐτρεπίζουσαν.

Φωτίου. Σὺ δὲ ἁπλῶς δύνασαι ἅγιον τὸν νόμον εἰπεῖν· ὅτι ἐφύλαττεν ἀπὸ ἀκαθαρσίας τοὺς φυλάττοντας αὐτόν· δίκαιον, ὅτι τοὺς μὲν κατορθοῦντας, ἠμείβετο δωρεαῖς· τοῖς δὲ παραβαίνουσιν, ἐπετίθει τὰς τιμωρίας. ἀγαθὸν, ὅτι οὐχ ἡδόμενος ταῖς τιμωρίαις ἢ ὀργῇ χρώμενος ἐκόλαζεν· ἀλλὰ τῆς αὐτῶν ἕνεκεν σωτηρίας· καὶ ἔτι ὅτι μικρὰ κατορθοῦσι μέγαλα ἐχαρίζετο· καὶ ἁμαρτάνοντας περιεῖπε· καὶ οὐ κατ᾽ ἀξίαν τῶν πλημμελημάτων ἐκόλαζεν· αὐτὸς δὲ ταῦτα παραδραμὼν ἐκ τούτων συμπεραίνει ἅγιον καὶ δίκαιον καὶ ἀγαθὸν εἶναι τὸν νόμον ἢ τὴν ἐντολήν. ἐξ ἑνὸς μὲν, ὅτι ἐδίδαξέ με τὴν ἁμαρτίαν· καὶ ἐπέταξε φυγεῖν αὐτήν. ἐξ ἑτέρου δέ, ὅτι κηδόμενος καὶ φροντίζων τοῦτο ἐποίησεν. ἅγιος

οὖν, ὅτι ἐδίδαξε, καὶ ἐπέταξε φυγεῖν ἀπὸ τῆς ἀκαθαρσίας. δίκαιος, ὅτι διδάξας οὕτω, τὴν τιμωρίαν τοὺς ἁμαρτάνοντας ἀπαιτεῖ· ἀγαθὸς δὲ, ὅτι καὶ ζωήν μοι προνοούμενος ταῦτα ἐπετέλει.

13 Τὸ οὖν ἀγαθὸν ἐν ἐμοὶ γέγονε θάνατος; μὴ γένοιτο· ἀλλ' ἡ ἁμαρτία, ἵνα φανῇ ἁμαρτία, διὰ τοῦ ἀγαθοῦ μοι κατεργαζομένη θάνατον. ἵνα γένηται καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς.

Κυρίλλου. Ἅγιος μὲν ὁ νόμος, ἅγια δὲ καὶ ἡ ἐντολὴ, καὶ ἀγαθή· εἶτα πῶς ἔφασκε· "καὶ εὑρέθη μοι ἡ ἐντολὴ ἡ εἰς ζωὴν, αὕτη εἰς θάνατον;" ἆρα οὖν εἰπέ μοι γέγονεν ἡμῖν τὸ ἀγαθὸν ὀλέθρου πρόξενον; μὴ γένοιτο φησί. ἐπαιτιῶμαι γὰρ ἐν τούτοις ἥκιστα μὲν τὸν νόμον· ἕστηκα δὲ ὥσπερ τῆς ἁμαρτίας κατήγορος· καταβιάζεται γὰρ οὕτω τὴν ἀνθρώπου φύσιν, καὶ τῆς ἐν ἡμῖν διανοίας κεκράτηκεν· ὥστε αὐτὸν τὸν εἰς σωτηρίαν ἡμῖν καὶ ζωὴν δοθέντα νόμον, τὴν ἁγίαν ὄντως καὶ ἀγαθὴν ἐντολὴν, θανάτου γενέσθαι πρόφασιν τοῖς ὑποζευγνῦναι. πῶς ἢ τίνα τρόπον; εἰ γὰρ ἕψεται μὲν ἀεὶ τοῖς παρανομοῦσιν ἡ δίκη· διεληλάκαμεν δὲ πρὸς τοῦτο ἀσθενείας ἡμεῖς λοιπὸν ὡς ἀεὶ ταῖς παραβάσεσιν ἐναλίσκεσθαι, ἐναργὲς ἤδη πῶς, ὅτι κατὰ τοῦτον τὸν τρόπον ὁ σώζων νόμος, ὁ ἅγιός τε καὶ ἀγαθὸς, νεῦρον πῶς δοκεῖ γενέσθαι τῇ ἁμαρτίᾳ, καὶ ὁδὸς εἰς θάνατον τοῖς ὑφ' ἁμαρτίαν. καὶ τάχα που φησὶν, "ἵνα γένηται καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς." τοῖς μὲν γὰρ ἠγνοηκόσι τὸ τῷ δεσπότῃ δοκοῦν, ἕψεται μὲν πάντως τὸ ἐναλῶναι δίκαις· ἠνομήκασι γὰρ, εἰ καὶ μὴ ἐγνώκασι· πλὴν ἔστι τίς αὐτοῖς καὶ ἀπολογίας οὐκ ἀπίθανος οἶμαι λόγος· προβαλοῦνται γὰρ κατὰ τὸ εἰκὸς τὴν ἄγνοιαν. τοῖς γε μὴν ἐν νόμῳ τὸ μὴ εἰδέναι λέγειν τὸ θέλημα τὸ δεσποτικὸν, εἰκαῖον ἤδη πως· οὐκοῦν εἴ τις φαίνοιτο διαβιοῦν ᾑρημένος ἀνοσίως, οὐκ ἀγνοίας ἔσται ἀλλ' ἀπονοίας τὸ κατηγόρημα· καὶ τῆς ἀνωτάτω λοιπὸν ἀφιλοθεΐας. οὕτως ἂν λέγοιτο καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία. ἁμαρτωλοῦ μὲν γὰρ ὑπάρχοντος, καὶ τοῦ πεπλημμεληκότος ἐν ἀγνοίᾳ· ἥκιστά τε μὴν καθ' ὑπερβολὴν λεγομένου τὲ καὶ ὄντος ἁμαρτωλοῦ.

ΘΕΟΔΩΡΗΤΟΥ. Διὰ τοίνυν τοῦ ἀγαθοῦ, τουτέστι τοῦ νόμου καὶ τῆς ἐντολῆς, δείκνυταί μοι ἡ ἁμαρτία, ἁμαρτία[c]· τουτέστι, κακὴ καὶ πονηρά. καὶ πῶς δείκνυται; κατεργαζομένη θάνατον. ἀπὸ γὰρ τοῦ καρποῦ γινώσκω τὸ δένδρον. καὶ τὸν θάνατον βλέπων, τὴν τούτου μητέρα μισῶ. τούτων δέ μοι ὁ νόμος διδάσκαλος. οὐ τοίνυν ὁ νόμος κακὸς, ὁ ταῦτα διδάσκων, ἀλλ' ἡ ἁμαρτία προξενοῦσα τὸν θάνατον. ποιεῖ δὲ τὴν ἁμαρτίαν, τῆς ἡμετέρας προαιρέσεως ἡ ἐπὶ τὸ χεῖρον ῥοπή. εἰ γὰρ καὶ ἡ φύσις τὴν ἁμαρτίαν ὑποδείκνυσιν, ἀλλ' οὖν γε ὁ νόμος ἀκριβέστερον ἡμᾶς ἐδίδαξε τῆς πονηρίας αὐτῆς τὴν ὑπερβολήν· τὸ δὲ "ἵνα γένηται καθ' ὑπερβολὴν ἁμαρ"τωλὸς ἡ ἁμαρτία" ἐλλιπῶς κεῖται· προσυπακούεται δὲ, φανερά· οὕτω γὰρ καὶ ἐν τοῖς ἔμπροσθεν εἰρήκαμεν, "ἀλλ' ἡ ἁμαρτία, ἵνα "φανῇ ἁμαρτία," τουτέστιν, ἵνα γένηται διὰ τῆς ἐντολῆς φανερά· ὅτι καθ' ὑπερβολὴν ἁμαρτωλὸς ὑπάρχει ἡ ἁμαρτία· ἀντὶ τοῦ, πονηρά.

ΓΕΝΝΑΔΙΟΥ. Οὐκ ἄρα τοῦ κακοῦ μοι τὸ ἀγαθὸν αἰτιάσομαι· τῆς δὲ ἁμαρτίας κατηγορῶ, καὶ ταύτην μισῶ. καὶ πρὸς ταύτην οὐκ ἂν ἑκὼν σπεισαίμην ποτέ. ἵνα φανῇ, φησὶ, ἁμαρτία, διὰ τοῦ ἀγαθοῦ μοι κατεργαζομένη θάνατον· αὕτη γὰρ βλάψασά με τῷ ἀγαθῷ, δι' αὐτοῦ μοι τούτου, καὶ τὴν ἑαυτῆς φύσιν ἥτις ἐστὶ κατεφάνη. ἐλέγχεται γὰρ διὰ τοῦ νόμου, ἡλίκον κακὸν καὶ ὅσον ἐστὶν ἡ ἁμαρτία· τὸν γὰρ παρακελευόμενον αὐτήν μοι φυλάττεσθαι καὶ δεδόμενον εἰς συμμαχίαν, ὑποσκελίσασά με δι' ἀπάτης, αὐτόν μοι τοῦτον ἐπέστησε φονευτήν.

ΦΩΤΙΟΥ. Τὸ μέγεθος δὲ ἠθέλησε δεῖξαι τῆς ἁμαρτίας· καὶ ἐπειδὴ ταύτης εἰς κακίαν μεῖζον οὐκ ἦν εὑρεῖν· δι' αὐτῆς ταύτης ἐνδεικνύμενος τὸ μέγεθος φησίν· "ἵνα φανῇ ἁμαρτία" τουτέστιν ἵνα ἐκκαλυφθῇ αὐτῆς ὁ πᾶς τῆς κακίας πλοῦτος, καὶ ἡ ἰσχὺς αὐτῆς ἡ ἐν αὐτῇ. οἷον ἵν' ὅπέρ ἐστιν ὅλη ὡς ὅλη γένηται ἐκφανής. ἐπὶ μὲν γὰρ τῶν ἄλλων ὑπερβολήν τινα θέλοντες παραστῆσαι, δυνάμεθα ἄλλό τι ἐπιφέρειν τῷ διασυρωμένῳ ὑφ' ἡμῶν· οἷον μιαρὸς ἦν ἐπὶ τοσοῦτον ὁ Κάϊν· ὅτι καὶ ἀδελφοκτόνος ἐγένετο· καὶ Θεὸν πρῶτος ἐψεύσατο. καὶ πάλιν, οὐδὲ μετὰ τὴν τῶν τεραστίων

[c] Leg. ἁμαρτωλός.

ἐπίδειξιν παρεκλήθη Φαραὼ ἀπολῦσαι τοὺς Ἰσραηλίτας. ἵνα φανῇ αὐτοῦ τὸ ὠμὸν τῆς γνώμης καὶ θεομισές· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ἔστι γὰρ εὑρεῖν τι χεῖρον τῶν ὑποκειμένων, οὗ μετασχόντες οἱ πονηρευόμενοι τὰς κατ᾽ ἐκεῖνο προσηγορίας ἐπιδέχονται. ἐπὶ δὲ τῆς ἁμαρτίας, ἐπεὶ ταύτης ὡς ἔφημεν οὐκ ἔστι χεῖρον εὑρεῖν· αὐτῆς ἐφ᾽ ἑαυτῆς κατηγόρησε. πικρῶς ἅμα καὶ δριμέως τὸν ὄγκον αὐτῆς, καὶ τὸ τυραννικὸν ἅμα καὶ ἀνυπέρβλητον ἐνδεικνύμενος. ἐπεὶ δὲ ἀσφαλέστερόν πως ἔδοξεν εἰρῆσθαι τῇ ταυτολογίᾳ τοῦ ὀνόματος· πάλιν δὲ μεταλαμβανομένου τοῦ ὀνόματος. ἔφη γὰρ παρωνύμως "ἁμαρτωλὸς ἡ ἁμαρτία." ἡ τῆς δριμύτητος ἔνδειξις ἐξελύετο. παρονομάζει μὲν καὶ οὐ τελείως ἀφίσταται τοῦ ὀνόματος. ἐν ᾧ δὲ ἐκλελῦσθαι ἐδόκει· τόνον ἐπάγει τῇ προσθήκῃ τοῦ "καθ᾽ ὑπερβολήν·" καὶ οὕτως ἐπὶ τὸ σαφέστερον ἅμα καὶ ἔντονον, καὶ τοῦ δριμέως ἐμφαντικὸν μεταλαβὼν τὸν λόγον φησίν· "ἵνα γένηται καθ᾽ ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία."

Χρυσοστόμου. Ἵνα δειχθῇ φησὶ ὅσον κακὸν ἡ ἁμαρτία· ἡ ῥάθυμος προαίρεσις· ἡ ἐπὶ τὸ χεῖρον ῥοπή. καὶ αὐτὴ δὲ ἡ πρᾶξις, καὶ ἡ διεφθαρμένη γνώμη. τοῦτο γὰρ ἁπάντων αἴτιον τῶν κακῶν. αὔξει δὲ αὐτὴν, δεικνὺς τῆς τοῦ Θεοῦ χάριτος τὴν ὑπερβολήν. καὶ διδάσκων οἵου κακοῦ τὸ τῶν ἀνθρώπων ἀπήλλαξε γένος. ὃ καὶ [d] διὰ τῶν κωλυόντων ηὔξαντο. δι᾽ ὧν δὲ αὐτῆς κατηγορεῖ, δείκνυσι πάλιν μειζόνως τοῦ νόμου τὴν ἀρετήν. οὐδὲ γὰρ μικρὸν ηὔξησε, δείξας ὅσον ἡ ἁμαρτία κακόν. καὶ πάντα τὸν ἰὸν αὐτῆς εἰς μέσον προσθείς. τοῦτο γὰρ ἐδήλωσεν εἰπών· "ἵνα γένηται "καθ᾽ ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς." τουτέστιν ἵνα φανῇ ἡλίκον κακόν· ἡλίκος ὄλεθρος ἡ ἁμαρτία· τοῦτο δὲ διὰ τῆς ἐντολῆς ἐδείχθη· ἐκ τούτων, καὶ τὴν ὑπεροχὴν δείκνυσι τῆς χάριτος πρὸς τὸν νόμον, τὴν ὑπεροχὴν, οὐ τὴν μάχην. μὴ γὰρ τοῦτο ἴδῃς ὅτι χείρους ἐγένοντο οἱ δεξάμενοι. ἀλλ᾽ ἐκεῖνο σκόπει· ὅτι οὐ μόνον εἰς ἐπίτασιν τὴν κακίαν ἀγαγεῖν οὐκ ἤθελεν ὁ νόμος, ἀλλὰ καὶ τὴν προυπάρχουσαν ἐκκόψαι ἐσπούδαζεν· εἰ δὲ οὐκ ἴσχυσε, στεφάνου μὲν ἐκεῖνον ἀπὸ τῆς γνώμης· προσκύνει δὲ μειζόνως τὴν τοῦ Χριστοῦ δύναμιν, ἢ ποικίλον οὕτω κακὸν καὶ

[d] A m. rec. διὰ τῶν ἰατικῶν φαρμάκων χεῖρον ἐγίνετο καί.

δισκαταγώνιστον, ἠφάνισέ τε καὶ πρόρριζον ἐκτεμοῦσα ἀνέσπασεν. ἁμαρτίαν δὲ ὅταν ἀκούσῃς, μὴ δύναμίν τινα ἐνυπόστατον νομίσῃς· ἀλλὰ τὴν πρᾶξιν τὴν πονηρὰν ἐπιγινομένην τὲ καὶ ἀπογινομένην ἀεί. καὶ οὔτε πρὸ τοῦ γενέσθαι οὖσαν, καὶ μετὰ τὸ γενέσθαι πάλιν ἀφανιζομένην. διὰ γὰρ τοῦτο καὶ νόμος ἐδόθη. νόμος δὲ οὐδέποτε ἐπ' ἀναιρέσει τῶν φυσικῶν δίδοται, ἀλλ' ἐπὶ διορθώσει τῆς κατὰ προαίρεσιν πονηρᾶς πράξεως.

Θεοδώρου Μονάχου. Ἀλλὰ φέρε καὶ αὖθις περὶ τῶν εἰρημένων διεξέλθωμεν εὐκρινέστερον· ὥς τινος εἰπόντος κατὰ ἀντίθεσιν. τοῦτο ἀγαθὸν ὁ θανάτου κατέστη μόνον αἴτιον· ἀγαθοῦ δὲ οὐδενός; μὴ γένοιτο, φησί. ἀντὶ τοῦ, οὐχ οὕτως ἔχει· οὐ θανάτου μὲν αἴτιον ἐγένετο· ἀγαθὸν δὲ παρέσχεν οὐδέν· ἀλλὰ καί τινος ἐξ αὐτοῦ ἀπελαύσαμεν ἀγαθοῦ. ἡ ἁμαρτία φησὶ, ἵνα φανῇ ἁμαρτία· διὰ τοῦ ἀγαθοῦ μοι κατεργαζομένη θάνατον. εἰ γεγονὼς ὁ Ἀδὰμ κατελείφθη μηδένα νόμον δεξάμενος, οὐδὲν ἂν διήλλαττεν ἀλόγου. διάκρισιν μὲν οὐδεμίαν ἔχων καλοῦ τὲ καὶ χείρονος. πᾶν δὲ τὸ προστυχὸν ὡς ἔτυχε διαπραττόμενος. οὔτε οὖν ἁμάρτημα εἶναι τὸ ποιῆσαί τι τοῖς θείοις νόμοις ὑπεναντίον ἠπίστατο, οὔτε μὴν ἀγαθὸν τὸ ποιεῖν ὅσα ἐκείνοις ἀκόλουθα. πόθεν γὰρ καὶ εἰδέναι τοῦτο προσῆκε, νόμον οὐκ εἰληφότι; οὐκοῦν ἡ δόσις τῆς ἐντολῆς, καὶ διάκρισιν αὐτῷ τοῦ τε καλοῦ καὶ τοῦ χείρονος παρέσχεν. ὑπακοῆς τὲ γὰρ ἐξουσία καὶ παρακοῆς αὐτῷ προὔκειτο, πρὸς ὃ ῥέπειν ἐβούλετο. καὶ ἐγνώρισεν αὐτῷ τί μὲν ἁμάρτημα, τί δὲ δικαιοσύνη. καλὸν μὲν εἶναι τὸ πεισθῆναι τοῖς νόμοις γνωρίζουσα· ἁμάρτημα δὲ, τὸ ποιεῖν τι τούτων ἀλλότριον. καὶ ἐπειδὴ παρέβη τὸ θεῖον ἐπίταγμα· εἶτα τὴν ὑπὲρ τούτου τιμωρίαν ἐδέξατο, μεῖζον κατὰ τῆς ἁμαρτίας τὸ μῖσος ἐκτήσατο· πάλαι μὲν λόγῳ παιδευθεὶς, ὡς ἡ ἁμαρτία θανάτου παρεκτική. ὕστερον δὲ ἐπὶ τῶν ἔργων, τῆς ἁμαρτίας ἐγνωκὼς τὴν φαυλότητα· καὶ γὰρ ὅσῳ διὰ τὴν παράβασιν ὑπὸ τιμωρίαν κατέστη, τοσούτῳ μισεῖν τὴν ἁμαρτίαν, ὡς αἰτίαν αὐτῷ τῶν κακῶν παρεσκευάζετο. τὸ οὖν "ἡ ἁμαρτία "ἵνα φανῇ ἁμαρτία," ἀντὶ τοῦ, ὥστε φανῆναι τὴν ἁμαρτίαν, ὅπερ ἐστι· τί δὲ τοῦτο; αὐτὸ τοῦτο ἁμαρτία. ἵν' εἴπῃ κακόν. πόθεν δὲ τοῦτο ἐφάνη; διὰ τοῦ ἀγαθοῦ· ἵν' εἴπῃ διὰ τῆς ἐντολῆς. καὶ ὅπως

ἐφάνη· κατεργαζομένη θάνατον. ἀφ' ὧν θανάτου γίνεται πρόξενος. συνεβάλετο οὖν μοι τὸ ἀγαθόν· ἵν' εἴπῃ ἡ ἐντολὴ, πρὸς τὸ γνῶναι τὴν ἁμαρτίαν, ὅτι δὴ κακόν. ὥστε καὶ μισεῖν αὐτὴν διὰ τοῦτο. ἀγαθὸν ἄρα ἡ ἐντολὴ, τῆς διακρίσεως καὶ τοῦ πρὸς τὴν ἁμαρτίαν μίσους τὴν αἰτίαν ἡμῖν παρασχομένη. τὸ γὰρ "ἵνα" οὐκ ἐπὶ αἰτίας, ἀλλὰ τὸ ἑπόμενον συνήθως λέγει. ἀποδοτέον δὲ τὸ "διὰ "τοῦ ἀγαθοῦ μοι" κατὰ τὴν ἔννοιαν, τῷ "ἡ ἁμαρτία ἵνα φανῇ "ἁμαρτία·" οὐ τῷ ἑξῆς, τῷ, "κατεργαζομένη θάνατον." λέγει γὰρ ὅτι διὰ τοῦ ἀγαθοῦ, τουτέστι τῆς ἐντολῆς, κατάδηλός μοι ἡ ἁμαρτία ἐγένετο, ἡλίκον ἔστι κακὸν, ὡς καὶ θάνατον ἀποτελεῖν κατὰ τῶν ἐπιτηδευόντων αὐτήν.

14 Οἴδαμεν γὰρ ὅτι ὁ νόμος πνευματικός ἐστιν· ἐγὼ δὲ σαρκικὸς εἰμὶ, πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν.

Χρυσοστόμου. *Ἐπειδὴ εἶπεν, ὅτι μεγάλα γέγονε κακά. καὶ ἡ ἁμαρτία δυνατωτέρα κατέστη, τῆς ἐντολῆς ἐπιλαβομένη. καὶ τοὐναντίον οὗπερ ἐσπούδαζεν ὁ νόμος ἐξέβη· καὶ εἰς πολλὴν τὸν ἀκροατὴν ἐνέβαλεν ἀπορίαν· λέγει καὶ τὸν λογισμὸν λοιπὸν καθ' ὃν ταῦτα γέγονε· πρότερον ἀπαλλάξας τὸν νόμον τῆς πονηρᾶς ὑποψίας· ἵνα γὰρ μὴ ἀκούων, ὅτι διὰ τῆς ἐντολῆς ἡ ἁμαρτία ἀφορμὴν ἔλαβε· καὶ ὅτι ἐλθούσης αὐτῆς, ἡ ἁμαρτία ἔζησε· καὶ ὅτι δι' αὐτῆς ἐξηπάτησε καὶ ἀπέκτεινε*[e]*, τὸν νόμον τῶν κακῶν τούτων αἴτιον νομίσῃ τίς εἶναι· πρότερον τὴν ὑπὲρ αὐτοῦ τίθησιν ἀπολογίαν, μετὰ πολλῆς τῆς περιουσίας· οὐ μόνον κατηγορίας αὐτὸν ἀπαλλάττων, ἀλλὰ καὶ ἐγκώμιον αὐτῷ πλέκων μέγιστον· καὶ τοῦτο, οὐχ ὡς αὐτὸς χαριζόμενος τίθησιν, ἀλλ' ὡς κοινὴν εἰσφέρων ψῆφον· "οἴδαμεν γάρ," φησι, "ὅτι ὁ νόμος πνευματικός "ἐστιν." ὡς ἂν εἰ ἔλεγεν, ὅτι ὡμολογημένον τοῦτο καὶ δῆλον ἐστίν· ὅτι πνευματικός ἐστι. τοσοῦτον ἀπέχει ἁμαρτίας αἴτιος εἶναι*[f]*. ὁρᾷς ὅπως οὐ κατηγορίας αὐτὸν ἀπαλλάττει μόνον, ἀλλὰ καὶ ἐπαινεῖ μεθ' ὑπερβολῆς ἁπάσης. πνευματικὸν γὰρ εἰπὼν, διδάσκαλον αὐτὸν δείκνυσιν ἀρετῆς ὄντα, καὶ κακίας πολέμιον.*

[e] In marg. a m. rec. *ἵν' οὖν μή.*

[f] In marg. a m. rec. *καὶ τῶν γεγενημένων κακῶν ὑπεύθυνος.*

τοῦτο γάρ ἐστιν εἶναι πνευματικόν· τὸ, πάντων ἀπάγειν ἁμαρτημάτων· ὅπερ οὖν καὶ ὁ νόμος ἐποίει, φοβῶν, νουθετῶν, κολάζων, διορθούμενος· τὰ περὶ ἀρετῆς συμβουλεύων ἅπαντα.

Θεοδωρήτου. Ἢ πνευματικὸς ὁ νόμος, ὅτι θείῳ ἐγράφη πνεύματι. ταύτης γὰρ μετέχων τῆς χάριτος, φησὶ, Μωσῆς, τὸν νόμον συνέγραψεν.

Κυρίλλου. Ἢ καὶ ὡς πνευματικοὺς ἀποτελῶν, τοὺς πειθομένους αὐτῷ· νοεῖται δὲ πνευματικὸς, ὁ μὴ κατὰ σάρκα ζῶν, ἀλλ' ἑπόμενος τῇ θελήσει τοῦ Πνεύματος ἀμωμήτως.

Γενναδίου. Ἐπὶ πλέον οὖν τοῦ νόμου ὑπεραπολογούμενος, φησί· "ἐπίσταμαι ὅτι ὁ νόμος πνευματικός ἐστιν." ἵνα εἴπῃ τέλειος καὶ ἀνενδεὴς, καὶ ἀρετὴν ἀπηκριβωμένην ἀπαιτῶν, ἀθανάτοις προσήκουσαν· ἀλλ' ἐγὼ τί πάθω; θνητὴν καὶ φθαρτὴν, καὶ πολλοῖς πάθεσιν ὑποκειμένην περικείμενος σάρκα.

Κυρίλλου. Καὶ σαρκικὸς ὤν· ὡς τῷ τῆς σαρκὸς φρονήματι τυραννούμενος· ἑτέρου ὄντος τοῦ φρονήματος τῆς σαρκὸς, καὶ ἄλλου τοῦ πνεύματος. ἅπερ ἀντίκειται ἀλλήλοις· εἰ γὰρ καὶ ὁ νόμος πνευματικός ἐστι· τουτέστι τὰ τοῦ πνεύματος βούλεται· καὶ τὰ συμφέροντα ζητεῖ τῇ ψυχῇ· ἀλλ' ἐγὼ τὰς τῆς σαρκὸς ἐπιθυμίας διώκων, σαρκικός εἰμι. οὐκ εἶπε δὲ ὑμεῖς οἱ τῷ νόμῳ χρώμενοι καὶ παραβαίνοντες. ἵνα μὴ τραχὺν καὶ ἐπαχθῆ ποιήσῃ τὸν λόγον. ἀλλ' ἐγώ φησι, τὰ ἐκείνων, ἐφ' ἑαυτοῦ σχηματίζων. καὶ ἐφεξῆς δὲ οὕτω ποιεῖ· τὸ τραχὺ καὶ σφοδρὸν ἐκλύων τῇ περὶ αὐτοῦ σχηματολογίᾳ.

Χρυσοστόμου. Ἢ τὸ, ἐγώ φησι, τὸν ἐν τῷ νόμῳ καὶ πρὸ τοῦ νόμου πολιτευόμενον ἄνθρωπον ὑπογράφων νῦν.

Θεοδωρήτου. Καὶ ὅλως, τὸν πρὸ τῆς χάριτος ἄνθρωπον εἰσάγων, πολιορκούμενον ὑπὸ τῶν παθῶν· σαρκικὸν γὰρ καλεῖ τὸν μηδέπω τῆς πνευματικῆς ἐπικουρίας τετυχηκότα· τὸ δὲ "πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν," διὰ τῆς προφητικῆς νοήσομεν χρήσεως. "ἰδοὺ," φησὶ, "ταῖς ἁμαρτίαις ὑμῶν ἐπράθητε·" τοῦτο καὶ ἐνταῦθα φησί· ηὐτομόλησα πρὸς τὴν ἁμαρτίαν· καὶ ἐμαυτὸν αὐτῇ πέπρακα· ἐκδεδομένος ὥσπερ εἰς πταίσματα.

Γενναδίου. Τὸ γὰρ "πεπραμένος" ἀντὶ τοῦ ὡς πεπραμένος

λέγει. καὶ τοῦτο δὲ ἰδίωμα γραφικόν· τὸ δίχα τοῦ ὁμοιωματικοῦ ἐπιρρήματος, λέγειν τί τῶν προκειμένων πολλάκις. οἷον ἐστὶ καὶ τὸ, "ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον." ἔοικε δὲ τὸ, "δοῦλοι ἦτε "τῆς ἁμαρτίας," ἐν τοῖς ἔμπροσθεν εἰρημένον, καὶ τῷ παρὰ τῷ προφήτῃ, "τίνι ὑπόχρεως ὢν, πέπρακα ὑμᾶς. ἀλλ' ἢ, ταῖς ἁμαρ"τίαις ὑμῶν ἐπράθητε." καὶ τῷ ἐν τοῖς εὐαγγελίοις λεγομένῳ, "ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλος ἐστι τῆς ἁμαρτίας·" ὄντως γὰρ, ᾧ τίς ἥττηται, τούτῳ καὶ δεδούλωται.

Χρυσοστόμου. "Σαρκικός εἰμι," φησὶ, "πεπραμένος ὑπὸ "τὴν ἁμαρτίαν." μετὰ γὰρ τοῦ θανάτου, καὶ ὁ τῶν παθῶν ἐπεισῆλθεν ὄχλος. ὅτε γὰρ θνητὸν ἐγένετο τὸ σῶμα· ἐδέξατο καὶ ἐπιθυμίαν ἀναγκαίως λοιπὸν, καὶ ὀργὴν, καὶ λύπην, καὶ τὰ ἄλλα πάντα· ἃ πολλῆς ἐδεῖτο φιλοσοφίας, ἵνα μὴ πλημμύραντα ἐν ἡμῖν, καταποντίσῃ τὸν λογισμὸν εἰς τὸν τῆς ἁμαρτίας βυθόν. αὐτὰ μὲν γὰρ οὐκ ἦν ἁμαρτία· ἡ δὲ ἀμετρία αὐτῶν μὴ χαλινουμένη, τοῦτο εἰργάζετο· οἷον, ἵν' ὡς ἐπὶ παραδείγματος, ἓν αὐτῶν μεταχειρισάμενος εἴπω, ἡ ἐπιθυμία ἁμαρτία μὲν οὐκ ἔστιν· ὅταν δὲ εἰς ἀμετρίαν ἐκπέσῃ· εἴσω τῶν τοῦ γάμου νόμων οὐκ ἐθέλουσα μένειν, ἀλλὰ καὶ ἀλλοτρίαις ἐπιπηδῶσα γυναιξὶ, τό τε λοιπὸν μοιχεία γίνεται. ἀλλ' οὐ παρὰ τὴν ἐπιθυμίαν, ἀλλὰ παρὰ τὴν ταύτης πλεονεξίαν. καὶ σκόπει σοφίαν Παύλου· ἐγκωμιάσας γὰρ τὸν νόμον, ἐπὶ τὸν ἀνωτέρω χρόνον ἔδραμεν εὐθέως· ἵνα δείξῃ πῶς καὶ τότε τὸ γένος διέκειτο τὸ ἡμέτερον· καὶ ἡνίκα τὸν νόμον ἔλαβεν, ἀποφήνῃ τῆς χάριτος ἀναγκαίαν οὖσαν τὴν παρουσίαν. ὅπερ πανταχοῦ κατασκευάσαι ἐσπούδακε. τὸ γὰρ "πεπραμένος ὑπὸ "τὴν ἁμαρτίαν" ὅταν λέγῃ, οὐ περὶ τῶν ἐν τῷ νόμῳ λέγει μόνων, ἀλλὰ καὶ τῶν πρὸ τοῦ νόμου βεβιωκότων, καὶ τῶν ἐξαρχῆς γενομένων ἀνθρώπων.

Ὠριγένους. Ζήτημα καὶ ἀνακύπτει ἀπὸ πάσης τῆς προκειμένης περικοπῆς. πῶς ταῦτα λέγων ὁ Παῦλος, οὐ δοκεῖ ἐναντιοῦσθαι τοῖς ἰδίοις λόγοις, ἐν οἷς λέγει, "ἠγοράσθητε τιμῆς." καὶ "Χριστὸς ἡμᾶς ἐξηγόρασε." καὶ "ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν "ἐμοὶ Χριστός." εἰ μή που εἴπωμεν, ὅτι προσωποποιΐας ἔχει διαφόρους ὁ λόγος. καὶ συσχηματίζονται αἱ περικοπαὶ πρὸς τὰς διαφόρους ποιότητας τῶν προσώπων. ὁ γοῦν παρὼν λόγος ἁρμόζει

λέγεσθαι ὑπὸ τῶν μεμαθηκότων μὲν τὰ τοῦ νόμου, ὅτι θεῖός ἐστι· καὶ βλεπόντων αὐτοῦ τὰ προστάγματα, ὅτι εἰσὶ καλά. οὐδὲν δὲ ἧττον ὡς πεπραμένων ὑπὸ τὴν ἁμαρτίαν, καὶ σαρκικῶν ὄντων. οὐ γινωσκόντων πῶς ἐμπίπτουσιν ὑπὸ τὴν ἁμαρτίαν.

15 Ὃ γὰρ κατεργάζομαι, οὐ γινώσκω· οὐ γὰρ ὃ θέλω,
16 τοῦτο πράσσω· ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ. εἰ δὲ ὃ οὐ
θέλω, τοῦτο ποιῶ, σύμφημι τῷ νόμῳ, ὅτι καλός.

Γενναδίου. Ἐπειδὴ εἶπε τὸ, "πεπράμενος ὑπὸ τὴν ἁμαρτίαν." καὶ διὰ τούτου τὴν μὲν ἐν τάξει δεσποίνης ὑπέθετο. ἑαυτὸν δὲ ἐν δούλου, πρὸς τοῦτο ἀκολούθως ἐπάγει, "ὃ γὰρ κατεργάζομαι, οὐ γινώσκω." τοῦτο γὰρ ἴδιον οἰκετῶν, τὸ μὴ γνώμης ἰδίας εἶναι κυρίους· ἀλλὰ δεσποτικοῖς ὑποκεῖσθαι προστάγμασι. πολλάκις γοῦν τί, φησι, οὐ προαιρούμενος αὐτὸς διαπράττομαι· τὸ γὰρ οὐ γινώσκω, οὐχ ὅτι ἀγνοῶ λέγει. πῶς γὰρ ἢ ὃ πράττει τίς, τοῦτο αὐτὸν ἀγνοεῖν ἐγχωρεῖ; ἢ ὅλως ἂν αὐτῷ τὸ τοιοῦτον εἰς σφάλμα καταλογίζοιτο. ἀλλὰ τὸ, οὐ γινώσκω τοιοῦτόν ἐστιν, οἷον τὸ ἐν εὐαγγελίοις τοῦ Σωτῆρος· "οὐκ οἶδα ὑμᾶς, ἀπέλθετε ἀπ' ἐμοῦ," ἀντὶ τοῦ, κατεργάζομαί τι πολλάκις· οὐκ οἰκειούμενος οὐδὲ χαίρων· οὐδὲ ἡδόμενος αὐτῷ κατὰ πρόθεσιν· οὐδὲ ἐμαυτοῦ συντόμως εἰπεῖν ἐπακούων, ἀλλὰ ἄλλου. καὶ ὅτι τοῦτο οὕτως ἔχει, φησὶ, δῆλον· "οὐ γὰρ ὃ θέλω, τοῦτο ποιῶ. ἀλλ' ὃ μισῶ, τοῦτο πράσσω." τουτέστιν ἃ μὲν αὐτὸς ἐμαυτῷ θέλω, τούτων οὐδὲν διαπράττομαι. ποιῶ δὲ τἀναντία· καὶ ἃ μισῶν οὐκ ἂν ἐμαυτῷ βουληθείην ποτέ. διὰ μέντοι τῶν τοιούτων τὸν τοῦ Σωτῆρος ἐκεῖνον νόμον παραβαίνειν φησί· τὸν φυσικόν τε καὶ περιεκτικὸν τῶν ἁπάντων· τὸν, "ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως.

Χρυσοστόμου. Ὃ τοίνυν, φησὶ, κατεργάζομαι ἀγνοῶ. καὶ πότε τοῦτο γέγονεν; οὐδεὶς γὰρ οὐδέποτε ἐν ἀγνοίᾳ ἥμαρτεν· ὁρᾷς ὅτι ἐὰν μὴ μετὰ τῆς προσηκούσης εὐλαβείας τὰς λέξεις ἐκδεξώμεθα· καὶ πρὸς τὸν ἀποστολικὸν ἴδωμεν σκοπὸν, μυρία ἕψεται τὰ ἄτοπα· εἰ γὰρ ἀγνοοῦντες ἡμάρτανον, οὐδὲ δίκην ἦσαν ἄξιοι δοῦναι· ὥσπερ οὖν ἀνωτέρω ἔλεγε "χωρὶς γὰρ νόμου ἡ ἁμαρτία νεκρά·" οὐ τοῦτο δηλῶν, ὅτι οὐκ ᾔδεσαν ἁμαρτάνοντες· ἀλλ' ὅτι ᾔδεσαν μέν· οὐχ

οὕτω δὲ ἀκριβῶς. διόπερ ἐκολάζοντο μὲν, οὐχ οὕτω δὲ σφοδρῶς. καὶ πάλιν "τὴν ἐπιθυμίαν οὐκ ᾔδειν." οὐ τὴν καθόλου ἄγνοιαν δηλῶν· ἀλλὰ τὴν σαφεστέραν γνῶσιν ἐμφαίνων. ἔλεγε δὲ ὅτι "κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν." οὐ τοῦτο λέγων, ὅτι ἡ ἐντολὴ τὴν ἐπιθυμίαν ἐποίησεν· ἀλλ' ὅτι τὴν ἐπίτασιν τῆς ἐπιθυμίας ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς ἐπεισήγαγεν. οὕτω καὶ ἐνταῦθα, οὐ τὴν καθόλου ἀγνοίαν δηλοῖ· λέγων, "ὃ γὰρ κατεργάζομαι οὐ "γινώσκω·" ἐπεὶ πῶς συνήδετο τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον· τί οὖν ἐστιν "οὐ γινώσκω;" σκοτοῦμαι φησὶν, συναρπάζομαι. ἐπήρειαν ὑπομένω· οὐκ οἶδα πῶς ὑποσκελίζομαι· ὅπερ καὶ ἡμεῖς εἰώθαμεν λέγειν. οὐκ οἶδα πῶς ὁ δεῖνα ἐλθὼν, συνήρπασέ με. οὐκ ἄγνοιαν προβαλλόμενοι· ἀλλὰ ἀπάτην τινὰ καὶ περίστασιν, καὶ ἐπιβουλὴν ἐμφαίνοντες.

Θεοδώρου Μονάχου. Οὔκουν ὡς ἀγνοῶν μετὰ τὸν νόμον τὴν ἁμαρτίαν, τὸν νόμον λέγει ὅτι καλός· ἀλλὰ ἀντὶ τοῦ, πῶς αὐτὴν ποιῶ. ἢ πῶς ὑποκλέπτομαι, καὶ οὐκ αἰσθάνομαι· οἷον πολλάκις κρίνας κρατῆσαι θυμοῦ, ἡττήθην· καὶ θυμωθεὶς, ἔπραξα, ἃ μὴ ἐβουλόμην. ὥσπερ ὑπὸ δεσπότου τινὸς τῆς ἁμαρτίας ταττόμενος. ᾗ ἐμαυτὸν πέπρακα. οὐχ ἑαυτοῦ δὲ κατηγορεῖ, ἀλλὰ τὸν καινὸν ἄνθρωπον ἐν ἑαυτῷ ὑπογράφει, τὸ φορτικὸν ἐφ' ἑτέρου τάξαι παραιτούμενος. καὶ δείκνυσιν ὅτι ὅσοι ὑπὸ νόμον ἐσμὲν, ὀρεγόμεθα μὲν τῆς ἀρετῆς, ἡττώμεθα δὲ ἡδονῆς. οὐ μὴν ὅσοι ὑπὸ χάριν, ὡς δι' αὐτὴν ἔξω γεγονότες ἁμαρτίας. ὑφ' ἧς οὐ κατεχόμεθα, ἐὰν μὴ δράμωμεν εἰς αὐτήν.

Θεοδωρήτου. Καὶ εἰκότως ἀγνοεῖν φησι· ὁ γὰρ ἡττώμενος ὑπὸ τῆς ἡδονῆς, καὶ μέν τοι καὶ τῆς ὀργῆς τῷ πάθει μεθύων, οὐκ ἔχει σαφῆ τὴν γνῶσιν τῆς ἁμαρτίας· μετὰ δέ γε τὴν παύλαν τοῦ πάθους, τὴν αἴσθησιν δέχεται τοῦ κακοῦ· τὶ δὲ, "οὐ γὰρ ὃ θέλω, "τοῦτο πράσσω. ἀλλ' ὃ οὐ θέλω, τοῦτο ποιῶ," κατόρθωμα ἐμφαίνει τοῦ νόμου· τὸ διδάξαι τί τὸ κακόν. καὶ μῖσος ἐνθεῖναι τῇ ψυχῇ κατὰ τούτου. τὸ μέν τοι "ὃ οὐ θέλω, καὶ ὃ μισῶ," οὐκ ἀνάγκης ἀλλ' ἀσθενείας δηλωτικά· οὐ γὰρ ὑπ' ἀνάγκης τινὸς καὶ βίας ὠθούμενοι, πλημμελοῦμεν. ἀλλ' ὑπὸ τῆς ἡδονῆς καταλεγόμενοι, ποιοῦμεν, ἅπερ ὡς παράνομα βδελυττόμεθα.

Χρυσοστόμου. Πῶς οὖν ὁ γινώσκεις ὃ κατεργάζῃ; εἰ γὰρ

θέλεις τὸ καλὸν, καὶ μισεῖς τὸ πονηρὸν, γνώσεως τοῦτο ἀπηρτισμένης ἐστίν. ὅθεν δῆλον, ὅτι καὶ τὸ, "οὐ θέλω" εἴρηκεν, οὐ τὸ αὐτεξούσιον ἀναιρῶν, οὐδὲ ἀνάγκην τινὰ εἰσάγων βεβιασμένην. εἰ γὰρ οὐχ ἑκόντες ἀλλ' ἀναγκαζόμενοι ἡμαρτάνομεν, πάντα τὰ τῶν κολάσεων τῶν ἔμπροσθεν γεγενημένων, οὐκ ἂν ἔχοι λόγον. ἀλλ' ὥσπερ "οὐ γινώσκω" εἰπών· οὐκ ἄγνοιαν ἐνέφηνεν· ἀλλ' ἅπερ εἰρήκαμεν, οὕτω καὶ τὸ, "οὐ θέλω" προσθεὶς, οὐκ ἀνάγκην ἐδήλωσεν, ἀλλὰ τὸ μὴ ἐπαινεῖν τὰ γινόμενα· ἐπεὶ εἰ μὴ ἦν τοῦτο δηλώσας, τῷ εἰπεῖν "ὃ οὐ θέλω, τοῦτο πράσσω," ἐπήγαγεν ἂν, ἀλλ' ὃ ἀναγκάζομαι καὶ βιάζομαι, τοῦτο ποιῶ· τοῦτο γὰρ τῷ θέλειν καὶ τῇ ἐξουσίᾳ ἀντίκειται· νυνὶ δὲ οὐ τοῦτο εἴρηκεν· ἀλλ' ἀντὶ τούτου, τὸ "μισῶ" τέθεικεν· ἵνα μάθῃς, ὅτι καὶ ἐν τῷ εἰπεῖν οὐ θέλω, οὐ τὴν ἐξουσίαν ἀνεῖλε. τί οὖν ἐστιν "οὐ θέλω;" ὃ μὴ ἐπαινῶ· ὃ μὴ ἀποδέχομαι· ὃ μὴ φιλῶ.

Κυρίλλου. Τινὲς δὲ τῶν ἀμαθεστέρων, οἴονται τὸν τῶν Ἑλλήνων μῦθον ἐμπεδοῦν ἐθέλειν αὐτόν· ὃν οὐκ οἶδα πῶς πρεσβεύειν ἐγνώκασιν ἐκεῖνοι, πλανῶντες τὲ καὶ πλανώμενοι. εἱμαρμένην γὰρ πλαστουργοῦντες τινὰ, καὶ τύχην, κατὰ τὸ σφίσι δοκοῦν· εἶτα τὸ κρατεῖν τῶν καθ' ἡμᾶς πραγμάτων ταῖς οὐκ οὔσαις ἀνάπτοντες, παραιροῦνται τὸν ἄνθρωπον τοῦ ὅτι μάλιστα πρέποντος αὐτῷ· φημὶ δὲ τοῦ χρῆναι βιοῦν ἐλευθέρως· ἀνειμένην τὲ καὶ ἐθελούσιον ἔχοντα τὴν ῥοπὴν, τὴν ἐφ' ὅπερ ἂν ἕλοιτο τῶν πρακτέων. ἀνάγκῃ δὲ ὥσπερ καὶ τοῖς παρ' ἐκείνων ὅροις τε καὶ ψήφοις ὑπάγοντες, οὐ μετρίως ἀδικοῦσι τοὺς κατὰ τόνδε τὸν βίον· εἰ γάρ τις ἴοι κατ' αὐτοὺς ἐπὶ τὸ δρᾶν ἃ μὴ θέμις, οὐκ ἐνὸν αὐτῷ, κἂν εἰ βούλοιτο τυχὸν τῆς εἱμαρμένης τὸ νεῦμα διαφυγεῖν· οὐδ' ἂν ὅλως διαμωμήσαιτό τις εὖ φρονῶν· κἂν εἰ ὁρῷτο πλημμελῶν· ὃ γὰρ ἦν ἀνάγκῃ καὶ οὐχ ἑκόντα δρᾶν, εἰ ἁλίσκοιτο πεπραχὼς, ἔξω που πάντως αἰτίας ἔσται καὶ δίκης· ἐπαινέσαι δ' ἄν τις οὐ λίαν ἐμφρόνως, τὸν ἐπιεικῆ καὶ κόσμιον· τί γὰρ εἰ γέγονε τοιοῦτος, οὐχ ἑκὼν, ἀλλὰ τοῖς ἑτέρων νεύμασι παρενηνεγμένος εἰς τοῦτο· μᾶλλον δὲ καὶ ἄμαχον αὐτῷ τὴν ἀνάγκην κατεξανιστάσης τῆς τύχης;

Οὐκοῦν ἀπηχὲς μὲν παντελῶς τὸ ταῖς Ἑλλήνων τερθρείαις συναποφέρεσθαι λέγειν τὸν τῶν καλλίστων εἰσηγητήν· ἤγουν οἴεσθαι

τῆς ἐκείνων ἀβελτηρίας ἰέναι κατόπιν, τὸν τῶν θείων ἡμῖν μυστηρίων γεγονότα ταμίαν· εἰ λέγοι τυχὸν, "ὃ γὰρ κατεργάζομαι οὐ "γινώσκω· οὐ γὰρ ὃ θέλω, τοῦτο πράσσω· ἀλλ' ὃ μισῶ, τοῦτο "ποιῶ." εἰ γὰρ δή τις ὅλως διϊσχυρίσαιτο· καὶ δὴ καὶ ἕλοιτο φρονεῖν ὡς εἱμαρμένῃ καὶ τύχῃ τῶν καθ' ἡμᾶς ἀπονενέμηκεν ἐξουσίαν, πῶς οὐκ ἂν εἰκότως ἔροιτο ἂν αὐτὸν ἐκεῖνον που λέγων· εἰ σκληραῖς καὶ δυσαρτήτοις ἀνάγκαις ἐνειλημμένοι, τῶν πρακτέων, ἢ μὴ, κύριοι μὲν ἡμεῖς οὐδαμόθεν καθεστήκαμεν· εἴκομεν δὲ μᾶλλον ὡς κρατοῦσιν ἑτέροις· καὶ τοῦ κατὰ γνώμην εἰργόμεθα, πῶς ἡμῖν γέγραφας αὐτός· "ἢ ἀγνοεῖτε ἀδελφοί· εἰδόσι γὰρ νόμον "λαλῶ· ὅτι ὁ νόμος κυριεύει τοῦ ἀνθρώπου, ἐφ' ὅσον χρόνον ζῇ;" κυριεύει δὴ οὖν τίνα τρόπον τῶν ζώντων ὁ νόμος. ἀπρακτήσει μὲν γὰρ ἀραρότως ἐπὶ τοῖς τεθνεῶσιν· ὁρίζεται δὲ οὐκ ἐκείνοις πόθεν. ἀλλὰ τοῖς ἔτι τὸν ἐν σώμασι τρίβουσι βίον. καὶ στεφανοῖ μὲν ἐπαίνοις, τὸν εὐδοκιμεῖν εἰωθότα· καταψηφίζεται δὲ τῶν βεβήλων τὴν δίκην. εἶτα πῶς ὁ νομοθέτης ὅσιος ἔσται κριτής· κολάζων ἡμαρτηκότας τοὺς εἰς τοῦτο πεσεῖν ἀβουλήτως ἐκ ψυχῆς ἠναγκασμένους;

Μᾶλλον δὲ τί καὶ ὅλως τὸν νόμον ὡρίσατο. τοῖς μὲν γὰρ ἔχουσιν ἐπ' ἐξουσίας, ἃ ἂν βούλοιντο δρᾶν, ὁσίαν ὁ νόμος ὁρίζει τὴν δίκην· εἰ παρὸν εὐδοκιμεῖν ταῖς ἀγαθοεργίαις ἐπιδόντας τὸν νοῦν, αὐτοὶ τὰ αἰσχίω τετολμήκασι· καὶ τῶν ἀμεινόνων ἠλλάξαντο τὰ διὰ νόμου κατεγνωσμένα. τοῖς γε μὴν ἐπηρτημένον ἔχουσι τὸν τῆς ἀνάγκης ζυγόν· καὶ ᾗπερ ἂν τοῖς κρατοῦσι δοκῇ, τρεπομένοις ἀεὶ, περιττὸν οἶμαί που τὸ θέσπισμα· καί τοι πῶς οὐκ ἀληθὲς εἰπεῖν, ὡς οὐδ' ἂν ἡμῖν ὁ πάντα εἰδὼς τὸν ἐκ τοῦ νόμου ζυγὸν ἐπετίθει τὸ αὐτῷ δοκοῦν εὖ μάλα βραβεύοντα, καὶ παιδαγωγοῦντα πρὸς τὸ συμφέρον, εἰ τοῖς εἱμαρμένης βρόχοις ἐνειλημμένους ἠπίστατο; ἢ γὰρ ἐκεῖνο λεγόντων οἱ δι' ἐναντίας, ὡς ἠγνόηκε τοῦτο Θεός. ἢ εἴπερ ὀρθὰ φρονεῖν ἠρημένοι δεδίασι σφόδρα τὸ τῆς ἀρρήτου δόξης καταχέαι τὴν ἄνοιαν ἢ τὴν ἄγνοιαν. νενομοθετήκασι δέ φασιν, καὶ μὴν καὶ τῶν πλημμελούντων καθορίσαι τὰς δίκας, ὁμολογήσουσιν ἐναργῶς, οἱ δέ[g] που πάντως ἐλευθέρῳ φρονήματι

[g] Leg. vid. οἶδε.

διαζῶντα τὸν ἄνθρωπον· καὶ ῥοπαῖς ἐθελουσίοις ἐφ' ὅπερ ἂν καὶ βούλοιτο διάττειν ἰσχύοντα, παραποδίζοντος οὐδενός.

Ταύτητοι καὶ ὁ θεσπέσιος Παῦλος κυριεύειν ἔφη τοῦ ἀνθρώπου τὸν νόμον ἐφ' ὅσον χρόνον ζῇ· οὐκοῦν, οὐχ ὡς τῆς ἀνθρώπου διανοίας τοῖς ἑτέρων ὑποκειμένης νεύμασι, τὰ τοιάδε φησίν· φιλοσοφεῖ δὲ, καὶ τῆς ἀνθρώπου φύσεως τὰ πάθη περιεργάζεται· μονονουχὶ δὲ καὶ ἀνορύττει λεπτῶς τὰ εἰς νοῦν ἔσω τῶν ἀρρωστημάτων· καὶ τῆς ἐμφύτου φιληδονίας τὸ σῶμα γράφεται· τοῦ νοσοῦντος ἔτι τὴν φιλοσαρκίαν ἑαυτῷ τὸ πρόσωπον εὖ μάλα περιτιθείς. εἰ γὰρ καὶ ἐσταύρουται μὲν αὐτὸς τῷ κόσμῳ, καὶ ὁ κόσμος αὐτῷ· καὶ ἦν ἀξιάγαστος ἀληθῶς, ἀλλ' ἡγεῖτο σοφὸν, μὴ εἰς τὸ οἰκεῖον χάρισμα βλέπειν, ἀλλὰ τὴν τῶν οὔπω κατ' αὐτὸν γεγονότων ἀσθένειαν, ὑπόθεσιν ἀναγκαίαν ποιεῖσθαι τῷ λόγῳ. ὅταν οὖν ἀκούσῃς λέγοντος· "ὃ γὰρ κατεργάζομαι οὐ γινώσκω," ἐννόει τινὰς τῶν ὑπεράγαν ἁμαρτωλῶν· οἰομένους ὅτι τὸν πανάριστον ἀληθῶς διαζῶσι βίον. καὶ ὅτι τῆς ἐν τῷδε τῷ βίῳ τρυφῆς καὶ ἐξιτηλίας, οὐδὲν ἂν γένοιτο τὸ ἰσοστατοῦν· καταμυσάττονται μὲν γὰρ τῆς ἐπιεικείας τοὺς τρόπους· ἐναβρύνονται δὲ καὶ ἐνσπαταλῶσι λίαν, ταῖς σφῶν αὐτῶν ἡδοναῖς· καὶ περὶ αὐτῶν οἶμαί που φησὶ ὁ Παῦλος, "οἱ τὰ ἐπίγεια φρονοῦντες. ὧν ὁ Θεὸς, ἡ κοιλία· καὶ ἡ "δόξα αὐτῶν ἐν τῇ αἰσχύνῃ αὐτῶν·" οὗτοι φαῖεν ἂν ὥς τι τῶν ἄγαν ἐπαινουμένων πληροῦντες τὸ φαῦλον. "ὃ γὰρ κατεργάζομαι, "οὐ γινώσκω·" οὐκοῦν οὗτοι ἀκουέτωσαν. "ἐκνήψατε οἱ μεθύοντες "ἐξ οἴνου αὐτῶν." ὅνπερ γὰρ τρόπον οἱ φιλοπόται καὶ κάτοινοι παρακεκομμένοι τῷ πάθει, τῆς διανοίας τὸ ἀκριβὲς, οὐκ ἂν εἰδεῖεν τὰ σφίσι δρώμενα κατὰ τὸν τοῦ μεθύειν καιρόν· οὕτως οἱ τὴν φρένα κατερρωστηκότες ἐκ φιλοσαρκίας καὶ τῶν αἰσχίστων ἡδονῶν, οὐδὲ ὅ τί ποτε δρῶσιν, εἰδεῖεν ἄν. νόσημα δὴ οὖν ἀνθρώπου καρδίας ὁ Παῦλος ἡμῖν ἐξηγεῖται, λέγων "ὃ κατεργάζομαι οὐ "γινώσκω." εἰ δὲ δή τις εἴη τοῖς μὲν ἀπὸ τοῦ συνειδότος ἐλέγχοις τρυφερωτέραν ὥσπερ ὑπέχων τὴν ἑαυτοῦ καρδίαν· καὶ ἀσχάλλων μὲν ὅτι πλημμελεῖ· πλὴν ἔτι πλεονεκτούμενος ταῖς εἰς ἁμαρτίαν ἡδοναῖς· καὶ οἷον ἀβουλήτως ἰὼν πρὸς τὸ πλημμελὲς, φαίη ἂν εἰκότως, "οὐ γὰρ ὃ θέλω, τοῦτο πράσσω· ἀλλ' ὃ μισῶ, τοῦτο

"ποιῶ·" ὡς πολλοὶ πολλάκις τεθαυμάκασι μὲν τὴν ἐγκράτειαν. καὶ δὴ μελέτης τῆς εἰς αὐτὴν ἀρξάμενοι, τοῖς τῆς μυσαρᾶς ἡδονῆς νενίκηνται κέντροις. καὶ ὀκλάσαντος αὐτοῖς τοῦ νοῦ πρὸς τὸ χεῖρον, ἐνηργήκασι τὴν ἁμαρτίαν. κατηφείας γε μὴν μετὰ τοῦτο μεμέστωνται. τούτοις ἂν πρέποι καὶ μάλα εἰκότως, μονονουχὶ καὶ ἀβουλήτως ἡσθενηκόσι, τὸ φάναι δὴ πάλιν· "νυνὶ δὲ ἐγὼ "οὐκέτι κατεργάζομαι αὐτὸ, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία."

Χρυσοστόμου. Εἰπών γε μὴν "εἰ δὲ ὃ οὐ θέλω τοῦτο ποιῶ, σύμφημι τῷ νόμῳ ὅτι καλὸς," δείκνυσι τέως τὴν διάνοιαν οὐ διεφθαρμένην. ἀλλὰ καὶ ἐν τῇ πράξει τὴν οἰκείαν διατηροῦσαν εὐγένειαν. εἰ γὰρ καὶ μετέρχεται τὴν κακίαν, ἀλλὰ μισοῦσα μετέρχεται· ὃ καὶ τοῦ φυσικοῦ νόμου καὶ τοῦ γραπτοῦ μέγιστον ἐγκώμιον ἂν εἴη. ὅτι γὰρ καλὸς ὁ νόμος φησὶ, δῆλον ἐξ ὧν ἐμαυτοῦ κατηγορῶν παρακούω τοῦ νόμου, καὶ μισῶ τὸ γεγενήμενον. καί τοι εἰ ἁμαρτίας αἴτιος ἦν ὁ νόμος, πῶς αὐτῷ συνηδόμενος τὸ παρ' αὐτοῦ κελευόμενον γενέσθαι ἐμίσει;

Γενναδίου. Εἰ τοίνυν ἃ μὴ αὐτὸς θέλω ταῦτα ποιῶ, δι' αὐτοῦ τούτου τὸ τὸν νόμον εἶναι καλὸν, καθομολογῶ· ἃς γὰρ ἐκεῖνος κακίζων πράξεις ἀπαγορεύει μοι, τούτων καὶ αὐτὸς ἐγὼ κατέγνωκα. κἂν μετίω τοῖς ἔργοις αὐτά.

Θεοδωρήτου. Καὶ αὐτὸ δὲ τὸ μῖσος, ὃ περὶ τὴν ἁμαρτίαν ἔχω, παρὰ τοῦ νόμου λαβὼν ἔχω· οὐκοῦν συνηγορῶ τῷ νόμῳ, καὶ εὖ αὐτὸν ἔχειν ὁμολογῶ.

Φωτίου. Σὺ δέ μοι οὕτω διαλεύκανον τὰ ῥητά. μετὰ τὸ πραθῆναι καὶ γενέσθαι ὑπὸ τὴν ἁμαρτίαν τὸν ἄνθρωπον, οὐ γινώσκει ὃ κατεργάζεται· τῆς συνηθείας τῆς αἰσχρᾶς, παντελῶς αὐτοῦ κυριευσάσης· καὶ μὴ συγχωρούσης εἰδέναι ὅτι κακόν ἐστιν ὃ πράσσει. διὸ καὶ ὃ ἐμίσει ἂν, εἰ ἄπρακτος καὶ ἐλεύθερος ἦν· καὶ ὃ οὐκ ἂν εἵλετο, τοῦτο καὶ αἱρεῖται. πεπραμένος ἤδη ὢν καὶ πράττει. εἰ δὲ ἐλεύθερος ὢν καὶ ἄπρακτος καὶ κατὰ φύσιν, οὐκ ἂν εἱλόμην ἃ νῦν ποιῶ, συμμαρτυρῶ τῷ νόμῳ ὅτι καλός· ἐκεῖνα γάρ μοι συμψηφίζεται φυγεῖν· ἃ καὶ ἐγὼ ἐν τῇ κατὰ φύσιν ἐλευθερίᾳ τυγχάνων, ἔκρινα φευκτέα εἶναι καὶ μισητά. οὐ γινώσκω οὖν, πραθεὶς δηλονότι, οὐ γὰρ ὃ θέλω ἐλεύθερος ὤν, τοῦτο πράσσω νῦν. πεπραμένος

ὤν· ἀλλ' ὃ μισῶ ἐλεύθερος ὤν, τοῦτο ποιῶ πεπραμένος ων. εἰ δὲ ὃ οὐ θέλω ἐλεύθερος ὤν, τοῦτο πράσσω πεπραμένος ὤν, συμμαρτυρῶ ἐλεύθερος ὤν, ὅτι καλὸς ὁ νόμος. τὰ γὰρ αὐτὰ ἐκείνου βούλομαι, καὶ οὐχ ἃ νῦν ποιῶ.

17 Νυνὶ δὲ οὐκέτι ἐγὼ κατεργάζομαι αὐτό· ἀλλ' ἡ
18 οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία. οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν
ἐμοί· τουτέστιν ἐν τῇ σαρκί μου, ἀγαθόν. τὸ μὲν γὰρ
θέλειν παράκειταί μοι· τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν,
19 οὐχ εὑρίσκω· οὐ γὰρ ὃ θέλω ποιῶ ἀγαθόν· ἀλλ' ὃ οὐ
20 θέλω κακὸν, τοῦτο πράσσω· εἰ δὲ ὃ οὐ θέλω ἐγὼ, τοῦτο
ποιῶ, οὐκέτι ἐγὼ κατεργάζομαι αὐτό· ἀλλ' ἡ οἰκοῦσα ἐν
ἐμοὶ ἁμαρτία.

Χρυσοστόμου. Σαφὲς ἄρα φησὶν τὸ μὴ ἐμὴν ἔτι, τῆς δὲ ἐν ἐμοὶ ἁμαρτίας εἶναι τὴν πρᾶξιν· ἐγὼ γὰρ αὐτὴν οὐδὲ βουλόμενος οὐδὲ θέλων πέφηνα· καὶ ἑρμηνεύων πῶς ποτε ἔφη τὸ, "ἡ οἰκοῦσα "ἐν ἐμοὶ ἁμαρτία," ἐπάγει· "οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοί· "τουτέστιν, ἐν τῇ σαρκί μου, ἀγαθόν." διὰ πάντων τούτων, τὸ ἐν τοῖς ἁγίοις εὐαγγελίοις λέγων παρὰ τοῦ δεσπότου λεχθέν· "ὅτι "τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ, ἀσθενής." τὸ γὰρ τῆς σαρκὸς φθαρτὸν καὶ ἐμπαθὲς τῆς παρανομίας καταιτιᾶται· "οὐκ "οἰκεῖ γάρ," φησιν, "ἐν τῇ σαρκί μου, ἀγαθόν·" τουτέστιν, οὐκ ἔχει τὸ ἀπαθὲς οὐδὲ τὸ τέλειον, καὶ ἀνενδεὲς καὶ ἀναμάρτητον. ὅθεν αὐτὴν καὶ σάρκα πολλάκις ἁμαρτίας καλεῖ· καὶ σῶμα ἁμαρτίας, καὶ σῶμα θανάτου· αἱροῦμαι γοῦν τῷ νῷ τὸ ἀγαθόν· καὶ παρεσκεύασμαι πρὸς τοῦτο κατὰ ψυχήν. ἐπὶ δὲ τῶν διὰ σαρκὸς ἔργων, αὐτὸ μετελθεῖν οὐχ εὑρίσκω· ἀλλ' ἐσπούδακα μὲν καὶ ἀγωνίζομαι ποιῆσαι τὸ ἀγαθόν. ὑπάγομαι δὲ παρ' αὐτῆς πράττειν ἃ μὴ προῄρημαι. τὴν οὖν τοιαύτην πρᾶξιν, εἰκότως οὐκ ἐμὴν ἀλλ' ἀλλοτρίαν λογίζομαι.

Θεοδωρήτου. Καὶ σκόπει πῶς τοῦτο γίνεται· ἄρχειν τοῦ τε θυμοῦ καὶ τῆς ἐπιθυμίας ὁ νοῦς ἐτάχθη παρὰ Θεοῦ, ἐν ἐμοὶ, καὶ κυβερνᾶν τὰ μετὰ τὴν παράβασιν ταύτην καὶ διεξάγειν καλῶς·

νήφων μὲν οὖν καὶ σωφρονῶν τοῦτον ἰθύνει τὸν τρόπον αὐτά· ἀμελήσας δὲ ὑποκύπτει σφίσι μᾶλλον αὐτὸς, καὶ κατακυριεύεται ὑπ' αὐτῶν· καὶ πρὸς τὰ φαῦλα καθέλκεται· ἅπερ αὐτὸς μὲν οὐ λέγεται κατεργάζεσθαι· ἐπειδὴ μισεῖ τὸ γινόμενον. ἡ δὲ τῶν παθῶν δεσποτεία καὶ δουλεία αὐτοῦ, ἣν ἁμαρτίαν ὁ Παῦλος ἐκάλεσε, ταύτην ἔχει τὴν πρᾶξιν· διὸ καὶ μὴ οἰκεῖν φησὶν ἐν τῇ σαρκὶ ἀγαθὸν, διὰ τὴν τῶν παθῶν ἐπικράτειαν. ἃ ἐπεισήγαγε μὲν θνητὸν τὸ σῶμα γεγενημένον· ηὔξησε δὲ τοῦ νοῦ ῥαθυμία. καί τοι τὴν περὶ τὰ καλὰ προθυμίαν ἀπὸ τῆς τοῦ νόμου διδασκαλίας προσέλαβον. ἀσθενῶ δὲ ὅμως περὶ τὴν πρᾶξιν, ἑτέραν ἐπικουρίαν οὐκ ἔχων.

Κυρίλλου. Ἐνίησι δὲ πάλιν τῆς θεωρίας τὸ ἀκριβὲς τῇ τοῦ σώματος φύσει· καὶ τῶν ἐνόντων αὐτῷ φυσικῶν ἀρρωστημάτων τὴν δύναμιν κατασκέπτεται. αἵ τε γὰρ ὀρέξεις αἱ πρὸς πᾶν ὁτιοῦν ἀποκομίζουσαι· καὶ τῆς φιληδόνου ζωῆς τὰ ἐγκλήματα, πηγὴν ἔχουσι τὴν σάρκα· καὶ καταστρατεύονται τοῦ πνεύματος· καὶ ἀνθέλκουσι πρὸς τὰ αἰσχίω· καί τοι φιλελεύθερον ὄντα τὸν νοῦν καὶ καυχώμενον ἐπ' ἀρετῇ. διὸ καὶ εἰς ἀπόδειξιν τοῦ κατηγορεῖσθαι τὴν σάρκα δεινῶς ὠδίνουσαν ἐν ἑαυτῇ τὴν ἁμαρτίαν, λέγει τὸ παρακεῖσθαι μὲν ἡμῖν τὸ ἀγαθὸν, μὴ μὴν ἔτι καὶ δύνασθαι διαπεραίνειν αὐτό· καταβιάζεται γὰρ εἰς ἀβούλητον ἐκτροπὴν καὶ οὐχ ἑκόντα τὸν νοῦν· οὐκοῦν ὅσον ἧκεν εἴς γε τὸ αὐτῷ δοκοῦν, ἦν ἂν ἔξω ἁμαρτίας. ἐπειδὴ δὲ δυσδιάφυκτον ὑπομένει πλεονεξίαν, εἴη ἂν εἰκότως οὐκ αὐτοῦ δὴ μᾶλλον· ἀλλὰ τοῦ πλεονεκτοῦντος ἡ αἰτία· ταύτῃ τοι φησί· "εἰ δὲ ὃ οὐ θέλω ἐγὼ, τοῦτο ποιῶ, οὐκέτι "ἐγὼ κατεργάζομαι αὐτό· ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία."

Εἴποι δὲ ἄν τις, ἆρα εἴ τινες τῶν ἀλιτηρίων βαρβάρων πόλιν ἢ χώραν καταδῃώσαντες, εἶτα δορυκτήτους τῶν ἐνοικούντων ἑλόντες τινὰς τὸν τῆς δουλείας αὐτῶν ἐπιτιθεῖεν ζυγόν· οἱ δὲ τοῦτο πεπονθότες ὡς ἐξ ἀναγκαίου δεσμοῖς τοῖς τῶν κρατούντων εἴκοιεν νόμοις, μώμου καὶ γραφῆς εἶεν ἂν ἄξιοι· ὅτι μήτε ἀμείνους τῆς ἀνάγκης εἰσί· μήτε μὴν τὸ σφίσιν αὐτοῖς ἡδὺ διαπεραίνειν σπουδάζουσι· τῆς τῶν τετυραννηκότων ἀλογήσαντες ἐξουσίας; ἀλλ' οὐκ ἂν οἶμαί τις αὐτοὺς εἰκότως διαμωμήσαιτο· οὐ γὰρ ἐξὸν ἀνεῖσθαι

δουλεύουσιν· εἴκουσι δὲ, ὡς ἔφην, ταῖς ἀβουλήτοις συμφοραῖς. ἀλύοντες μὲν, ὅτι τῆς ἐλευθερίας ἐστέρηνται, τοῖς γε μὴν ἀλκιμωτέροις ἐξ ἀνάγκης ἡττώμενοι· καὶ οὐχ ἑκόντες δουλεύουσιν· ἀλλ' εἴπέρ ἐστι τοῦτο τοῦ εἰκότος οὐ μακρὰν, ἀπηλλάχθω γραφῆς ὁ ἀνθρώπινος νοῦς ἐπὶ τοῖς τῆς σαρκὸς ἀρρωστήμασιν. ἀλλ' ἦν ἐπ' αὐτῷ, φησὶν, καὶ τὸ μὴ ἑλέσθαι δρᾶν. ἔχει γὰρ αὐτὸς τὰς τῶν θελημάτων ἡνίας. οὐκοῦν ἔστω καὶ πλεονεξίας ἀμείνων καὶ ἀτυράννευτος ἁμαρτίαις. εἰ δὲ δύσοιστος καὶ οὐκ εὐάντητος ἡ τῆς σαρκὸς φύσις· κατεξανιστᾶσα τῷ νῷ τὴν ἀτίθασσόν ἡδονήν· ἀργότερος δὲ πρὸς ἐπικουρίαν ὁ νόμος. οὐ γὰρ ἔχει τὸ δύνασθαι νεκροῦν ἁμαρτίας, οὐκ ἂν ἐγκαλέσειέ τις δικαίως, ὅτι μὴ δρᾷ τὸ ἄμεινον, τὰ αἰσχίω μεθείς. κἂν εἰ ἔχοι τυχὸν τὰς τῶν ἐν ἡμῖν θελημάτων ἡνίας.

Χρυσοστόμου. Ἀλλ' ἐνταῦθα ἐπιτίθενται ἡμῖν οἱ τὴν σάρκα διαβάλλοντες, καὶ τῆς τοῦ Θεοῦ δημιουργίας ἀλλοτριοῦντες. τί οὖν ἂν εἴποιμεν; ἃ καὶ περὶ τοῦ νόμου πρώην διαλεγόμενοι εἰρήκαμεν. ὅτι ὥσπερ ἐκεῖ τὸ πᾶν τῆς ἁμαρτίας εἶναι φησὶ, οὕτω καὶ ἐνταῦθα· οὐ γὰρ εἶπεν ὅτι ἡ σὰρξ αὐτὸ κατεργάζεται· ἀλλὰ καὶ τοὐναντίον· "ὅτι οὐκέτι ἐγὼ κατεργάζομαι αὐτό[g]." εἰ δὲ λέγοι ὅτι οὐκ οἰκεῖ ἐν αὐτῇ ἀγαθὸν, οὔπω τοῦτο ἔγκλημα τῆς σαρκός. οὐ γὰρ τὸ μὴ οἰκεῖν ἀγαθὸν ἐν αὐτῇ, πονηρὰν αὐτὴν δείκνυσιν οὖσαν. ἡμεῖς δὲ ἐλάττονα μὲν τῆς ψυχῆς ὁμολογοῦμεν εἶναι τὴν σάρκα, καὶ καταδεεστέραν· οὐ μὴν ἐναντίαν οὐδὲ μαχομένην οὐδὲ πονηράν· ἀλλ' ὡς κιθάραν κιθαριστῇ, καὶ ὡς ναῦν κυβερνήτῃ, οὕτως αὐτὴν ὑποκεῖσθαι τῇ ψυχῇ· ἅπερ οὐκ ἐναντία τοῖς ἄγουσι καὶ χρωμένοις ἐστίν· ἀλλὰ καὶ σφόδρα συμβαίνοντα· οὐ μὴν ὁμότιμα τῷ τεχνίτῃ· ὥσπερ οὖν ὁ λέγων, ὅτι οὐκ ἐν τῇ κιθάρᾳ· οὐδ' ἐν τῇ νηῒ ἡ τέχνη· ἀλλ' ἐν τῷ κυβερνήτῃ καὶ τῷ κιθαρῳδῷ· οὐ τὰ ὄργανα διέβαλεν· ἀλλὰ τὸ μέσον τὸ πρὸς τὸν τεχνίτην ἔδειξεν· οὕτω καὶ ὁ Παῦλος εἰπὼν ὅτι "οὐκ οἰκεῖ ἐν τῇ σαρκί "μου ἀγαθόν·" οὐ τὸ σῶμα διέβαλεν· ἀλλὰ τὸ ὑπερέχον τῆς ψυχῆς ἔδειξεν. αὕτη γάρ ἐστιν ἡ τὸ πᾶν ἐγκεχειρισμένη τῆς κυβερνήσεως καὶ τῆς κιθαρῳδίας· ὅπερ καὶ Παῦλος ἐνταῦθα

[g] ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία a m. rec. i. m.

δείκνυσι τὸ κῦρος τῆς ψυχῆς τιθέμενος, καὶ εἰς δύο ταῦτα τὸν ἄνθρωπον διελὼν, ψυχήν τε καὶ σῶμα· λέγει ὅτι ἀλογωτέρα μέν ἐστιν ἡ σὰρξ, καὶ συνέσεως ἔρημος, καὶ τῶν ἀγομένων ἀλλ' οὐ τῶν ἀγόντων· σοφωτέρα δὲ ἡ ψυχὴ, καὶ τὸ πράττειν καὶ τὸ μὴ πράττειν συνιδεῖν δυναμένη· οὐ μὴν ἀρκοῦσα πρὸς τὸ τὸν ἵππον ἄγχειν[h] ὡς ᾕρηται· ὅπερ οὐ τῆς σαρκὸς μόνον, ἀλλὰ καὶ τῆς ψυχῆς γένοιτ' ἂν ἔγκλημα· εἰδυίας μὲν ἅπερ δεῖ πράττειν, οὐκέτι δὲ εἰς ἔργον ἐκφερούσης τὰ δόξαντα.

Οἰκουμενίου. Τάχα δὲ καὶ τὸ, "οὐκ οἰκεῖ ἐν ἐμοὶ ἀγαθὸν," τὸ αὐτεξούσιον δείκνυσι. καὶ ὅτι ὁ ἄνθρωπος κύριος τῆς ἐπ' ἄμφω τό τε ἀγαθὸν καὶ τὸ κακὸν ῥοπῆς· τὸ γὰρ "οὐκ οἰκεῖ" ταυτὸν εἴποι ἄν τις, τῷ, οὐκ ἀποκληρωμένον καὶ ἀνάγκῃ τινὶ παραμένον ἔχω τὸ πράττειν τὰ ἀγαθά· ὥς τε καὶ πρὸς βίαν ἀφέλκειν με τῶν κακῶν. τοῦτο γὰρ ἡ οἴκησις· ἡ εἰς ἀεὶ διαμονὴ, καὶ οἷον ἐγκάθισις. ἐπὶ μέν τοι τοῦ ἀγαθοῦ, οὐκ εἶπεν οἴκησιν· ἐπὶ δὲ τῆς ἁμαρτίας, εἶπεν· ἐκ γὰρ τοῦ διαμαρτάνειν λοιπὸν, εἰς ἕξιν τινὰ τῆς ἁμαρτίας ἤλθομεν· ἡ δὲ ἕξις, ἴση τῇ φύσει γίνεται. καὶ οὐκ εἶπεν ἡ ἐρριζωμένη ἐν ἐμοὶ ἁμαρτία· τὸ ἐμπεφυκὸς κακόν· ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία. ἵνα μηδεὶς φυσικὴν τὴν ἁμαρτίαν νομίσῃ. ἀλλ' ὥσπερ ἐπὶ οἰκήτορος, ὡς εἰσῆλθεν ἐξελθεῖν δυναμένην. τὸ δ' αὐτὸ καὶ συνηγορία τοῦ σώματος. οὐ γὰρ ἡ τῶν οἰκούντων κακία, τῆς φύσεως τοῦ οἴκου διαβολή· τί γὰρ παρὰ τὸν οἶκον, εἰ λῃστὴς ἐν αὐτῷ τίς κατοικεῖ;

Μεθοδίου Πατάρεως. Ἔφη δέ τις ἁμαρτίαν ἐνταῦθα τὴν ἀπὸ τῆς παραβάσεως εἰσοικισθεῖσαν.

Διδύμου. Ἕτερος δὲ τὸν διάβολον εἶπεν. ὡς τὸ τῆς ἁμαρτίας ὄνομα οὐκ οὐσίαν ὑφεστῶσαν δηλοῖ, ἀλλὰ τὸ διημαρτηκέναι τινὰ τοῦ κατὰ λόγον καὶ ὀρθῶς ἔχοντος πράγματος. ἐπεὶ δὲ ὁ θεῖος Ἀπόστολος οὐχ ἁπλῶς ἁμαρτημάτων, ἀλλ' ἁμαρτίας γενικωτάτης δυναμένης σοφίστασθαι ἀφορμὰς, πρὸς τὴν τοῦ κακοῦ εὕρεσιν μνημονεύει, οὐκ ἄλλον τινὰ γενικωτάτως ἁμαρτίαν ὀνομάζει, ἀλλ' ἢ αὐτὸν τὸν τῶν ἁμαρτημάτων γεγονότα ἀρχηγέτην καὶ πατέρα διάβολον. ὡς γὰρ τοὺς ἀνθρώπους, ἀφ' ἧς ἐπιτηδεύουσι

[h] ἄγειν ὡς βούλεται i. m. a m. rec.

τέχνης καλοῦμεν, οὕτω δὴ καὶ αὐτὸν τὸν διάβολον ὡς πρώτως ἐφευρετὴν γενόμενον τῆς ἁμαρτίας, ἁμαρτίαν καλεῖ· ὃς μάλιστα ἐν τῇ ψυχῇ λέγεται ἐπιχωριάζειν· κατὰ τὸ, "εἰσῆλθεν ὁ Σατανᾶς "εἰς τὴν καρδίαν Ἰούδα." εὖ δὲ καὶ τὸ, εἰπεῖν, "οὐκέτι ἐγὼ "κατεργάζομαι αὐτό." ἔργου δὲ καὶ κατέργου πολὺ τὸ μέσον. διότι τοῦ ἔργου προηγεῖται τὸ κάτεργον. ὡς φέρε εἰπεῖν οἰκίας ἢ νηὸς τόδε κάτεργον, τουτέστι τῆς ὕλης ἡ παρασκευή. ἡ τοίνυν οἰκοῦσα ἐν τοῖς ἁμαρτάνουσιν ἁμαρτία, τουτέστιν ὁ Σατανᾶς, ὁμολογουμένως ἐν τοῖς λογισμοῖς ἡμῶν προκατεργάζεται τοῦ ἐσομένου κακοῦ τῆς ἰδέας τὴν κατασκευήν· τῆς ὑποδεξαμένης αὐτὸν ψυχῆς συμπραττούσης αὐτῷ· ὥσπερ δὲ ταῖς φιλαρέτοις ψυχαῖς τὸ Ἅγιον Πνεῦμα συγκοπιᾶν λέγεται· κατὰ τὸ, "περισσότερον "πάντων ἐκοπίασα. οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν "ἐμοί." οὕτω δὴ ἐπὰν ῥάθυμος ψυχὴ ταῖς τοῦ διαβόλου πεισθῇ προστροπαῖς, συνεργὸν ἔχει πρὸς τὸ κακὸν αὐτόν.

Χρυσοστόμου. Εἰπών γε μὴν ὅτι "τὸ κατεργάζεσθαι τὸ "ἀγαθὸν οὐχ εὑρίσκω." οὐκ ἄγνοιαν φησὶ, οὐδὲ ἀπορίαν, ἀλλ' ἐπήρειάν τινα καὶ ἐπιβουλὴν τῆς ἁμαρτίας. ὅπερ οὖν καὶ σαφέστερον δεικνὺς, ἐπήγαγεν· "οὐ γὰρ ὃ θέλω ποιῶ ἀγαθόν· ἀλλ' ὃ "οὐ θέλω, κακὸν, τοῦτο πράσσω· εἰ δὲ ὃ οὐ θέλω ἐγὼ τοῦτο ποιῶ, "οὐκέτι ἐγὼ κατεργάζομαι αὐτό· ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία·" εἶδες πῶς καὶ τὴν οὐσίαν τῆς ψυχῆς, καὶ τὴν οὐσίαν τῆς σαρκὸς ἀπαλλάξας ἐγκλήματος, τὸ πᾶν ἐπὶ τὴν πονηρὰν πρᾶξιν μετέστησεν. εἰ γὰρ οὐ θέλει τὸ κακὸν, ἀπήλλακται ἡ ψυχή· καὶ εἰ αὐτὸς αὐτὸ μὴ κατεργάζεται, ἠλευθέρωται καὶ τὸ σῶμα. καὶ μόνης τῆς πονηρᾶς προαιρέσεως ἔστι τὸ πᾶν. οὐ γὰρ ταυτὸν ψυχῆς οὐσία καὶ σώματος καὶ προαιρέσεως. ἀλλὰ τὰ μὲν ἔστιν ἔργα τοῦ Θεοῦ· τὰ δὲ, ἐξ ἡμῶν αὐτῶν γενομένη κίνησις πρὸς ὅπερ ἂν αὐτὴν βουληθῶμεν ἀγαγεῖν· ἡ μὲν γὰρ βούλησις, ἔμφυτον, καὶ παρὰ Θεοῦ. ἡ δὲ τοιάδε βούλησις ἡμέτερον, καὶ τῆς γνώμης ἡμῶν.

21 Εὑρίσκω ἄρα τὸν νόμον τῷ θέλοντι ἐμοὶ ποιεῖν τὸ καλὸν, ὅτι ἐμοὶ τὸ κακὸν παράκειται.

Χρυσοστόμου. Ἀσαφὲς τὸ εἰρημένον. τί οὖν ἐστι τὸ λεγόμενον; ἐπαινῶ τὸν νόμον φησὶ, κατὰ τὸ συνειδός. καὶ αὐτὸν δὲ

εὑρίσκω ἐμοὶ τῷ βουλομένῳ τὸ καλὸν ποιεῖν, συνήγορον καὶ ἐπιτείνοντά μοι τὸ βούλημα. ὥσπερ γὰρ ἐγὼ αὐτῷ συνήδομαι, οὕτως καὶ αὐτὸς ἐπαινεῖ τὴν γνώμην ἐμοί. ὁρᾷς πῶς δείκνυσι τὴν μὲν τῶν καλῶν καὶ τῶν μὴ τοιούτων γνῶσιν ἐξ ἀρχῆς ἡμῖν καταβεβλημένην· τὸν δὲ νόμον Μωσέως ἐπαινοῦντα αὐτὴν, καὶ ἐπαινούμενον παρ' αὐτῆς; οὐδὲ γὰρ ἀνωτέρω εἶπεν ὅτι διδάσκομαι παρὰ τοῦ νόμου· ἀλλὰ σύμφημι τῷ νόμῳ· οὔτε προϊὼν[1] ὅτι παιδεύομαι παρ' αὐτοῦ, ἀλλ' ὅτι συνήδομαι αὐτῷ. τί δέ ἐστι συνήδομαι; ὁμολογῶ ὡς καλῶς ἔχοντι. ὥσπερ οὖν καὶ αὐτὸς ἐμοὶ τῷ θέλοντι ποιεῖν τὸ καλόν· ὥστε τὸ θέλειν τὸ καλὸν καὶ τὸ μὴ θέλειν τὸ πονηρὸν, ἄνωθεν ἦν προκαταβεβλημένον. ὁ δὲ νόμος ἐλθὼν, καὶ ἐν τοῖς κακοῖς κατήγορος ἐγένετο πλείων, καὶ ἐν τοῖς ἀγαθοῖς ἐπαινέτης μείζων. ὁρᾷς πανταχοῦ ἐπίτασίν τινα καὶ προσθήκην αὐτῷ μαρτυροῦντα μόνον· πλέον δὲ οὐδέν· καὶ γὰρ ἐπαινοῦντος αὐτοῦ καὶ ἐμοῦ συνηδομένου καὶ θέλοντος τὸ καλὸν, τὸ κακὸν ἔτι παράκειται· καὶ ἡ πρᾶξις αὐτοῦ οὐκ ἀνήρηται· ὥστε ὁ νόμος τῷ προῃρημένῳ καλόν τί ποιῆσαι, καὶ κατὰ τοῦτο σύμμαχος γίνεται μόνον, καθὸ καὶ αὐτὸς τὰ αὐτῷ βούλεται.

Κυρίλλου. Καὶ ἄθρει δὴ πάλιν ὡς σοφῶς καὶ εὐτέχνως ἀποδέχεται τὸν νόμον· οὐχ ὡς τῆς ἁμαρτίας τὸ κέντρον ἀπαμβλύνειν ἰσχύοντα· οὔτε μὴν κατανεκροῦν οἷόν τε τὴν ἐν ἡμῖν ἁμαρτίαν. ἀλλ' ὡς ἐνιέντα μόνον τῷ νῷ τὴν τοῦ συμφέροντος γνῶσιν. εἰ γὰρ ἐμοί, φησι, παράκειται τὸ κακὸν ὡς ἐνοικοῦν τῇ σαρκί· κατακιβδηλεύει .γε μὴν ὁ νόμος αὐτὸ, χαρίζεται τὴν ἐπικουρίαν, καὶ νοεῖται σύμβουλος· οὐ μὴν ἔτι καὶ λυτρωτής. δεῖ δὲ πάντως τοῖς ἀρρωστοῦσι τὴν ἁμαρτίαν, οὐ τοῦ δειδέναι μόνον, ὅτι τὰ ἀμείνω προσήκει δρᾶν αὐτοὺς, ἀλλὰ καὶ τοῦ δύνασθαι κατορθοῦν, ἅπερ ἂν εὖ ἔχοι, καὶ τῷ νόμῳ δοκῇ. καθάπερ ἀμέλει καὶ τοῖς ἐθέλουσιν εὐδοκιμεῖν ἐν μάχῃ οὐκ ἀπόχρη πρὸς τοῦτο γυμνὴ καὶ μόνη τῶν τακτικῶν εἴδησις. ἀλλ' εἰ προσϋπάρχοι τούτῳ καὶ τὸ εὐσθενὲς, εἶεν ἂν οἱ τοιοίδε τότε δὴ μόλις λαμπροὶ καὶ περίβλεπτοι. οὐκοῦν εἰ διδάσκει μὲν ὁ νόμος τὸ ἐν ἀγαθοῖς εὐτεχνὲς, κατ' οὐδένα τρόπον δὲ τοῖς πλεονεκτουμένοις ἐπικουρεῖ, τὴν ἁμαρτίαν ἀπονευρῶν,

[1] προεῖπον i. m. a m. rec.

καλὸς μὲν ἔστι καὶ διδάσκαλος, οὐ μὴν ἔτι καὶ ἐν ἴσῳ χάριτι τῇ διὰ Χριστοῦ καταλογισθείη ἂν εἰκότως· τοῦ καὶ σοφοῦν ἰσχύοντος, καὶ ἀλκιμωτέρους ἡμᾶς ἀποφαίνοντος τοῦ κακοῦ.

Θεοδωρήτου. Καλὸς οὖν εἶναί μοι δοκεῖ ὁ νόμος. ἐπαινῶ γὰρ τὰ ὑπ' αὐτοῦ διηγορευομένα ὡς εὖ ἔχοντα· καὶ ὁμοίως αὐτὰ καὶ τὰ καλὰ φιλῶ· καὶ τὰ κακὰ μισῶ· ἀλλ' ὅμως, ἐμοὶ τὸ κακὸν παράκειται· τουτέστιν ἡ ἁμαρτία. διά τε τὸ θνητὸν ἔχειν καὶ παθητὸν τὸ σῶμα· καὶ διὰ τὴν τῆς τυχῆς ῥαθυμίαν τε καὶ ἀσθένειαν. σὺ δὲ τὸ μὲν τῷ θέλοντι ἐμοὶ τὸ καλὸν ποιεῖν, τῇ ψυχῇ πρόσαψον· τὸ δὲ, ὅτι ἐμοὶ τὸ κακὸν παράκειται, τῇ σαρκί. λέγει γὰρ ὅτι ὁ νόμος, κατὰ μὲν τὴν ψυχὴν, χρήσιμος, παιδεύων αὐτὴν ἐφίεσθαι τοῦ καλοῦ, ἀποστρέφεσθαι δὲ τὸ κακόν. τὴν περὶ τὸ ἁμαρτάνειν δὲ ἡμῖν εὐκολίαν, οὐδαμῶς δύναται ἀφελεῖν· ἥτις ἡμῖν ἀπὸ τῆς θνητότητος ἐγένετο.

Γενναδίου. Εἰ δὲ βούλει καὶ οὕτω νόησον τὸ ῥητόν. ἐκ τούτων δείκνυται φησὶ βουλόμενος καὶ ὁ νόμος συνῳδὰ τῷ περὶ τὸ καλόν μου θελήματι. ἐξ ὧν καὶ τὸ κακὸν ἀμφοτέροις ἐμοὶ τὲ κἀκείνῳ, ταυτὸν καταφαίνεται.

Θεοδώρου Μονάχου. Ἢ τῷ, "εὑρίσκω τὸν νόμον," πρόσθες ὡς λεῖπον, τὸ δυσκατόρθωτον· καὶ συνάψας, εἰπὲ, ἐξ ὧν καὶ βουλόμενος τί ποιῆσαι καλὸν οὐ δύναμαι, ἀλλ' ἐπὶ τὸ χεῖρον παρατρέπομαι, εὑρίσκω τὸν νόμον δυσκατορθωτόν μοι, θέλοντι ποιεῖν τὸ καλόν. παράκειταί μοι γὰρ ἑτοιμότερα κακὰ πρὸς τὸ ποιεῖν αὐτά. τοῦ "παράκειται" δεικνύοντος, ὡς οὐκ ἐργῶδες ἐστὶ μετιέναι τὴν κακίαν.

Φωτίου. Ἐκλάβοις δ' ἂν καὶ οὕτως. ἐξ ὧν εἶπον φησὶ, τοῦτό μοι συμπεραίνεται. καὶ τοῦτο εὑρίσκω, τὸ εἶναι τὸν νόμον, νόμον εἰς τὸ καλὸν τῷ θέλοντι ἐμοὶ ποιεῖν τὸ καλόν· καὶ τοῦτο μόνον χαριζόμενον. τὸ γὰρ κακὸν εὑρίσκω, ὅτι ὁμοίως ἐμοὶ παράκειται· καὶ οὐδὲν ἐβελτιώθην ἐκ τοῦ νόμου. εἰ μὴ καὶ μᾶλλον βλάβην [k] ἐδεξάμην, ὅτι παρακεῖσθαί μοι καὶ οἷον ἐγγίζειν μοι τὸ κακὸν παρέσχεν ἀφορμήν· ὁ νόμος οὖν, μόνον νόμος ἐγένετό μοι εἰς τὸ ἀγαθόν· ἄλλο δὲ οὐδέν· πόθεν δῆλον, ὅτι τὸ κακόν μοι

[k] Hic est in codice rasura.

ὡσαύτως παράκειται. ἢ καὶ οὕτως. εὑρίσκω ἄρα τὸν νόμον, τουτέστι, κατενόησα καὶ κατελάμβανον τὴν ἰσχὺν καὶ τὴν φύσιν τοῦ νόμου. ἐξεῦρον αὐτὸν ἀκριβῶς· ὅτι οὐδέν μοι βοηθῆσαι ἴσχυσε· πόθεν δῆλον; ὅτι θέλοντί μοι ποιεῖν τὸ καλὸν, οὐδὲν ἐπικουρεῖ· ἀλλ' ὁμοίως τὸ κακὸν παράκειται ἄπρακτόν μοι τὸ θέλειν ποιοῦν. ἐν τούτῳ οὖν εὗρον ἀκριβῶς τὸν νόμον ὅσον ἰσχύει, καὶ τίς ἐστιν ἡ φύσις αὐτῷ, ἐν τῷ ἐμοὶ τῷ θέλοντι ποιεῖν τὸ καλὸν, εὑρίσκειν ἔτι τὸ κακόν· παράκειται γὰρ καὶ οὐκ ἀπελήλαται ὑπ' αὐτοῦ ἐξ ἐμοῦ. δυνατὸν δὲ καὶ οὕτως ἐγγύτερον τῆς λέξεως ἐκλαβεῖν. εὑρίσκω ἄρα τῷ θέλοντι ἐμοὶ ποιεῖν τὸ καλὸν κατὰ τὸν νόμον, ὅτι ἐμοὶ τὸ κακὸν παράκειται· καὶ γὰρ οἱ κατὰ τὸ εὐαγγέλιον θέλοντες ποιεῖν τὸ καλὸν, οὐχ εὑρίσκουσιν ὅτι παράκειται αὐτοῖς τὸ κακόν. διὰ τοῦ βαπτίσματος γὰρ ἐξώσθη καὶ ἀπελήλατο. ὥστε δεῖ Χριστῷ προσελθεῖν διὰ τοῦ βαπτίσματος, καταλιπόντας τὸν νόμον.

22 Συνήδομαι γὰρ τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω
23 ἄνθρωπον. βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου,
ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου. καὶ αἰχμα-
λωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς
μέλεσί μου.

Χρυσοστόμου. Ἐπειδὴ ἀσαφῶς τέθεικε τὸ προειρημένον, ἑρμηνεύει αὐτὸ, καὶ σαφέστερον ποιεῖ. δεικνὺς, πῶς τὸ κακὸν παράκειται. καὶ πῶς τῷ θέλοντι ποιεῖν τὸ καλὸν μόνον, νόμος ἐστὶν ὁ νόμος. "συνήδομαι," λέγων, "τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω "ἄνθρωπον." ᾔδειν μὲν γὰρ, φησὶ, καὶ πρὸ τούτου τὸ καλόν. εὑρὼν δὲ αὐτὸ καὶ ἐν γράμμασι κείμενον, ἐπαινῶ[l]. νόμον δὲ ἐνταῦθα πάλιν ἀντιστρατευόμενον, τὴν ἁμαρτίαν ἐκάλεσεν. οὐ διὰ τὴν εὐταξίαν· ἀλλὰ διὰ τὴν σφοδρὰν ὑπακοὴν τῶν πειθομένων αὐτῇ. ὥσπερ οὖν κύριον τὸν Μαμωνᾶν καλεῖ, καὶ θεὸν τὴν κοιλίαν· οὐ διὰ τὴν ἀξίαν, ἀλλὰ διὰ τὴν πολλὴν τῶν ὑποτεταγμένων δουλείαν· οὕτω καὶ ἐνταῦθα νόμον ἐκάλεσεν ἁμαρτίας[m], διὰ τοὺς οὕτως αὐτῇ δουλεύοντας, καὶ φοβουμένους αὐτὴν ἀφεῖναι. ὥσπερ δεδοί-

[l] I. m. a m. rec. *βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου.* [m] I. m. a m. rec. *ἁμαρτίαν.*

κασιν οἱ νόμον λαβόντες, ἀφεῖναι τὸν νόμον. αὕτη οὖν φησιν ἀντίκειται τῷ νόμῳ τῷ φυσικῷ. τοῦτο γάρ ἐστι "τῷ νόμῳ τοῦ νοός "μου." καὶ εἰσάγει λοιπὸν παράταξιν καὶ μάχην, καὶ τὸν ἀγῶνα ὅλον ἀνατίθησι τῷ φυσικῷ νόμῳ· ὁ γὰρ Μωσέως, ἐκ περιουσίας ὕστερον προσετέθη· ἀλλ' ὅμως καὶ οὗτος κἀκεῖνος, ὁ μὲν διαδάξας· ὁ δὲ ἐπαινέσας τὰ δέοντα, οὐδὲν ἐν τῇ μάχῃ ταύτῃ ἤνυσαν μέγα. τοσαύτη τῆς ἁμαρτίας ἡ τυραννίς· νικῶσα καὶ περιγινομένη· ὅπερ ὁ Παῦλος ἐμφαίνων, καὶ τὴν κατὰ κράτος ἧτταν δηλῶν, ἔλεγε, "βλέπω δὲ ἕτερον νόμον, ἀντιστρατευόμενον τῷ νόμῳ "τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με." οὐ γὰρ εἶπε νικῶντα ἁπλῶς, ἀλλὰ "καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας." οὐκ εἶπε τῇ ὁρμῇ τῆς σαρκὸς, οὐδὲ τῇ φύσει τῆς σαρκὸς, ἀλλὰ "τῷ νόμῳ "τῆς ἁμαρτίας." τουτέστι, τῇ τυραννίδι, τῇ δυνάμει. πῶς οὖν, φησὶ, "τῷ ὄντι ἐν τοῖς μέλεσί μου;" καὶ τί τοῦτο; οὐ γὰρ τοῦτο "ἁμαρτίαν ποιεῖ τὰ μέλη, ἀλλὰ χωρίζει μάλιστα τῆς ἁμαρτίας· ἕτερον γὰρ τὸ ἔν τινι ὂν, καὶ τὸ ἐν ᾧ ἐστιν ἐκεῖνο. ὥσπερ οὖν καὶ ἡ ἐντολὴ οὐκ ἔστι πονηρὰ, ἐπειδὴ δι' αὐτῆς ἀφορμὴν ἔλαβεν ἡ ἁμαρτία, οὕτως οὐδὲ τῆς σαρκὸς ἡ φύσις, εἰ καὶ δι' αὐτῆς ἡμᾶς καταγωνίζεται. ἐπεὶ οὕτως ἔσται καὶ ἡ ψυχὴ πονηρά· καὶ πολλῷ μᾶλλον ἐκείνη, ὅσῳ καὶ τὸ κῦρος τῶν πρακτέων ἔχει. ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. οὐδὲ γὰρ εἰ θαυμαστὸν οἶκον καὶ βασιλικὰς αὐλὰς τύραννος λάβοι καὶ λῃστὴς, διαβολὴ τῆς οἰκίας τὸ γινόμενον. ἀλλ' ἡ κατηγορία πᾶσα τῶν τὰ τοιαῦτα ἐπιβουλευσάντων ἐστίν. ἀλλ' οἱ τῆς ἀληθείας ἐχθροὶ μετὰ ἀσεβείας καὶ ἀνοίᾳ πολλῇ περιπίπτοντες, οὐκ αἰσθάνονται· οὐδὲ γὰρ τῆς σαρκὸς μόνον κατηγοροῦσιν, ἀλλὰ καὶ τὸν νόμον διαβάλλουσι· καί τοι γε εἰ πονηρὸν ἡ σὰρξ, καλὸν ὁ νόμος. ἀντιστρατεύεται γὰρ καὶ ἐναντιοῦται. εἰ δὲ οὐ καλὸν ὁ νόμος, καλὸν ἡ σάρξ. μάχεται γὰρ αὐτῷ, καὶ κατ' ἐκείνου πολεμεῖ. πῶς οὖν ἀμφότερα τοῦ διαβόλου φασὶ εἶναι, ἐναντιούμενα ἀλλήλοις εἰσάγοντες; ὁρᾷς ὅση μετὰ τῆς ἀσεβείας καὶ ἡ ἄνοια; ἀλλ' οὐ τῆς ἐκκλησίας τὰ δόγματα τοιαῦτα. ἀλλὰ τὴν ἁμαρτίαν κατακρίνει μόνον· καὶ τὸν νόμον ἑκάτερον, παρὰ τοῦ Θεοῦ δεδομένον, καὶ τὸν τῆς φύσεως καὶ τὸν Μώσεως ταύτῃ πολέμιον εἶναι φησί· οὐ τῇ σαρκί. οὐδὲ γὰρ τὴν σάρκα ἁμαρτίαν

εἶναι λέγει, ἀλλὰ ἔργον Θεοῦ σφόδρα καὶ πρὸς ἀρετὴν ἐπιτήδειον, ἐὰν νήφωμεν.

Θεοδωρήτου. Ἔσω δὲ ἄνθρωπον, τὸν νοῦν λέγει· καὶ νόμον ἁμαρτίας, τὴν ἁμαρτίαν, ἥτις ἐνεργεῖται· τῶν μὲν τοῦ σώματος παθῶν, σκιρτώντων· τῆς δέ γε ψυχῆς, ταῦτα, διὰ τὴν ἐξαρχῆς γεγενημένην ἐπιθυμίαν, ἐπισχεῖν οὐ δυναμένης· ἀλλὰ τὴν μὲν οἰκείαν ἐλευθερίαν ἀποβαλούσης, δουλεύειν δὲ τούτοις ἀνεχομένης. ἀλλ' ὅμως καὶ δουλεύουσα, τὴν δουλείαν μισεῖ, καὶ ἐπαινεῖ τὸν νόμον τὸν τῆς δουλείας κατήγορον.

Οἰκουμενίου. Νόμον οὖν ἁμαρτίας περιφραστικῶς, τὴν ἁμαρτίαν καλεῖ. καὶ καλῶς εἶπεν "αἰχμαλωτίζοντά με." μάχης γὰρ κινουμένης μεταξὺ τῆς ἁμαρτίας, καὶ τῶν τοῦ νοός μου ἐπιταγμάτων· ἤγουν τοῦ ἀντιλέγοντος λογισμοῦ τῷ ἁμαρτίᾳ, ἄπεισι νικήσασα ἡ ἁμαρτία· αἰχμάλωτον λαβοῦσα τὸν ταλαίπωρον ἄνθρωπον.

Ὠριγένους. Διαγράφει δὲ τὸν παρόντα λόγον ἐν τοῖς μηδέπω κρατύνασι τὴν ἕξιν ἐπὶ τὰ βέλτιστα. ὥσπερ γὰρ στρατιώτης κρατήσας πολεμίοις αἰχμαλώτους ἄγει, οὕτως ἐν τοῖς προειρημένοις προσώποις ἐστὶν ὁ ἐν τοῖς μέλεσιν αὐτῶν νόμος ἀντιστρατευόμενος τῷ νόμῳ τοῦ νοὸς αὐτῶν· καὶ αἰχμαλωτίζων τὴν ταλαίπωρον ψυχὴν, καὶ ἄγων ἐπὶ τὸν τῆς ἁμαρτίας νόμον.

Θεοδώρου Μονάχου. Καὶ καλῶς εἶπεν "ἐν τοῖς μέλεσιν." ἐπειδὴ πολύτροπος ἡ ἁμαρτία. διὰ πάντων ἐπιτηδεύεσθαι φύσιν ἔχουσα τῶν μελῶν. τὰ μὲν γὰρ δι' ὀφθαλμῶν, τὰ δὲ διὰ γλώσσης, τὰ δὲ, ἑτέρως ἁμαρτάνομεν. ἀντὶ δὲ τοῦ εἰπεῖν τὴν ἁμαρτίαν, νόμον εἶπεν ἁμαρτίας, κατά τι οἰκεῖον ἰδίωμα. οὕτω καὶ ἐν τοῖς ἀνωτέρω ἔλεγεν "ὅτι διὰ νόμου πίστεως." καὶ πάλιν· "ὁ "νόμος τοῦ πνεύματος τῆς ζωῆς." ἐπειδὴ γὰρ σκοπός ἐστι νόμου παντὸς ἴδιος· ἐφ' ἑκάστου τὸ τοῦ νόμου προστίθησιν ὄνομα. ἵνα εἴπῃ περὶ οὗ ἂν λέγῃ πράγματος τὸν σκοπόν. αὐτὸ τὸ πρᾶγμα καὶ οὐχ ἕτερον λέγων.

Κυρίλλου. Ἢ νόμον ἁμαρτίας φησὶ τὸ ἔμφυτον κίνημα· καὶ ὅπερ ἂν ὑπάρχειν οἴοιτό τις τῆς φιλοσαρκίας τὸ πάθος. καθάπερ ἀμέλει καὶ νόμον νοὸς τὴν εἴς γε τὸ ἀγαθὸν ῥοπὴν αὐτοῦ καὶ θελη-

σιν· ὅς γε διψᾷ μὲν τὸ ἐλεύθερον, καὶ τῶν διαβεβλημένων ἀπαλλακτιᾷ. καὶ ταῖς ἀνωτάτω τιμαῖς στεφανοῖ τὸν νόμον, ὡς τῶν καλλίστων εἰσηγητήν. καταβιάζεται δὲ εἰς ἐκτόπους ἡδονὰς ἡ τῆς σαρκὸς φύσις· πολεμοῦντός γε καὶ ἐγκειμένου τοῦ νόμου τῆς ἁμαρτίας.

Γεννάδιου. Νόμον δὴ οὖν ἁμαρτίας ἐν τοῖς μέλεσι, τὸ βούλημα καὶ τὸν σκοπὸν τῆς παθητῆς λέγει σαρκός· ἐπειδὴ καὶ παντὸς ἴδιον νόμου τὸ τοῖς ὑπ' αὐτὸν τὰ αὐτοῖς δοκοῦντα παρακελεύεσθαι· καὶ ἐν τῷ "συνήδομαι γὰρ τῷ νόμῳ τοῦ Θεοῦ." τῷ "γὰρ," ἀντὶ τοῦ τοίνυν, ὡς καὶ ἐν ἄλλοις ἐχρήσατο. πάντων γὰρ τῶν ἀπὸ τοῦ, "οἶδα μὲν ὅτι ὁ νόμος πνευματικός ἐστιν" αὐτῷ προειρημένων, συναγωγὴν ἠβουλήθη ποιήσασθαι· τῷ μὲν νόμῳ τοίνυν λέγων "συνήδομαι τοῦ Θεοῦ, κατὰ τὸν ἔσω ἄνθρωπον·" ἤγουν τὸ ἐν ἡμῖν νοερόν. καὶ χαίρω τούτου τοῖς παραγγέλμασι. βλέπω δὲ νόμον ἕτερον τῶν ἐμαυτοῦ μελῶν, ἀντιπαρατattόμενον τούτῳ· καὶ πρὸς βίαν εἰς ἑαυτὸν ἐνυποσπῶντά με. καὶ οἷον αἰχμαλώτῳ περικεχρημένον μοι· οὐ γὰρ ᾧ χαίρω νόμῳ ὑπακούω, ἀλλ' ᾧ μὴ χαίρω· καὶ μᾶλλόν μου τῶν μελῶν ὁ θεῖος οὐδαμῶς νόμος, τοῦ θείου νόμου κατακρατεῖ. καὶ πρὸς αὐτὸν ἀγωνιζόμενος, ἀντισχεῖν οὐκ ἀρκῶ.

$\hat{\bar{\alpha}}$ Δ, (sic). Ὅπως δὲ τοῦτο γίνεται, σκόπει. ἀγαθὸν τὸ θεῖον καὶ ὑπεράγαθον. καὶ τὸ τούτου θέλημα. τοῦτο γὰρ ἀγαθὸν, ὅπερ Θεὸς βούλεται. νόμος δέ ἐστιν ἡ τοῦτο διδάσκουσα ἐντολή. ἵνα ἐν αὐτῷ μένοντες, ἐν φωτὶ ὦμεν. ἧς ἐντολῆς ἡ παράβασις, ἁμαρτία ἐστίν. αὕτη δὲ διὰ τῆς τοῦ διαβόλου προσβολῆς, καὶ τῆς ἡμετέρας ἀβιάστου καὶ ἑκουσίου παραδοχῆς συνίσταται. λέγεται δὲ καὶ αὐτὴ νόμος. ἐπιβαίνων οὖν ὁ τοῦ Θεοῦ νόμος τῷ νῷ ἡμῶν ἐφέλκεται πρὸρ ἑαυτόν· καὶ νύττει τὴν ἡμετέραν συνείδησιν. λέγεται δὲ καὶ ἡ ἡμέτερα συνείδησις νόμος τοῦ νοὸς ἡμῶν. καὶ ἡ προσβολὴ δὲ τοῦ πονηροῦ, τουτέστιν ὁ νόμος τῆς ἁμαρτίας ἐπιβαίνων τοῖς μέλεσι τῆς σαρκὸς ἡμῶν, δι' αὐτῆς ἡμῖν προσβάλλει. ἅπαξ παραβάντες ἑκουσίως τὸν νόμον τοῦ Θεοῦ, καὶ τὴν προσβολὴν τοῦ πονηροῦ παραδεξάμενοι, ἐδώκαμεν αὐτῇ εἴσοδον παραθέντες ὑφ' ἑαυτῶν τῇ ἁμαρτίᾳ. ὅθεν ἑτοίμως ἄγεται τὸ σῶμα ἡμῶν πρὸς αὐτήν. λέγεται γοῦν καὶ ἡ ἐναποκειμένη τῷ σώματι

ἡμῶν ὀσμὴ καὶ αἴσθησις τῆς ἁμαρτίας, ἤτοι ἐπιθυμία καὶ ἡδονὴ, τοῦ σώματος νόμος, ἐν τοῖς μέλεσι τῆς σαρκὸς ἡμῶν. "ὁ μὲν "οὖν νόμος τοῦ νοός μου," ἤτοι ἡ συνείδησις, συνήδεται τῷ νόμῳ τοῦ Θεοῦ· ἤτοι τῇ ἐντολῇ· καὶ ταύτην θέλει· ὁ δὲ νόμος τῆς ἁμαρτίας, ἤτοι ἡ προσβολὴ διὰ τοῦ νόμου τοῦ ἐν τοῖς μέλεσιν, ἤτοι τῆς σοῦ σώματος ἐπιθυμίας καὶ ῥοπῆς καὶ κινήσεως, καὶ τοῦ ἀλόγου μέρους τῆς ψυχῆς, ἀντιστρατεύεται τῷ νόμῳ τοῦ νοός μου. τουτέστι, τῇ συνειδήσει, καὶ αἰχμαλωτίζει με, καὶ ἀγαπῶντα τὸν τοῦ Θεοῦ νόμον, καὶ μὴ θέλοντα τὴν ἁμαρτίαν, κατὰ ἀνάκρισιν, διὰ τὸ λεῖον τῆς ἡδονῆς καὶ τῆς τοῦ σώματος ἐπιθυμίας, καὶ τῆς ψυχῆς τοῦ ἀλόγου μέρους, ὡς ἔφην, πλανᾷ, καὶ πείθει δουλεῦσαι τῇ ἁμαρτίᾳ. "ἀλλ' ὁ Θεὸς τὸ ἀδύνατον τοῦ "νόμου ἐν ᾧ ἠσθένει ὁ νόμος διὰ τῆς σαρκὸς, πέμψας τὸν Υἱὸν "αὐτοῦ ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας," σάρκα μὲν γὰρ ἀνέλαβεν· ἁμαρτίαν δὲ οὐδαμῶς, "κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ "σαρκί." ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ, ἐν τοῖς "μὴ κατὰ "σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα." τὸ γὰρ πνεῦμα συναντιλαμβάνεται τῇ ἀσθενείᾳ ἡμῶν· καὶ παρέχει δύναμιν τῷ νόμῳ τοῦ νοὸς ἡμῶν, κατὰ τοῦ νόμου τοῦ ἐν τοῖς μέλεσιν ἡμῶν. τὸ γὰρ, "τί προσευξόμεθα καθὸ δεῖ οὐκ οἴδαμεν· ἀλλ' αὐτὸ τὸ πνεῦμα "ἐντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις·" τουτέστι, διδάσκει ἡμᾶς τί δεῖ προσεύξασθαι· ὥστε ἀδύνατον, εἰ μὴ δι' ὑπομονῆς καὶ προσευχῆς, τὰς ἐντολὰς τοῦ Θεοῦ ἐργάσασθαι.

Μεθοδίου. Τέσσαρας δέ τις ἐνταῦθα λέγεσθαι νόμους εἰπών· ἕνα μὲν τὸν νόμον τοῦ Θεοῦ· δεύτερον δὲ, τὸν ἀντιστρατευόμενον· τρίτον, περὶ οὗ φησὶν, "τῷ νόμῳ τοῦ νοός μου." τέταρτον, περὶ οὗ λέγει· "τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί μου." τούτων ὁ πρῶτος φησὶ τὸ εὐαγγελικόν ἐστι παίδευμα, ἔξωθεν διὰ τοῦ κηρύγματος εἰσιὼν καὶ τὴν ψυχὴν ῥυθμίζων· ὁ δεύτερος, ὁ ἀντιστρατευόμενος καὶ οὗτος τῶν ἐπεισιόντων ἔξωθέν ἐστι κατ' ἐνέργειαν τοῦ πονηροῦ, τὴν ψυχὴν αἰχμαλωτίζων· ὁ τρίτος, ὅν φησι νόμον νοὸς, οὗτός ἐστιν ὁ τῇ φύσει ἡμῶν ἐγκατασπαρεὶς παρὰ τοῦ δημιουργοῦ· ἐπὶ τὰ τῷ Θεῷ φίλα παροτρύνων. ὁ τέταρτος, ὁ τῆς ἁμαρτίας νόμος, οὗτός ἐστιν ὁ φιλαμαρτήμων· ὃς διὰ τῆς πρὸς τὸ κακὸν συνηθείας, ἐνεσκίρρωσεν ἐν ἡμῖν τὴν ἁμαρ-

τίαν. ὅρα οὖν, φησὶ, πῶς ἐκ διαμέτρου ἐναντίοις περιεστοιχίσμεθα νόμοις. οἱ μὲν γὰρ δύο, ἔξωθεν ἡμῖν ἐπεισρέουσιν. ὁ μὲν, πρὸς ἀγαθοεργίαν ἐκκαλούμενος, ὁ εὐαγγελικός· ὁ δὲ, πρὸς κακίαν παρακαλῶν, ὁ ἀντιστρατευόμενος τοῦ πονηροῦ νόμος. οἱ δὲ λοιποὶ δύο, ἔνδον εἰσὶ καὶ τὴν ψυχὴν συνέχουσιν. ὁ μὲν τοῦ νοὸς, παρὰ τοῦ δημιουργοῦ ἡμῖν ἐγκατεσπαρμένος, καὶ ὁδηγῶν πρὸς τὰ κρείττονα· ὁ δὲ τέταρτος, ὁ καὶ νόμος τῆς ἁμαρτίας διὰ τὴν πρὸς τὸ κακὸν ἕξιν ἐνσκιρρωθεὶς ἐν ἡμῖν· διὸ πρόσσχες πῶς ἀκριβῶς εἶπε, "βλέπω δὲ ἕτερον νόμον ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός "μου." τούτῳ δὴ τῷ ἐμφύτῳ πρὸς τὰ καλά. "καὶ αἰχμαλωτί- "ζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας, τῷ ὄντι ἐν τοῖς μέλεσί μου." ὡς εἰ ἔλεγεν· ἔξωθεν εἰσπνέων συγκινεῖ καὶ ἐρεθίζει πάντα τὸν ἐν ἐμοὶ ἀποκείμενον κονιορτὸν καὶ βόρβορον, ὃν ἡ πρὸς ἁμαρτίαν μοι ἕξις, ἐνεσπίλωσε καὶ ἐνέκαυσε· καὶ ὁ νόμος δὲ τοῦ Θεοῦ ὁ εὐαγγελικὸς, κινεῖ καὶ ἐρεθίζει τὰ ἐν ἡμῖν ἔμφυτα καὶ ἐγκατεσπαρμένα πρὸς ἀγαθοεργίαν σπέρματα. ἕκαστος γὰρ τῶν ἔξωθεν ἐπεισιόντων, τὸν οἰκεῖον καὶ κατάλληλον ἔνδον καὶ ἐν ἡμῖν ὄντα μόνον κινῶν καὶ διερεθίζων, ἢ εὐσεβεῖν ἢ ἀσεβεῖν ἡμᾶς προτρέπεται. Ἄλλος δὲ τρεῖς ἔφησεν εἰσὶν ἐνταῦθα νόμοι. ὁ γραπτὸς, ὃν νόμον λέγει Θεοῦ. ὁ ἔμφυτος, ὃν νόμον λέγει νοός. καὶ ὁ τῆς ἁμαρτίας, ἐν τοῖς μέλεσιν ἡμῶν ἰσχύσας. ὃν καὶ ἀντιστρατευόμενον λέγει, καὶ ἐν τοῖς μέλεσιν ἡμῶν ἔχειν τὴν ἰσχὺν τοῦ ἀντιστρατεύεσθαι· νόμον δὲ τοῦτον φησὶ ὡς ἰσχύοντα καὶ ἔχοντα τοὺς πειθομένους αὐτῷ. τὸ δὲ "αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς "ἁμαρτίας," οὕτως ἐξηγεῖται. οὗτος ὁ νόμος ὁ ἀπὸ τῆς ἁμαρτίας ἐν τοῖς μέλεσιν ἐπεισελθών· ὁ ἀντιστρατευόμενος, αἰχμαλωτίζει με· ἀλλὰ πῶς; ἐπειδὴ ἀντιστρατείαν εἶπεν· ἵνα μὴ νομίσῃς ὅτι δικαίως αἰχμαλωτίζει, καὶ νόμῳ πολέμου, ἐπάγει, "νόμῳ ἁμαρτίας·" οὐ δικαίως φησί· μὴ γένοιτο. ποῖον γὰρ δίκαιον, τὸν ἀλλότριον δοῦλον ἐφ᾽ ἑαυτῇ ποιεῖν; ἀλλὰ πῶς; "νόμῳ ἁμαρτίας," τουτέστι, κατὰ τὸ ἰδίωμα τῆς ἁμαρτίας με αἰχμαλωτίζει· κατὰ τὸ οἰκεῖον ἔθος αὐτῆς. ἐξ ἀναισχυντίας καὶ πολλῆς ἰταμότητος. ἐξ ἐπιβουλῆς, ἐξ ἐνέδρας· οὐκ ἐκ τοῦ φανεροῦ, ἀλλὰ ἀπατῶσα καὶ συναρπάζουσα. εἶτα ἵνα μή τις εἴπῃ· οὐκοῦν τὸ ὅλον ἐκείνης ἐστὶ τὸ

αἰχμαλωτισθῆναί με. εἴπερ καὶ αἰχμαλωτίζει με τῷ οἰκείῳ ἔθει, ἐνεδρεύουσα καὶ κρυφίως ἐπιτιθεμένη· προστίθησιν, "ἐν τοῖς μέ- "λεσί μου." οἷον ὅτι τὸ ἐγκαθιδρῦσαι αὐτὴν ἐν τούτοις, ἐμόν ἐστι.

24 Ταλαίπωρος ἐγὼ ἄνθρωπος· τίς με ῥύσεται ἐκ τοῦ
25 σώματος τοῦ θανάτου τούτου; εὐχαριστῶ τῷ Θεῷ διὰ
Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

Χρυσοστόμου. *Εἶδες πόση τῆς κακίας ἡ τυραννίς; ὅτι καὶ συνηδόμενον τῷ νόμῳ τὸν νοῦν νικᾷ; οὐδὲ γὰρ ἔχει τίς εἰπεῖν φησὶν, ὅτι μισοῦντά με τὸν νόμον καὶ ἀποστρεφόμενον, ἡ ἁμαρτία χειροῦται· συνήδομαι γὰρ αὐτῷ καὶ σύμφημι, καὶ καταφεύγω πρὸς αὐτόν. ἀλλ' ὅμως, ἐκεῖνος μὲν, οὐδὲ φυγόντα πρὸς αὐτὸν ἴσχυσε σῶσαι· ὁ δὲ Χριστὸς καὶ φεύγοντα ἀπ' αὐτοῦ ἔσωσεν. εἶδες ὅση τῆς χάριτος ἡ ὑπερβολή; ἀλλ' οὕτως μὲν, οὐκ ἔθηκεν αὐτὸ ὁ Ἀπόστολος· ἀνοιμώξας δὲ μόνον καὶ θρηνήσας μέγα, ὡς ἐν ἐρημίᾳ τῶν βοηθησόντων, διὰ τῆς ἀπορίας, δείκνυσι τοῦ Χριστοῦ τὴν δύναμιν, καὶ φησὶν, "τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ "θανάτου τούτου;" νόμος οὐκ ἴσχυσε. τὸ συνειδὸς οὐκ ἤρκεσε· καί τοι ἐπαινοῦν τὰ καλά. καὶ οὐκ ἐπαινοῦν μόνον, ἀλλὰ καὶ ἀπομαχόμενον πρὸς τὰ ἐναντία. τὸ γὰρ εἰπεῖν "ἀντιστρατευόμενον," ἔδειξε καὶ αὐτὸ ἀντιταττόμενον. πόθεν οὖν ἐστι σωτηρίας ἐλπίς; "εὐχαριστῶ τῷ Θεῷ, φησὶ, "διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου "ἡμῶν." εἶδες πῶς ἔδειξεν ἀναγκαίαν τῆς χάριτος τὴν παρουσίαν; καὶ κοινὰ καὶ Υἱοῦ καὶ Πατρὸς τὰ κατορθώματα; εἰ γὰρ καὶ τῷ Πατρὶ εὐχαριστεῖ, ἀλλὰ καὶ τῆς εὐχαριστίας ταύτης ὁ Υἱὸς αἴτιος. ὅταν δὲ ἀκούσῃς λέγοντος αὐτοῦ, "τίς με ῥύσεται ἐκ "τοῦ σώματος τοῦ θανάτου τούτου;" μὴ νόμιζε αὐτὸν τῆς σαρκὸς αὐτοῦ κατηγορεῖν· οὐδὲ γὰρ εἶπε σῶμα ἁμαρτίας· ἀλλὰ "σῶμα "θανάτου," τουτέστι τὸ θνητὸν σῶμα· τὸ χειρωθὲν ὑπὸ τοῦ θανάτου· οὐ τὸ γεννῆσαν θάνατον. ὅπερ οὐ τῆς πονηρίας τῆς σαρκός· ἀλλὰ τῆς πονηρίας[n] ἧς ὑπέμεινε, δεῖγμα. ὥσπερ γὰρ ἂν εἴ τις αἰχμαλωτισθεὶς παρὰ βαρβάρων λέγοιτο εἶναι τῶν βαρβάρων.*

[n] *ἐπηρείας* i. m. a m. rec.

οὐκ ἐπειδὴ βάρβαρός ἐστιν, ἀλλ' ἐπειδὴ ὑπ' ἐκείνων κατέχεται· οὕτω καὶ τὸ "σῶμα θανάτου" λέγεται, ἐπειδὴ κατεσχέθη παρ' αὐτοῦ. οὐκ ἐπειδὴ προεξένησεν αὐτόν. διόπερ οὐ δὲ αὐτὸς τοῦ σώματος ῥυσθῆναι βούλεται, ἀλλὰ τοῦ θνητοῦ σώματος. αἰνιττόμενος ὃ πολλάκις ἔφην, ὅτι ἐκ τοῦ παθητὸν γενέσθαι, καὶ εὐεπιχείρητον γέγονε τῇ ἁμαρτίᾳ.

· Καὶ τίνος ἕνεκεν φησὶ, εἰ τοσαύτη ἡ χάριτος προγενεστέρα[o] τυραννὶς τῆς ἁμαρτίας ἦν, ἐκολάσθησαν ἁμαρτάνοντες; ὅτι τοιαῦτα ἐπετάγησαν, οἷα δυνατὸν ἦν καὶ τῆς ἁμαρτίας κρατούσης κατορθοῦν. οὐδὲ γὰρ εἰς ἄκραν αὐτοὺς εἷλκε πολιτείαν· ἀλλὰ καὶ χρημάτων ἀπολαύειν ἐπέτρεπε, καὶ γυναιξὶ κεχρῆσθαι πλείοσιν οὐκ ἐκώλυε· καὶ θυμῷ χαρίζεσθαι μετὰ τοῦ δικαίου· καὶ τρυφῇ κεχρῆσθαι συμμέτρῳ. καὶ τοσαύτη ἦν ἡ συγκατάβασις, ὡς καὶ ἐλάττονα ὧν ὁ φυσικὸς διηγόρευε νόμος, τὸν γραπτὸν ἀπαιτεῖν. ὁ μὲν γὰρ τῆς φύσεως νόμος ἕνα ἄνδρα μιᾷ γυναικὶ διηνεκῶς ὁμιλεῖν ἐκέλευσεν. ὅπερ οὖν καὶ ὁ Χριστὸς δηλῶν ἔλεγεν, "ὅτι ὁ ποιήσας ἐξ ἀρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς." ὁ δὲ Μωσέως νόμος· οὔτε τὴν μὲν ἐκβάλλειν, τὴν δὲ ἀντεισάγειν ἐκώλυεν. οὔτε δύο κατὰ ταυτὸν ἔχειν ἀπηγόρευε. χωρὶς δὲ τούτου καὶ ἕτερα πλείονα τῶν ἐν τῷ νόμῳ τοὺς πρὸ τοῦ νόμου κατορθωκότας ἴδοι τίς ἄν· τῷ τῆς φύσεως παιδευομένους νόμῳ. οὐ τοίνυν ἐπηρεάσθησαν οἱ ἐν τῇ παλαιᾷ πολιτευσάμενοι· συμμέτρου νομοθεσίας οὕτως εἰσενεχθείσης αὐτοῖς. εἰ δὲ μὴ οὕτως ἤρκεσαν περιγενέσθαι, τῆς αὐτῶν ῥαθυμίας τὸ ἔγκλημα. διὰ τοῦτο καὶ Παῦλος εὐχαριστεῖ· ὅτι μηδὲν τούτων ἀκριβολογησάμενος ὁ Χριστὸς, οὐ μόνον τῶν ἡμαρτημένων οὐκ ἀπήτησεν εὐθύνας, ἀλλὰ καὶ ἐπιτηδείους ἐποίησε πρὸς μείζονα δρόμον.

Κυρίλλου. Τέως δὲ σχετλιάζει καὶ κατακράζει τῆς σαρκός· καὶ σῶμα θανάτου, τὸ ἀπὸ γῆς καὶ φιλήδονον βαλεῖ· διὰ τὸ νοσεῖν ἐν αὐτῷ τῆς ἁμαρτίας τὸν νόμον· ζητεῖν δὲ λέγει τὸν δυνάμενον τῶν τοιούτων ἀπαλλάξαι κακῶν. καὶ ἵν' εὐαφόρμως ἡμῖν εἰσαγάγῃ τὸν λυτρωτὴν, τουτέστι, Χριστόν. ᾧ καὶ τὴν πᾶσαν ὁμολογεῖ χάριν. δι' αὐτοῦ γὰρ λελυτρώμεθα, οὐ τῆς σαρκὸς, ἀλλὰ τοῦ

[o] I. m. a m. rec. τῆς ἁμαρτίας ἡ τύραννις πρὸ τῆς χάριτος ἦν.

θανάτου τῆς σαρκός. οὐκ ἀποθανόντες[p] ἀλλὰ τοῦ ἐν τοῖς μέλεσι θανάτου· τουτέστι τῆς ἐν τοῖς μέλεσιν ἀγρίας ἡδονῆς, ἐλευθερωθέντες. κρείττους γὰρ ἡμᾶς ἀπέφηνεν ὁ Χριστὸς ἡδονῆς καὶ ἁμαρτίας.

ΓΕΝΝΑΔΙΟΥ. Οὐκ εἶπε δὲ κακὸς ἐγὼ ἄνθρωπος· οὐδὲ πονηρὸς, ἀλλὰ "ταλαίπωρος." προδιηγησάμενος γὰρ καὶ δείξας αὐτὸν, τῷ νῷ μὲν ὁρῶντα πρὸς τὰ καλὰ, ὑποσυρόμενον δὲ πρὸς τὰ φαῦλα τῷ παθητῷ τῆς σαρκὸς, εἰκότως ὡς ἐλεεινὸν ταλαίπωρον προσηγόρευσε, καὶ οὐχ ὡς μισητὸν πονηρόν. θαυμασιώτατα δὲ ἔφη τὸ, "τίς." ἐμφαίνων διὰ τῆς ἀπορήσεως, τὸ τοῦ πράγματος δύσκολον. τίς οὖν ἄρα φησὶ τοσοῦτος, ὅς με τῆς τυραννίδος τοῦ σώματος ἀπαλλάξει· ὑφ' ἧς πρὸς ἁμαρτίαν καθελκόμενος, θανατοῦμαι; σῶμα γὰρ θανάτου, τὸ θανάτου παραίτιον λέγει· ἐκ τοῦ ἀποτελέσματος αὐτὸ προσειπών. ὑποδείξας δὲ αὐτάρκως τὴν ἀνάγκην, καὶ δηλώσας τὸ τοῦ πράγματος μέγεθος, ἐπάγει, μετ' εὐχαριστίας καὶ ὕμνου τὸν εὐεργέτην δηλῶν. "εὐχαριστῶ τῷ Θεῷ μοῦ διὰ "Ἰησοῦ Χριστοῦ." τοῦτο λέγων ὅτι χάρις τῷ φιλανθρώπῳ Θεῷ, δωρησαμένῳ τὴν ἀθανασίαν ἡμῖν καὶ τὴν ἀπαθείαν, διὰ τῆς οἰκονομίας, τῆς κατὰ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. ὃς μεγαλοφώνῳ πρὸς ἡμᾶς κηρύγματι κέκραγε. "δεῦτε πρός με πάντες "οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς."

ΣΕΥΗΡΙΑΝΟΥ. Θεωρήσας τοίνυν τῷ νῷ τὸν διὰ τοῦ σώματος κατὰ τῆς ψυχῆς γενόμενον πόλεμον· καὶ δι' αὐτοῦ τὸν ἄνθρωπον αἰχμαλωτιζόμενον, ζητεῖ καταφυγὴν σωτηρίας, καὶ τὸν ῥυόμενον περιβλέπεται· ἵνα αὐτοῦ τὸ σῶμα τοῦ θανάτου, εἰς σῶμα ζωῆς μεταποιήσῃ. εἶτα, ὡς εὑρεθέντος τοῦ ῥυομένου, καὶ ἑτοίμου ὄντος πρὸς τὴν χάριν, τὴν πρέπουσαν εὐχαριστίαν ἀναπέμπει τῷ Θεῷ, "διὰ Ἰησοῦ Χριστοῦ," δι' οὗ αὐτῷ καὶ τὸ ῥυσθῆναι τοῦ πολεμίου προσεγένετο. οὐ λέγει δὲ ἁπλῶς· οὐδὲ εὔχεται ῥυσθῆναι τοῦ σώματος, ἀλλὰ τοῦ κατασχόντος τὸ σῶμα θανάτου τῇ ἁμαρτίᾳ. θέλει γὰρ ζωῆς ἑαυτοῦ εἶναι τὸ σῶμα, οὐ θανάτου, οὐδὲ ἁμαρτίας.

ΘΕΟΔΩΡΗΤΟΥ. Ἢ ἁπλῶς θανάτου σῶμα καλεῖ, ὡς ὑπὸ τὸν θάνατον γεγενημένον· τουτέστι θνητόν. ἡ ψυχὴ γὰρ ἀθάνατος·

[p] Leg. vid. ἀπὸ θανάτου.

δείκνυσι δὲ τὸν νόμον ἐπικουρῆσαι μὴ δυνάμενον, μὴ δὲ τοῖς πρὸ τῆς χάριτος ὑπὸ τῆς ἁμαρτίας πολιορκηθεῖσι. τούτων γὰρ τὸ πρόσωπον ἀναλαβὼν, ὡς μηδεμιᾶς συμμαχίας ἑτέρωθεν οὔσης, στένει πικρὸν καὶ ὀδύρεται· μόνος δέ, φησιν, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τῆς πικρᾶς ἡμᾶς ἐλευθέρωσε δυναστείας. τὸν μὲν θάνατον λύσας, τὴν δὲ ἀθανασίαν ἡμῖν παρασχόμενος, καὶ τὴν ἄπονον καὶ ἄλυπον βιοτὴν, καὶ τὴν πολέμου δίχα καὶ ἁμαρτίας ζωήν. τούτων μέντοι τὴν ἀπόλαυσιν κατὰ τὸν μέλλοντα δεξόμεθα βίον. ἐν δὲ τῷ παρόντι τῆς τοῦ Παναγίου Πνεύματος χάριτος ἀπολαύοντες, οὐ μόνοι κατὰ τῶν παθημάτων παρατατ-τόμεθα· ἀλλ' ἐκείνην ἐπίκουρον ἔχοντες, περιγενέσθαι τούτων δυνάμεθα.

Ἄρα οὖν αὐτὸς ἐγὼ τῷ μὲν νοῒ δουλεύω νόμῳ Θεοῦ,
1 τῇ δὴ σαρκὶ, νόμῳ ἁμαρτίας. οὐδὲν ἄρα νῦν κατά-
κριμα τοῖς ἐν Χριστοῦ Ἰησοῦ, μὴ κατὰ σάρκα περιπα-
τοῦσιν, ἀλλὰ κατὰ πνεῦμα.

Κυρίλλου. Μακρὸς μὲν τῷ Παύλῳ ἐκπεποίηται λόγος· βασανίζοντι λεπτῶς ἕκαστα τῶν ἐν ἡμῖν καὶ τῆς πλεονεξίας τοὺς τρόπους, οὓς ὑπομένειν ἔθος τὴν ἀνθρώπου διάνοιαν, ἀντεξάγοντος αὐτῇ τοῦ κακοῦ. διϊσχυρίζετο δὲ ὡς ἀσχάλλει μὲν ἔσθ' ὅτε τῶν ἐπιεικεστέρων ὁ νοῦς, τοῖς τῆς σαρκὸς πάθεσι τυραννούμενος. ἀλύει δὲ σφόδρα καὶ ἀσθενῶν αἰσχύνεται· τό γε μὴν ἀποφορτίσασθαι τὴν ἀβούλητον ἁμαρτίαν, οὐδαμόθεν ἴσχει· δεινῶς κατεμπιπτούσης τῆς ἡδονῆς. ταύτῃ τοι καὶ ἀσθενεῖ πρὸς ἀντίστασιν οὐδὲν τὸ παράπαν διά γε τοῦ νόμου πρὸς τοῦτο ἐπικουρούμενος. ἀληθεύει δὴ οὖν ὁ θεσπέσιος Παῦλος· εἰ τῷ μὲν νοῒ, δουλεύειν τῷ θείῳ διϊσχυρίσαιτο νόμῳ· τῇ δὲ σαρκὶ νόμῳ ἁμαρτίας. καὶ τοῦτο οἶμαί ἐστιν ὅπερ ἔφη· "τὸ γὰρ θέλειν παράκειταί μοι. τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν, οὔ." πάλαι μὲν οὖν, ὡς ἔφην, ἐνυπῆρχεν ἡμῖν τό γε ἧκον εἰς νοῦν, καὶ τὴν ἐν αὐτῷ θέλησιν, τὸ ἑλέσθαι τῷ θείῳ δουλεύειν νόμῳ. κατεβιάζετο δὲ πρὸς ἁμαρτίαν ἡ σάρξ, τὸ οἰκεῖον ὥσπερ ἀνταναστᾶσα θέλημα. ἦν οὖν ἄρα κατάκριμα τοῖς ἐθέλουσι μὲν ἀποπεραίνειν τὸ ἀγαθὸν, οὐ μὴν ἔτι καὶ δυνα-

μένοις διὰ τὸ τυραννεῖσθαι τοῖς πάθεσιν. ἀλλ᾽ ἐν Χριστῷ πέπαυται τὸ κατακρίνον· τουτέστιν, ἡ τῶν σαρκικῶν κινημάτων πλεονεξία.

Χρυσοστόμου. Λέγει τοίνυν ὅτι οὐ τῶν προτερῶν ἀπηλλάγημεν μόνον, ἀλλὰ καὶ πρὸς τὸ μέλλον ἀχείρωτοι γεγόναμεν. "οὐδὲν "γάρ," φησι, "νῦν κατάκριμα τοῖς ἐν Χριστῷ Ἰησοῦ, μὴ κατὰ "σάρκα περιπατοῦσιν·" ἀλλ᾽ οὐ πρότερον αὐτὸ εἴρηκεν. ἕως ἀνέμνησε πάλιν τῆς προτέρας καταστάσεως· πρότερον γὰρ εἰπὼν, "ἄρα "οὖν αὐτὸς ἐγὼ τῷ μὲν νοῒ δουλεύω, νόμῳ Θεοῦ, τῇ δὲ σαρκὶ "νόμῳ ἁμαρτίας," τότε ἐπήγαγεν· "οὐδὲν ἄρα κατάκριμα νῦν "τοῖς ἐν Χριστῷ Ἰησοῦ·" εἶτα ἐπειδὴ ἀντέπιπτεν αὐτῷ τὸ πολλοὺς καὶ μετὰ τὸ βάπτισμα ἁμαρτάνειν, διὰ τοῦτο πρὸς αὐτὸ ἐπείγεται, καὶ οὐχ ἁπλῶς φησι, "τοῖς ἐν Χριστῷ Ἰησοῦ," ἀλλὰ "τοῖς μὴ κατὰ σάρκα περιπατοῦσι." δεικνὺς, ὅτι ἐκ ῥαθυμίας τὸ πᾶν λοιπὸν τῆς ἡμετέρας. δυνατὸν γὰρ νῦν, μὴ κατὰ σάρκα περιπατεῖν· τότε δὲ δύσκολον ἦν.

Θεοδωρήτου. Οὐ γὰρ περιγίνεται νῦν μὴ βουλομένων ἡμῶν τὰ παθήματα· ἐπειδὴ τοῦ θείου Πνεύματος τὴν χάριν δεδέγμεθα.

Κυρίλλου. Νόμον μὲν οὖν ἁμαρτίας, τὸ ἐν τῇ σαρκὶ πρὸς τὰς ἐκτόπους ἁμαρτίας κίνημα λέγει· Θεοῦ δὲ νόμον, τὴν τοῦ Πνεύματος βούλησιν. πρόδηλον τοίνυν ὅτι Θεὸς τὸ Πνεῦμα τὸ Ἅγιον· τὸ καὶ νόμους ὁρίζον ἐν ἡμῖν. πρέπει δὲ οὐχ ἑτέρῳ νομοθετεῖν· ἀλλὰ μόνῳ Θεῷ.

2 Ὁ γὰρ νόμος τοῦ Πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ, ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου.

Χρυσοστόμου. Δείκνυσι πόθεν δυνατοὶ γεγόναμεν νῦν, μὴ κατὰ σάρκα περιπατεῖν· "ὁ νόμος," φησὶ, "τοῦ Πνεύματος, "ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας." νόμον Πνεύματος, τὸ Πνεῦμα καλῶν. ὥσπερ γὰρ νόμον ἁμαρτίας τὴν ἁμαρτίαν, οὕτω νόμον τοῦ Πνεύματος, τὸ Πνεῦμα φησίν. καίτοι καὶ τὸν Μωσέως, οὕτως ἐκάλεσέ λέγων· "οἴδαμεν ὅτι ὁ νόμος πνευ-"ματικός ἐστι." τί οὖν τὸ μέσον; πολὺ καὶ ἄπειρον. ἐκεῖνος

μὲν γὰρ πνευματικός. οὗτος δὲ, νόμος Πνεύματος. καί τι τοῦτο ἐκείνου διέστηκεν; ὅτι ὁ μὲν, ὑπὸ Πνεύματος ἐδόθη μόνον· οὗτος δὲ καὶ Πνεῦμα ἐχορήγει δαψιλὲς τοῖς ὑποδεχομένοις αὐτόν. διὸ καὶ ζωῆς αὐτὸν νόμον ἐκάλεσε· πρὸς ἀντιδιαστολὴν ἐκείνου τοῦ τῆς ἁμαρτίας· οὐ τοῦ Μωσαϊκοῦ. ὅταν γὰρ λέγῃ, "ἠλευθέρωσέ "με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας," οὐ τὸν Μωσαϊκὸν νόμον λέγει ἐνταῦθα. οὐδαμοῦ γὰρ αὐτὸν νόμον ἁμαρτίας καλεῖ. πῶς γάρ; ὃν δίκαιον καὶ ἅγιον πολλάκις ὠνόμασε, καὶ ἁμαρτίας ἀναιρετικόν. ἀλλ' ἐκεῖνον τὸν ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός. τοῦτον γὰρ τὸν χαλεπὸν κατέλυσε πόλεμον. θανατώσασα τὴν ἁμαρτίαν, ἡ τοῦ Πνεύματος χάρις, καὶ ποιήσασα τὸν ἀγῶνα κοῦφον ἡμῖν, καὶ πρότερον στεφανώσασα. καὶ τότε, μετὰ πολλῆς τῆς συμμαχίας, ἐπὶ τὰ παλαίσματα ἑλκύσασα ταῦτα· ὅπερ δὲ ἀεὶ ποιεῖ· ἀπὸ τοῦ Υἱοῦ εἰς τὸ Πνεῦμα μεταβαίνων· ἀπὸ τοῦ Πνεύματος, εἰς τὸν Υἱὸν καὶ τὸν Πατέρα. τῇ Τρίαδι πάντα τὰ ὑπὲρ ἡμῶν λογιζόμενος· τοῦτο καὶ ἐνταῦθα ἐργάζεται· καὶ γὰρ εἰπὼν, "τίς με "ῥύσεται ἐκ τοῦ σώματος τοῦ[p] θανάτου τούτου;" ἔδειξε καὶ τὸν Πατέρα διὰ τοῦ Υἱοῦ τοῦτο ποιοῦντα. εἶτα πάλιν τὸ Πνεῦμα τὸ Ἅγιον μετὰ τοῦ Υἱοῦ. "ὁ γὰρ νόμος τοῦ Πνεύματος τῆς ζωῆς, "ἠλευθέρωσέ με," φησὶν, "ἐν Χριστῷ Ἰησοῦ."

Κυρίλλου. Ἦ ὥσπερ καὶ ἁμαρτίας καὶ θανάτου νόμον τὸ σάρκικον ὀνομάζει καθ' ἑτέραν ἔννοιαν φρόνημα· πρὸς πᾶν εἶδος φαυλότητος ἀποφέρον ἡμᾶς, οὕτω καὶ νόμος Πνεύματος ζωῆς, τὸ θέλημα τὸ πνευματικόν· τουτέστι, τὴν εἴς γε τὸ ἀγαθὸν τῆς διανοίας ῥοπήν. ἀλλ' "ὁ μὲν σπείρων εἰς τὴν σάρκα, ἐκ τῆς σαρ- "κὸς θερίσει φθοράν· ὁ δὲ σπείρων εἰς τὸ Πνεῦμα, ἐκ τοῦ Πνεύ- "ματος θερίσει ζωὴν αἰώνιον." οὐκοῦν ὁ νόμος τοῦ Πνεύματος τῆς ζωῆς, τουτέστι τὸ θέλημα τοῦ νοῦ τὸ ἀποφέρον εἰς ζωὴν, ἦν μὲν ἐν ἡμῖν καὶ πάλαι. ἐδουλεύομεν γὰρ τῷ νοΐ, νόμῳ Θεοῦ. ἀλλ' ἠρρώστησεν, ὡς ἔφην, τὸ ἀδρανὲς εἰς ἀντίστασιν· καὶ ταῖς τῆς σαρκὸς ἐπιθυμίαις ἡττώμενος, κατεκρίνετο τῷ νόμῳ. ἐπειδὴ δὲ τὸ νοσεῖν ἀποβαλὼν, ἐρρώσθη διὰ Χριστοῦ· κατεσφραγίσμεθα γὰρ δι' αὐτοῦ τῷ Ἁγίῳ Πνεύματι, καὶ τὴν ἐξ ὕψους δύναμιν ἠμφιέ-

p Ab ead. m. i. marg. γρ. καὶ τοῦ ἀθλίου.

σμεθα· ταύτῃ τοι καὶ λελυτρώμεθα· καὶ ὑπεζεύγμεθα μὲν οὐκέτι τῷ κακῷ, κεκλήμεθα δὲ, ὡς ἔφην, εἰς ἐλεύθερον ἀξίωμα. οὐκοῦν ὁ νόμος τοῦ Πνεύματος τῆς ζωῆς, τουτέστι τὸ θέλημα τοῦ νοῦ, τὸ νενευκὸς εἰς ἀγαθοεργίαν, καὶ εἰς ζωὴν ἀποφέρον, ὅτε τὴν διὰ Χριστοῦ πεπλούτηκε χάριν, καὶ τῆς ἀσθενείας ἐκείνης ἀπήλλακται, τότε τῶν ἐξ ἁμαρτίας ἀλογήσας κακῶν, καὶ τοῦ τῆς σαρκὸς κατευμεγεθήσας νόμου, "ἠλευθέρωσέ με," φησίν· οὐκ αὐτός που πάντως τὴν ἐλευθερίαν διδούς· γεγονὼς δὲ μᾶλλον ἡμῖν ἐλευθερίας πρόξενος, τῆς διὰ Χριστοῦ. ὥσπερ δὲ τοὺς ὑπὸ νόμον ὄντας τὸν τῆς ἁμαρτίας πᾶσά πως ἀνάγκη, καὶ τοῖς τοῦ θανάτου καταδεσμεῖσθαι βρόχοις, οὕτω τοὺς ἔξω γεγονότας αὐτῆς, ἐλευθερωμένους τὲ διὰ Χριστοῦ, δεῖ δὴ πάλιν ἔξω τε εἶναι θανάτου, καὶ ἀμείνους ὁρᾶσθαι φθορᾶς, καὶ ζῆν ἐν ἁγιασμῷ.

Θεοδώρου Μονάχου. Ἢ νόμον Πνεύματος, τὸν εὐαγγελικὸν φησὶ νόμον. οὗτος γὰρ κυρίως τοῦ Πνεύματος νόμος.

Τοῦ αὐτοῦ. Διήλεγξε τοίνυν ἀνωτέρω τὴν πρὸς τὸ σῶμα καὶ τὴν ψυχὴν μάχην, ἵνα δείξῃ τὰ διὰ τῆς σαρκώσεως τοῦ Λόγου γεγονότα ἡμῖν κατορθώματα. τὴν ἕνωσιν καὶ εἰρήνην ψυχῆς καὶ σώματος διὰ τοῦ λουτροῦ τῆς παλινγενεσίας· δι' ἧς καὶ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν ἐλάβομεν διὰ Πνεύματος Ἁγίου. οὐκοῦν ὑπὸ Χριστὸν οἱ ὄντες, οὐκ εἰσὶν ὑπὸ κατάκριμα· ἐπειδὴ μὴ δὲ κατὰ σάρκα περιπατοῦσιν· εἰ γὰρ καὶ οἱ πάλαι τῇ μὲν διανοίᾳ ἕτοιμοι ἦσαν πληροῦν τὸν νόμον, ἀνθείλκοντο δὲ ἐπὶ τὴν ἁμαρτίαν διὰ τὸ ἀνέδην τρυφᾶν, καὶ κατὰ σάρκα ζῆν. ἀλλ' οὐ πάσχουσι τοῦτο καὶ οἱ ἐν Χριστῷ περιπατοῦντες, ὡς μὴ τὸν νόμον φυλάσσοντες τὸν κατακρίνοντα, καταφυγόντες δὲ ἐπὶ τὸν Κύριον τὸν μὴ κατακρίνοντα, ἀλλὰ ῥυόμενον ἀπὸ τῆς κατακρίσεως διὰ τοῦ λουτροῦ· καὶ ὅπερ οὐκ ἴσχυσεν ὁ νόμος ποιῆσαι Μωσέως, ῥύσασθαι ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου, τοῦτο ὁ νόμος τοῦ Πνεύματος ἐν Χριστῷ ἐποίησε· τουτέστιν, ἡ χάρις τοῦ Κυρίου ἡ ζωοποιός. νόμον δὲ Πνεύματος εἶπεν, ἀντιδιαστέλλων πρὸς τὸν νόμον τοῦ γράμματος.

Κυρίλλου ἐκ τῶν Θησαυρῶν. Ἀλλ' ἐν τούτοις ὅρα ὅτι τὸν νόμον ἀνωτέρω καλέσας πνευματικόν· τουτέστι τὸν διὰ τοῦ Πνεύματος, ἐν οἷς ἔφη, "οἴδαμεν ὅτι ὁ νόμος πνευματικός ἐστιν," εὐθὺς αὐτὸν νόμον Θεοῦ ἀπεκάλεσεν, εἰπὼν "συνήδομαι τῷ νόμῳ

" τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον." νῦν δὲ γυμνότερον ὅτι Θεὸς εἴη τὸ Πνεῦμα ἔδειξε, βοῶν, " ὁ νόμος τοῦ Πνεύματος τῆς ζωῆς " ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ με." ἵνα μὴ μόνον νομοθετοῦν εὑρίσκηται τὸ Πνεῦμα τὸ Ἅγιον, ἀλλ' ἤδη καὶ Πνεῦμα ὑπάρχον ζωῆς. καὶ τίς ἡ ζωὴ, ἢ πάντως ὁ λέγων Χριστὸς, " ἐγὼ εἰμὶ ἡ " ἀλήθεια καὶ ἡ ζωή;" νομοθετοῦντος τοιγαροῦν τοῦ Χριστοῦ, ὡς ἐν αὐτῷ καὶ ἐξ αὐτοῦ φυσικῶς ὑπάρχον τὸ Πνεῦμα αὐτοῦ νομοθετεῖ.

3 Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς
σαρκὸς, ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι
σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας, κατέκρινε τὴν ἁμαρ-
4 τίαν ἐν τῇ σαρκί· ἵνα τὸ δικαίωμα τοῦ Θεοῦ πληρωθῇ
ἐν ἡμῖν, τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ
πνεῦμα.

Κυρίλλου. Ἀξιάγαστος μὲν ὁ μυσταγωγὸς καὶ ἰσχνὸς ἄγαν εἰς θεωρίαν· ἰδιώτης δέ φησιν εἶναι τῷ λόγῳ. ταύτῃ τοι φαμὲν ἐρυθριῶντες οὐδέν· ὅτι τῇ συνθήκῃ τῶν προκειμένων λέξεων λείπει τί βραχὺ πρὸς ἐντελῆ διασάφησιν. ἐδεῖ γὰρ εἰπεῖν " τὸ γὰρ " ἀδύνατον τοῦ νόμου ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς," λέλυται τυχὸν ἢ πέπαυται. εἶτα προσενεγκεῖν τοῦ πράγματος τὴν ἀποδόσιν, καὶ τοῦ λελύσθαι συνάψαι τὸν τρόπον, προστιθέντα πάλιν· " ὁ γὰρ " Θεὸς τὸν ἑαυτοῦ Υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, " καὶ περὶ ἁμαρτίας, κατήργηκε τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ," καὶ τὰ τούτοις ἐφεξῆς. ἐχούσης δὲ ὧδε τῆς τῶν λέξεων συνθήκης, κατάγε τὸν ἐνόντα σκοπὸν αὐτῷ, φέρε καταθρήσωμεν τῆς διὰ Χριστοῦ θεραπείας τὸν τρόπον· πέπαυται δὲ ὅπως τὸ ἀδύνατον τοῦ νόμου νοοῖτο· καὶ ποίου νόμου; λεπτομυθεῖ γὰρ λίαν ὁ θεηγόρος ἐν τούτοις. ἀποδέχεται τοίνυν ὡς ὠφελεῖν εἰδότας τόν τε τοῦ Θεοῦ νόμον· φημὶ δὲ δὴ τὸν ἐν γράμμασι· καὶ τόν γε τοῦ Πνεύματος, καθ' ὃν ἐσχήκαμεν τὸ θέλειν τὸ ἀγαθόν. κἂν εἰ μὴ παρακέοιτο τυχὸν τὸ δύνασθαι δρᾶν αὐτό. ἔφη γάρ· ὅτι " τὸ γὰρ θέλειν " παράκειταί μοι· τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν, οὔ." πλεονεκτούσης δηλονότι τῆς ἁμαρτίας· καὶ τοῦ τῆς σαρκός μου νόμου καταστρέφοντος εἰς τὰ οἰκεῖα, καὶ οὐχ ἑκόντα τὸν νοῦν. κατὰ τὸν

αὐτὸν δὲ οἶμαι τουτονὶ τρόπον, νοοῖτ' ἂν εἰκότως νόμου τὸ ἀδύνατον· τοῦ τε ἐν γράμμασι καὶ διὰ Μωσέως, καθάπερ ἔφην ἀρτίως, καὶ μέντοι τοῦ ἐμφύτου καὶ ἐν ἡμῖν. καθ' ὃν "καὶ τὰ ἔθνη, καί τοι "τὸν γραπτὸν οὐκ ἔχοντα νόμον, φύσει τὰ τοῦ νόμου ποιοῦντα "φαίνεται· καὶ νόμος εἰσὶν ἑαυτοῖς. ἐνδείκνυται γὰρ τὸ ἔρ-"γον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν." καθὰ γέγραπται.

Ποῖον δὲ τὸ ἐν ἀμφοῖν ἀδύνατον, βασανίσαι καιρός. ὁ μὲν γὰρ ἐν γράμμασι νόμος, διδάσκαλος ἦν εὐκοσμίας, καὶ τῶν ἀρίστων εἰσηγητής. δεδικαίωκε δὲ παντελῶς οὐδένα. ὅ γε μὴν ἔμφυτός τε καὶ ἐν ἡμῖν, ὃν καὶ ὀνομάζει τοῦ πνεύματος· ἀπονένευκε μὲν εἰς τὸ ἀγαθόν· ἡττᾶται δὲ λίαν τοῦ πρὸς τὰ αἰσχίω καλοῦντος νόμου. οὐκοῦν τὸ ἀδύνατον· τουτέστι τὸ ἀσθενοῦν, εἴτε τοῦ ἐν γράμμασιν, εἴτε τοῦ ἐμφύτου νόμου, πέπαυται διὰ Χριστοῦ. νενεκρωμένης γὰρ τρόπον τινὰ τῆς σαρκὸς, καὶ οἷον ἀνῃρημένης τῆς ἐν ἡμῖν ἡδονῆς, κατ' οὐδένα τρόπον ὁ τοῦ πνεύματος, ἤτοι τοῦ νοὸς, ἀσθενήσει νόμος. νενέκρωται δὲ τίνα τρόπον ἡ ἐν ἡμῖν ἁμαρτία, φέρε λέγωμεν ὡς ἔνι. ὁ γὰρ τοῦ Θεοῦ Λόγος ἐν εὐδοκίᾳ τοῦ Θεοῦ, καὶ Πατρὸς, ἐν ὁμοιώματι γέγονε σαρκὸς ἁμαρτίας· ἵνα τὴν ἁμαρτίαν κατακρίνῃ ἐν τῇ σαρκί· γέγονε γὰρ ἄνθρωπος, καθεὶς ἑαυτὸν εἰς κένωσιν. καὶ ὁμοειδὲς μὲν ὅτι καὶ ὁμοφυὲς τοῖς ἡμετέροις σώμασι τὸ αὐτοῦ, πῶς ἂν ἐνδοιάσειέ τις; πλὴν τὰ μὲν τῶν ἄλλων ἁπάντων σώματα σάρκες ἂν λέγοιντο ἁμαρτίας, διά τε τὸ πεφυκέναι νοσεῖν τῶν ἐκτόπων ἡδονῶν τὴν γένεσιν· τὸ δέ γε σῶμα Χριστοῦ φαίη τίς ἂν, οὐχ ἁμαρτίας εἶναι σάρκα; μὴ γένοιτο. ὁμοίωμα δὲ μᾶλλον σαρκὸς ἁμαρτίας. τουτέστι προσεοικὸς μὲν τοῖς ἡμετέροις σώμασιν· οὐ μὴν ἔτι καὶ νοσεῖν εἰδὸς σαρκικὴν ἀκαθαρσίαν· ἅγιος γὰρ ἐκ μήτρας ὁ θεῖος ἐκεῖνος νεώς· καὶ ὅσον μὲν ἧκεν εἰς ἐννοίας τε καὶ λόγους τοὺς ἐν τῇ φύσει, κατοκνήσειεν ἂν οὐδεὶς ἐκεῖνο εἰπεῖν· ὡς ἐπείπερ ἦν σὰρξ, ἔσχεν ἂν ἐν ἑαυτῇ τὸ ἴδιόν τε καὶ ἔμφυτον κίνημα. ἐπειδὴ δὲ ὁ πᾶσαν τὴν κτίσιν ἁγιάζων Λόγος κατῴκηκεν ἐν αὐτῇ, κατακέκριται τῆς ἁμαρτίας ἡ δύναμις. ἵνα καὶ εἰς ἡμᾶς διαβαίνῃ τὸ κατορθούμενον. μετεσχήκαμεν γὰρ αὐτοῦ πνευματικῶς τε καὶ σωματικῶς. ὅταν γὰρ καὶ ἐν ἡμῖν αὐλίζηται Χριστὸς διὰ τοῦ Ἁγίου Πνεύματος,

καὶ διὰ τῆς μυστικῆς εὐλογίας, τότε δὴ πάντως καὶ ἐν ἡμῖν ὁ τῆς ἁμαρτίας κατακρίνεται νόμος. ἀληθὲς οὖν ὅτι "τὸ ἀδύνατον "τοῦ νόμου ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, πέπαυται διὰ Χριστοῦ." κατακρίναντός τε καὶ κατηργηκότος τὴν ἁμαρτίαν ἐν τῇ σαρκί. ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν. πεπλήρωται γὰρ τὸ δικαίωμα τοῦ νόμου. τουτέστιν ἡ δύναμις τῶν τεθεσπισμένων διὰ τοῦ νόμου. ἤγουν τὸ θέλημα τὸ βλέπον εἰς ἀρετήν. τοῦ ἐν ἡμῖν ὄντος κατ' οὐδένα τρόπον ὡς ἔφην ἀσθενοῦντος νόμου ἔστι, διὰ τὸ τυραννεῖσθαι ταῖς ἐμφύτοις ἡδοναῖς. πεπλήρωται τοίνυν ἐν ἡμῖν τὸ δικαίωμα τοῦ νόμου τοῖς μὴ κατὰ σάρκα περιπατοῦσι, ζῆν δὲ μᾶλλον ἐθέλουσι πνευματικῶς.

Χρυσοστόμου. Καὶ δοκεῖ μὲν διαβάλλειν τὸν νόμον πάλιν. εἰ δέ τις ἀκριβῶς προσέχει, καὶ σφόδρα αὐτὸν ἐπαινεῖ. σύμφωνον τῷ Χριστῷ δεικνὺς, καὶ τὰ αὐτὰ προηρημένον. οὐδὲ γὰρ εἶπε τὸ πονηρὸν τοῦ νόμου, ἀλλὰ "τὸ ἀδύνατον." καὶ πάλιν· "ἐν ᾧ "ἠσθένει." οὐκ ἐν ᾧ ἐκακούργει ἢ ἐπεβούλευε. καὶ οὐδὲ τὴν ἀσθενείαν αὐτῷ λογίζεται, ἀλλὰ τῇ σαρκὶ, λέγων· "ἐν ᾧ ἠσθένει "διὰ τῆς σαρκός." σάρκα πάλιν αὐτὴν οὐχὶ τὴν οὐσίαν αὐτὴν καὶ τὸ ὑποκείμενον, ἀλλὰ τὸ σαρκικώτερον φρόνημα καλῶν· δι' ὧν καὶ τὸ σῶμα καὶ τὸν νόμον ἀπαλλάττει κατηγορίας. οὐ διὰ τούτων δὲ μόνον, ἀλλὰ καὶ διὰ τῶν ἑξῆς. εἰ γὰρ ἐναντίος ἦν ὁ νόμος, πῶς ὁ Χριστὸς εἰς βοήθειαν αὐτοῦ παραγέγονε, καὶ τὸ δικαίωμα αὐτοῦ πληροῖ, καὶ χεῖρα ὤρεξε, κατακρίνας τὴν ἁμαρτίαν ἐν τῇ σαρκί; τοῦτο γὰρ ὑπολέλειπτο. ἐπειδήπερ ἐν τῇ ψυχῇ πάλαι ὁ νόμος αὐτὴν κατακρίνας ἦν. τί οὖν; τὸ μεῖζον ὁ νόμος ἐποίησε, τὸ δὲ ἔλαττον ὁ τοῦ Θεοῦ μονογενής; οὐδαμῶς· μάλιστα μὲν γὰρ κἀκεῖνο ὁ Θεὸς εἰργάσατο. ὁ τὸν φυσικὸν δεδωκὼς νόμον, καὶ τὸν γραπτὸν προσθείς. ἄλλως δὲ, οὐδὲν ὄφελος τοῦ μείζονος ἦν, τοῦ ἐλάττονος μὴ προσκειμένου. τί γὰρ ὄφελος εἰδέναι τὰ πρακτέα μὴ μετιόντα αὐτά; οὐδέν. ἀλλὰ καὶ μείζων κατάκρισις. ὥστε ὁ καὶ τὴν ψυχὴν σώσας, οὗτός ἐστιν, ὁ καὶ τὴν σάρκα εὐήνιον ποιήσας. τὸ μὲν γὰρ διδάξαι εὔκολον. τὸ δὲ καὶ ὁδόν τινα δεῖξαι, δι' ἧς μετ' εὐκολίας ταῦτα ἐγίνετο, τοῦτο ἐστι τὸ θαυμαστόν.

Διὰ δὴ τοῦτο ἦλθεν ὁ μονογενής. καὶ οὐ πρότερον ἀπέστη, ἕως ἂν ἀπήλλαξε τῆς δυσκολίας ἡμᾶς ἐκείνης. καὶ τὸ δὴ μεῖζον, ὁ τρόπος τῆς νίκης. οὐδὲ γὰρ ἑτέραν ἀνέλαβε σάρκα. ἀλλ' αὐτὴν τὴν καταπονουμένην. ὥσπερ ἂν εἴ τις ἐν ἀγορᾷ γυναῖκα εὐτελῆ[q] τυπτομένην ἰδὼν, εἴποι αὐτῆς εἶναι υἱὸς, βασιλέως ὢν υἱός. καὶ οὕτως αὐτὴν ἀπαλλάξειε τῶν ἐπερεαζόντων. ὅπερ αὐτὸς ἐποίησε. καὶ υἱὸς ἀνθρώπου εἶναι ὁμολογήσας, καὶ παραστὰς αὐτῇ[r], καὶ κατακρίνας τὴν ἁμαρτίαν. οὐ τοίνυν ἐτόλμησεν αὐτὴν τυπτῆσαι λοιπόν. μᾶλλον δὲ ἐτύπτησε μὲν τῇ τοῦ θανάτου πληγῇ. τούτῳ δὲ αὐτῷ κατεκρίθη· καὶ ἀπώλετο, οὐχ ἡ τυπτηθεῖσα σὰρξ, ἀλλ' ἡ τυπτήσασα ἁμαρτία. ὅπερ ἁπάντων ἐστὶ θαυμαστότατον. καὶ γὰρ εἰ μὴ ἐν τῇ σαρκὶ ἡ νίκη γέγονεν, οὐχ οὕτω θαυμαστὸν ἦν. ἐπεὶ καὶ ὁ νόμος τοῦτο εἰργάζετο· τὸ δὲ θαυμαστὸν, ὅτι μετὰ σαρκὸς τὸ τρόπαιον ἔστη. καὶ ἡ μυριάκις ὑπὸ τῆς ἁμαρτίας καταβληθεῖσα, αὐτὴ λαμπρὰν κατ' αὐτῆς τὴν νίκην ἤρατο. ὅρα γὰρ πόσα τὰ παράδοξα γέγονεν. ἕνα μὲν ὅτι οὐκ ἐνίκησεν ἁμαρτία τὴν σάρκα· ἕτερον δὲ, καὶ ἐνικήθη παρ' αὐτῆς. οὐ γάρ ἐστιν ἴσον μὴ νικηθῆναι καὶ νικῆσαι τὴν ἀεὶ καταβάλλουσαν. τρίτον, ὅτι οὐ μόνον ἐνίκησεν· ἀλλὰ καὶ ἐκόλασε. τῷ μὲν γὰρ μὴ ἁμαρτεῖν, οὐκ ἐνικήθη. τῷ δὲ ἀποθανεῖν, ἐνίκησε καὶ κατέκρινεν αὐτήν· φοβερὰν αὐτῷ τὴν σάρκα ἀποφήνας, τὴν πρότερον οὖσαν εὐκαταφρόνητον. οὕτω γοῦν καὶ αὐτῆς τὴν δύναμιν ἐξέλυσε, καὶ τὸν δι' αὐτῆς εἰσενεχθέντα θάνατον ἀνεῖλεν. ἕως μὲν γὰρ ἁμαρτωλοὺς ἐλάμβανεν, ἐπῆγε τὴν τελευτὴν κατὰ τὸν τοῦ δικαίου λόγον. ἐπειδὴ δὲ ἀναμάρτητον εὑροῦσα σῶμα, τῷ θανάτῳ παρέδωκεν, ὡς ἀδικήσασα κατεκρίθη.

Ὁρᾷς, ὅσα τὰ νικητήρια γέγονε; τὸ μὴ ἡττηθῆναι τὴν σάρκα ὑπὸ τῆς ἁμαρτίας. τὸ καὶ νικῆσαι αὐτὴν καὶ καταδικάσαι. τὸ μὴ ἁπλῶς καταδικάσαι, ἀλλὰ καὶ ὡς ἁμαρτοῦσαν καταδικάσαι; πρότερον γὰρ ἐλέγξας ἠδικηκυῖαν, οὕτως αὐτὴν κατεδίκασεν. οὐχ ἁπλῶς ἰσχύϊ καὶ ἐξουσίᾳ· ἀλλὰ καὶ τῷ τοῦ δικαίου λόγῳ. τοῦτο γὰρ ἐδήλωσεν εἰπὼν, "περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν

q i. marg. a m. rec. καὶ ἀγοραίαν.

r Sic.

“ ἐν τῇ σαρκί.” ὡς ἂν εἰ ἔλεγεν· ὅτι μέγα ἡμαρτηκυῖαν ἔλεγξε· καὶ τότε αὐτὴν κατεδίκασεν[r]. εἰ δὲ ἐν ὁμοιώματι σαρκός φησιν πέμψαι τὸν υἱὸν, μὴ διὰ τοῦτο ἄλλην ἐκείνην σάρκα εἶναι νόμιζε. ἐπειδὴ γὰρ εἶπεν ἁμαρτίας, διὰ τοῦτο καὶ τὸ ὁμοίωμα τέθεικεν. οὐδὲ γὰρ ἁμαρτωλὸν σάρκα εἶχεν ὁ Χριστός· ἀλλ᾽ ὁμοίαν μὲν τῇ ἡμετέρᾳ τῇ ἁμαρτωλῷ, καὶ τῇ φύσει τὴν αὐτὴν ἡμῖν· ἀναμάρτητον δέ. ὥστε καὶ ἐντεῦθεν δῆλον, ὅτι οὐκ ἦν πονηρὰ τῆς σαρκὸς ἡ φύσις· οὔτε γὰρ ἑτέραν ἀντὶ τῆς προτέρας λαβὼν ὁ Χριστός· οὔτε αὐτὴν ταύτην μεταβαλὼν κατ᾽ οὐσίαν, οὕτως αὐτὴν ἀναμαχέσασθαι παρεσκεύασεν. ἀλλ᾽ ἀφεὶς μένειν ἐπὶ τῆς αὐτῆς φύσεως, τὸν στέφανον ἀναδήσασθαι ἐποίησε κατὰ τῆς ἁμαρτίας· καὶ τότε αὐτὴν μετὰ τὴν νίκην ἀνέστησε[s], καὶ θάνατον εἰργάσατο.

Μαξίμου. Ἐν ὁμοιώματι μὲν σαρκὸς ἁμαρτίας γενόμενος, ὅτι φύσει Θεὸς ὑπάρχων, ἀπαθὴς ἀτρέπτως κατ᾽ οἰκονομίαν, φύσει παθητὸς γενέσθαι κατηξίωσεν ἄνθρωπος. “ περὶ ἁμαρτίας” δὲ, ὅτι διὰ τὰς ἁμαρτίας ἡμῶν ἤχθη εἰς θάνατον· καὶ ὑπὲρ ἡμῶν ὠδυνήθη· καὶ διὰ τὰς ἁμαρτίας ἐτραυματίσθη. καὶ ἐμαλακίσθη διὰ τὰς ἀνομίας ἡμῶν, ἵνα ἡμεῖς τῷ μώλωπι αὐτοῦ ἰαθῶμεν.

Βασιλείου. Φαίνεται γὰρ ὁ Κύριος, τὰ μὲν φυσικὰ πάθη παραδεξάμενος πρὸς βεβαίωσιν τῆς ἀληθινῆς καὶ οὐ κατὰ φαντασίαν ἐνανθρωπήσεως. τὰ δὲ ἀπὸ κακίας πάθη, ὅσα τὸ καθαρὸν τῆς ζωῆς ἡμῶν ῥυπαίνει, ὡς ἀνάξια τῆς ἀχράντου θεότητος ἀπωσάμενος· καὶ διὰ τοῦτο εἴρηται ἐν ὁμοιώματι γεγενῆσθαι αὐτὸν σαρκὸς ἁμαρτίας· ὥστε σάρκα μὲν τὴν ἡμετέραν ἔλαβε, μετὰ τῶν φυσικῶν αὐτῆς παθῶν· ἁμαρτίαν δὲ οὐκ ἐποίησε.

Μαξίμου. Καὶ ἄλλως δὲ σὰρξ ἁμαρτίας ἐστὶν ἡ ἐκ σπορᾶς ἀνδρὸς τὴν γένεσιν ἔχουσα. κατὰ ταυτὸν γὰρ ἔχει δυνάμει τὴν ἁμαρτίαν, καὶ τὴν φθορὰν κατὰ φύσιν. τὴν μὲν, ἀρχήν· τὴν δὲ, τέλος ἔχουσαν τῆς οἰκείας γενέσεως· ἡ δὲ ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας ἐστὶ σὰρξ, ἡ δίχα σπορᾶς ἀνδρὸς συστᾶσα τοῦ Κυρίου

[r] I. marg. a m. rec. ὁρᾷς πανταχοῦ τὴν ἁμαρτίαν καταδικαζομένην, οὐχὶ τὴν σάρκα, ἀλλὰ ταύτην στεφανομένην καὶ τὴν ἀπόφασιν κατ᾽ αὐτῆς ἐκφέρουσαν; [s] Leg. ἀθάνατον.

σάρξ· κατὰ φύσιν μὲν ἔχουσα τὴν φθορὰν, καθ' ἣν ἡμῖν ὅμοιος ἦν· κατὰ δύναμιν δὲ φύσεως τὴν ἀναμαρτησίαν, καθ' ἣν ἡμῖν ἀνόμοιος ἦν.

Κυρίλλου. *Εἰ δὲ ἠσθένησεν ὁ νόμος κατακρῖναι τὴν ἁμαρτίαν ἐν τῇ σαρκί· κατέκρινε δὲ ὁ Χριστὸς, δεκτικὴν αὐτὴν ἀποδείξας Πνεύματος Ἁγίου· ὡς δύνασθαι λέγειν ἡμᾶς, οὐκ ἐσμὲν ἐν σαρκὶ ἀλλ' ἐν Πνεύματι, καὶ κατὰ τοῦτο ἄρα κρείττων τῶν Ἀγγέλων, δι' ὧν ὁ νόμος λελάληται.*

Γενναδίου. *Καὶ οὕτως δὲ τίς ἄνωθεν διεξῆλθε περὶ τῶν προκειμένων. ἣν ὁ νόμος δικαίωσιν ὑπαγορεύων, ἠτόνει διὰ τῆς ἡμετέρας σαρκὸς ἐν ἡμῖν κατορθῶσαι, ταύτην ἐν Χριστῷ παρέσχεν ἡμῖν ὁ Θεός. τὸν γὰρ Υἱὸν πέμψας τὸν αὐτοῦ, σάρκα τὴν αὐτὴν ἡμῖν ἔχοντα, παθητὴν τὲ καὶ ἁμαρτητικὴν, οὐχὶ τῷ ἁμαρτεῖν, ἀλλὰ τῷ ἱκανὴν εἶναι ὑποδέχεσθαι. ὁμοίωμα γὰρ σαρκὸς ἁμαρτίας, τὴν ἐνδεχομένην ἁμαρτῆσαι σάρκα φησί. ὡς καὶ τὸ "ἐν ὁμοιώματι "ἀνθρώπου γενόμενος," ἀντὶ τοῦ, γενόμενος ἄνθρωπος. ταύτην οὖν ἔχοντα τὴν σάρκα, φησὶ, "ὁ Θεὸς τὸν ἑαυτοῦ Υἱὸν πέμψας "περὶ ἁμαρτίας," τουτέστιν, ἐφ' ᾧ τὴν ἁμαρτίαν καταγωνίσασθαι, "κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί." ἀνέπαφον αὐτῇ καὶ ἀνάλωτον παντελῶς διαφυλάξας αὐτήν.*

Φωτίου. *Δυνατὸν γὰρ καὶ οὕτω στίξαντα, ἀναγνῶναι· "ὁ Θεὸς "τὸν ἑαυτοῦ πέμψας Υἱὸν ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ "περὶ ἁμαρτίας·" εἶτα ἐπαγαγεῖν, "κατέκρινε τὴν ἁμαρτίαν ἐν "τῇ σαρκί." τουτέστι τὸν Υἱὸν περὶ ἁμαρτίας· ἤγουν ἕνεκα τῆς ἁμαρτίας, τοῦ ἐξᾶραι αὐτήν· καὶ ἐλευθερῶσαι ἡμᾶς ἀπὸ ταύτης. πῶς οὖν ἐξῆρε; κατακρίνας αὐτήν. οὐ γὰρ ἁπλῶς καὶ ἐξουσιαστικῶς· ἀλλ' ὑπὸ δίκην ἀγαγὼν αὐτὴν, καὶ δείξας ἁλοῦσαν. πῶς οὖν ἑάλω καὶ ἥττηται; ἐν τῇ σαρκὶ αὐτοῦ. προσιέναι γὰρ βουληθεῖσα καὶ μὴ ἰσχύσασα, ἑάλω καὶ ἥττηται.*

Τοῦ Θεολόγου. *Σὺ δὲ πρὸς τὸν λέγοντα ὅτι ἐλάττων ὁ Υἱὸς τοῦ Πατρός· ἐπέμφθη γὰρ παρ' αὐτοῦ, ὡς καὶ Παῦλος φησὶ, εἰπὲ, μηδὲν ἐνδοιάσας· ἀπεστάλη μὲν ἀλλ' ὡς ἄνθρωπος. διπλοῦς γὰρ ἦν, ἐπεὶ καὶ ἐκοπίασε, καὶ ἐπείνησε, καὶ ἐδίψησε, καὶ ἠγωνίασε καὶ ἐδάκρυσε, νόμῳ σώματος. εἰ δὲ καὶ ὡς Θεὸς, τί τοῦτο;*

τὴν εὐδοκίαν τοῦ Πατρὸς ἀποστολὴν εἶναι νόμισον, ἐφ' ὃν ἀναφέρει τὰ ἑαυτοῦ. καὶ ὡς ἀρχὴν τιμῶν ἄχρονον, καὶ τοῦ μὴ δοκεῖν εἶναι ἀντίθεος.

Σευηριανοῦ καὶ Θεοδώρου. Τέως δὲ οὐχ ὁ νόμος φησὶ, ἀδύνατα ἔπραττεν, ἀλλ' ἡ σὰρξ οὐκ ἠδύνατο πληρῶσαι τὴν τοῦ νόμου πολιτείαν, διὰ τὸν ἐμποδίζοντα πονηρόν· ὃν διὰ τῆς ἑαυτοῦ σαρκὸς κατέκρινεν ὁ Χριστός· ἣν ὅταν ἀποβλέψῃ πρὸς τὸ αὐτῆς ἀναμάρτητον καὶ ὅσιον καὶ καθαρὸν, ὁμοίωμα σαρκὸς ὀνομάζει. ἔπεμψεν οὖν, φησι, ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, οὐκ ἐν ὁμοιώματι Ἀγγέλου, ἢ τινὸς ἄλλου, ἀλλ' ἐν ὁμοιώματι σαρκός. ἵνα σαρκὸς ἡττηθείσης ἐπὶ τοῦ Ἀδὰμ, σὰρξ καταγωνίσηται τὸν πονηρὸν ἐπὶ τοῦ Χριστοῦ. ἀπεστάλη δὲ ὁ Κύριος, διὰ τὴν ἐπικρατήσασαν τῶν ἀνθρώπων ἁμαρτίαν. τοῦτο γὰρ τὸ "καὶ περὶ ἁμαρτίας·" ἀντὶ τοῦ, διὰ τὴν ἁμαρτίαν. παρέλκει δὲ τὸ "καί." ἣν κατέκρινεν ἐν τῇ σαρκὶ αὐτοῦ.

Χρυσοστόμου. Τί οὖν πρός με[s] τοῦτο φησί; εἰ ταῦτα ἐν ἐκείνῃ τῇ σαρκὶ γέγονε, πρὸς σὲ μὲν οὖν μάλιστα· διὸ καὶ ἐπήγαγεν, "ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν, τοῖς μὴ "κατὰ σάρκα περιπατοῦσι." τί ἐστι "τὸ δικαίωμα;" τὸ τέλος, ὁ σκοπὸς, τὸ κατόρθωμα. τί γὰρ ἐκεῖνος ἐβούλετο; καὶ τί ποτε ἐπέταττεν; ἀναμάρτητον εἶναι. τοῦτο τοίνυν κατόρθωται νῦν ἡμῖν διὰ τοῦ Χριστοῦ. καὶ τὸ μὲν ἀντιστῆναι καὶ περιγενέσθαι, γέγονεν ἐκείνου. τὸ δὲ ἀπολαῦσαι τῆς νίκης, ἡμέτερον. οὐκοῦν οὐχ ἁμαρτησόμεθα λοιπόν; οὐχ ἁμαρτησόμεθα, ἂν μὴ σφόδρα ὦμεν ἐκλελυμένοι καὶ ἀναπεπτωκότες. διὸ καὶ προσέθηκε "τοῖς μὴ "κατὰ σάρκα περιπατοῦσιν." ἵνα γὰρ μὴ ἀκούσας ὅτι ἐρρύσατο ὁ Χριστὸς τοῦ πολέμου τῆς ἁμαρτίας, καὶ ὅτι τὸ δικαίωμα τοῦ νόμου πεπλήρωται ἐν σοί· τῆς ἁμαρτίας κατακριθείσης ἐν τῇ σαρκὶ, καταλύσῃς τὴν παρασκευὴν ἅπασαν. διὰ τοῦτο καὶ ἐκεῖ εἰπὼν "οὐδὲν ἄρα κατάκριμα τοῖς μὴ κατὰ σάρκα περιπατοῦσι." καὶ ἐνταῦθα λέγων, "ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν," τὸ αὐτὸ τοῦτο ἐπήγαγε. μᾶλλον δὲ οὐχὶ τοῦτο μόνον, ἀλλὰ καὶ πολλῷ πλέον. εἰπὼν γὰρ "τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν,"

[s] I. m. a m. rec. πρός μ.

ἐπήγαγεν, ἀλλὰ "κατὰ Πνεῦμα." δεικνὺς ὅτι οὐ κακῶν δεῖ μόνον ἀπέχεσθαι, ἀλλὰ καὶ ἐν ἀγαθοῖς κομᾷν. τὸ μὲν γὰρ δοῦναί σοι τὸν στέφανον, ἐκείνου. τὸ δὲ κατασχεῖν δοθέντα, σόν. καὶ γὰρ ὅπερ ἦν δικαίωμα νόμου, τὸ μὴ γενέσθαι ὑπεύθυνον τῇ ἀρᾷ, τοῦτο ἤνυσέ σοι ὁ Χριστός. μὴ τοίνυν προδῷς τὴν τοσαύτην δωρεάν[t]. δείκνυσι γὰρ ἐνταῦθά σοι, ὅτι οὐκ ἀρκεῖ τὸ λουτρὸν ἡμῖν εἰς σωτηρίαν, ἂν μὴ μετὰ τοῦ λουτροῦ ἄξιον ἐπιδειξώμεθα βίον τῆς δωρεᾶς. ὥστε πάλιν τῷ νόμῳ συνηγορεῖ ταῦτα λέγων. καὶ γὰρ καὶ μετὰ τὸ πεισθῆναι τῷ Χριστῷ, πάντα δεῖ ποιεῖν καὶ πραγματεύεσθαι. ὥστε τὸ ἐκείνου δικαίωμα μένειν ἐν ἡμῖν, ὅπερ ἐπλήρωσεν ὁ Χριστὸς, καὶ μὴ διαφθαρῆναι.

Σευηριανοῦ καὶ Θεοδώρου. Τινὲς δὲ τὸ "μὴ κατὰ σάρκα "περιπατοῦσιν," ἀντὶ τοῦ κατὰ τὸν νόμον εἶπον· εἶχε γὰρ ὁ νόμος παρατηρήσεις σαρκικάς· σαρκικὸν δὲ ἦν καὶ τὸ παραχωρῆσαι τρυφᾶν.

Θεοδωρήτου. Καὶ "δικαίωμα νόμου," τὸ δικαίους ἀποφῆναι τοὺς δεξαμένους τὸν νόμον.

5 Οἱ γὰρ κατὰ σάρκα ὄντες, τὰ τῆς σαρκὸς φρονοῦ-
6 σιν· οἱ δὲ κατὰ πνεῦμα, τὰ τοῦ πνεύματος. τὸ γὰρ
φρόνημα τῆς σαρκὸς, θάνατος· τὸ δὲ φρόνημα τοῦ
7 πνεύματος, ζωὴ καὶ εἰρήνη. διότι τὸ φρόνημα τῆς σαρ-
κὸς ἔχθρα εἰς Θεόν· τῷ γὰρ νόμῳ τοῦ Θεοῦ, οὐχ ὑπο-
τάσσεται· οὐδὲ γὰρ δύναται.

Κυρίλλου. Τοῦ περὶ τῆς δικαιοσύνης ἁψάμενος λόγου, τὴν περὶ ταύτης εἰσφέρει παραίνεσιν. καὶ εἰρηκὼς "τοῖς μὴ κατὰ "σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα," ἐπήγαγεν, "οἱ γὰρ "κατὰ σάρκα ὄντες, τὰ τῆς σαρκὸς φρονοῦσιν. οἱ δὲ κατὰ πνεῦμα, "τὰ τοῦ πνεύματος." οὕτως καὶ ἀλλαχοῦ. "εἰ πνεύματι ζῶμεν." πνεῦμα δὲ ἐνταῦθα τὴν χάριν λέγει τοῦ Πνεύματος. καὶ διδάσκει ὡς ὁ ταύτῃ ἑπόμενος, τὰ ταύτῃ ἀρέσκοντα φρονεῖ καὶ ποιεῖ. ὁ δὲ τῇ σαρκὶ δουλεύων, τοῖς τοῦ σώματος δηλονότι πάθεσι, τὴν ἐλευθερίαν ἀφήρηται. οὐκ εἶπε δὲ ἡ γὰρ σὰρξ, θάνατος, ἀλλὰ

[t] I. m. a m. rec. ἀλλὰ μένε φυλάττων τὸν καλὸν τοῦτον θησαυρόν.

"τὸ φρόνημα τῆς σαρκός." τουτέστι, τὰ τῶν παθημάτων σκιρτήματα. τῶν γὰρ ἡμαρτηκότων ὁ θάνατος ἐπιτίμιον. ὁ δὲ πνευματικῶς, φησι, ζῶν, τῆς πρὸς Θεὸν εἰρήνης μεταλαγχάνει. ἐκπεπολέμωται δὲ πρὸς Θεὸν τὸ φρόνημα τῆς σαρκός. τουτέστιν, ἡ τῶν παθῶν δυναστεία. οὐδὲ γὰρ οἷόν τε τὸν τὴν παθῶν δυναστείαν καταδεξάμενον, τοῦ Θεοῦ τὴν θεραπείαν ἀσπάσασθαι, ἔτι τῇ ἁμαρτίᾳ δουλεύειν αἱρούμενον.

Κυρίλλου. Θάνατον μὲν οὖν εἶναί φησι τὸ τῆς σαρκὸς φρόνημα, καὶ μάλα ὀρθῶς. τὸ δέ γε τοῦ πνεύματος, ζωὴν καὶ εἰρήνην. θανάτου μὲν γὰρ ἀληθῶς, ἡ φιλοσαρκία πρόξενος. ζωῆς δὲ τῆς εἰς αἰῶνα καὶ τῶν ἄνωθεν ἀγαθῶν, τὸ διαβιοῦν ἑλέσθαι πνευματικῶς. εἰ γὰρ "τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς Θεὸν," ὡς οὐκ ἀνεχόμενον τοῖς θείοις ὑπείκειν νόμοις· οὐ δὲ γὰρ δύναται. πῶς γὰρ ἀρέσει Θεῷ μυσαρὰ καὶ βέβηλος ἡδονή; πάντως ὁ καθαρὸς ῥύπου καὶ παθῶν νοῦς, κατὰ τὸ δύνατον τῇ ἀνθρώπου φύσει, πρὸς Θεὸν εἰρηνεύει.

Μεθοδίου. Τὸ φρόνημα φησὶ τῆς σαρκὸς οὐχ ἡ σάρξ, ἀλλὰ τὸ πρὸς ἀκρασίαν αὐτῆς ὅρμημα.

Χρυσοστόμου. Καὶ οὐδὲ τοῦτο διαβολὴ τῆς σαρκός. ἕως μὲν γὰρ ἂν τὴν οἰκείαν φυλάττῃ τάξιν, οὐδὲν ἄτοπον γίνεται. ὅταν δὲ αὐτῇ πάντα ἐπιτρέπομεν, καὶ τοὺς οἰκείους ὑπερβᾶσα ὅρους κατεξαναστσαίη τῆς ψυχῆς, τότε πάντα ἀπόλλυσι καὶ διαφθείρει. οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἀμετρίαν καὶ τὴν ἐκ ταύτης ἀταξίαν. "τὸ γὰρ φρόνημα," φησὶ, "τῆς σαρκός." οὐκ εἶπεν ἡ τῆς σαρκὸς φύσις, οὐδὲ ἡ οὐσία τοῦ σώματος, ἀλλὰ τὸ φρόνημα. ὅπερ διορθωθῆναι δύναιτ' ἂν καὶ ἀναιρεθῆναι. τοῦτο δὲ λέγει, οὐ τῇ σαρκὶ διδοὺς λογισμὸν ἴδιον, ἄπαγε· ἀλλὰ τὴν παχυτέραν τῆς διανοίας ὁρμὴν ἐνδεικνύμενος, καὶ ἀπὸ τοῦ χείρονος αὐτὴν καλῶν. ὥσπερ οὖν καὶ σάρκα πολλάκις, ἄνθρωπον ὁλόκληρον, καὶ ψυχὴν ἔχοντα εἴωθε καλεῖν· φρόνημα δὲ τοῦ πνεύματος, τὴν πνευματικὴν διάνοιαν λέγει. ὅπερ οὖν καὶ προϊὼν φησὶ, "ὁ δὲ ἐρευνῶν τὰς καρδίας, οἶδε τί τὸ φρόνημα τοῦ πνεύματος." καὶ δείκνυσι πολλὰ τὰ ἐκ ταύτης ἀγαθὰ, καὶ ἐν τῷ παρόντι καὶ ἐν τῷ μέλλοντι. τῶν γὰρ κακῶν ὧν τὸ φρόνημα εἰσάγει τὸ σαρκικὸν, πολλῷ πλείονα ἀγαθὰ παρέχει τὸ πνευματικόν. ἅπερ ἐδή-

λωσεν εἰπὼν, "ζωὴ καὶ εἰρήνη." τὸ μὲν, πρὸς ἀντιδιαστολὴν τοῦ προτέρου· "τὸ γὰρ φρόνημα," φησὶ, "τῆς σαρκὸς, θάνατος·" τὸ δὲ, πρὸς ἀντιδιαστολὴν τοῦ ἑξῆς. εἰπὼν γὰρ εἰρήνη, ἐπήγαγε, "διότι "τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς Θεόν." ὃ τοῦ θανάτου χεῖρον ἐστίν. εἶτα δείκνυσι, πῶς καὶ θάνατος καὶ ἔχθρα. "τῷ γὰρ νόμῳ "τοῦ Θεοῦ οὐχ ὑποτάσσεται· οὐδὲ γὰρ δύναται."

Ἀλλὰ μὴ θορυβηθῇς ἀκούων, "οὐ δὲ γὰρ δύναται." καὶ γὰρ εὔκολον ἡ ἀπορία αὕτη τὴν λύσιν ἔχει. φρόνημα γὰρ ἐνταῦθα σαρκὸς φησὶν, τὸν γεώδη λογισμὸν, τὸν παχύν· τὸν πρὸς τὰ βιωτικὰ καὶ τὰς πονηρὰς πράξεις ἐπτοημένον. τοῦτον φησὶ, ἀδύνατον εἶναι ὑποταγῆναι Θεῷ. καὶ ποία ἐλπὶς λοιπὸν σωτηρίας, εἰ ἀδύνατον κακὸν ὄντα γενέσθαι καλόν; οὐ τοῦτο φησί. ἐπεὶ πῶς ὁ Παῦλος ἐγένετο τοιοῦτος; πῶς ὁ λῃστὴς, καὶ μυρίοι ἕτεροι; οὐ τοῦτο τοίνυν φησὶ, ὅτι ἀδύνατον τὸν πονηρὸν γενέσθαι καλόν. ἀλλ' ὅτι ἀδύνατον πονηρὸν μένοντα, ὑποταγῆναι Θεῷ. μεταβαλόμενον μέντοι καλὸν γενέσθαι καὶ ὑποταγῆναι, ῥᾴδιον. οὐ γὰρ εἶπεν, ὅτι ἄνθρωπος οὐ δύναται ὑποταγῆναι Θεῷ, ἀλλ' ὅτι ἡ πονηρὰ πρᾶξις, οὐ δύναται εἶναι καλή. ὅπερ οὖν καὶ ἐν τῷ εὐαγγελίῳ ἔλεγεν ὁ Χριστὸς, "οὐ δύναται σαπρὸν δένδρον, καλοὺς καρποὺς ποιεῖν," οὐ τὴν ἀπὸ κακίας εἰς ἀρετὴν μεταβολὴν κωλύων, ἀλλὰ τὴν ἐν τῇ κακίᾳ διατριβὴν λέγων, μὴ δύνασθαι φέρειν καρποὺς καλούς. ἐπεὶ ὅτι δύνατον μεταβληθῆναι, καὶ ἐξ ἄλλης ἔδειξε παραβολῆς. ὅταν εἰσάγῃ τὰ ζιζάνια γινόμενα σῖτον. διὸ καὶ ἐκριζῶσαι αὐτὰ κωλύει. "μήποτε γάρ," φησι, "σὺν αὐτοῖς ἀνασπάσητε καὶ τὸν "σῖτον." τουτέστι, τὸν μέλλοντα γενέσθαι ἐξ αὐτῶν. φρόνημα τοίνυν σαρκὸς, τὴν κακίαν φησίν. καὶ φρόνημα πνεύματος, τὴν χάριν τὴν δεδομένην· καὶ τὴν ἐνέργειαν, τὴν τῇ προαιρέσει κρινομένην τῇ χρηστῇ. οὐδαμοῦ περὶ ὑποστάσεως καὶ οὐσίας ἐνταῦθα διαλεγόμενος, ἀλλὰ περὶ ἀρετῆς καὶ κακίας. ὅπερ γὰρ οὐκ ἴσχυσας ἐν τῷ νόμῳ φησὶν, τοῦτο δυνήσῃ νῦν, ὀρθὰ βαδίζειν καὶ ἀδιάπτωτα, εἰ τῆς τοῦ πνεύματος ἐπιλάβοιο βοηθείας. οὐ γὰρ ἀρκεῖ τὸ μὴ κατὰ σάρκα περιπατεῖν, ἀλλὰ δεῖ καὶ κατὰ Πνεῦμα βαδίζειν. [u] τοῦτο δὲ ἔσται, ἂν τῷ Πνεύματι τὴν ψυχὴν ἐκδῶμεν, καὶ

[u] I. marg. a m. rec. ἐπειδήπερ οὐκ ἀποχρὴ πρὸς σωτηρίαν ἡμῖν τὸ ἐκκλῖναι ἀπὸ κα   ἀλλὰ δεῖ καὶ τὰ ἀγαθὰ ποιεῖν.

τὴν σάρκα πείσωμεν τὴν οἰκείαν τάξιν ἐπιγινώσκειν. οὕτω γὰρ καὶ αὐτὴν ἐργασόμεθα πνευματικήν. ὥσπερ οὖν ἐὰν ῥαθυμῶμεν, καὶ τὴν ψυχὴν ποιήσομεν σαρκικήν[x].

Ὠριγένους. Ἀφ᾽ ὧν τοίνυν διδάσκει ὁ Παῦλος μανθάνομεν, τίνες εἰσὶ κατὰ σάρκα· οἱ τὰ τῆς σαρκὸς φρονοῦντες. καὶ τίνες εἰσὶ κατὰ πνεῦμα· οἱ τὰ τοῦ πνεύματος φρονοῦντες. τὰ δὲ φρονήματα τῆς σαρκὸς εἰσὶ, πορνεία, ἀσέλγεια, εἰδωλολατρίᾳ, καὶ τὰ ὅμοια. ὅπερ αὐτὸ τοῦτο θάνατός ἐστι. τὰ δὲ τοῦ πνεύματος, ἀγάπη, χαρὰ, εἰρήνη, μακροθυμία, καὶ τὰ τούτοις ἀκόλουθα. ἅπερ ἔστι ζωή. καὶ ἤδη ἐν ζωῇ εἰσὶν οἱ τοιοῦτοι, καὶ ἐν εἰρήνῃ εὐφραίνονται. ἀκόλουθον οὖν, τοὺς μὲν εἰς τὴν σάρκα σπείροντας θερίζειν φθοράν. τοὺς δὲ πνεύματι ζῶντας, σπείρειν εἰς τὸ πνεῦμα. ἀφ᾽ οὗ ἐστι θερίσαι ζωὴν αἰώνιον. πρὸς δὲ τούτοις, καὶ ἐχθροὶ εἰσὶ τοῦ Θεοῦ, οἱ τοῦ φρονήματος τῆς σαρκός. φρονοῦσι δὲ τὰ τῆς σαρκὸς, καὶ ὅσοι βούλονται πλουτεῖν, ἢ ἐπιθυμοῦσι δόξης. καὶ οἱ κατὰ γράμμα ζῶντες Ἰουδαῖοι, καὶ τὴν ἐν σαρκὶ αὐχοῦντες περιτομὴν, οὗτοι τὰ τῆς σαρκὸς τοῦ νόμου φρονοῦσιν. οἱ δὲ κατὰ πνεῦμα Ἰουδαῖοι· οἱ τὴν ἐν καρδίᾳ καὶ πνεύματι περιτομὴν ποιοῦντες, οὗτοι φρονοῦσι τὰ τοῦ πνεύματος. καὶ ἐν μὲν τῷ φρονήματι τῆς σαρκὸς τοῦ νόμου, θάνατόν τις εὑρήσει καὶ ἔχθραν τὴν εἰς Θεόν. ἐν δὲ τῷ φρονήματι τοῦ πνεύματος τοῦ νόμου, ζωὴν καὶ εἰρήνην. οἱ δὲ ἐν τῇ σαρκὶ τοῦ νόμου ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται, ἀλλ᾽ οἱ ἐν τῷ πνεύματι τοῦ νόμου ὄντες. ἀμφότεροι γὰρ ἐπαγγελλόμεθα τὸν Μωσέως νόμον. ἀλλ᾽ ἐκεῖνοι μὲν, κατὰ σάρκα, ἡμεῖς δὲ, κατὰ πνεῦμα. διὸ ἐκεῖνοι σαρκικὰς ἡγοῦνται τὰς ἐπαγγελίας, ἀκολούθως τῷ σαρκικῷ νόμῳ· ἡμεῖς δὲ πνευματικὰς, ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ, ἐν τοῖς ἐπουρανίοις.

Φωτίου. Καλῶς οὖν φησὶν, ὅτι τὸ φρόνημα τῆς σαρκὸς τῷ νόμῳ τοῦ Χριστοῦ οὐχ ὑποτάσσεται. ἐν ὅσῳ μὲν γάρ ἐστι, δῆλον ὅτι οὐχ ὑποτάσσεται. ἐν ὅσῳ δὲ παρέλθῃ καὶ ἀπογένηται τοῦ ἀνθρώπου, οὐδόλως ἐστίν. ὥστε οὐδ᾽ ὑποτάσσεται. πῶς γὰρ ἂν τὸ μὴ ὂν, ἢ ἀντιστήσεται, ἢ ὑποταγῇ τινί; τίς οὖν ὑποτάσσεται; ὁ ἄνθρωπος ἐν ᾧ τὸ σαρκικὸν φρόνημα[y]; ἀλλ᾽ ἔτι μὲν τοῦ σαρκικοῦ

[x] Plura hic desunt. [y] Suppl. οὐκ ἔστι.

παρόντος φρονήματος, οὐδὲ ἐκεῖνος. καταβληθέντος δὲ διὰ μετανοίας καὶ ὑποχωρήσαντος, τότε ἐκεῖνος ἀγαθοεργεῖ, καὶ ὑποτάσσεται τῷ νόμῳ τοῦ Θεοῦ.

8 Οἱ δὲ ἐν σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται.
9 ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ ἀλλ' ἐν πνεύματι. εἴπερ
Πνεῦμα Θεοῦ οἰκεῖ ἐν ἡμῖν.

Κυρίλλου. *Ἐπικρατούσης μὲν τῆς τοῦ ἀνθρώπου διανοίας, τῆς γεώδους ἡδονῆς, ἐν σαρκὶ τίς ἐστιν ὡς τὰ τῆς σαρκὸς φρονῶν. καὶ ὁ τοιοῦτος, οὐκ ἂν ἀρέσῃ Θεῷ. καταπλουτήσαντος δὲ τοῦ νοῦ τὴν διὰ Χριστοῦ χάριν, καὶ τῆς ἄνωθεν ἰσχύος μεμεστωμένου, καὶ ζέοντος τῷ πνεύματι, καὶ ἐπὶ ἀρετὴν σπεύδοντος, οὐ νοεῖται ὁ τοιοῦτος ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι. καὶ εὐκόλως ποιεῖ τὰ ἀρεστὰ τῷ Θεῷ.*

Χρυσοστόμου. *Τί οὖν; κατακόψομαι τὸ σῶμα, ἵνα ἀρέσωμεν τῷ Θεῷ; καὶ ἐξέλθωμεν τῆς σαρκός; καὶ ἀνδροφόνους ἡμᾶς εἶναι κελεύεις ἐπ' ἀρετὴν ἄγων; ὁρᾷς πόσα ἄτοπα τίκτεται, ἐὰν ἁπλῶς λεγόμενα ἐκδεξώμεθα; σάρκα γὰρ ἐνταῦθα, οὐ τὴν οὐσίαν φησὶ τοῦ σώματος, ἀλλὰ τὸν σαρκικὸν βίον, καὶ κοσμικὸν καὶ τρυφῆς καὶ ἀσωτείας γέμοντα. τὸν, ὅλον σάρκα ποιοῦντα τὸν ἄνθρωπον. ὥσπερ γὰρ οἱ τῷ πνεύματι πτερούμενοι, καὶ τὸ σῶμα πνευματικὸν ἐργάζονται· οὕτως οἱ γαστρὶ καὶ ἡδονῇ δουλεύοντες, καὶ τὴν ψυχὴν σάρκα ποιοῦσιν. οὐ τὴν οὐσίαν αὐτῆς μεταβάλλοντες, ἀλλὰ τὴν εὐγένειαν αὐτῆς ἀπολλύντες. καὶ οὗτος τῆς λέξεως ὁ τρόπος. καὶ ἐν τῇ παλαιᾷ πολλάκις κεῖται· σάρκα σημαίνων τὸν παχὺν καὶ γεώδη βίον, καὶ ἡδοναῖς ἐμπεπληγμένον ἀτόποις. καὶ γὰρ τῷ Νῶε φησὶ, "οὐ μὴ καταμείνῃ τὸ Πνεῦμά μου ἐν τοῖς ἀνθρώ-" "ποις τούτοις διὰ τὸ εἶναι αὐτοῖς σάρκας." καί τοι καὶ αὐτὸς ὁ Νῶε σάρκα περίκειται[z]. ἀλλὰ οὐκ ἦν τοῦτο ἔγκλημα, τὸ περικεῖσθαι σάρκα. τοῦτο γὰρ τῆς φύσεως, ἀλλὰ τὸ τὸν σαρκικὸν ἀνῃρῆσθαι βίον.*

Ἰσιδώρου. *Τὸ γὰρ τῆς σαρκὸς ὄνομα διχῶς παρὰ τῇ θείᾳ εἴρηται γραφῇ. ποτὲ μὲν κατὰ τὴν φύσιν αὐτήν· ποτὲ δὲ κατὰ τὸ φρόνημα καὶ τὴν φθοράν. καὶ τῆς μὲν, ἀπόδειξις, τὸ πνεῦμα*

[z] I. marg. a m. rec. περιέκειτο.

"σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα." τῆς δὲ, "τὸ, σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύναται." καὶ "οἱ ἐν σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται." ὁ τοίνυν τὴν φθορὰν καὶ τὴν σάρκα παιδαγωγῆσαι βουλόμενος, μαραίνει τὰ τῆς σαρκὸς ὑπεκκαύματα, καὶ ἀρέσκει Θεῷ ἔτι σαρκὶ συνεχόμενος· καὶ κληρονομεῖ τὴν αὐτοῦ βασιλείαν μετὰ σώματος ὡς ἀσώματος.

Χρυσοστόμου Καὶ ἐν τῷ ἐπαγαγεῖν δὲ, "ὑμεῖς δὲ οὐκ ἐστὲ "ἐν σαρκὶ ἀλλ' ἐν πνεύματι," οὐχ ἁπλῶς σάρκα φησὶ, ἀλλὰ τὴν τοιαύτην σάρκα τὴν συρομένην ὑπὸ τῶν παθῶν[a]. καὶ τίνος ἕνεκεν, φησὶν, οὐχ οὕτως εἶπεν, οὐδὲ τὴν διαφορὰν τέθεικεν; ἐπαίρων τὸν ἀκροατὴν, καὶ δεικνὺς, ὅτι οὐδ' ἐν σώματι ἐστὶν ὁ ὀρθῶς βιῶν. ἐπειδὴ γὰρ τὸ ἐν ἁμαρτίᾳ μὴ εἶναι τὸν πνευματικὸν παντί που δῆλον ἦν, οὗτος τὸ μεῖζον τίθησιν· ὅτι οὐ μόνον οὐκ ἐν ἁμαρτίᾳ, ἀλλ' οὐδὲ ἐν σαρκὶ λοιπόν ἐστιν ὁ πνευματικὸς ἄνθρωπος· Ἄγγελος ἐντεῦθεν ἤδη γενόμενος καὶ πρὸς τὸν οὐρανὸν ἀναβὰς, καὶ λοιπὸν τὸ σῶμα ἁπλῶς περιφέρων. εἰ δὲ διὰ τοῦτο τὴν σάρκα διαβάλλεις, ἐπειδὴ τῷ ὀνόματι αὐτῆς τὸν σαρκικὸν καλεῖ βίον, καὶ τὸν κόσμιον οὕτω διαβαλῇ· ἐπειδὴ καὶ ἐντεῦθεν ἡ πονηρία καλεῖται πολλάκις, καθάπερ καὶ τοῖς μαθηταῖς ἔλεγεν ὁ Χριστός· "ὑμεῖς οὐκ ἐστὲ ἐκ τοῦ κόσμου τούτου." καὶ τὴν ψυχὴν δὲ ἀλλοτρίαν φήσειε τοῦ Θεοῦ, ἐπειδὴ τοὺς ἐν πλάνῃ ὄντας ψυχικοὺς ἐκάλεσεν. ἀλλ' οὐ ταῖς λέξεσιν ἁπλῶς, ἀλλὰ τῇ γνώμῃ τοῦ λέγοντος πανταχοῦ δεῖ προσέχειν, καὶ τὴν ἀκριβῆ τῶν εἰρημένων εἰδέναι διαίρεσιν. τὰ μὲν γάρ ἐστιν, ἀγαθά· τὰ δὲ, κακά· τὰ δὲ, μέσα. οἷον, ψυχὴ καὶ σὰρξ τῶν μέσων ἐστί· καὶ τοῦτο κακεῖνο γενέσθαι δυναμένη. τὸ δὲ πνεῦμα, τῶν ἀγαθῶν ἀεί. καὶ οὐδέ ποτε ἕτερόν τι γινόμενον. πάλιν τὸ φρόνημα τῆς σαρκὸς, τουτέστιν ἡ πονηρὰ πρᾶξις, τῶν ἀεὶ κακῶν· "τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑπο-"τάσσεται." ἂν τοίνυν τῷ βελτίονι δῷς τὴν ψυχὴν καὶ τὸ σῶμα, ἐγένου τῆς ἐκείνου μερίδος. ἂν τῷ χείρονι, πάλιν τῆς ἐνταῦθα ἀπωλείας κατέστης κοινωνός· οὐ παρὰ τὴν φύσιν τῆς σαρκὸς καὶ

[a] I. marg. a m. rec. τὴν τυραννουμένην.

τῆς ψυχῆς, ἀλλὰ παρὰ τὴν γνώμην τὴν κυρίαν ἀμφότερα ταῦτα ἑλέσθαι.

Ὅτι δὲ οὐ σαρκὸς διαβολὴ τὰ εἰρημένα, πάλιν αὐτὴν μεταχειρίσαντες τὴν λέξιν, ἐξετάσωμεν ἀκριβέστερον. "ὑμεῖς δὲ οὐκ "ἐστὲ ἐν σαρκὶ," φησὶ, "ἀλλ' ἐν πνεύματι." τί οὖν; οὐκ ἦσαν ἐν σαρκί· ἀλλ' ἀσώματοι περιήεσαν; καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον; ὁρᾷς ὅτι τὸν σαρκικὸν βίον ᾐνίξατο; καὶ τίνος ἕνεκεν οὐκ εἶπεν, ὑμεῖς οὐκ ἐστὲ ἐν ἁμαρτίᾳ; ἵνα μάθῃς ὅτι οὐχὶ τῆς ἁμαρτίας μόνον τὴν τυραννίδα ἔσβεσεν ὁ Χριστὸς, ἀλλὰ καὶ τὴν σάρκα κουφοτέραν καὶ πνευματικωτέραν ἐποίησεν· οὐ τῷ τὴν φύσιν μεταβαλεῖν, ἀλλὰ τὸ πτερῶσαι μᾶλλον αὐτήν. καθάπερ γὰρ πυρὸς ὁμιλοῦντος σιδήρῳ, καὶ ὁ σίδηρος γίνεται πῦρ, ἐν τῇ οἰκείᾳ μένων φύσει, οὕτω καὶ τῶν πιστῶν καὶ πνεῦμα ἐχόντων, καὶ ἡ σὰρξ λοιπὸν πρὸς ἐκείνην μεθίσταται τὴν ἐνεργείαν· ὅλη πνευματικὴ γινομένη. [b] τὸ δὲ, "εἴπερ Πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν," ἀντὶ τοῦ, ἐπείπερ τέθεικε. πολλαχοῦ δὲ τοῦτο οὕτω τίθησιν. οὐκ ἀμφιβάλλων, ἀλλὰ καὶ σφόδρα πιστεύων. ὡς ὅταν λέγῃ, "εἴπερ "δικαιοι [c], παρὰ τῷ Θεῷ, ἀνταποδοῦναι τοῖς θλίβουσιν ἡμᾶς θλί"ψεις." καὶ πάλιν, "τοσαῦτα ἐπάθετε εἰκῇ. εἴ γε καὶ εἰκῇ."

Γενναδίου. Ὑμεῖς οὖν, φησι, ἐκ θνητότητος εἰς ἀθανασίαν μεταβεβήκατε· ἀντὶ τῶν σαρκικῶν γεγενημένοι πνευματικοί. καὶ ἀναντίρρητον τοῦ λόγου τούτου τὴν ἀπόδειξιν ἔχων, "εἴπερ Πνεῦ"μα Θεοῦ," φησι, "οἰκεῖ ἐν ὑμῖν." πότε γὰρ πρὸς τῷ τῆς υἱοθεσίας χαρίσματι, καὶ ἑτέρων ἐπὶ θαυματουργίᾳ χαρισμάτων ἀπήλαυον· τοῦ Πνεύματος αὐτοῖς διὰ τούτων καὶ περὶ τῶν τέως ἀφανῶν πιστουμένου. ὅτι τοίνυν πρὸς τὴν πνευματικὴν, φησὶ, μετέστητε ζωὴν, ἡ τοῦ πνεύματος ἐγκατοικοῦσα χάρις ἀποχρώντως δηλοῖ.

Θεοδώρου Μονάχου. Ἦ ἐν δισταγμῷ, τὸ, "εἴπερ Πνεῦμα "Θεοῦ οἰκεῖ ἐν ὑμῖν" εἴρηκε· διεγείρων αὐτοὺς εἰς τὸ ἐγρηγορέναι τὸν νοῦν, καὶ μὴ ὑπτιοῦσθαι αὐτοὺς ὡς κατωρθωκότας. τὸ γὰρ ὀφρυῶσαι αὐτοὺς καὶ φυσιῶσαι, ὡς ἤδη ἔχοντας Πνεῦμα Θεοῦ, ἐπιβλαβὲς ἦν, καὶ τὴν σπουδὴν διακόψαι δυνατόν.

[b] i. marg. a m. rec. desunt hic quædam. [c] ν superscriptum a m. r.

Εἰ δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν
10 αὐτοῦ. εἰ δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα νεκρὸν διὰ
ἁμαρτίαν, τὸ δὲ πνεῦμα ζωὴν διὰ δικαιοσύνην.

Θεοδωρήτου. Ἐπειδὴ τὸ, "εἴπερ" τέθεικεν· ἀμφιβολίας δὲ τοῦτο ἐστὶν, εἰκότως ἐπήγαγεν, ὡς ὁ ταύτης τῆς χάριτος ἄμοιρος, οὐδεμίαν ἔχει πρὸς τὸν Θεὸν κοινωνίαν. καὶ ἐπειδὴ ἱκανὸν ἦν τοῦτο τοὺς δεχομένους πλῆξαι, διὰ τῶν ἑξῆς θεραπεύει, "εἰ δὲ Χριστὸς," λέγων, "ἐν ὑμῖν· τὸ μὲν σῶμα νεκρὸν διὰ ἁμαρτίας." τῇ γὰρ ἁμαρτίᾳ προσέταξε τὸ σῶμα γενέσθαι νεκρόν· ἀντὶ τοῦ, τὴν ἁμαρτίαν μὴ ἐνεργεῖν. πνεῦμα δὲ, τὴν ψυχὴν προσηγόρευσεν, ἐν τῷ, "τὸ δὲ πνεῦμα ζωή·" ὡς πνευματικὴν ἤδη γεγενημένην. καὶ ταύτῃ μετιέναι τὴν δικαιοσύνην κελεύει· ἧς καρπὸς ἀξιέραστος ἡ ζωή.

Κυρίλλου. Εἴ τις οὖν ἐστιν ἐν πνεύματι, οὗτος ἔσται καὶ ἐν δικαιοσύνῃ καὶ ἐν ζωῇ· μονονουχὶ τεθνεῶτος τοῦ τῆς ἁμαρτίας σώματος, καὶ πάσης ἀτόπου σβεσθείσης ἡδονῆς. ἀδύνατον γὰρ ἐν ταυτῷ καὶ καθ' ἕνα καιρὸν δικαιοσύνην εἶναι καὶ ἀδικίαν, ἁγιασμὸν τὲ καὶ ἀκαθαρσίαν. πνεῦμα δὲ φαμὲν τὸ ἀνθρώπινον. ἐν δὲ τῷ, "τὸ πνεῦμα, ζωή·" τῇ τοῦ Ἁγίου Πνεύματος ζωοποιούμενον χάριτι, καὶ τῇ πρὸς αὐτὸ κοινωνίᾳ πλουτοῦν δικαιοσύνην. οὕτω γὰρ ἐσμὲν θείας φύσεως κοινωνοί. ἐνοικίζεται γὰρ ἐν ἡμῖν διὰ τοῦ Ἁγίου Πνεύματος ὁ Χριστός.

Γενναδίου. Ἢ καὶ οὕτως. ὥσπερ οἱ ἐξ Ἀδὰμ τοῦ Ἀδὰμ εἶναι λεγόμεθα, τῆς φύσεως αὐτῷ κοινωνήσαντες, οὕτως οἱ τῆς πρὸς Χριστὸν Ἰησοῦν ἀξιωθέντες ἑνώσεως, εἶναι λέγονται τοῦ Χριστοῦ, διὰ τῆς ἑνὸς Πνεύματος μετουσίας. εἰ τοίνυν γνωρίζεται Χριστὸς ἐν ὑμῖν, φησὶ, τῷ τοῦ Πνεύματος αὐτοῦ μετέχειν ὑμᾶς. ὃν τρόπον ἐστὶν ἀθανασίας ἀμέτοχον τὸ σῶμα διὰ τὴν ἁμαρτίαν, οὕτως αὖ θανάτου πόρρω διὰ τὴν δικαιοσύνην, τὸ πνεῦμα. πνεῦμα τὸ πνευματικὸν προσειπὼν σῶμα, ἐκ τοῦ μεθεκτοῦ τὸ μετέχον καλέσας. ὥσπερ ἐν τοῖς εὐαγγελίοις, "τὸ γεγενημένον," φησὶν, "ἐκ τοῦ Πνεύματος, πνεῦμα ἐστί."

Χρυσοστόμου. Καὶ οὐκ εἶπεν, εἰ ὑμεῖς πνεῦμα Χριστοῦ οὐκ ἔχετε, ἀλλ' ἐπ' ἄλλων προήγαγε τὸ λυπηρόν. ἐπ' αὐτῶν δὲ πάλιν

τίθησι τὸ χρηστὸν, ἐπαγαγὼν, " εἰ δὲ Χριστὸς ἐν ὑμῖν." καὶ τὸ μὲν λυπηρὸν, βραχὺ καὶ μέσον. τὸ δὲ ποθεινὸν ἑκατέρωθεν. καὶ διὰ πολλῶν, ὥστε ἐκεῖνο συσκιάσαι. τοῦτο δὲ ἔλεγεν οὐ τὸ Πνεῦμα Χριστὸν λέγων· ἄπαγε. ἀλλὰ δεικνὺς ὅτι ὁ τὸ Πνεῦμα ἔχων, οὐ μόνον τοῦ Χριστοῦ χρηματίζει, ἀλλὰ καὶ αὐτὸν ἔχει τὸν Χριστόν. οὐ γάρ ἐστι Πνεύματος παρόντος, μὴ καὶ τὸν Χριστὸν παρεῖναι. ὅπου γὰρ ἂν μία τῆς Τριάδος ὑπόστασις παρῇ, πᾶσα πάρεστιν ἡ Τριάς. ἀδιασπάστως γὰρ ἔχει πρὸς ἑαυτὴν, καὶ ἥνωται μετὰ ἀκριβείας ἁπάσης.

Ἀλλ' ὁ μὲν θεῖος Ἰωάννης ὁ Χρυσολόγος πατὴρ, πρὸς τὰς διαφόρους ὑποστάσεις ἀπιδὼν, οὐ δεῖ, φησιν, Χριστὸν ἐνταῦθα τὸ πνεῦμα λέγειν. ἵνα μὴ συγχεθείη τὰ πρόσωπα. ὁ δέ γε μέγας Βασίλειος ἐν τῷ περὶ τοῦ Ἁγίου Πνεύματος λόγῳ, πρὸς τὴν τῆς ἐνεργείας τοῦ Υἱοῦ διὰ τοῦ Πνεύματος ἔκφανσιν ἀπιδὼν, Χριστὸν τὸ πνεῦμα ἐκάλεσεν, οὕτως εἰπών.

Βασιλείου. Ἐπεὶ πᾶσα ἡ ἐνέργεια τοῦ Υἱοῦ διὰ τοῦ Πνεύματος φανεροῦται, Κύριος ὀνομάζεται τὸ Πνεῦμα, καὶ Χριστὸς, τῷ τοῦ Χριστοῦ. ὡς ἄρτι μὲν ἐλέγομεν, " ὁ δὲ Κύριος, τὸ Πνεῦ- " μα ἐστίν·" εἴρηται δὲ καὶ τὸ, " ὑμεῖς οὐκ ἐστὲ ἐν σαρκὶ," " ἀλλ' ἐν πνεύματι. εἴπερ πνεῦμα Θεοῦ ἐν ὑμῖν. εἰ δέ τις πνεῦμα " Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ." εἶτα ἐπάγει ὁ Ἀπόστολος. " εἰ δὲ Χριστὸς ἐν ὑμῖν." ἀντὶ τοῦ εἰπεῖν, ὅπερ ἀκόλουθον ἦν, εἰ δὲ τὸ πνεῦμα ἐν ἡμῖν.

Κυρίλλου. Δυσσεβοῦσι τοιγαροῦν λίαν. οἰκτιστὸν[d] εἶναι καὶ γενητὸν, ἢ φρονεῖν, ἢ λέγειν ἀποτολμῶντες τὸ Πνεῦμα τὸ Ἅγιον. ὥσπερ γὰρ οὐχ ἕτερόν τι ἐστὶ παρὰ τὸν ἄνθρωπον τὸ πνεῦμα αὐτοῦ, οὕτως οὐχ ἑτερόν τι παρὰ τὸν φύσει καὶ ἀληθῶς Θεὸν, τὸ Πνεῦμα αὐτοῦ. κἂν ἐν ὑπάρξει νοῆται τῇ καθ' ἑαυτό. καθάπερ ἀμέλει καὶ αὐτὸς ὁ Πατὴρ, καὶ μέντοι καὶ ὁ Υἱός. ὅτι γὰρ ἐν ἡμῖν ὄντος τοῦ Πνεύματος, ὁ Υἱὸς ἐν ἡμῖν ἐστι, διὰ τὴν ταυτότητα τῆς οὐσίας· καὶ ὅτι κατὰ φύσιν ἴδιον αὐτοῦ τὸ Πνεῦμα αὐτοῦ, πιστώσεται γράφων ὁ θεσπέσιος Παῦλος, " ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν " σαρκὶ, ἀλλ' ἐν Πνεύματι. εἴπερ Πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν.

d Leg. οἱ κτιστόν.

"εἰ δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. "εἰ δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα, νεκρὸν διὰ τὴν ἁμαρτίαν· "τὸ δὲ πνεῦμα, ζωὴ διὰ τὴν δικαιοσύνην." σύνες οὖν ὅπως Πνεῦμα Θεοῦ λέγων αὐτὸ, καὶ Χριστὸν ὀνομάζει διὰ τὴν ταυτότητα τῆς οὐσίας. ὅτε τοίνυν ὡς Χριστὸς ἐν ὑμῖν τὸ Πνεῦμα αὐτοῦ, πῶς ἂν εἴη γενητὸν, Θεοῦ κατὰ φύσιν ὄντος τοῦ Υἱοῦ, καὶ ὁμοουσίου τῷ Πατρί;

Τοῦ αὐτοῦ. Δέχου οὖν μοι καὶ ἐντεῦθεν ὀρθὰς περὶ τοῦ Ἁγίου Πνεύματος τὰς ἐννοίας. ἵνα δὴ καὶ ἐκμάθοις αὐτὸ τῆς τοῦ Σωτῆρος ὑπάρχον οὐσίας, καὶ τῆς μιᾶς θεότητος, οὐκ ἀλλότριον. Πνεῦμα γὰρ ἀποκαλέσας αὐτὸ Θεοῦ, εὐθὺς αὐτὸ καὶ Πνεῦμα λέγει Χριστοῦ. δεικνύων μὲν ὅτι πάντα τὰ τοῦ Πατρὸς ἴδια, διαβαίνει φυσικῶς καὶ ἐπὶ τὸν ἐξ αὐτοῦ γεννηθέντα Υἱόν. Χριστὸν δὲ πάλιν εὐθὺς τὸ Πνεῦμα καλεῖ, λέγων, "εἰ δὲ Χριστὸς ἐν "ὑμῖν." δεικνὺς οὐκ ἀλλότριον αὐτὸ τῆς τοῦ Λόγου φύσεως. ἀλλ' οὕτως ἡνωμένον, εἰ καὶ ἔστιν ἰδιοσύστατον, ὡς αὐτὸ τὸ ὑπάρχειν ἐν Υἱῷ, καὶ τὸν Υἱὸν ἐν αὐτῷ διὰ τὴν τῆς οὐσίας ταυτότητα.

Βασιλείου. Πνεῦμα δὲ Χριστοῦ λέγεται, ὡς ᾠκειωμένον αὐτῷ κατὰ τὴν φύσιν. διότι "εἴ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος "οὐκ ἔστιν αὐτοῦ."

Τοῦ αὐτοῦ. Οὐ μὲν υἱὸς, τοῦ Υἱοῦ τὸ Πνεῦμα. ἵνα ἡ Τριὰς μὴ νομισθῇ πλῆθος ἄπειρον· υἱοὺς ἐξ υἱῶν ὡς καὶ ἐν ἀνθρώποις ἔχειν ὑποπτευθεῖσα. ἀλλὰ λέγῃς· εἰ Θεοῦ μὲν εἰκὼν ὁ Υἱὸς, Υἱοῦ δὲ τὸ Πνεῦμα, διατί μὴ υἱὸς τοῦ Υἱοῦ, τὸ Πνεῦμα εἴρηται; τούτῳ γὰρ ἰσχυροτάτῳ πρὸς τὴν ἀσέβειαν ἐχρήσω. ἢ γὰρ υἱὸν ἢ κτίσμα κελεύεις νοεῖν. καὶ ὅτι μὴ υἱὸς ὠνόμασται, διὰ τοῦτο κτίσμα εἶναι βλασφημεῖς τὸ τῆς κτίσεως αἴτιον; τὸ τῆς κτίσεως ἁγιαστικὸν καὶ θεοποιόν; τὸ, Κυρίου καὶ Θεοῦ δοξαζόμενον ὀνόματι; τὸ τῶν θείων ἐνεργειῶν πληρωματικόν; εἴπερ οὖν ἀνάξιόν σοι φαίνεται τῆς υἱοῦ προσηγορίας, ὡς ἀλλότριον Υἱοῦ καὶ Πατρὸς, σκέψαι πῶς υἱοὺς ἀπεργάζεται τοὺς ἁγιαζομένους. εἰ σὺ διὰ τὸ Πνεῦμα θεὸς, πῶς τὸ Πνεῦμα θεότητος ἀλλότριον; ἀντερωτήσεις δὴ πάλιν. διὰ τί δὴ τὸ τοῦ υἱοῦ μὴ εἴληφεν ὄνομα; κἂν σιωπήσωμεν οὐ βουλόμενοι τὰ τοῦ Θεοῦ περιεργάζεσθαι, νενική-

σθαι τὴν τοῦ θείου πνεύματος δόξαν ὑπολαμβάνεις· διὰ τὸ, τὴν Υἱοῦ μὴ κεῖσθαι προσηγορίαν ἐπ' αὐτοῦ. ὥσπερ οὐχὶ ταυτὸν δυνάμενος ἀπαιτεῖσθαι. εἰ γὰρ ὁμολογεῖς διὰ τὸ πνεῦμα, υἱοὺς θέσει γενέσθαι μυρίους, διατί τὸ πνεῦμα μὴ δὲ θέσει προσαγορεύεται υἱός; κάλλιον δήπουθεν ὂν τῶν υἱοθετουμένων χάριτι δι' αὐτοῦ. καὶ διὰ τοῦτο μᾶλλον οὐκ ὀφεῖλον ἐλαττοῦσθαι διὰ τὴν προσηγορίαν.

Ἡμεῖς δὲ καὶ περὶ τούτου κατὰ τὸ δυνατὸν ἀποκρινούμεθα πρὸς ἡμᾶς αὐτούς. ἐπείγε πρός γε σὲ καὶ σιωπᾶν ἐξήρκει. τῆς αὐτῆς ἐρωτήσεως ἐπικειμένης καὶ σοί. λέγομεν οὖν, ὅτι τὸ εἰπεῖν υἱὸν ἐξ υἱοῦ τὴν Τριάδα τῆς θεότητος εἰς πλήθους ὑποψίαν προσῆγεν ἂν τοῖς ἀκούσασιν. ἕτοιμον γὰρ ἦν ὑπολαβεῖν, ὡς εἴπερ υἱὸς ἐξ υἱοῦ γεγέννηται, καὶ ἕτερος ἐκ τούτου πάλιν εἴη γεγεννημένος, καὶ πάλιν ἄλλος, καὶ ἐπὶ πλῆθος ἑξῆς. διὰ δὴ τοῦτο τὸ μὲν ἐκ Θεοῦ τὸ Πνεῦμα εἶναι, τρανῶς ἐκήρυξεν ὁ Ἀπόστολος λέγων, ὅτι τὸ πνεῦμα τὸ ἐκ Θεοῦ ἐλάβομεν. καὶ τὸ δι' υἱοῦ πεφηνέναι σαφὲς πεποίηκεν. Υἱοῦ Πνεῦμα ὀνομάσας αὐτὸ καθάπερ Θεοῦ· καὶ νοῦν Χριστοῦ προσειπὼν, καθάπερ καὶ Θεοῦ Πνεῦμα ὡς τοῦ ἀνθρώπου. υἱὸν δὲ προσειπεῖν ἐφυλάξατο· ἵνα ᾖ εἷς μὲν Πατὴρ ὁ Θεὸς, ἀεὶ διαμένων Πατήρ· καὶ ὢν ἀϊδίως, ὅ ἐστιν. εἷς δὲ Υἱός· ἀϊδίῳ γεννήσει γεγεννημένος ἀνάρχως· σὺν τῷ Πατρὶ ὢν, Υἱὸς ἀληθινὸς Θεοῦ· ἀεὶ ὢν ὅ ἐστι, Θεὸς Λόγος καὶ Κύριος. ἓν δὲ καὶ τὸ Πνεῦμα Ἅγιον· ἀληθῶς Ἅγιον Πνεῦμα· κατὰ τὸ γεγραμμένον, τὸ μετὰ Πατρὸς Υἱοῦ συνδοξαζόμενον. ὃ δὴ καὶ "Πνεῦμα στόματος" ὀνομάζεται, παρὰ τῷ προφήτῃ Δαβίδ.

Μαξίμου. Πλὴν οὐχ ὥσπερ Πνεῦμα Θεοῦ καὶ Πνεῦμα Χριστοῦ αὐτὸ λέγεται, οὕτω καὶ ὁ Χριστὸς Πνεύματος λέγεσθαι δύναται· ὥσπερ γάρ ἐστιν αἴτιος τοῦ λόγου ὁ νοῦς, οὕτω καὶ τοῦ πνεύματος· διὰ μέσου δὲ τοῦ λόγου. καὶ ὥσπερ οὐ δυνάμεθα εἰπεῖν τὸν λόγον εἶναι τῆς φωνῆς, οὕτως οὐδὲ τὸν Υἱὸν λέγειν τοῦ Πνεύματος.

Γρηγορίου Νύσσης. Κοινοῦ γὰρ ὄντος τῷ Υἱῷ καὶ τῷ Πνεύματι τοῦ μὴ ἀναιτίως εἶναι. ὡς ἂν μή τις σύγχυσις ἐκ τούτου περὶ τὸ ὑποκείμενον θεωρηθείη. πάλιν ἐστὶ καὶ διαφορὰν ἐν τῇ κοινότητι ἐξαρεῖν. ὁ μὲν γὰρ μονογενὴς Υἱὸς, ἐκ τοῦ Πατρὸς λέ-

γεται· καὶ μέχρι τούτου ὁ λόγος ἵστησι τὸ ἰδίωμα. τὸ δὲ Ἅγιον Πνεῦμα καὶ ἐκ τοῦ Πατρὸς λέγεται, καὶ τοῦ Υἱοῦ εἶναι προσμαρτυρεῖται. "εἰ γάρ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὐκ ἔστιν "αὐτοῦ," φησὶν ἡ γραφή. οὐκοῦν τὸ μὲν Πνεῦμα τὸ ἐκ Θεοῦ ὃν, καὶ Χριστοῦ Πνεῦμα ἐστίν· ὁ δὲ Υἱὸς ἐκ τοῦ Θεοῦ ὢν, οὐκέτι καὶ τοῦ Πνεύματος, οὔτε ἐστὶν οὔτε λέγεται. οὐ δὲ ἀντιστρέφει ἡ σχετικὴ αὕτη ἀκολουθία· ὡς δύνασθαι κατὰ τὸ ἶσον ἀντιστραφῆναι τὸν λόγον.

Σετηριανοῦ. Ἐν μέντοι τῷ, "εἰ δὲ Πνεῦμα Χριστοῦ ἐν "ὑμῖν," Πνεῦμα Χριστοῦ ἔφησε λέγεσθαί τις, τὰ χαρίσματα τῆς καινῆς διαθήκης.

Χρυσοστόμου. Ἐκ μὲν οὖν τοῦ μὴ ἔχειν Πνεῦμα Ἅγιον, θάνατος, ἔχθρα εἰς Θεόν· τὸ μὴ δύνασθαι ἀρέσαι τοῖς ἐκείνου νόμοις· τὸ μὴ εἶναι ὡς χρὴ, τοῦ Χριστοῦ· τὸ μὴ ἔχειν αὐτὸν ἔνοικον. ἐκ δὲ τοῦ Πνεῦμα ἔχειν, τὸ Χριστοῦ εἶναι· τὸ αὐτὸν ἔχειν τὸν Χριστόν· τὸ τοῖς εὐαγγελίοις ἁμιλλᾶσθαι. τοῦτο γάρ ἐστι νεκρῶσαι τὴν σάρκα· τὸ ζωὴν ἀθάνατον ζῆν· τὸ ἐντεῦθεν ἤδη τῆς ἀναστάσεως ἔχειν τὰ ἐνέχυρα· τὸ μετ' εὐκολίας τὸν τῆς ἀρετῆς τρέχειν δρόμον. οὐ δὲ γὰρ εἶπεν ἀργεῖν τὸ σῶμα λοιπὸν τῇ ἁμαρτίᾳ· ἀλλὰ καὶ νεκρὸν εἶναι· ἐπιτείνων τὴν εὐκολίαν τῶν δρόμων. χωρὶς γὰρ πραγμάτων καὶ πόνων ὁ τοιοῦτος στεφανοῦται λοιπόν. διὰ τοῦτο, καὶ τῇ ἁμαρτίᾳ προσέθηκεν. ἵνα μάθῃς ὅτι τὴν πονηρίαν, ἀλλ' οὐ τὴν φύσιν τοῦ σώματος καθάπαξ ἀνεῖλεν. εἰ γὰρ τοῦτο γένοιτο, πολλὰ καὶ τῶν τὴν ψυχὴν ὠφελῆσαι δυναμένων, ἀνήρηται. οὐ τοίνυν τοῦτο φησί· ἀλλὰ καὶ ζῶν καὶ μένον, νεκρὸν εἶναι βούλεται. τοῦ [d] γὰρ τὸν υἱὸν ἔχειν· τοῦ τὸ πνεῦμα ἐν ἡμῖν εἶναι, σημεῖον ἐστὶ, τὸ μηδὲν τῶν ἐν τῇ σορῷ κειμένων σωμάτων διαφέρειν ἡμῶν τὰ σώματα πρὸς τὴν τῆς ἁμαρτίας ἐργασίαν. ἀλλὰ μὴ φοβηθῇς νέκρωσιν ἀκούσας· ἔχεις γὰρ τὴν ὄντως ζωήν· ἣν οὐδεὶς διαδέξεται θάνατος. τοιαύτη γὰρ ἡ τοῦ Πνεύματος. οὐκ εἴκει θανάτῳ λοιπόν. ἀλλ' ἀναλίσκει θάνατον καὶ δαπανᾷ. καὶ ὅπερ ἔλαβεν, ἀθάνατον διατηρεῖ. διόπερ εἰπὼν "τὸ σῶμα

[d] τοῦτο a m. rec. subscript.

"νεκρὸν," οὐκ εἶπε τὸ πνεῦμα ζῶν· ἀλλὰ "ζωή." ἵνα δείξῃ καὶ ἑτέροις τοῦτο δυνάμενον παρασχεῖν. εἶτα πάλιν ἐπισφίγγων τὸν ἀκροατὴν, λέγει καὶ τὴν αἰτίαν τῆς ζωῆς, καὶ τὴν ἀπόδειξιν. αὕτη δέ ἐστιν ἡ δικαιοσύνη. ἁμαρτίας γὰρ οὐκ οὔσης, οὐδὲ θάνατος φαίνεται. θανάτου δὲ μὴ φαινομένου, ἀκατάλυτος ἡ ζωή.

11 Εἰ δὲ τὸ Πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας τὸν Κύριον ἡμῶν Ἰησοῦν, ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν, διὰ τὸ ἐνοικοῦν αὐτοῦ Πνεῦμα ἐν ὑμῖν.

Χρυσοστόμου. Πάλιν τὸν περὶ τῆς ἀναστάσεως κινεῖ λόγον. ἐπειδὴ αὕτη μάλιστα τὸν ἀκροατὴν διήγειρεν ἡ ἐλπίς. καὶ βεβαιοῖ αὐτὴν ἀπὸ τῶν ἐπὶ Χριστοῦ συμβάντων. μὴ γὰρ δὴ φοβηθῇς, φησι, ὅτι νεκρὸν περίκεισαι σῶμα. ἔχει τὸ πνεῦμα, καὶ ἀναστήσεται πάντως. τί οὖν τὰ μὴ ἔχοντα πνεῦμα σώματα; οὐκ ἀνίσταται ἐκεῖ; καὶ πῶς ἅπαντας δεῖ παραστῆναι τῷ βήματι τοῦ Χριστοῦ [e]; τί οὖν ἐστι τὸ λεγόμενον; πάντες μὲν ἀναστήσονται. οὐ πάντες δὲ, εἰς ζωήν. ἀλλ' οἱ μὲν, εἰς κόλασιν· οἱ δὲ, εἰς ζωήν. διὰ τοῦτο οὐκ εἶπεν ἀναστήσει, ἀλλὰ ζωοποιήσει. ὃ, πλέον τῆς ἀναστάσεως ἦν, καὶ τοῖς δικαίοις μόνον δεδωρημένον. καὶ τὴν αἰτίαν τῆς τοιαύτης τιμῆς τιθεὶς, προσέθηκε, λέγων, "διὰ τὸ "ἐνοικοῦν αὐτοῦ Πνεῦμα ἐν ὑμῖν." ὥστε ἂν ἀπελάσῃς ἐνταῦθα ὢν, τοῦ Ἁγίου Πνεύματος τὴν χάριν· καὶ μὴ σώαν ἔχων αὐτὴν, ἀπέλθῃς, ἀπολῇ πάντως, κἂν ἀναστῇς.

Γενναδίου. Οὔκουν δεῖ, φησι, περὶ τούτου διαμφισβητεῖν. ὅτι τοὺς ἠξιωμένους ναοὺς γενέσθαι τοῦ Πνεύματος, καὶ ταύτῃ κεκοινωνηκότας Χριστῷ, ἐχόμενόν ἐστι τὸ κοινωνῆσαι αὐτῷ δι' αὐτὸ τοῦτο, καὶ τῆς ἐκ νεκρῶν εἰς θάνατον ζωὴν ἀναστάσεως.

Θεοδωρήτου. Ψυχαγωγεῖ δὲ τῇ τῶν μελλόντων ἐλπίδι, καὶ δίδωσιν ἱκανὴν προθυμίαν εἰς τοὺς παρόντας ἀγῶνας. οὐκ εἰς μακρὰν γάρ, φησιν, ἀθάνατα ὑμῶν ἔσται τὰ σώματα· καὶ κρείττονα τῶν νῦν ἐνοχλούντων παθημάτων γενήσεται. ποιήσει δὲ τοῦτο

[e] i. m. a m. rec. καὶ πῶς ὁ τῆς γεέννης ἀξιόπιστος ἔσται ὁ λόγος; εἰ γὰρ μὴ ἔχον τὸ πνεῦμα οὐκ ἀνίστα, οὐδὲ γέεννα ἔσται.

αὐτὸς ὁ τῶν ὅλων Θεός. ὁ νῦν ἡμῖν τοῦ πνεύματος τὸν ἀγῶνα παρασχὼν φιλοτίμως. δέδωκε δὲ αὐτοῖς καὶ ἐνέχυρον τῆς ἀναστάσεως, τοῦ Χριστοῦ τὴν ἀνάστασιν. ἐδίδαξέ τε ἡμᾶς διὰ τῶν εἰρημένων, καὶ τὴν μίαν τῆς θεότητος φύσιν. τὸ γὰρ Παναγιον Πνεῦμα, καὶ Θεοῦ προσηγόρευσε καὶ Χριστοῦ· οὐκ ἐπειδὴ κατὰ τοὺς δυσωνύμους αἱρετικοὺς ἐκ τοῦ Θεοῦ διὰ τοῦ Υἱοῦ δεδημιούργηται. ἀλλ' ἐπειδὴ ὁμοούσιον ἐστὶ Πατρὸς καὶ Υἱοῦ. καὶ ἐκ Πατρὸς μὲν ἐκπορεύεται, κατὰ τὴν τῶν εὐαγγελίων διδασκαλίαν. ἡ δὲ τούτου χάρις τοῖς ἀξίοις διὰ τοῦ Χριστοῦ χορηγεῖται.

Κυριλλου. Ἐγήγερταί γε μὴν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς παρὰ τοῦ Πατρὸς, ἐνεργουμένης περὶ τὴν σάρκα αὐτοῦ τῆς ζωῆς, διὰ τοῦ Ἁγίου Πνεύματος, ὅ ἐστιν αὐτοῦ. ὅτι γὰρ αὐτὸς τὸν ἴδιον ἐζωοποίησε ναὸν, λέγει πρὸς Ἰουδαίους, "λύσατε "τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν." οὐκοῦν κἂν εἰ ἐγηγέρθαι λέγοιτο παρὰ τοῦ Πατρὸς, ἀλλ' οὖν αὐτὸς ἦν ὁ ἀνιστὰς, διὰ τοῦ Ἁγίου Πνεύματος. πάντα γὰρ ἐνεργεῖται τὰ θεοπρεπῆ παρὰ τοῦ Πατρὸς δι' Υἱοῦ ἐν Πνεύματι. ἐγερεῖ τοίνυν καὶ τὰ ἡμῶν σώματα ἐκ νεκρῶν ὁ Χριστός.

Του αυτου. Τὸ τοίνυν ἰσουργεῖν δυνάμενον τῷ Θεῷ Πνεῦμα, Θεός τέ ἐστι καὶ ἐκ Θεοῦ κατὰ φύσιν. ζωοποιοῦντος γὰρ τοῦ Πατρὸς, ὁμοίως δὲ καὶ τοῦ Υἱοῦ, ζωοποιόν ἐστι καὶ τὸ Πνεῦμα τὸ Ἅγιον. γράφει οὖν ὁ μακάριος Παῦλος, "παραγγέλλω σοι "ἐνώπιον τοῦ Θεοῦ τοῦ ζωογονοῦντος τὰ πάντα." ἔφη δὲ καὶ ὁ Υἱὸς, "τὰ πρόβατα τὰ ἐμὰ τῆς ἐμῆς φωνῆς ἀκούει, καὶ ἀκο- "λουθοῦσί μοι. κἀγὼ δίδωμι αὐτοῖς ζωὴν αἰώνιον." ὅτι δὲ καὶ τὸ Πνεῦμα ζωογονεῖ, γράφει πάλιν ὁ Παῦλος, "ὁ ἐγείρας Χρι- "στὸν Ἰησοῦν ἐκ νεκρῶν, ζωοποιήσει καὶ τὰ θνητὰ ὑμῶν σώματα, "διὰ τοῦ ἐνοικοῦντος αὐτῷ Πνεύματος ἐν ὑμῖν."

Κυριλλου. Ἀλλ' εἴπερ ἦν ὄντως ποίημα καὶ κτίσμα κατὰ τὴν τῶν ἑτεροδόξων μανίαν τὸ Πνεῦμα τὸ Ἅγιον, πῶς ὅλην ἔχει τοῦ Θεοῦ τὴν ἐνέργειαν; οὐ γὰρ δή τις τοσοῦτον οἶμαι τοῦ φρονεῖν ὀρθῶς ἐκβήσεται, ὡς τολμῆσαι καὶ μόνον εἰπεῖν τὴν θείαν οὐσίαν δι' ὀργάνων τινῶν ἔξωθεν εἰς τὸ εἶναι παρενεχθέντων διακονεῖσθαι, πρὸς ἐνέργειαν τὴν ἐξ αὐτῆς φυσικῶς διαβαίνουσαν πρός τινας

τῶν ἐπιτηδείων πρὸς τὸ λαβεῖν. ἐπειδὴ δὲ ζωὴ μέν ἐστι κατὰ φύσιν ὁ Θεός· ζωοποιεῖ δὲ τὸ Πνεῦμα τὸ παρ' αὐτοῦ χορηγούμενον, ἀνάγκη λοιπὸν ἐκ τῆς οὐσίας ὑπάρχειν ὁμολογεῖν αὐτὸ τῆς τοῦ Θεοῦ· πᾶσαν αὐτοῦ τήν τε δύναμιν καὶ τὴν ἐνέργειαν ἔχον. ὥσπερ ἂν εἰ ἐξ ὕδατος ἀτμὶς ἀναβαίνοι, καὶ δι' ὧν ἐνεργεῖ τοὺς παρ' οἷς ἂν γένοιτο ψύχουσα, τοῦ ἐκπέμποντος αὐτὴν τὴν φύσιν σημαίνοι.

Τοῦ αὐτοῦ. Εἰ δὲ ζωοποιεῖν τὸ Πνεῦμα τὸ Ἅγιον φήσουσιν, ὡς διακονοῦν τοῖς κτίσμασι τὴν παρὰ Θεοῦ ζωήν, οὐ μὴν αὐτόχρημα ζωήν, ἀκουέτωσαν τοῦ μακαρίου λέγοντος Παύλου, "εἰ δὲ "τὸ Πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ "ἐγείρας Χριστὸν Ἰησοῦν ἐκ νεκρῶν, ζωοποιήσει καὶ τὰ θνητὰ "ὑμῶν σώματα διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ Πνεύματος ἐν ὑμῖν." τὸ ζωῆς οὖν Πνεῦμα τῆς κατὰ φύσιν, εἴη δήπου πάντως ἂν παρ' αὐτὴν οὐχ ἕτερον. κατά γε τὸ ἀμωμήτως ἔχον εἰς ὀρθότητα λογισμῶν. εἴη γὰρ ἂν ὅπως οὐ ζωή, τὸ ῥίζαν ἔχον τὴν ζωήν; καὶ πηγὴν ὥσπέρ τινα τὴν ἀκήρατον καὶ παντὸς ἐπέκεινα γενητοῦ, Θεοῦ φύσιν;

Βασιλείου. Μίαν γὰρ ἐν τοῖς τρισὶν ὁρῶμεν ἐνέργειαν Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος. ὡς οὐκ ὄντος κτιστοῦ καὶ ποιητοῦ τὴν φύσιν, οὔτε τοῦ Υἱοῦ οὔτε τοῦ Πνεύματος. ὅτι μὴ τῆς ἑαυτοῦ κτίσεως ὁ Θεὸς ἐπιδεῖται πρὸς τὸ τὴν ἰδίαν ἐνέργειαν ἀποδιδόναι. ζωογονεῖ μὲν γὰρ ὁ Πατήρ, ὥς φησιν ὁ Παῦλος, "παραγ"γέλλω σοι ἐνώπιον τοῦ Θεοῦ, τοῦ ζωοποιοῦντος τὰ πάντα." ζωὴν δὲ δίδωσιν ὁ Χριστὸς ὁ λέγων, "τὰ πρόβατα τὰ ἐμὰ τῆς ἐμῆς "φωνῆς ἀκούει. καγὼ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς." ζωοποιούμεθα δὲ διὰ τοῦ Πνεύματος, ὥς φησι Παῦλος, "ὁ ἐγείρας Ἰησοῦν ἐκ "νεκρῶν, ζωοποιήσει καὶ τὰ θνητὰ ὑμῶν σώματα διὰ τοῦ ἐνοι"κοῦντος αὐτοῦ Πνεύματος ἐν ὑμῖν." ὥστε δῆλον, ὅτι οὐδέν ἐστι τὸ διάφορον ἐν τούτοις, ἀλλ' ἐν ἅπασι τὸ ὁμοφυές.

12 Ἄρα οὖν, ἀδελφοί, ὀφειλέται ἐσμὲν οὐ τῇ σαρκί, τοῦ
13 κατὰ σάρκα ζῆν. εἰ γὰρ κατὰ σάρκα ζῆτε, μέλλετε
ἀποθνήσκειν· εἰ δὲ πνεύματι τὰς πράξεις τοῦ σώματος
θανατοῦσθε, ζήσεσθε.

Χρυσοστόμου. Δείξας ὅσον τὸ ἔπαλθον τοῦ πνευματικοῦ βίου· καὶ ὅτι Χριστὸν ἔνοικον ποιεῖ· καὶ ὅτι ζωοποιεῖ τὰ θνητὰ σώματα, καὶ πρὸς τὸν οὐρανὸν πτεροῖ· καὶ τὴν ὁδὸν τῆς ἀρετῆς εὐκολωτέραν ἐργάζεται, ἀναγκαίως ἐπάγει λοιπὸν τὴν παραίνεσιν· λέγων, "οὐκοῦν οὐκ ὀφείλομεν ζῇν κατὰ σάρκα." ἀλλ' οὕτω μὲν οὐκ εἶπε· πληκτικώτερον δὲ πολλῷ καὶ δυνατώτερον. εἰπών· "ὀφειλέται "ἐσμὲν τῷ Πνεύματι." τῷ γὰρ εἰπεῖν, "ὅτι οὐκ ἐσμὲν ὀφειλέται "τῇ σαρκὶ," τοῦτο ἐδήλωσε. καὶ πανταχοῦ τοῦτο κατασκευάζει· δεικνὺς ὅτι τὰ μὲν παρὰ τοῦ Θεοῦ εἰς ἡμᾶς γεγενημένα, οὐκ ὀφειλῆς ἦν, ἀλλὰ γυμνῆς χάριτος. τὰ δὲ παρ' ἡμῶν μετὰ ταῦτα γινόμενα, οὐκέτι φιλοτιμίας, ἀλλ' ὀφειλῆς. καὶ γὰρ ὅταν λέγῃ. "τιμῆς ἠγοράσθητε· μὴ γίνεσθε δοῦλοι ἀνθρώπων," τοῦτο αἰνίττεται. καὶ ὅταν γράφῃ, "οὐκ ἐστὲ ἑαυτῶν," τὸ αὐτὸ τοῦτο δηλοῖ[f]. τοῦτο δὴ καὶ ἐνταῦθα κατασκευάζων φησὶν, "ὀφειλέται ἐσμέν." εἶτα ἐπειδὴ ἔλεγεν, "ὅτι οὐκ ἐσμὲν ὀφειλέται τῇ σαρκὶ," ἵνα μὴ τὰ λεγόμενα πάλιν εἰς τὴν τῆς σαρκὸς λάβῃς φύσιν, ἐπήγαγε, "τοῦ κατὰ σάρκα ζῇν." καὶ γὰρ πολλὰ αὐτῇ ὀφείλομεν. τὸ τρέφειν αὐτὴν, τὸ θάλπειν, τὸ ἀναπαύειν, τὸ θεραπεύειν νοσοῦσαν, τὸ περιβάλλειν, καὶ μυρία ἕτερα λειτουργεῖν. ἵνα οὖν μὴ νομίσῃς ὅτι ταύτην ἀναιρεῖ τὴν διακονίαν, εἰπὼν, "ὀφειλέται οὐκ ἐσμὲν "τῇ σαρκὶ," ἐπήγαγε λέγων, "τοῦ κατὰ σάρκα ζῇν." ἐκείνην γὰρ ἀναιρεῖ[g] τὴν σπουδὴν φησὶ, τὴν ἐπὶ ἁμαρτίαν ἄγουσαν· ὥς τά γε θεραπεύοντα αὐτὴν βούλομαι γίνεσθαι[h]. ὀφείλομεν γὰρ αὐτῇ τοῦτο· μὴ μέντοι κατὰ σάρκα ζῶμεν. τουτέστι, μὴ ποιῶμεν αὐτὴν κυρίαν τῆς ζωῆς τῆς ἡμετέρας. ἕπεσθαι γὰρ αὐτὴν ἀναγκαῖον, οὐχ ἡγεῖσθαι[i]. καὶ κατασκευάσας ὅτι ὀφειλέται ἐσμὲν τῷ πνεύματι· εἶτα δεικνὺς, τίνων ὀφειλέται εὐεργεσιῶν, οὐ τὰ παρελθόντα λέγει[k] ἀλλὰ τὰ μέλλοντα· οὐ γὰρ οὕτως ἡ δοθεῖσα ἅπαξ εὐεργεσία ὡς ἡ προσδοκωμένη καὶ μέλλουσα ἐπάγεσθαι τοὺς πολλοὺς εἴωθε. καὶ τοῦτο προθέμενος, πρότερον ἀπὸ τῶν φοβερῶν λυπεῖ, καὶ τῶν κακῶν τῶν γινομένων ἐκ τοῦ κατὰ σάρκα

[f] I. m. a m. rec. desunt quædam. [g] Cod. ἀναιρεῖ (ῶ superscr.). I. marg. a m. rec. ἑρμηνεύει αὐτό. [h] I. m. a m. rec. desunt quædam. [i] I. m. a m. rec. desunt quædam. [k] I. m. a m. rec. desunt quædam.

ζῆν. οὕτω λέγων, "εἰ γὰρ κατὰ σάρκα ζῆτε, μέλλετε ἀποθνή-" σκειν·" τὸν θάνατον ἡμῖν αἰνιττόμενος τὸν ἀθάνατον ἐκεῖνον, τὴν ἐν τῇ γεέννῃ κόλασιν. μᾶλλον δὲ, εἴ τις ἀκριβῶς ἐξετάσειε τοῦτο, καὶ ἐν τῇ ζωῇ ταύτῃ τέθνηκεν ὁ τοιοῦτος[l]. "εἰ δὲ πνεύματι τὰς "πράξεις τοῦ σώματος θανατοῦτε, ζήσεσθε." ὁρᾷς ὅτι οὐ περὶ φύσεως διαλέγεται σώματος, ἀλλὰ περὶ πράξεων σαρκικῶν; οὐ γὰρ εἶπεν, εἰ δὲ πνεύματι τὴν φύσιν τοῦ σώματος θανατοῦτε, ἀλλὰ τὰς πράξεις τὰς πονηράς. καὶ τοῦτο δῆλον ἐκ τῶν ἑξῆς. εἰ γὰρ τοῦτο ποιήσετε, "ζήσεσθε," φησί. καὶ πῶς ἔνι τοῦτο γενέσθαι, εἰ περὶ πασῶν ἦν ὁ λόγος αὐτῷ; καὶ γὰρ τὸ ὁρᾶν καὶ τὸ ἀκούειν, καὶ τὸ φθέγγεσθαι, καὶ τὸ βαδίζειν, τοῦ σώματος πράξεις εἰσί. καὶ μέλλοιμεν αὐτὰς θανατοῦν; τοσοῦτον ἀφέξομεν[m] τοῦ ζῆν, ὅτι καὶ ἀνδροφονίας δώσομεν δίκην; ποίας οὖν φησιν πράξεις θανατοῦν; τὰς ἐπὶ πονηρίαν κινουμένας. ἃς οὐδὲ ἄλλως ἐστὶ θανατῶσαι, ἢ διὰ Πνεύματος[n]. ἂν γὰρ τοῦτο παρῇ, τὰ πάθη κατέπτηχεν. εἶδες πῶς ἀπὸ τῶν μελλόντων, ὅπερ ἔμπροσθεν εἶπον, προτρέπει, καὶ δείκνυσιν ὀφειλέτας οὐκ ἀπὸ τῶν ἤδη γεγεννημένων μόνον· οὐ γὰρ τοῦτο μόνον ἐστὶ, φησὶν, τὸ κατόρθωμα τοῦ Πνεύματος, ὅτι τῶν παρελθόντων ἡμᾶς ἀφῆκεν ἁμαρτημάτων· ἀλλ' ὅτι καὶ πρὸς τὰ μέλλοντα ἀχειρώτους ἡμᾶς κατασκευάζει, καὶ ζωῆς ἀξιοῖ τῆς ἀθανάτου.

Θεοδωρήτου. Τοῦτο ὑπὲρ τὸν νόμον ἡ χάρις ἔχει. ὅτι ὁ μὲν, τὸ δέον ἐδίδαξεν· ἡ δὲ, καὶ τοῦ Πνεύματος ἔχει συνεργοῦσαν τὴν χάριν. σὺν ἀκριβείᾳ οὖν πολλῇ τὴν θείαν διδασκαλίαν προήνεγκεν ὁ θεῖος Ἀπόστολος· Μαρκίωνος, καὶ Βαλεντίνου, καὶ Μάνεντος τὴν βλασφημίαν ὁρῶν. οὐ γὰρ εἶπε τὸ σῶμα θανατώσατε, ἀλλὰ "τὰς "πράξεις τοῦ σώματος." τουτέστι, τὸ φρόνημα τῆς σαρκός· τὰ τῶν παθημάτων σκιρτήματα. ἔχετε γὰρ συνεργοῦσαν τὴν τοῦ Πνεύματος χάριν· καρπὸς δὲ τῆς νίκης ζωή.

14 Ὅσοι γὰρ Πνεύματι Θεοῦ ἄγονται, οὗτοι εἰσὶν υἱοὶ Θεοῦ.

Χρυσοστόμου. Καὶ ἕτερον τίθησι μισθὸν τῆς ἐν Πνεύματι

[l] I. m. a m rec. desunt quædam.

[m] Cod. ἀφέξομαι. (εν written above)

[n] I. m. a m. rec. desunt quædam.

ζωῆς, ὅστις πολλῷ τοῦ προτέρου μείζων. διὸ οὐδὲ ἁπλῶς εἶπεν, ὅσοι γὰρ πνεύματι Θεοῦ ζῶσιν· ἀλλ' "ὅσοι Θεοῦ Πνεύματι "ἄγονται." δεικνὺς ὅτι οὕτως αὐτὸ βούλεται κύριον εἶναι τῆς ἡμετέρας ζωῆς, ὡς τὸν κυβερνήτην τοῦ πλοίου, καὶ τὸν ἡνίοχον τοῦ ζεύγους τῶν ἵππων. καὶ οὐχὶ τὸ σῶμα μόνον, ἀλλὰ καὶ αὐτὴν τὴν ψυχὴν ὑποβάλλει ταῖς τοιαύταις ἡνίαις. οὐ δὲ γὰρ ἐκείνην βούλεται αὐθεντεῖν, ἀλλὰ καὶ ἐκείνης τὴν ἐξουσίαν ὑπὸ τῇ τοῦ Πνεύματος ἔθηκε δυνάμει. ἵνα γὰρ μὴ τῇ δωρεᾷ τοῦ Θεοῦ θαρρήσαντες, τῆς μετὰ ταῦτα ἀμελήσωσι πολιτείας, φησὶν, ὅτι κἂν βάπτισμα λάβῃς, μὴ μέλλῃς δὲ Πνεύματι ἄγεσθαι, ἀπώλεσας τὴν δεδομένην σοι ἀξίαν, καὶ τῆς υἱοθεσίας τὴν προεδρίαν. διὰ τοῦτο οὐκ εἶπεν, ὅσοι Πνεῦμα ἔλαβον, ἀλλ' "ὅσοι Πνεύματι "ἄγονται." τουτέστιν, ὅσοι παρὰ πάντα τὸν βίον οὕτω πολιτεύονται, οὗτοι εἰσὶν υἱοὶ Θεοῦ.

ΘΕΟΔΩΡΉΤΟΥ. Ἐνταῦθα δὲ, καὶ τοὺς Ἰουδαίους νύττει, διδάσκων μὴ μεγαφρονεῖν. ἐπειδήπερ κἀκεῖνοι, υἱοὶ προσηγορεύθησαν. ἔρημοι γάρ εἰσι τῆς τιμῆς· τῆς τοῦ Παναγίου Πνεύματος ἄμοιροι τυγχάνοντες χάριτος.

ΚΥΡΊΛΛΟΥ. Οἱ δὲ Πνεύματι ζῶντες, οὗτοι καὶ Πνεύματι ἄγονται. διὰ τὸ κατεσφραγίσθαι τῷ Ἁγίῳ Πνεύματι· καὶ δουλείας μὲν ἀπηλλάχθαι τῆς ἐν νόμῳ καὶ γράμματι, μεταφοιτῆσαι δὲ μᾶλλον εἰς ἐλευθερίαν, καὶ μαρτυρεῖσθαι τῷ τῆς υἱοθεσίας Πνεύματι. ὅτι δὲ εἰσὶν υἱοὶ Θεοῦ, καὶ ἐν αὐτῷ τῷ τῆς υἱοθεσίας Πνεύματι διακεκράγασιν "ἀββᾶ ὁ Πατήρ."

15 Οὐ δὲ γὰρ ἐλάβετε πνεῦμα δουλείας, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν ἀββᾶ ὁ πατήρ.

ΧΡΥΣΟΣΤΌΜΟΥ. Ἐπειδὴ τὸ τῆς υἱότητος ἀξίωμα καὶ τοῖς Ἰουδαίοις ἦν δεδομένον, "ἐγὼ γάρ," φησι, "εἶπον Θεοὶ ἐστὲ, καὶ "υἱοὶ ὑψίστου πάντες." καὶ πάλιν· "υἱοὺς ἐγέννησα καὶ ὕψωσα." καὶ, "πρωτότοκός μου Ἰσραήλ." καὶ ὁ Παῦλος δέ φησιν, "ὧν "ἡ υἱοθεσία," κατασκευάζει λοιπὸν ὅσον τὸ μέσον ἐκείνης καὶ ταύτης τῆς τιμῆς. εἰ γὰρ καὶ τὰ ὀνόματα τὰ αὐτά φησιν, ἀλλ' οὐ τὰ πράγματα τὰ αὐτά. καὶ σαφῆ παρέχεται τούτων ἀπόδειξιν, καὶ ἀπὸ τῶν κατορθούντων καὶ ἀπὸ τῶν δεδομένων, καὶ ἀπὸ

τῶν μελλόντων ἔσεσθαι τὴν σύγκρισιν εἰσάγων. καὶ πρότερον δείκνυσι, τίνα ἦν τὰ ἐκείνοις δεδομένα. τίνα οὖν ταῦτα ἦν; πνεῦμα δουλείας. εἶτα ἀφεὶς εἰπεῖν τὸ ἀντιδιαστελλόμενον τῇ δουλείᾳ, τουτέστι πνεῦμα ἐλευθερίας, τὸ πολλῷ μεῖζον τέθεικε, τὸ τῆς υἱοθεσίας· δι' οὗ, κακεῖνο συνεισήγετο εἰπὼν, "ἀλλ' ἐλάβετε "Πνεῦμα υἱοθεσίας." ἀλλὰ τοῦτο μὲν δῆλον. τὸ δὲ πνεῦμα τῆς δουλείας τί ποτέ ἐστιν, ἄδηλον. οὐκ ἀσαφὲς δὲ μόνον ἀλλὰ καὶ σφόδρα ἄπορον τὸ εἰρημένον. πνεῦμα γὰρ οὐκ ἔλαβεν ὁ τῶν Ἰουδαίων δῆμος. τί οὖν ἐνταῦθα φησίν; τὰ γράμματα οὕτως ἐκάλεσεν, ἐπειδὴ πνευματικὰ ἦν. ὥσπερ οὖν καὶ τὸν νόμον πνευματικὸν καλεῖ. καὶ τὸ ὕδωρ τὸ ἀπὸ τῆς πέτρας, καὶ τὸ μάννα· "πάντες "γάρ," φησι, "τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον. καὶ πάντες "τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον." καὶ τὴν πέτραν δὲ οὕτως ὀνομάζει λέγων, "ἔπινον δὲ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας." ἐπειδὴ γὰρ ὑπὲρ φύσιν πάντα ἦν τὰ τελούμενα, πνευματικὰ αὐτὰ ἐκάλεσεν. οὐκ ἐπειδὴ πνεῦμα ἔλαβον οἱ μετέχοντες αὐτῶν τότε.

Καὶ πῶς τὰ γράμματα ἐκεῖνα, δουλείας ἦν γράμματα; παράγαγε πᾶσαν τὴν πολιτείαν, καὶ τότε εἴσῃ καὶ τοῦτο σαφῶς. καὶ γὰρ αἱ τιμωρίαι παρὰ πόδας αὐτοῖς, καὶ ὁ μισθὸς εὐθέως εἵπετο. σύμμετρός τε ὢν, καὶ ὥσπερ σιτηρέσιόν τι καθημερινὸν διδόμενον οἰκέταις. καὶ πολὺς πανταχόθεν ὁ φόβος, πρὸ τῆς ὄψεως ἀκμάζων· καὶ περὶ τὰ σώματα οἱ καθαρμοί· καὶ μέχρι τῶν πράξεων ἡ ἐγκράτεια. παρὰ δὲ ἡμῖν, οὐχ οὕτως. ἀλλὰ καὶ λογισμὸς καὶ συνειδὸς ἐκκαθαίρεται. οὐ γὰρ λέγει, μὴ φονεύσῃς μόνον, ἀλλὰ μὴ δὲ ὀργισθῇς. ἵνα μηκέτι τῷ φόβῳ τῆς κολάσεως τῆς παρούσης, ἀλλὰ τῷ πόθῳ τῷ πρὸς αὐτὸν, τῷ τε ἐν ἕξει τῆς ἀρετῆς εἶναι, καὶ τὰ ἄλλα κατορθούμενα ᾖ. οὐδὲ ἐπαγγέλλεται "γῆν "ῥέουσαν γάλα καὶ μέλι," ἀλλὰ τῷ μονογενεῖ συγκληρονόμον ποιεῖ. τῶν παρόντων διὰ πάντων ἀφιστὰς, καὶ ἐκεῖνα ἐπαγγελλόμενος διδόναι, ἃ τοῖς γενομένοις υἱοῖς τοῦ Θεοῦ πρέπει λαμβάνειν. αἰσθητὸν μὲν οὐδὲν οὐδὲ σωματικὸν, πνευματικὰ δὲ ἅπαντα. ὥστε ἐκεῖνοι μὲν, εἰ καὶ υἱοὶ ἐκαλοῦντο, ἀλλὰ ὡς δοῦλοι. ἡμεῖς δὲ ὡς ἐλεύθεροι γενόμενοι, τὴν υἱοθεσίαν ἐλάβομεν, καὶ τὸν οὐρανὸν ἀναμένομεν. κἀκείνοις μὲν, δι' ἑτέρων διελέγετο· ἡμῖν δὲ δι' ἑαυτοῦ. κἀκεῖνοι μὲν φόβῳ τιμωρίας πάντα ἔπραττον οἱ δὲ πνευματικοὶ,

ἐπιθυμίᾳ καὶ πόθῳ. καὶ τοῦτο δηλοῖ, τῷ ὑπερβαίνειν τὰ ἐπιτάγματα ἐκεῖνοι, ὡς μισθωτοὶ καὶ ἀγνώμονες. οὐδέ ποτε γοῦν διέλειπον γογγύζοντες. οὗτοι δὲ, εἰς ἀρέσκειαν τοῦ Πατρός. καὶ οἱ μὲν, εὐεργετούμενοι ἐβλασφήμουν. ἡμεῖς δὲ κινδυνεύοντες, εὐχαριστοῦμεν, κἂν κολασθῆναι δὲ ἁμαρτάνοντας δέῃ. καὶ ἐνταῦθα πολλὴ ἡ διαφορά. οὐ γὰρ ὡς ἐκεῖνοι καταλευόμενοι καὶ καιόμενοι καὶ ἀκρωτηριαζόμενοι παρὰ τῶν ἱερέων, οὕτω καὶ ἡμεῖς ἀποστρεφόμεθα· ἀλλ' ἀρκεῖ τραπέζης ἐκβληθῆναι πατρικῆς, καὶ ἀπ' ὄψεως ῥητὰς γενέσθαι ἡμέρας. καὶ ἐπὶ μὲν τῶν Ἰουδαίων ῥήματος ἦν τιμὴ ἡ υἱοθεσία· ἐνταῦθα δὲ, καὶ πρᾶγμα ἠκολούθησεν· ὁ διὰ βαπτίσματος καθαρμός· ἡ τοῦ πνεύματος δόσις· ἡ τῶν ἄλλων ἀγαθῶν χορηγία.

Οἰκουμενίου. Τάχα δὲ, εἰ καὶ οἱ Ἰουδαῖοι θεοὶ ἐκαλοῦντο καὶ υἱοὶ Θεοῦ, ὥσπερ τὰ παρ' αὐτοῖς πάντα, τύπος ἦν τῶν ἡμετέρων, οὕτω καὶ ἡ υἱοθεσία. οὔτε γὰρ κυρίως ἐκλήθησαν, ἀλλὰ τυπικῶς υἱοί· οὔτε καθολικῶς πνεῦμα ἔλαβον.

Θεοδωρήτου. Πάλιν οὖν τῷ νόμῳ παρεξετάζει τὴν χάριν· καὶ καλεῖ δουλείαν, τὴν ὑπ' ἐκείνῳ πολιτείαν. διδάσκει δὲ ὅμως ὅτι κἀκεῖνον, ἡ τοῦ Πνεύματος ἔγραψε χάρις. πνεῦμα τοίνυν δουλείας, οὐ τὸ Πανάγιον Πνεῦμα καλεῖ, ἀλλὰ τὴν τοῦ νόμου θέσιν. καὶ αὐτὴν διὰ τοῦ Πνεύματος δεδομένην. εἰ δὲ τὸ Πανάγιον Πνεῦμα δουλείας πνεῦμα καλεῖ, εἰδέναι προσήκει, ὅτι τὸ μὲν Πανάγιον Πνεῦμα ἕν· διάφορα δὲ καὶ ποικίλα τὰ τούτου χαρίσματα.

Σευηριανοῦ. Τὸν δὴ νόμον πνεῦμα δουλείας εἶπε· καὶ δούλους, τοὺς ὑπὸ νόμον. τὸ γὰρ ἐπιτάττεσθαι ὑπὸ τοῦ νόμου, καὶ τῆς ἐπιταγῆς ἀμελήσαντα τὴν ἀπειληθεῖσαν τιμωρίαν φοβεῖσθαι, δουλείας σημεῖον ἐστί. τὸ δὲ ἐπιτραπῆναι πατέρα τὸν Θεὸν καλεῖν, διὰ τὴν τοῦ βίου καθαρότητα, υἱοθεσίας ἐλπίδα ἐπαγγέλλεται. εἴτε δουλείας ἐδόθη πνεῦμα, εἴτε υἱοθεσίας, τὸ αὐτὸ πνεῦμα ἐπ' ἀμφοτέρων ἐστί. κατὰ τὸ συμφέρον καὶ ἁρμόζον εἰς ἑκάτερον τὸν λαὸν ἐνεργῆσαν, κατὰ τὴν ἀμφοτέρων ἀξίαν.

Θεοδώρου Μονάχου. Ἢ τάχα τὸ, "οὐκ ἐλάβετε πνεῦμα "δουλείας," οὐχ ὡς ὄντος πνεύματος δουλείας εἶπεν, ἀλλ' ἀντὶ τοῦ, ταῦτα ἐμποιεῖν τὸ πνεῦμα φύσιν οὐκ ἔχει. Πνεύματος ὑμεῖς μετεσχήκατε· οὐχ ἵνα πάλιν ὑπὸ δουλείαν ἦτε, καὶ φόβον, κατὰ

τοὺς ἐν νόμῳ. ταῦτα γὰρ ἐνεῖναι τοῖς παντελῆ τοῦ Πνεύματος δεξαμένοις τὴν χάριν, οὐχ οἷόν τε. ἐλάβετε δὲ Πνεῦμα υἱοὺς ἐργαζόμενον.

Χρυσοστόμου. Καὶ ἑτέραν δὲ ποιεῖται ἀπόδειξιν, τοῦ πνεῦμα υἱοθεσίας ἔχειν. ποῖον δὴ τοῦτο; ὅτι "κράζομεν ἀββᾶ ὁ πατήρ." τοῦτο δὲ ἡλίκον ἐστὶν, ἴσασιν οἱ μύσται καλῶς, ἐπὶ τῆς εὐχῆς τῆς μυστικῆς τοῦτο πρῶτον κελευόμενοι λέγειν τὸ ῥῆμα. τί οὖν φησί; οὐκ ἐκάλουν καὶ ἐκεῖνοι πατέρα τὸν Θεόν; οὐκ ἀκούεις Μώσεως λέγοντος, "Θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες;" καὶ τοῦ Μαλαχίου ὀνειδίζοντος καὶ λέγοντος, "ὅτι Θεὸς εἷς ἔκτισεν "ἡμᾶς." καὶ "πατὴρ εἷς πάντων ὑμῶν;" ἀλλ' εἰ καὶ ταῦτα, καὶ πλείονα τούτων εἴρηται, οὐδαμοῦ τοῦτο εὑρίσκομεν αὐτοὺς καλοῦντας τὸ ῥῆμα τὸν Θεὸν, οὐδὲ εὐχομένους οὕτω. ἡμεῖς δὲ ἅπαντες, οὕτως εὔχεσθαι ἐκελεύσθημεν[n]. ἄλλως δὲ, εἰ καὶ ἐκάλεσάν ποτε ἐκεῖνοι, ἀλλ' ἐξ οἰκείας διανοίας. οἱ δὲ ἐν τῇ χάριτι, ἀπὸ πνευματικῆς ἐνεργείας κινούμενοι. ὥσπερ γὰρ πνεῦμα σοφίας ἐστὶ, καθὸ σοφοὶ οἱ ἄσοφοι ἐγίνοντο· καὶ δηλοῦται τοῦτο ἀπὸ τῆς διδασκαλίας· καὶ πνεῦμα δυνάμεως, καθὸ οἱ ἀσθενεῖς νεκροὺς ἤγειραν[o]· οὕτω καὶ πνεῦμα υἱοθεσίας. καὶ ὥσπερ ἴσμεν τὸ πνεῦμα τῆς προφητείας, ἀφ' ὧν ὁ ἔχων αὐτὸ προλέγει τὰ μέλλοντα· οὐκ οἰκείᾳ φθεγγόμενος διανοίᾳ, ἀλλ' ὑπὸ τῆς χάριτος κινούμενος· οὕτω δὴ καὶ πνεῦμα υἱοθεσίας· ἀφ' οὗ ὁ λαβὼν, πατέρα καλεῖ τὸν Θεόν· ὑπὸ τοῦ πνεύματος κινούμενος. ὃ δὴ βουλόμενος δεῖξαι γνησιότητος ὂν, καὶ τῇ τῶν Ἑβραίων ἐχρήσατο γλώσσῃ. οὐ γὰρ εἶπε μόνον ὁ πατὴρ, ἀλλὰ "ἀββᾶ ὁ πατήρ." ὅπερ τῶν παίδων μάλιστά ἐστι τῶν γνησίων πρὸς πατέρας ῥῆμα.

Θεοδωρήτου. Ἢ καὶ ἐπειδὴ τῶν νηπίων ἴδιόν ἐστι, τὸ, ἀββᾶ καλεῖν τοὺς πατέρας· νήπιοι δὲ κατὰ τὸν παρόντα βίον ἦσαν, οἱ διὰ τοῦ βαπτίσματος ἠξιωμένοι τῆς υἱότητος· τὴν τελείαν καὶ ἀληθῆ ἐπὶ τοῦ μέλλοντος προσδοκῶντες αἰῶνος. τὸ οὖν ἀββᾶ ὁ πατὴρ τέθεικε· τὸ μὲν, εἰς μήνυσιν τῆς προσδοκωμένης τελειότητος· τὸ δὲ, σύμβολον τῆς παρούσης καταστάσεως· ἐν ᾗ νηπίων δίκην οὐχ ὁλοτελῆ τῶν ἀγαθῶν τὴν μετουσίαν ἐκομίσαντο.

Κυρίλλου. Οὐκοῦν εἰ τὸ Πνεῦμα τὸ Ἅγιον υἱοὺς ἀποδεικνύει

[n] I. m. a m. rec. desunt quædam. [o] Desunt quædam.

Θεοῦ τοὺς ἐν οἷς κατοικεῖ, καὶ θείας ἐργάζεται φύσεως κοινωνούς· ὡς ἐντεῦθεν ἡμᾶς ἡνωμένους τῷ ὑπὲρ πάντας ὄντι Θεῷ, μετὰ παρρησίας ἀναβοᾶν, ἀββᾶ ὁ πατὴρ, οὐκ ἐν δούλοις οὐδὲ ἐν τοῖς ποιήμασι τετάξεται· φορέσει δὲ μᾶλλον φυσικῶς τὸ τῆς θείας οὐσίας ἀξίωμα· ἐξ αὐτῆς τε ὑπάρχον καὶ παρ' αὐτῆς τοῖς ἁγίοις δι' Υἱοῦ χορηγούμενον. διά τοι τοῦτο θεοποιοῦν, καὶ εἰς υἱότητα καλοῦν τοὺς ἐν οἷς ἂν γένοιτο.

16 Αὐτὸ τὸ πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, ὅτι
17 ἐσμὲν τέκνα Θεοῦ. εἰ δὲ τέκνα, καὶ κληρονόμοι. κληρο-
νόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ· εἴπερ συμ-
πάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν.

Χρυσοστόμου. Εἰπὼν τὴν ἀπὸ τῆς πολιτείας διαφορὰν, καὶ τὴν ἀπὸ τῆς χάριτος τῆς δεδομένης ἐλευθερίαν, ἐπάγει καὶ ἑτέραν ἀπόδειξιν τῆς ὑπεροχῆς τῆς κατὰ τὴν υἱοθεσίαν ταύτην. "αὐτὸ τὸ "Πνεῦμα," λέγων, ὅτι "τῷ πνεύματι ἡμῶν μαρτυρεῖ, ὅτι ἐσμὲν "τέκνα Θεοῦ." οὐκ ἀπὸ τῆς φωνῆς ἰσχυρίζομαι μόνον φησὶν, ἀλλὰ καὶ ἀπὸ τῆς αἰτίας, ἀφ' ἧς ἡ φωνὴ τίκτεται. τοῦ γὰρ πνεύματος ὑπαγορεύοντος ταῦτα λέγομεν. ὅπερ ἀλλαχοῦ σαφέστερον δηλῶν ἔλεγεν, "ὅτι ἐξαπέστειλε ὁ Θεὸς τὸ Πνεῦμα αὐτοῦ εἰς τὰς καρ"δίας ἡμῶν, κράζον ἀββᾶ ὁ πατήρ." τί δέ ἐστι τὸ πνεῦμα τῷ πνεύματι μαρτυρεῖ; ὁ παράκλητος φησὶν τῷ χαρίσματι τῷ δεδομένῳ ἡμῖν. οὐ γὰρ τοῦ χαρίσματος ἐστὶ μόνον ἡ φωνὴ, ἀλλὰ καὶ τοῦ δόντος τὴν δωρεὰν παρακλήτου. αὐτὸς γὰρ ἡμᾶς οὕτως ἐδίδαξε διὰ τοῦ χαρίσματος φθέγγεσθαι. ὅταν δὲ τὸ Πνεῦμα μαρτυρῇ, ποία λοιπὸν ἀμφισβήτησις; εἰ μὲν γὰρ ἄνθρωπος ἢ ἄγγελος ἢ ἄλλη τίς τοιαύτη δύναμις τοῦτο ὑπισχνεῖτο, ἀμφιβάλλειν εἰκὸς ἦν τινάς. τῆς δὲ ἀνωτάτω οὐσίας τῆς καὶ δωρησαμένης τοῦτο, δι' ὧν ἐκέλευσεν εὔχεσθαι, μαρτυρούσης ἡμῖν, τίς ἂν λοιπὸν ἀμφισβητήσειε περὶ τῆς ἀξίας;

Γενναδίου. "Αὐτὸ μὲν γὰρ τὸ Πνεῦμα." τὴν τοῦ Ἁγίου Πνεύματος ὑπόστασιν λέγει. πνεῦμα δὲ ἡμῶν τὴν ἀπ' ἐκείνου δεδομένην χάριν ἡμῖν, ἣν εἴωθεν ἰδίαν τῶν λαβόντων καλεῖν. ὡς ἐν τῷ, "συνελθόντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος." καὶ, "ὁλόκληρον

" ὑμῶν τὸ πνεῦμα." καὶ " ἡ ψυχὴ καὶ τὸ σῶμα τηρηθείη." ὥσπερ γὰρ ἥλιος μέν ἐστιν αὐτὸ τὸ σῶμα τοῦ ἡλίου· λέγεται δὲ καὶ ἡ ἐξ αὐτοῦ ἀκτὶς ὁμωνύμως τῷ ὅλῳ. φαμὲν δὲ τῶν τόπων, τοὺς μὲν, ἔχειν ἥλιον, τοὺς δὲ, ἀνηλίους ὑπάρχειν· οὐχ ὡς τῆς ὑποστάσεως τοῦ ἡλίου ἐξισταμένης, ἀλλὰ διὰ τὸ, τὸ ἐξ αὐτοῦ ἀπαύγασμα, τῷ μὲν, τῶν χωρίων προσβάλλειν· τοῦ δὲ, προβόλοις τισὶν ἀποκλείεσθαι· οὕτω καὶ τὴν τοῦ Ἁγίου Πνεύματος χάριν ὁμωνύμως τοῦ ἐξ οὗπέρ ἐστιν ἡ θεία λέγει γραφή.

Θεοδωρήτου. Φησὶν τοίνυν ὁ Παῦλος ὅτι πνευματικῇ διδασκαλίᾳ πειθόμενοι προφέρομεν τὴν εὐχήν. οὐ κατηγορούμεθα δὲ τοῦτο ποιοῦντες, ἐπειδὴ κατὰ νόμον θεῖον ἐπιτελοῦμεν.

Βασιλείου. Πῶς οὖν τὸ πνεῦμα συμμαρτυρήσει τῷ πνεύματί σου κατὰ τὸν Ἀπόστολον, ὅτι υἱὸς εἶ Θεοῦ, εἴπερ αὐτὸ τῆς Υἱοῦ δόξης ἀλλότριον; πῶς ἐν σοὶ βοήσεται ἀββᾶ ὁ πατὴρ, εἰ μὴ μετάδοσίς ἐστιν ὄντως ἐξ Υἱοῦ, οὐ κτῆμα αὐτοῦ παρ' αὐτοῦ πεμπόμενον, ὥσπερ τὸ πνεῦμα τὸ ἀνθρώπινον, ἢ τὸ πνεῦμα τὸ ἀνεμιαῖον, ἅπερ εἰώθασι λέγειν οἱ τὸ Πνεῦμα χωρίζοντες ἀπὸ τῆς θεότητος· ἀλλὰ Θεοῦ καὶ Υἱοῦ Πνεῦμα ἴδιον, ἐν τῇ θείᾳ δόξῃ τυγχάνον καὶ γνωριζόμενον; οὐ γὰρ τὸ σὸν πνεῦμα Χριστός· οὐδὲ τὸ πνεῦμα τοῦ ἀνέμου Κύριος· οὐδὲ τὸ πνεῦμα τὸ ἀκάθαρτον. ἐπεὶ καὶ τοῦτο ἐτόλμησαν παραγαγεῖν τινές. τὸ δὲ Πνεῦμα τὸ Ἅγιον Χριστοῦ, καὶ Κύριος ὀνομάζεται· λέγοντος τοῦ Ἀποστόλου καθὰ πρὸ ὀλίγου εἰρήκαμεν, " εἰ δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν " αὐτοῦ. εἰ δὲ Χριστὸς ἐν ὑμῖν." καὶ τὰ ἑξῆς. καὶ τὴν τοῦ Πνεύματος ἐνοίκησιν ἀποφαίνοντος Χριστοῦ. λέγοντος δὲ πάλιν, " ὁ δὲ Κύριος τὸ Πνεῦμα ἐστίν. οὗ δὲ τὸ πνεῦμα Κυρίου, ἐλευ" θερία." ὥστε τὸ τοῦ Κυρίου Πνεῦμα, Κύριος. οὐκ ἄρα κτῆμα ἢ κτίσμα Κυρίου.

Εἰ δὲ τέκνα, καὶ κληρονόμοι.

Χρυσοστόμου. Ὁρᾷς πῶς κατὰ μικρὸν αὔξει τὴν δωρεάν; ἐπειδὴ γὰρ ἔνι καὶ τέκνα εἶναι, καὶ μὴ κληρονόμους γενέσθαι. οὐ γὰρ πάντως ἅπαντες κληρονόμοι οἱ παῖδες, ἐπάγει καὶ τοῦτο· ὅτι καὶ κληρονόμοι· οἱ δὲ Ἰουδαῖοι μετὰ τοῦ μὴ τοιαύτην ἔχειν υἱοθεσίαν, καὶ τῆς κληρονομίας ἐξεβλήθησαν. " κακοὺς γάρ," φη-

σιν, "κακῶς ἀπολέσει. καὶ τὸν ἀμπελῶνα ἐκδώσει γεωργοῖς ἑτέ-"ροις." καὶ πρὸ τούτου δὲ ἔλεγεν, "ὅτι πολλοὶ ἀπὸ ἀνατολῶν "καὶ δυσμῶν ἥξουσι, καὶ ἀνακλιθήσονται μετὰ Ἀβραάμ· οἱ δὲ "υἱοὶ τῆς βασιλείας ἐκβληθήσονται." ἀλλ' οὐδὲ ἐνταῦθα ἵσταται, ἀλλὰ καὶ τούτου μεῖζον τίθησι. ποῖον δὴ τοῦτο; ὅτι Θεοῦ κληρονόμοι. διὸ καὶ ἐπήγαγε, "κληρονόμοι μὲν Θεοῦ." καὶ τὸ ἔτι πλέον, ὅτι οὐχ ἁπλῶς κληρονόμοι, ἀλλὰ καὶ "συγκληρονόμοι Χρι-"στοῦ." ὁρᾷς πῶς φιλονεικεῖ ἐγγὺς ἡμᾶς ἀγαγεῖν τοῦ δεσπότου; ἐπειδὴ γὰρ οὐ πάντα τὰ τέκνα κληρονόμοι, δείκνυσιν, ὅτι ἡμεῖς καὶ τέκνα καὶ κληρονόμοι. ἐπεὶ δὲ οὐ πάντες οἱ κληρονόμοι, μεγάλων εἰσὶ κληρονόμοι πραγμάτων, δείκνυσιν ὅτι καὶ τοῦτο ἔχομεν, κληρονομοι ὄντες Θεοῦ. πάλιν, ἐπειδὴ κληρονόμον μὲν εἶναι συμβαίνει Θεοῦ, οὐ πάντως δὲ τῷ μονογενεῖ συγκληρονόμον· δείκνυσιν ἡμᾶς καὶ τοῦτο ἔχοντας. καὶ σκόπει σοφίαν. τὰ γὰρ λυπηρὰ συστείλας, ἡνίκα ἔλεγε τί πείσονται οἱ κατὰ σάρκα ζῶντες· οἷον ὅτι μέλλουσιν ἀποθνήσκειν. ἐπειδὴ τῶν χρηστοτέρων ἥψατο, εἰς εὐρυχωρίαν πολλὴν ἐξάγει τὸν λόγον· ἐμπλατύνων αὐτὸν τῇ τῶν μισθῶν ἀντιδόσει, καὶ ποικίλας καὶ μεγάλας δεικνὺς τὰς δωρεάς. εἰ γὰρ καὶ τὸ τέκνον εἶναι ἄφατος ἦν ἡ χάρις· ἐννόησον ἡλίκον τὸ κληρονόμον. εἰ δὲ τοῦτο μέγα, πολλῷ μᾶλλον καὶ τὸ, συγκληρονόμον.

Θεοδωρήτου. Οὐκ ἤρκεσεν ἡμῖν, φησὶν, ἡ τῆς δουλείας ἀπαλλαγή· οὐδὲ τῆς ἐλευθερίας ἡ χάρις. ἀλλὰ καὶ τῷ τῆς υἱοθεσίας ἐκοσμήθη ἀξιώματι. καὶ οὐ μόνον υἱοὶ προσηγορεύθημεν, ἀλλὰ καὶ Θεοῦ κληρονόμοι. ἐπειδὴ οὐ πᾶς υἱὸς κληρονόμος τοῦ φύσαντος γίνεται. καὶ ἐπειδὴ πολλάκις καὶ οἰκέτης δέχεταί τινα παρὰ τοῦ δεσπότου κλῆρον, οὐ μὴν κοινωνὸς καταλιμπάνεται τοῦ παιδὸς, ἀναγκαίως προστέθεικε, "συγκληρονόμοι δὲ Χριστοῦ." ἵνα τὴν ἄφραστον φιλανθρωπίαν γυμνώσῃ.

Χρυσοστόμου. Εἶτα δεικνὺς, ὅτι οὐ χάριτος ἐστὶ μόνον ἡ δωρεά. καὶ ποιῶν ὁμοῦ καὶ ἀξιόπιστα τὰ εἰρημένα, ἐπήγαγεν. "εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν." εἰ γὰρ ἐν τοῖς λυπηροῖς, φησι, ἐκοινωνήσαμεν αὐτῷ, πολλῷ μᾶλλον ἐν τοῖς χρηστοῖς τοῦτο ἔσται. ὁ γὰρ τοῖς οὐδὲν κατωρθωκόσι τοσαῦτα δωρη-

σάμενος ἀγαθά· ὅταν ἴδῃ καὶ πονήσαντας, καὶ τοσαῦτα παθόντας, πῶς οὐχὶ μᾶλλον ἀμείψεται;

Θεοδωρήτου. Ἅμα δὲ ἐμφαίνει ὡς οὐχ ἅπαντες οἱ τοῦ σωτηρίου βαπτίσματος ἀξιωθέντες, τούτων ἀπολαύουσι τῶν ἀγαθῶν. ἀλλ' οἱ πρὸς τούτῳ καὶ τὴν κοινωνίαν τῶν δεσποτικῶν παθημάτων καταδεχόμενοι. τοῦτο δὲ οὐχ ἁπλῶς προστέθεικεν, ἀλλ' εἰς ψυχαγωγίαν τῶν τὰ πράγματα δεχομένων. παντοδαπὰς γὰρ ἐδέχοντο πειρασμῶν προσβολάς. οὗ δὴ χάριν παραμυθητικοὺς ἐξυφαίνει λόγους. ἀπὸ τῶν μελλόντων ψυχαγωγῶν καὶ φέρειν γενναίως τὰ παρόντα παρακαλῶν.

Γενναδίου. Ἄλλως τε πρὸ ὀλίγου τῆς ἀντεξετάσεως ἁψάμενος τῆς πρὸς τὰ παλαιὰ, καὶ διὰ τῆς παράλληλα θέσεως αὐτῶν τὸ ὑπερέχον γνωρίσας τῆς χάριτος· εἶτα, ἵνα μὴ διὰ τὸ μέγεθος τοῖς παθηταῖς ἀμφιβάλοιτο, πιστωσάμενος αὐτὸ τῇ τοῦ Ἁγίου Πνεύματος μετουσίᾳ, μέτεισιν ἐπὶ παράκλησιν ἀκολούθως, καὶ προτρέπει μηδένα κίνδυνον ὑπὲρ τῶν τοιούτων ἀποδιδράσκειν. σφόδρα χρησίμης αὐτῷ καὶ ἀναγκαίας τῆς περὶ τούτων οὔσης διδασκαλίας. "λογίζομαι γὰρ, ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν "καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς."

Χρυσοστόμου. Δείξας ἀντίδοσιν οὖσαν τὴν κληρονομίαν. ἵνα ἀξιόπιστον ᾖ τὸ λεγόμενον, καὶ μηδεὶς ἀμφιβάλῃ, δείκνυσι πάλιν καὶ χάριτος δύναμιν ἔχον. τὸ μὲν, ἵνα καὶ παρὰ τοῖς ἀμφιβάλλουσι πιστεύηται τὰ λεγόμενα· καὶ οἱ λαμβάνοντες μὴ αἰσχύνωνται, ὡς ἀεὶ δωρεὰν σωζόμενοι. τὸ δὲ, ἵνα μάθῃς ὅτι νικᾷ ταῖς ἀντιδόσεσι τοὺς πόνους ὁ Θεός. καὶ τὸ μὲν, ἐδήλωσεν εἰπὼν, "εἴπερ καὶ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν." τὸ δὲ, ἐπαγαγὼν καὶ προσθεὶς, "ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ "πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ἡμᾶς." ἐν μὲν γὰρ τοῖς προτέροις, τὴν τῶν ἠθῶν διόρθωσιν ἀπῄτει τὸν πνευματικόν· ἐν οἷς ἔλεγεν, "οὐκ ὀφείλετε κατὰ σάρκα ζῆν." οἷον, ἵνα τῶν παθῶν περιγένηται ὁ τοιοῦτος. ἐνταῦθα δὲ, ἐπειδὴ αὐτὸν τῆς δωρεᾶς ἀνέμνησεν ἁπάσης τῆς δοθείσης, τῆς μελλούσης, καὶ ἐπῆρε καὶ ὕψωσε ταῖς ἐλπίσι, καὶ ἐγγὺς ἔστησε τοῦ Χριστοῦ, καὶ συγκληρονόμον ἀπέφηνε τοῦ μονογενοῦς· θαρρῶν ἐξάγει λοιπὸν αὐτὸν

καὶ ἐπὶ τοὺς κινδύνους. οὐδὲ γάρ ἐστιν ἴσον τῶν ἐν ἡμῖν παθῶν περιγενέσθαι, καὶ τοὺς πειρασμοὺς ἐκείνους ἐνεγκεῖν· τὰς μάστιγας· τὸν λιμόν· τὰ δεσμά· τὰς ἁλύσεις. πολὺ γὰρ ταῦτα γενναιοτέρας δεῖται ψυχῆς. καὶ ὅρα πῶς ὁμοῦ καταστέλλει, καὶ ἐπαίρει τὸ φρόνημα τῶν ἀγωνιζομένων. ὅταν γὰρ δείξῃ τὰ ἔπαθλα μείζονα τῶν πόνων, καὶ προτρέπει μειζόνως· καὶ οὐκ ἀφίησι μέγα φρονεῖν ἅτε νικωμένους τῇ τῶν στεφάνων ἀντιδόσει. καὶ ἀλλαχοῦ μέν φησι, "τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως καθ' ὑπερ- "βολὴν ἐς ὑπερβολὴν δόξης αἰώνιον βάρος κατεργάζεται." πρὸς γὰρ φιλοσοφωτέρους ὁ λόγος ἦν αὐτῷ. ἐνταῦθα δὲ κοῦφα μὲν αὐτὰ οὔ φησι εἶναι, παραμυθεῖται δὲ τῇ μελλόντων ἀντιδόσει· λέγων, "λογίζομαι γὰρ ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν και- "ροῦ." καὶ οὐκ εἶπε πρὸς τὴν μέλλουσαν ἄνεσιν· ἀλλ' ὃ πολλῷ μεῖζον, "πρὸς τὴν μέλλουσαν δόξαν." ὅπου μὲν γὰρ ἄνεσις, οὐ πάντως καὶ δόξα. ὅπου δὲ δόξα, πάντως καὶ ἄνεσις. εἶτα ἐπειδὴ μέλλουσαν εἶπε, δείκνυσιν αὐτὴν ἤδη οὖσαν. οὐ γὰρ εἶπε πρὸς τὴν μέλλουσαν ἔσεσθαι. ἀλλὰ "πρὸς τὴν μέλλουσαν ἀποκαλυφθῆ- "ναι." ὡς καὶ νῦν οὖσαν μὲν, κρυπτομένην δέ. ὅπερ καὶ ἀλλαχοῦ σαφέστερον ἔλεγεν, "ὅτι ἡ ζωὴ ἡμῶν κέκρυπται σὺν τῷ Χριστῷ "ἐν τῷ Θεῷ·" θάρρει τοίνυν ὑπὲρ αὐτῆς. παρεσκεύασται γὰρ ἤδη τοὺς σοὺς ἀναμένουσα πόνους. εἰ δὲ τῷ μέλλειν σε λυπεῖ, αὐτῷ μὲν οὖν εὐφραινέτω τούτῳ. τῷ γὰρ μεγάλη τίς εἶναι, καὶ τὴν παροῦσαν ὑπερβαίνειν κατάστασιν, ἐκεῖ τεταμίευται. οὐδὲ γὰρ ἁπλῶς τέθεικε τὰ παθήματα τοῦ νῦν καιροῦ. ἀλλ' ἵνα δείξῃ οὐχὶ ποιότητι μόνον, ἀλλὰ καὶ ποσότητι νικῶσαν ἐκείνην. ταῦτα μὲν γὰρ οἷα ἂν ᾖ τὰ παθήματα, τῷ παρόντι συγκεκλήρωται βίῳ. τὰ δὲ μέλλοντα ἀγαθὰ πρὸς τοὺς ἀθανάτους παρεκτείνεται αἰῶνας. ἅπερ ἐπειδὴ κατὰ μέρος εἰπεῖν οὐκ εἶχεν, οὐδὲ παραστῆσαι λόγῳ, ἀπὸ τοῦ μάλιστα δοκοῦντος εἶναι παρ' ἡμῖν ἐπεράστου τῆς δόξης, αὐτὰ ὠνόμασεν. ἡ γὰρ κορυφὴ τῶν ἀγαθῶν καὶ τὸ κεφάλαιον, τοῦτο εἶναι δοκεῖ· καὶ ἐπειδὴ ὑπερβαίνουσι τοὺς ἀγῶνας οἱ στέφανοι, καὶ σμικρὸς μὲν ὁ πόνος, μέγα δὲ τὸ ἐλπιζόμενον κέρδος, διὰ τοῦτο οὐ μισθὸν, ἀλλὰ δόξαν τὰ προσδοκώμενα προσηγόρευσεν.

19 Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως, τὴν ἀποκάλυψιν
20 τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται. τῇ γὰρ ματαιότητι ἡ
κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα
ἐπ' ἐλπίδι.

Χρυσοστόμου. Ἐπαίρων καὶ ἑτέρως τὸν ἀκροατὴν, καὶ ἀπὸ τῆς κτίσεως ἐξογκοῖ τὸν λόγον· δύο κατασκευάζων διὰ τῶν λεχθέντων, καὶ ὑπεροψίαν τῶν παρόντων, καὶ ἐπιθυμίαν τῶν μελλόντων. καὶ τρίτον μετὰ τούτων· μᾶλλον δὲ πρῶτον, τὸ δεῖξαι περισπούδαστον πῶς τὸ τῶν ἀνθρώπων γένος ἐστὶ, καὶ ἐν ὅσῃ τὴν φύσιν τὴν ἡμετέραν ἔχει τιμῇ. μετὰ δὲ τούτων, καὶ τὰ τῶν φιλοσόφων ἅπαντα δόγματα τὰ περὶ τοῦ κόσμου τούτου, ὥσπερ ἀράχνην τινὰ καὶ παίδων ἀθύρματα ἐν τούτῳ καταβάλλει τῷ δόγματι. ἀλλ' ἵνα σαφέστερα ταῦτα γένηται, ἴδωμεν τί φησι. καὶ ἡ κτίσις αὐτὴ σφόδρα ὠδίνει· ταῦτα ἀναμένουσα καὶ προσδοκῶσα τὰ ἀγαθὰ, ἅπερ εἰρήκαμεν. ἀποκαραδοκία γὰρ, ἡ σφοδρὰ προσδοκία ἐστίν. ὥστε δὲ ἐμφαντικώτερον γενέσθαι τὸν λόγον, καὶ προσωποποιεῖ τὸν κόσμον ἅπαντα τοῦτον. ἅπερ καὶ οἱ προφῆται ποιοῦσι. ποταμοὺς κροτοῦντας χερσὶν εἰσάγοντες, καὶ βουνοὺς ἁλλομένους, καὶ ὄρη σκιρτῶντα. οὐχ ἵνα ταῦτα λογισμὸν ἔχειν νομίσωμεν καὶ ψυχὴν, ἀλλ' ἵνα τὴν ὑπερβολὴν μάθωμεν τῶν ἀγαθῶν, ὡς καὶ τῶν ἀναισθήτων αὐτῶν καθικνουμένην. τοῦτο δὲ αὐτὸ καὶ ἐπὶ τῶν λυπηρῶν ποιοῦσιν, ἄψυχα θρηνοῦντα εἰσάγοντες. ἵνα πάλιν τὴν ὑπερβολὴν τῶν κακῶν νοήσωμεν. τούτους δὴ καὶ ὁ Ἀπόστολος μιμούμενος, προσωποποιεῖ τὴν κτίσιν ἐνταῦθα, καὶ φησὶ στενάζειν αὐτὴν καὶ ὠδίνειν. οὐκ ἐπειδὴ στεναγμοὺς ἤκουεν ἀπὸ γῆς ἐκπεμπομένους, ἢ οὐρανοῦ. ἀλλ' ἵνα τῶν μελλόντων ἀγαθῶν ἐνδείξηται τὴν ὑπερβολὴν, καὶ τὴν ἐπιθυμίαν τῆς ἀπαλλαγῆς τῶν κατεχόντων κακῶν.

Γρηγορίου Θεολόγου. Πολλὰ γὰρ προσωποποιεῖν ἡ γραφὴ οἶδε καὶ τῶν ἀψύχων. ὡς τὸ, ἡ θάλασσα εἶπε τάδε καὶ τάδε. "καὶ "ἡ ἄβυσσος εἶπεν, οὐκ ἔστιν ἐν ἐμοί." καὶ οἱ οὐρανοὶ διηγούμενοι δόξαν Θεοῦ. καὶ πάλιν ῥομφαία τι διακελεύεται, καὶ ὄρη καὶ βουνοὶ ἐρωτῶνται σκιρτήσεως.

Κυρίλλου. Ἀποκαραδοκία μὲν οὖν ἐστιν ἡ ἐλπὶς, καὶ ἡ τῆς

τῶν πραγμάτων ἐκβάσεως προσδοκία καὶ ἐπιτήρησις. ἐκδέχεταί γε μὴν ἡ κτίσις τὴν ἀποκάλυψιν τῶν τέκνων τοῦ Θεοῦ· οὐκ εἰδυῖα τὸ ἐσόμενον. πῶς γάρ; ἢ πόθεν; ἀλλὰ ταῖς ἀπορρήτοις οἰκονομίαις τοῦ πάντα μεταρρυθμίζοντος εἰς τὸ ἄμεινον Θεοῦ, προσδοκῶσα τὴν εἰς τὸ κρεῖττον ἕξειν μεταβολήν. μεταπλαττομένων γὰρ τῶν τοῦ Θεοῦ τέκνων τῶν θεοσεβῶς ζησάντων, ἐξ ἀτιμίας εἰς δόξαν· καὶ αὐτὴ πάντως ἡ κτίσις μεθαρμοσθήσεται πρὸς τὸ ἄμεινον, τὴν πρέπουσαν τοῖς τότε καιροῖς αὐχοῦσα κατάστασιν. καὶ πρός γε τοῦτο ἡμᾶς ὁ θεσπέσιος Πέτρος ἐνδοιάζειν οὐκ ἐᾷ, εἰπὼν ὅτι καινοὺς οὐρανοὺς καὶ καινὴν γῆν κατὰ τὰ ἐπαγγέλματα αὐτοῦ προσδοκῶμεν.

Σετηριανοῦ. Καραδοκία μέντοι ἡ ἐπιτεταμένη τῶν ἐλπιζομένων ἐπιτήρησις εἴρηται. ἀπὸ τοῦ, τὸν προσδοκῶντα τυχὸν καὶ ἐπικλίνειν τὴν κεφαλὴν καὶ τοὺς ὀφθαλμοὺς ἐντείνειν, ὡς παραυτίκα ἰδεῖν μέλλοντα τὸ προσδοκώμενον.

Γενναδίου. Ἔφη δέ τις ἀποκαραδοκίαν τῆς κτίσεως, τὴν ἄποθεν προσδοκίαν αὐτῆς. ἥτις ἐστὶ τὸ ἀπεκδέχεσθαι ἀποκαλυφθῆναι τὴν τέως κεκρυμμένην ἐν Χριστῷ ζωὴν ἡμῶν. οὕτως ἔχειν εἰπὼν τὸ σύμπαν νόημα. εἰώθαμεν πολλάκις οἱ ἄνθρωποι μετὰ τὰς τῶν πραγμάτων ἐκβάσεις, ὡς σαφῆ ταῖς μνήμαις ἀναλαμβάνειν τὰ πρόσθεν ἡμῖν ἀσαφῆ. οἷον τι λέγω. πεφώραταί τις ἀγαθόν τι πεποιηκὼς ἢ κακόν. εὐθὺς παρόντες φαμέν· ἀλλὰ καὶ πόρρωθεν οὗτος, τοιοῦτος ὢν καταφαίνεται· καὶ ἐδείκνυ τῷ σχήματι· καὶ ἐγὼ αὐτὸν ἐκ τῆσδε τῆς ῥήσεως, ὅστις ἦν, αὐτίκα κατέμαθον. καὶ ὅλως τοιαῦτα τινὰ πρὸς τὴν παροῦσαν πρᾶξιν ἐκ τῶν παλαιῶν λαμβάνοντες σύμβολα, βεβαιοῦμεν ἑαυτοῖς ἐκ τῶν προτέρων τὰ δεύτερα. τοιοῦτόν φησι καὶ ὁ εὐαγγελιστὴς περὶ τῶν μαθητῶν τοῦ Κυρίου. ὅτι οὐ συνίεσαν μὲν τὰ περὶ αὐτὸν οἰκονομούμενα πρότερον. "ὅτε δὲ ἀνέστη ἐκ τῶν νεκρῶν, τότε ἔγνωσαν, "ὅτι ταῦτα ἦν ἐπ' αὐτῷ γεγραμμένα." κἀνταῦθα τοίνυν ὁ μακάριος Παῦλος πνευματικῇ χάριτι τῆς οἰκονομίας τῆς ἐν Χριστῷ τὴν γνῶσιν παρειληφώς· καὶ γνοὺς ὅτι ἄνωθεν δέδοκται τοῦτο τῷ Θεῷ, καὶ ὅτι ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου, διδάσκει τὰ τοῖς πρόσθεν ἀπόρρητα. λέγει γὰρ ὅτι αὐτῆς τῆς κτίσεως ἡ τοιουτότροπος διασκευὴ προκηρύττει, τὸ νῦν πεφηνὸς

εὐαγγέλιον, καὶ δήλη ἐστὶ τὴν ἀποκάλυψιν τῶν υἱῶν περιμένουσα τοῦ Θεοῦ. ἐπεὶ μὴ δὲ ματαίως ἔκτισε τοὺς υἱοὺς τῶν ἀνθρώπων ὁ Θεός.

Θεοδώρου Μονάχου. Ἕτερος δὲ κτίσιν μὲν λέγειν τὸν Παῦλον νῦν ἀπεφήνατο τὰς ἐφεστηκυίας δυνάμεις ταῖς ἀψύχαις ὕλαις τὰς ταγείσας παρὰ Θεοῦ τὴν κτίσιν διέπειν. ἀποκαραδοκίαν δὲ, τὴν ἀνελπιστίαν. ἡ κτίσις γάρ, φησι, ἐπιμενόντων ἡμῶν τῇ κακίᾳ, καὶ ἐπισφιγγόντων ἑαυτοῖς τοῦ θανάτου τὴν ἀπόφασιν, τόγε ἐφ' ἡμῖν πολλάκις τὰ καθ' ἡμᾶς ἀπελπίσασα, ταύτην ἀπεκδέχεται τῶν ἁπάντων διόρθωσιν, τὴν προσδοκίαν τῶν μελλόντων, ὅτι ἀναστησόμεθα πάντες εἰς τὸ εἶναι ἀθάνατοι. τὴν γὰρ ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ, τὴν ἀνάστασιν λέγει· υἱοθεσίαν, τὴν ἀθανασίαν καλῶν. ὅθεν καὶ ὁ Δαβὶδ λέγει, "ἐγὼ εἶπα, θεοὶ ἐστέ." ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε, ὡς οὐκ ἔχοντος λόγον τοῦ ἀποθνήσκειν, τοὺς υἱοὺς τοῦ Θεοῦ χρηματίσαντας.

Χρυσοστόμου. Τί δέ ἐστι "τῇ ματαιότητι, ἡ κτίσις ὑπε-"τάγη;" φθαρτὴ γέγονε. διατί; διὰ σὲ τὸν ἄνθρωπον· ἐπειδὴ γὰρ σῶμα ἔλαβες θνητὸν καὶ παθητὸν, καὶ ἡ γῆ κατάραν ἐδέξατο, καὶ ἀκάνθας ἤνεγκε καὶ τριβολόν. ὅτι δὲ καὶ ὁ οὐρανὸς μετὰ τῆς γῆς παλαιούμενος πρὸς τὴν ἀμείνω λῆξιν ὕστερον μεταστήσεται, ἄκουσον τοῦ προφήτου λέγοντος, "καταρχὰς, Κύριε, τὴν γῆν ἐθε-"μελίωσας. καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί. αὐτοὶ ἀπο-"λοῦνται. σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσον-"ται· καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται." καὶ Ἡσαίας δὲ ταῦτα ἐμφαίνων ἔλεγεν, "ἐμβλέψατε εἰς τὸν "οὐρανὸν ἄνω, καὶ εἰς τὴν γῆν κάτω. ὅτι ὁ οὐρανὸς ὡς καπνὸς "ἐστερεώθη. ἡ δὲ γῆ ὡς ἱμάτιον παλαιωθήσεται· οἱ δὲ κατοι-"κοῦντες αὐτὴν, ὥσπερ ταῦτα ἀπολοῦνται." εἶδες πῶς ἐδούλευσε τῇ ματαιότητι ἡ κτίσις; πῶς ἐλευθεροῦται ἀπὸ τῆς φθορᾶς; ὁ μὲν γάρ φησιν, "ὡς ἱμάτιον ἑλίξει αὐτοὺς, καὶ ἀλλαγήσονται." ὁ δὲ Ἡσαίας. "οἱ δὲ κατοικοῦντες αὐτὴν ὥσπερ ταῦτα ἀπολοῦν-"ται." οὐ παντελῆ λέγων ἀπώλειαν. οὐδὲ γὰρ οἱ κατοικοῦντες αὐτὴν, τουτέστιν ἄνθρωποι, ταύτην ὑποστήσονται· ἀλλὰ τὴν πρόσκαιρον. καὶ δι' αὐτῆς, ἐπὶ τὴν ἀφθαρσίαν μεταστήσονται· ὥσπερ οὖν καὶ ἡ κτίσις. ἅπερ ἅπαντα διὰ τοῦ εἰπεῖν ὡς ταῦτα, παρεδή-

λωσεν. ὅπερ οὖν καὶ ὁ Παῦλος προϊὼν φησίν· τέως μέντοι περὶ τῆς δουλείας αὐτῆς διαλέγεται· καὶ δείκνυσι τίνος ἕνεκεν τοιαύτη γέγονε, καὶ τὴν αἰτίαν, ἡμᾶς τίθησι. τί οὖν ἐπηρέασται, δι᾽ ἕτερον ταῦτα παθοῦσα; οὐδαμῶς. καὶ γὰρ δι᾽ ἐμὲ γέγονεν. ἡ τοίνυν δι᾽ ἐμὲ γενομένη, πῶς ἂν ἀδικοῖτο, εἰς ἐμὴν διόρθωσιν ταῦτα πάσχουσα; ἄλλως δὲ, τὸν τοῦ δικαίου καὶ ἀδίκου λόγον, οὐδὲ κινεῖν ἐπὶ τῶν ἀψύχων δεῖ. ἀλλ᾽ ὁ Παῦλος ἐπειδὴ ταύτην ἐπροσωποποίησεν, οὐδενὶ κέχρηται τούτων ὧν εἶπον, ἀλλ᾽ ἑτέρῳ τινὶ λόγῳ τὸν ἀκροατὴν ἐκ περιουσίας παραμυθήσασθαι σπεύδων. ποίῳ δὴ τούτῳ; τί λέγεις; φησίν. κακῶς ἔπαθε, καὶ διὰ σὲ φθαρτὴ γέγονεν· ἀλλ᾽ οὐδὲν ἠδίκηται. καὶ γὰρ ἄφθαρτος ἔσται διὰ σὲ πάλιν. τοῦτο γὰρ ἔστι τὸ "ἐπ᾽ ἐλπίδι." ὅταν δὲ λέγῃ, "οὐχ "ἑκοῦσα ὑπετάγη," οὐχ ἵνα κυρίαν γνώμης οὖσαν δείξῃ, τοῦτο λέγει. ἀλλ᾽ ἵνα μάθῃς ὅτι τῆς Χριστοῦ κηδεμονίας τὸ πᾶν ἐγένετο, καὶ οὐκ ἐκείνης κατόρθωμα τοῦτο.

Θεοδωρήτου. Ματαιότητα μὲν οὖν, τὴν φθορὰν λέγει. τοῦτο γὰρ μετ᾽ ὀλίγα διδάσκει. "ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσε-"ται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς." διδάσκει δὲ, ὡς πᾶσα ἡ κτίσις ἡ ὁρωμένη, θνητὴν ἔλαχε φύσιν. ἐπειδήπερ τῶν ὅλων ὁ ποιητὴς προεώρα τοῦ Ἀδὰμ τὴν παράβασιν, καὶ τὴν ἐπενεχθησομένην αὐτῷ τοῦ θανάτου ψῆφον. οὐ γὰρ ἦν εἰκὸς οὐδὲ δίκαιον, τὰ μὲν δι᾽ αὐτὸν γεγενημένα μεταλαχεῖν ἀφθαρσίας· αὐτὸν δὲ, οὗ χάριν ταῦτα ἐπεποίητο, θνητὸν εἶναι καὶ παθητόν. τούτου δέ γε διὰ τῆς ἀναστάσεως τὴν ἀθανασίαν λαμβάνοντος, κἀκεῖνα ὡσαύτως μεταλαμβάνει τῆς ἀφθαρσίας. λέγει τοίνυν, ὅτι ταύτην ἀναμένει τῶν πραγμάτων τὴν μεταβολὴν ἡ ὁρωμένη κτίσις. τρεπτὴ γὰρ ἐγένετο· οὐχ ἑκοῦσα μὲν, τοῦ δὲ δημιουργήσαντος ἀσπασαμένη τὸν ὅρον. τὴν δὲ περὶ ἡμᾶς ὁρῶσα κηδεμονίαν, ἔχει τῆς μεταβολῆς τὴν ἐλπίδα.

Κυρίλλου. Ἡ ματαιότητα ἐνθάδε φησὶν τοὺς ζῶντας ἐν ματαιότητι· τουτέστιν, ἐν φρονήματι σαρκικῷ. περὶ ὧν ἂν λέγοιτο καὶ μάλα εἰκότως, "ἄνθρωπος ματαιότητι ὡμοιώθη." καὶ μὴν καὶ ὅτι παρεσυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς. ματαιότης γὰρ ἀληθῶς τῶν τοιούτων ὁ βίος. τούτοις ἡ κτίσις ὑποτάσσεται· καὶ οὔ τι που πάντως ἑκοῦσα. πόθεν; πῶς δὲ δὴ

ἄρα καὶ τοῦτο φαμέν; οἶδε μὲν γὰρ ὅλως τῶν καθ' ἡμᾶς οὐδὲν, ἡ αἰσθητή τε καὶ ὁρωμένη κτίσις. οὐ γάρ ἐστι λογική. ἀλλ' εἰ καί τις δοίη τὸ δύνασθαί τι νοεῖν αὐτὴν, οὐκ ἂν ἠνέσχετο, φησὶν, τῆς οὕτως αἰσχρᾶς δουλείας· οὐδ' ἂν ἠθέλησεν ὑποτετάχθαι καὶ ὑπηρετεῖν τοῖς ἐπ' οὐδενὶ τῶν ἀναγκαίων, ἤγουν ἀγαθῶν διαβιοῦν ἑλομένοις. ἀλλ' ἐπ' ἐλπίδι, φησὶν, τῶν σωθησομένων, καὶ τῶν κατὰ καιροὺς ἁγίων τὲ καὶ ἐκλεκτῶν ὑποτέτακται τέως. καταζεύγνυντος αὐτὴν τοῦ Θεοῦ, καὶ οἷον τηροῦντος εἰς ἐλευθερίαν τὴν ὑπότε τοῖς ἁγίοις καὶ τοῖς ἀγαπῶσιν αὐτόν. ἵνα δὴ μόνοις ὑπηρετῇ τοῖς αὐτοῦ τέκνοις, καὶ ταῖς τῶν ἐξειλεγμένων παρακέοιτο χρείαις. ἀλύει μὲν γὰρ μονονουχὶ, καὶ ὠδίνουσα καὶ ἀλγυνομένη· καὶ εἴπερ αὐτῇ ἦν τὸ καὶ εἰδέναι τί δύνασθαι τῶν καθ' ἡμᾶς πραγμάτων, τάχα που καὶ ἀνοιμώξασα· πλὴν τοῖς θείοις εἴκουσα νεύμασι, καραδοκεῖ τρόπον τινὰ τὴν ἀποκάλυψιν, ὡς ἔφην, τῶν υἱῶν τοῦ Θεοῦ.

Γενναδίου. Ματαιότητα τοιγαροῦν λεκτέον τὸν παρόντα τοῦτον βίον ἡμῶν· λέγοντος ἄντικρυς τοῦ Ἀποστόλου. ἐπεὶ τίνος χάριν οὕτω πρὸς τὴν ὑπηρεσίαν τῶν φθαρτῶν, ἅπασα συνετείνετο· μὴ ἐπ' ἐλπίσι τοιαύταις ποιεῖν αὐτῇ, Θεοῦ τοῦτο νομοθετήσαντος; καὶ τὸ, "οὐχ ἑκοῦσα," ἢ προσωποποιήσας εἴρηκε, κατὰ τὸ ἰδίωμα τῆς γραφῆς, ὡς εἶπον, τὸ καὶ φωνὰς καὶ ἤθη τοῖς ἀψύχοις περιτιθέναι. ἢ καὶ διὰ τοὺς Ἀγγέλους τυχόν· ἵν' ἀπὸ τοῦ κρείττονος μέρους ὡσπερεὶ πάσης αὐτῆς ᾖ τὸ λεγόμενον.

Κυρίλλου. Οὐκοῦν εἴπερ εἶναι φασὶν κτιστὸν τὲ καὶ ποιητὸν τὸ Πνεῦμα τὸ Ἅγιον, ἀνάγκη συνομολογεῖν ὑποτετάχθαι καὶ αὐτὸ τῇ ματαιότητι· καὶ συστενάζειν μὲν καὶ συνωδίνειν· εἶναι τὲ νῦν ὥσπερ ἐν δουλείᾳ· ἐλευθερωθήσεσθαι[o] δὲ μόλις εἰς τὴν ἀπολύτρωσιν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ. εἶτα ποῖ ποτε ὁ Παῦλος ἡμῖν οἰχήσεται λέγων, "οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς "φόβον· ἀλλ' ἐλάβετε Πνεῦμα υἱοθεσίας. ἐν ᾧ κράζομεν ἀββᾶ "ὁ πατήρ;" εἰ δοῦλον ἐστὶν, ὡς κτιστὸν καὶ ποιητὸν τὸ Πνεῦμα Ἅγιον, πῶς ἐν αὐτῷ κράζομεν ἀββᾶ ὁ πατήρ; ἀλλὰ τῆς μὲν δουλείας ἀπαλλάττει τοὺς ἐν οἷς ἂν γένοιτο. ἀναμορφοῖ δὲ μᾶλ-

[o] Cod. ἐλευθερωθήσεσθε.

λον εἰς τὴν ἐλευθερίαν καὶ υἱότητα· μετόχους ἀποδεικνύον τῆς οἰκείας φύσεως. οὐκ ἄρα δοῦλον ἐστίν. εἰ δὲ δὴ τοῦτο, οὐ κτίσμα. τὸ δὲ καὶ τὸ εἶναι κτίσμα, καὶ τὸ ἐν δούλοις τετάχθαι διαφυγὸν, τῆς θείας λοιπὸν ἂν εἴη οὐσίας δηλαδή.

Χρυσοστόμου. Ἀλλ' εἰπὲ λοιπὸν καὶ ἐπὶ ποίᾳ ἐλπίδι.

21 Ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς, εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ.

Χρυσοστόμου. Τί ἐστι καὶ αὐτή; οὐχὶ σὺ μόνος, ἀλλὰ καὶ ὃ σοῦ ἐστι καταδεέστερον, καὶ οὐ μετέχει λογισμοῦ οὐδὲ αἰσθήσεως, καὶ τοῦτο σοι κοινωνήσει τῶν ἀγαθῶν. "ἐλευθερωθήσεται γὰρ "ἀπὸ τῆς δουλείας τῆς φθορᾶς." τουτέστιν, οὐκέτι ἔσται φθαρτὴ, ἀλλ' ἀκολουθήσει τῇ τοῦ σώματος εὐμορφίᾳ τοῦ σοῦ. ὥσπερ γὰρ γενομένου φθαρτοῦ, γέγονεν ἐκείνη τοιαύτη, οὕτως ἀφθάρτου κατάσταντος, καὶ αὐτὴ ἕψεται πάντως. ὅπερ οὖν δεικνὺς ἐπήγαγεν, "εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ." τουτέστι, διὰ τὴν ἐλευθερίαν. καθάπερ γὰρ τιθηνὸς παιδίον τρέφουσα βασιλικόν· ἐπὶ τῆς ἀρχῆς ἐκείνου γενομένου τῆς πατρικῆς, καὶ αὐτὴ συναπολαύει τῶν ἀγαθῶν, οὕτω καὶ ἡ κτίσις φησί. ὁρᾷς τὸν ἄνθρωπον πανταχοῦ προηγούμενον, καὶ δι' αὐτὸν ἅπαντα γινόμενα; εἶδες πῶς καὶ παραμυθεῖται τὸν ἀγωνιζόμενον, καὶ δείκνυσι τὴν ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν; τί γὰρ ἀλγεῖς, φησι, ἐπὶ τοῖς πειρασμοῖς; σὺ διὰ σαυτὸν πάσχεις. ἡ κτίσις, διὰ σέ. οὐ παραμυθεῖται δὲ μόνον, ἀλλὰ καὶ ἀξιόπιστα δείκνυσι τὰ λεγόμενα. εἰ γὰρ ἡ κτίσις ἐλπίζει, ἡ διὰ σὲ πάντα γενομένη, πολλῷ μᾶλλον σύ· δι' ὃν καὶ ἡ κτίσις ἀπολαύειν μέλλει τῶν ἀγαθῶν ἐκείνων. οὕτω καὶ οἱ ἄνθρωποι, τοῦ Υἱοῦ μέλλοντος ἐπ' ἀξιώματος φαίνεσθαι, καὶ τοὺς δούλους λαμπροτέραν ἐνδύσει στολὴν εἰς τὴν τοῦ παιδὸς δόξαν. ὥσπερ οὖν καὶ ὁ Θεὸς τὴν κτίσιν ἀφθαρσίᾳ περιβάλλει, εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων.

Οἰκουμενίου. Ἢ τὸ εἰς τὴν ἐλευθερίαν δηλοῖ, ὅτι εἰς τὴν αὐτὴν εἰς ἣν καὶ ἡμεῖς, ἐλευθερουμένη τῆς φθορᾶς ἡ κτίσις, ἐλεύσεται.

Θεοδώρου Μονάχου. Οἷον ἐκ φθαρτῆς ἄφθαρτος ἔσται. καὶ ἄλλως δὲ ἡ ὑλώδης, φησὶ, φύσις ἐδουλώθη τῷ πονηρῷ, καὶ ἐπιβουλεύεται ὑπ' αὐτοῦ πολλάκις κατὰ συγχώρησιν Θεοῦ. ὥστε καὶ λοιμοὺς καὶ πολέμους, καὶ ἄλλας φθορὰς ὑπ' αὐτοῦ κατασκευάζεσθαι. καὶ γὰρ εἰκὸς τῶν ἐνοικούντων εὐσεβῶς διαγόντων, ἔχειν χώραν τὸν πονηρὸν ὡς ἰδίων κατεπιβαίνειν, καὶ ἐπὶ τῇ αὐτῶν κακώσει, τὰ περὶ αὐτὰ στοιχεῖα κακοῦν. ὧν γινομένων· αἱ ταγεῖσαι ἐπὶ τῇ εὐταξίᾳ τῆς κτίσεως δυνάμεις, στενάζουσι καὶ ὠδίνουσι, καὶ τὴν ἐλευθερίαν τοῦ ἀνθρώπου ἀναμένουσιν. ἐν ᾗ καὶ ἡ κτίσις συνελευθερωθεῖσα, τῆς τοῦ διαβόλου ἐξουσίας ἀπαλλαγήσεται. τὸ οὖν ταῖς λογικαῖς δυνάμεσι συμβαῖνον, τῇ ἀψύχῳ περιτέθεικεν ὕλῃ. ὡς καὶ νῦν φαμὲν, ἡ οἰκία θορυβοῦται, ἡ πόλις ἀγανακτεῖ. ἐκ τῶν διοικουμένων καὶ περιπολουμένων τόπων, τοὺς διοικοῦντας καὶ περιπολοῦντας πολλάκις σημαίνοντες. καὶ καθ' ἕτερον δὲ λόγον ἡ κτίσις ἐκδέχεται ἐλευθερωθῆναι τῆς δουλείας τῆς φθορᾶς. ἐπεὶ τῇ τοῦ διαβόλου κατασκευῇ ἄκουσα προσκυνεῖται ἡ κτίσις ὑπὸ τῶν συνδούλων αὐτῆς, "ἐσεβάσθησαν γὰρ καὶ ἐλάτρευσαν τῇ "κτίσει παρὰ τὸν κτίσαντα." ὥστε τῆς δεσποτικῆς ἀκουσίως ἀπολαύουσα τιμῆς, βαρέως φέρει τὸ γινόμενον. καὶ ὠδίνει καὶ ἄχθεται προσκυνουμένη ματαίαν προσκύνησιν ὑπὸ τῶν ἀνθρώπων· καὶ ἐπιθυμεῖ τῆς τούτων ἀπαλλαγῆς· οὐδὲ ἐξ ἀρχῆς ἑλοῦσα, οὐδὲ αὐτομολήσασα πρὸς τὸν διάβολον ὑπετάγη αὐτῷ· ἀλλ' ὑπετάγη, συγχωρήσαντος τοῦ Θεοῦ· καὶ ὑπετάγη, ἐπ' ἐλπίδι μελλούσῃ. "ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται." πότε δέ; εἰς τὸν καιρὸν τῆς ἐλευθερίας τῶν δικαίων. διὸ καὶ "ἡ ἀποκαραδοκία τῆς κτίσεως "τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται·" ὅτε καὶ πάντα ἀνακαινισθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς. τουτέστι, τοῦ διαβόλου. φθορὰν γὰρ, τὸν διάβολον ἔστιν εἰπεῖν, ὡς καὶ ματαιότητα.

Γρηγορίου Νύσσης. Ἢ ἀποκαραδοκίαν τῆς κτίσεως, καὶ ἀντὶ τοῦ τῶν Ἀγγέλων νοητέον, καθὰ καὶ ἀνωτέρω δεδήλωται· ἐπειδὴ γὰρ χαρὰ γίνεται τοῖς Ἀγγέλοις ἐπὶ τοῖς ἀνασωζομένοις ἐξ ἁμαρτίας. διότι ἡ κτίσις ἐκείνη μέχρι τοῦ νῦν συστενάζει καὶ συνωδίνει τῇ καθ' ἡμᾶς ματαιότητι, ζημίαν οἰκείαν κρίνουσα τὴν ἡμετέραν ἀπώ-

λειαν. ὅταν ἡ ἀποκάλυψις γένηται τῶν υἱῶν τοῦ Θεοῦ, ἣν ὑπὲρ ἡμῶν ἀεὶ καραδοκεῖ τὲ καὶ ἀπεκδέχεται· καὶ ὅταν ἀποσωθῇ τῇ ἄνω ἑκατοντάδι τὸ πρόβατον. ἡμεῖς δὲ πάντως ἐσμὲν, ἡ ἀνθρωπίνη φύσις, τοῦτο τὸ πρόβατον, τὸ δὲ διαφερόντως ἐν ἐπιτεταμένῃ τῇ εὐχαριστίᾳ, τῇ ὑπὲρ ἡμῶν, προσάξουσι τῷ Θεῷ τὴν προσκύνησιν χαίροντες οἱ Ἄγγελοι.

22 Οἴδαμεν γὰρ ὅτι πᾶσα ἡ κτίσις συστενάζει καὶ συνω-
23 δίνει ἄχρι τοῦ νῦν. οὐ μόνον δὲ, ἀλλὰ καὶ αὐτοὶ τὴν
ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες, καὶ ἡμεῖς αὐτοὶ ἐν ἑαυ-
τοῖς στενάζομεν, υἱοθεσίαν ἀπεκδεχόμενοι, τὴν ἀπολύ-
τρωσιν τοῦ σώματος ἡμῶν.

Χρυσοστόμου. Ἐντρέπει τὸν ἀκροατὴν, μονονουχὶ οὕτω λέγων. μὴ γένῃ τῆς κτίσεως χείρων· καὶ τοῖς παροῦσιν ἐμφιλοχωρήσῃς. οὐ γὰρ μόνον αὐτῶν ἀντέχεσθαι οὐ δεῖ, ἀλλὰ καὶ στενάζειν ἐπὶ τῇ μελλήσει τῆς ἐντεῦθεν ἀποδημίας. εἰ γὰρ ἡ κτίσις τοῦτο ποιεῖ, πολλῷ μᾶλλον σὲ δίκαιον τοῦτο ἐπιδείκνυσθαι, τὸν λόγῳ τετιμημένον.

Θεοδωρήτου. Ἐνταῦθα δὲ καὶ τὴν ἀόρατον συμπεριέλαβε κτίσιν. "πᾶσα" γὰρ εἶπεν "ἡ κτίσις." εἰς ἀκριβεστέραν δὲ κατανόησιν τοῦ χωρίου, τῆς εὐαγγελικῆς ἀναμνήσω φωνῆς· ὁ γὰρ Κύριος ἔφη, καὶ τοὺς Ἀγγέλους ἐν τῷ οὐρανῷ χαίρειν ἐπὶ ἀνθρώπῳ μετανοοῦντι. εἰ δὲ χαίρουσιν ἐπὶ τοῖς μετανοοῦσιν ἁμαρτωλοῖς, καὶ ἀθυμοῦσι δηλονότι, τὰς ἡμετέρας παρανομίας ὁρῶντες.

Κυρίλλου. Εἰ δὲ στενάζει μὲν ἡ κτίσις πᾶσα, καὶ ἀπεκδέχεται τὴν ἀπολύτρωσιν τῶν υἱῶν τοῦ Θεοῦ καὶ τὴν ἐλευθερίαν· οὔτε δὲ στενάζων ὁ υἱὸς φαίνεται, οὔτε τὴν υἱοποιΐαν ἢ ἐλευθερίαν ἐκδέχεται. ἀλλ' αὐτός ἐστιν ὁ τὴν ἐλπίδα τῆς γνώσεως ἀποπληρῶν, καὶ εἰς υἱοθεσίαν τοὺς στενάζοντας καλῶν, καὶ τῆς ἐλευθερίας δοτὴρ, οὐκ ἄρα ἐν τοῖς πᾶσιν ἐστὶν, οὐδὲ τῇ κτίσει καταριθμηθήσεται. ἀλλ' ἕτερός ἐστι παρ' αὐτήν. καὶ τὰ μὲν, ὡς κτίσματα στενάζει τοῦ βοηθοῦντος δεόμενα. ὁ δὲ, ὡς Υἱὸς ἐλευθεροῖ τὰ τῷ τῆς δουλείας δεσμῷ συνεχόμενα.

Χρυσοστόμου. Ἀλλ' οὔπω μέγα εἰς ἐντροπὴν τὸ τὴν κτίσιν

στενάζειν. διὸ καὶ ἐπήγαγεν, "οὐ μόνον δὲ, ἀλλὰ καὶ αὐτοὶ τὴν "ἀπαρχὴν τοῦ Πνεύματος ἔχοντες, ἐν ἑαυτοῖς στενάζομεν." τουτέστι, τῶν μελλόντων ἤδη γευσάμενοι. κἂν σφόδρα λίθινός τις ᾖ φησιν, ἱκανὰ τὰ δοθέντα ἤδη διαναστῆσαί τε αὐτὸν, καὶ τῶν παρόντων ἀπαγαγεῖν, καὶ πρὸς τὰ μέλλοντα πτερῶσαι διπλῇ· καὶ τῷ μεγάλα εἶναι τὰ δεδομένα· καὶ τὰ τοσαῦτα καὶ τηλικαῦτα ἀπαρχὴν εἶναι. εἰ γὰρ ἡ ἀπαρχὴ τοσαύτη, ὥστε δι' αὐτῆς καὶ ἁμαρτημάτων ἀπαλλαγῆναι, καὶ δικαιοσύνης ἐπιτυχεῖν καὶ ἁγιασμοῦ· τοὺς δὲ τότε, καὶ δαίμονας ἐλαύνειν, καὶ νεκροὺς ἐγείρειν διὰ σκιᾶς καὶ ἱματίων· ἐννόησον τὸ ὅλον ἡλίκον. εἶτα ἵνα μὴ δῷ τοῖς αἱρετικοῖς λαβὴν, καὶ δόξῃ τὰ παρόντα διαβάλλειν, στενάζομεν φησί· οὐ τῶν παρόντων κατηγοροῦντες, ἀλλὰ τῶν μειζόνων ἐφιέμενοι. τοῦτο γὰρ ἐδήλωσεν εἰπὼν, "υἱοθεσίαν ἀπεκδεχόμενοι." τί λέγεις; ἄνω καὶ κάτω ἔστρεφες ὅτι ἤδη γεγόναμεν υἱοί· καὶ νῦν ἐλπίσι τιθεῖς τουτί τ' ἀγαθόν; γράφων ὅτι ἐκδέχεσθαι αὐτὴν δεῖ; τοῦτο τοίνυν διορθούμενος τῇ ἐπαγωγῇ, λέγει, "τὴν ἀπολύ-"τρωσιν τοῦ σώματος ἡμῶν." τουτέστι, τὴν ἀπηρτισμένην δόξαν. νῦν μὲν γὰρ ἐν ἀδήλῳ τὰ ἡμέτερα ἕστηκεν, ἕως ἐσχάτης ἀναπνοῆς· ἂν δὲ μετὰ χρηστῆς καταλύσωμεν ἐλπίδος, τότε ἀκίνητος ἡ δωρεά· οὐκέτι τὴν ἀπὸ τοῦ θανάτου καὶ τῆς ἁμαρτίας δεδοικυῖα μεταβολήν. τότε οὖν βεβαία ἔσται ἡ χάρις· ὅταν καὶ τὸ σῶμα ἡμῶν ἀπαλλαγῇ θανάτου καὶ τῶν μυρίων παθῶν. τοῦτο γάρ ἐστιν ἀπολύτρωσις. οὐχ ἁπλῶς λύτρωσις, ἀλλ' ὥστε μηκέτι πάλιν ὑποστρέψαι ἐπὶ τὴν προτέραν αἰχμαλωσίαν. ἵνα γὰρ μὴ ἀπορῇς δόξαν ἀκούων συνεχῶς καὶ μηδὲν σαφῶς ἐπιστάμενος, ἐκ μέρους σοι παρανοίγει τὰ μέλλοντα. τὸ σῶμά σοι μεταβάλλων, καὶ τὴν κτίσιν αὐτῷ συμμεταβάλλων ἅπασαν.

Κυρίλλου. Τὸ γοῦν ἐφ' ἡμῖν γίνεσθαι πεφυκὸς, δέχεται πρὸς ἀπόδειξιν τῶν εἰρημένων. "αὐτοὶ γὰρ ἡμεῖς," φησι, "οἱ τὴν "ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες, αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν "βαρυνόμενοι. υἱοθεσίαν ἀπεκδεχόμενοι τὴν ἀπολύτρωσιν τοῦ σώ-"ματος ἡμῶν." ἀληθὲς γὰρ ὅτι φθαρτὸν σῶμα, βαρύνει ψυχήν. καὶ βρίθει τὸ γεῶδες σκῆνος νοῦν πολυφροντίδα. γεγονότος δὲ ἅπαξ ἐν ἡμῖν τοῦ Ἁγίου Πνεύματος, καὶ μεταστοιχειοῦντος ἡμᾶς

εἰς ἔφεσιν ἀρετῆς, ἀντεξάγει ὥσπερ ἡ φιλοσαρκία· καὶ ὁ τοῖς μέλεσιν ἡμῶν ἐγκατασκήψας νόμος, ἀεὶ καταθήγων εἰς ἐκτόπους ἡδονὰς, ἀπηνῶς ἀντανίσταται. ταύτῃ τοι στενάζομεν, τὴν τοῦ σώματος ἡμῶν ἀπολύτρωσιν εἰς υἱοθεσίαν καταλογιζόμενοι. δεδιψήκαμεν γὰρ οὐ τὴν τῶν σωμάτων ἀπόθεσιν. οὔτε μὴν ταύτην εἶναι φαμὲν τὴν λύτρωσιν· ἔσεσθαι δὲ προσδοκῶμεν τὸ σῶμα πνευματικόν. τουτέστιν ἀποβεβληκὸς εἰσάπαν φρόνημά τε τὸ σαρκικὸν καὶ γεῶδες, καὶ τῆς ἁμαρτίας τὸ κέντρον. τοῦτο εἶναι φαμὲν τὸ σῶμα τὸ πνευματικόν. εἰ δὲ τῆς υἱοθεσίας ἡ χάρις, τὴν τοῦ σώματος ἡμῶν ἀπολύτρωσιν ἔχει, μὴ δή τινες ὅλως συκοφαντείτωσαν ἡμῖν τὴν ἀνάστασιν. μήτε μὴν εἰς τοῦτο ἡκόντων ἀσυνεσίας, ὡς ἀπόβλητον μὲν ποιεῖσθαι τὴν σάρκα, καὶ ἀφανισθήσεσθαι λέγειν αὐτὴν πεσοῦσαν εἰς γῆν· ἀντανίστασθαι δὲ ὥσπερ ἕτερόν τι πνευματικόν· ἰσχνὸν φημὶ καὶ ἀερῶδες. νοοῦσι γὰρ ὧδε τὸ πνευματικὸν αὐτοί.

Θεοδωρήτου. Εἰ καὶ εἶπε τοίνυν, ὅτι ἐλάβομεν πνεῦμα υἱοθεσίας. ἀλλ᾽ ὅμως, διδάσκει σαφέστερον, ὅτι τὸ μὲν ὄνομα νῦν ἐλάβομεν, τοῦ δέ γε πράγματος, τότε μεθέξομεν, ὅταν ἡμῶν ἀπαλλαγῇ τὰ σώματα τῆς φθορᾶς, καὶ τὴν ἀθανασίαν ἐνδύσηται.

24 Τῇ γὰρ ἐλπίδι ἐσώθημεν. ἐλπὶς δὲ βλεπομένη, οὐκ
25 ἔστιν ἐλπίς· ὃ γὰρ βλέπει τίς, τί καὶ ἐλπίζει; εἰ δὲ ὃ
οὐ βλέπομεν ἐλπίζομεν, δι᾽ ὑπομονῆς ἀπεκδεχόμεθα.

Χρυσοστόμου. Ἐπειδὴ τῇ τῶν μελλόντων ἐνδιέτριψεν ὑποσχέσει. ἐδόκει δὲ τοῦτο λυπεῖν τὸν ἀσθενέστερον ἀκροατήν. εἴ γε ἐν ἐλπίσι τὰ ἀγαθά· πρότερον κατασκευάσας, ὅτι τῶν παρόντων καὶ ὁρωμένων ἐστὶ σαφέστερα· καὶ πολλὰ περὶ τῶν ἤδη δεδομένων δωρεῶν διαλεχθεὶς, καὶ δείξας, ὅτι καὶ ἀπαρχὴν ἐκείνων ἐλάβομεν τῶν ἀγαθῶν, ἵνα μὴ πάντα ἐνταῦθα ζητῶμεν, καὶ τὴν εὐγένειαν ἡμῶν προσδῶμεν τὴν ἀπὸ τῆς πίστεως, φησὶ, "τῇ γὰρ ἐλ-"πίδι ἐσώθημεν." ὃ δὲ λέγει, τοῦτό ἐστιν. οὐ δεῖ πάντα ἐνταῦθα ζητεῖν, ἀλλὰ καὶ ἐλπίζειν. τοῦτο γὰρ μόνον εἰσηνέγκαμεν τῷ Θεῷ δῶρον, τὸ πιστεῦσαι αὐτῷ τὰ μέλλοντα ἐπαγγειλαμένῳ. καὶ διὰ ταύτης μόνου ἐσώθημεν τῆς ὁδοῦ. ἂν τοίνυν αὐτὴν ἀπολέ-

σωμεν[p]. *εἰ τοίνυν αὕτη σε ἔσωσε, ταύτην κάτεχε καὶ νῦν. ἡ γὰρ τοσαῦτά σοι παρασχοῦσα ἀγαθὰ, εὔδηλον ὅτι οὐδὲ περὶ τῶν μελλόντων σε ψεύσεται. εἰ γὰρ ἐχθρὸν λαβοῦσα, φίλον ἐποίησε, καὶ υἱὸν καὶ κληρονόμον, πῶς μετὰ τὴν τοσαύτην σε οἰκείωσιν, προήσεται ἐν τοῖς ἑξῆς; ἂν δὲ ἐνταῦθα πάντα ἀπαιτῇς, ἀπώλεσάς σου τὸ κατόρθωμα· δι' οὗ λαμπρὸς ἐγένου. διὸ ἐπάγει, "ἐλπὶς δὲ "βλεπομένη, οὐκ ἔστιν ἐλπίς. ὃ γὰρ βλέπει τίς, τί ἐλπίζει; "εἰ δὲ ὃ οὐ βλέπομεν, ἐλπίζομεν, δι' ὑπομονῆς ἀπεκδεχόμεθα·" τουτέστιν· εἰ πάντα ἐνταῦθα μέλλεις ζητεῖν, τίς χρεία ἐλπίδος; τί οὖν ἐστιν ἐλπίς; τὸ τοῖς μέλλουσι θαρρεῖν· τί γὰρ μέγα αἰτεῖ παρὰ σοῦ ὁ Θεός; αὐτὸς ὁλόκληρα οἴκοθεν διδοὺς τὰ ἀγαθὰ, ἓν αἰτεῖ παρὰ σοῦ μόνον. ἐλπίδα. ἵνα ἔχῃς τί καὶ αὐτὸς συνεισενεγκεῖν εἰς τὴν σὴν σωτηρίαν. ὅπερ οὖν καὶ αἰνιττόμενος, ἔλεγεν. "εἰ δὲ ὃ οὐ βλέπομεν ἐλπίζομεν, δι' ὑπομονῆς ἀπεκδεχόμεθα." ὥσπερ γὰρ τὸν πονοῦντα καὶ ταλαιπωρούμενον καὶ μυρία κάμνοντα, οὕτω καὶ τὸν ἐλπίζοντα ὁ Θεὸς στεφανοῖ. τὸ γὰρ τῆς ὑπομονῆς ὄνομα, ἱδρώτων ἐστὶν ὄνομα καὶ καρτερίας πολλῆς. ἀλλ' ὅμως ἐχαρίσατο καὶ τοῦτο τῷ ἐλπίζοντι· ἵνα παραμυθήσηται τὴν ἀποκαμοῦσαν ψυχήν.*

Ἄνωθεν δέ τις ἀπὸ τοῦ, "τὴν υἱοθεσίαν ἀπεκδεχόμενος," ἀρξάμενος, οὕτως ἔφη περὶ τούτων.

ΦΩΤΙΟΥ. *Τί γὰρ οὐκ ἐλάβομεν ταύτην διὰ τοῦ βαπτίσματος; οὐχὶ καὶ αὐτὸς πρὸ μικροῦ ἔφης, ὅτι πνεῦμα υἱοθεσίας ἐλάβετε; ναί φησιν. ποίαν οὖν ἀπεκδεχόμεθα; τὴν φανερουμένην, φησὶν, κατὰ τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν. ἄλλην παρὰ τὴν εἰρημένην; μὴ γένοιτο. ἀλλ' αὐτὴν ἐκείνην τελειότερον φανερουμένην, καὶ διὰ πείρας αὐτῆς ἐπιγινωσκομένην. μετὰ γὰρ τὴν ἀπολύτρωσιν τοῦ σώματος, τότε ἡ τῶν ἀγαθῶν ἀπόλαυσις. τότε πάντα τὰ τῆς υἱοθεσίας γνωρίσματα καὶ ἀποτελέσματα. καὶ νῦν γὰρ ἐπ' ἐλπίδι τούτων ἐλάβομεν τὴν υἱοθεσίαν. αὐτὸς δὲ ἐμφαντικώτερον εἶπεν, "ἐσώθημεν." πῶς οὖν ἠλπίσαμεν ταῦτα, μὴ τούτων παραγεγονότων ἤδη, μὴ δ' ὑπ' ὄψιν ἡμῶν πεσόντων, μὴ δ' ὑπὸ πεῖραν; καλῶς φησιν καὶ εὐλόγως. εἰ γὰρ ὑπ' ὄψιν ἡμῶν, καὶ ὑπὸ πεῖραν ἤδη τὰ ἐλπιζόμενα ἀγαθὰ ἐγεγόνει, οὐκ ἂν ἦν ἐλπιζόμενα. ὃ γάρ*

[p] Defectus.

τις κατέχειν, πῶς οἷόν τε ἐλπίζειν; οὐκοῦν κατὰ φύσιν ἴδιον τῆς ἐλπίδος τοῦτο. τὸ περὶ μελλόντων αὐτὴν, καὶ μήπω παρόντων εἶναι. ὥστε καὶ ἡμᾶς ἃ οὐ βλέπομεν, ἐκεῖνα δέον ἐλπίζειν. εἰ δὲ ἃ οὐ βλέπομεν, ὥσπερ δεῖ, ἐκεῖνα καὶ ἐλπίζομεν, ὑπομένειν δεῖ καὶ ἀπεκδέχεσθαι τὰ προσδοκηθέντα, καὶ μὴ ἀθρόον ἐπιζητεῖν αὐτὰ παραγενέσθαι. μάλιστα τοῦ Πνεύματος διὰ τῶν ἐνταῦθα χαρισμάτων πιστουμένου τὰ ἐκεῖθεν, καὶ τὴν ἀσθένειαν τῶν λογισμῶν ἡμῶν συναντιλαμβανομένου καὶ θεραπεύοντος. πόσα γὰρ εὐεργετεῖ ἐν αὐταῖς ἡμῶν ταῖς εὐχαῖς; ἵνα νῦν τὰ ἄλλα ἐάσω, διδάσκον ὅπως χρὴ εὔχεσθαι, καὶ πάντα εἰς τὸ ἀγαθὸν συνεργοῦν.

26 Ὡσαύτως δὲ καὶ τὸ πνεῦμα συναντιλαμβάνεται ταῖς ἀσθενείαις ἡμῶν. τὸ γὰρ τί προσευξόμεθα, καθὸ δεῖ, οὐκ οἴδαμεν. ἀλλ' αὐτὸ τὸ πνεῦμα ἐντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις.

Χρυσοστόμου. Δείκνυσιν ὅτι καὶ πρὸς τὸ κοῦφον τοῦτο. τὴν ἐν ἐλπίδι ὑπομονὴν, πολλῆς ἀπολαύομεν βοηθείας. τὸ μὲν γάρ, φησιν, γίνεται σὸν, τὸ τῆς ὑπομονῆς. τὸ δὲ, τῆς τοῦ Πνεύματος χορηγίας· εἴς τε τὴν ἐλπίδα σε ἀλείφοντος, καὶ δι' αὐτῆς πάλιν τοὺς πόνους κουφίζοντος. εἶτα ἵνα μάθῃς ὅτι οὐκ ἐν τοῖς πόνοις σοὶ μόνον καὶ τοῖς κινδύνοις παρέστηκεν αὕτη ἡ χάρις, ἀλλὰ καὶ ἐν τοῖς εὐκολωτάτοις δοκοῦσιν εἶναι συμπράττει, καὶ πανταχοῦ τὴν παρ' ἑαυτοῦ βοήθειαν εἰσφέρει, ἐπήγαγε· "τὸ γὰρ τί προσ-"ευξόμεθα, καθὸ δεῖ, οὐκ οἴδαμεν." ταῦτα δὲ ἔλεγε, τήν τε πολλὴν τοῦ Πνεύματος ἐμφαίνων πρόνοιαν τὴν περὶ ἡμᾶς, καὶ παιδεύων αὐτοὺς μὴ πάντως ἐκεῖνα νομίζειν εἶναι συμφέροντα ἃ τοῖς λογισμοῖς φαίνεται τοῖς ἀνθρωπίνοις. ἐπειδὴ γὰρ ἦν εἰκὸς αὐτοὺς μυρία πάσχοντας δεινὰ ἄνεσιν ζητεῖν, καὶ ταύτην αἰτεῖν παρὰ Θεοῦ τὴν χάριν, καὶ νομίζειν αὐτοὺς λυσιτελεῖν, λέγει· μὴ πάντως τὰ δοκοῦντα ὑμῖν εἶναι συμφέροντα, ταῦτα καὶ εἶναι νομίζετε· καὶ γὰρ εἰς τοῦτο τῆς τοῦ Πνεύματος δεόμεθα βοηθείας. ὅθεν καὶ ἔλεγε, τὸ, "τί προσευξόμεθα καθὸ δεῖ οὐκ οἴδαμεν." ἵνα γὰρ μηκέτι ὁ μαθητὴς αἰσχύνηται τὴν ἄγνοιαν, ἔδειξε καὶ τοὺς διδασκάλους ἐν τοῖς αὐτοῖς ὄντας. οὐ γὰρ εἶπεν, οὐκ οἴδατε, ἀλλ'

"οὐκ οἴδαμεν." καὶ ὅτι οὐ μετριάζων ταῦτα ἔλεγεν, ἐδήλωσε δι' ἑτέρων. καὶ γὰρ ἀδιαλείπτως ἐπὶ τῶν προσευχῶν αὐτοῦ, τὴν Ῥώμην ἰδεῖν ἐδεῖτο. καὶ οὐχ ὅτε ἐδεῖτο τότε ἐπέτυχε. καὶ ὑπὲρ τοῦ σκόλοπος δὲ τοῦ δεδομένου αὐτῷ ἐν τῇ σαρκί· τουτέστι τῶν κινδύνων, παρεκάλεσε καὶ ἀπέτυχε. καὶ Μωϋσῆς δὲ ἐν τῇ παλαιᾷ ὑπὲρ τοῦ τὴν Παλαιστίνην ἰδεῖν δεόμενος. καὶ Ἱερεμίας δὲ, ὑπὲρ Ἰουδαίων ἱκετεύων. καὶ Ἀβραὰμ ὑπὲρ Σοδομιτῶν ἐντυγχάνων.

"Ἀλλ' αὐτό" φησι, "τὸ Πνεῦμα ἐντυγχάνει ὑπὲρ ἡμῶν, στεναγμοῖς ἀλαλήτοις." ἀσαφὲς τὸ εἰρημένον διὰ τὸ πολλὰ τῶν τότε γενομένων θαυμάτων, νῦν πεπαῦσθαι. διόπερ ἀναγκαῖον διδάξαι ὑμᾶς τὴν τότε κατάστασιν, καὶ οὕτω σαφέστερος λοιπὸν ἔσται ὁ λόγος. τίς οὖν ἡ τότε κατάστασις; διάφορα πᾶσι τοῖς τότε βαπτιζομένοις χαρίσματα ἐδίδοτο, ἃ δὴ καὶ πνεύματα ἐκαλεῖτο. πνεύματα γὰρ προφητῶν προφήταις ὑποτάσσεται φησί. καὶ ὁ μὲν, εἶχε προφητείας χάρισμα· τοῦ τὰ μέλλοντα προλέγειν. ὁ δὲ, σοφίας, καὶ ἐδίδασκε τοὺς πολλούς. ὁ δὲ, ἰαμάτων, καὶ ἐθεράπευε τοὺς νοσοῦντας. ὁ δὲ, δυνάμεων, καὶ τοὺς νεκροὺς ἤγειρε. μετὰ δὲ τούτων ἁπάντων, ἦν καὶ εὐχῆς χάρισμα, ὃ καὶ αὐτὸ ἐλέγετο πνεῦμα. καὶ ὁ τοῦτο ἔχων, ὑπὲρ τοῦ πλήθους παντὸς ηὔχετο. ἐπειδὴ γὰρ ἀγνοοῦντες πολλὰ τῶν συμφερόντων ἡμῖν, τὰ μὴ συμφέροντα αἰτοῦμεν, ἤρχετο εἰς ἕνα τινὰ τῶν τότε χάρισμα εὐχῆς. καὶ τὸ κοινῇ συμφέρον ἁπάσης τῆς ἐκκλησίας, αὐτός τε ὑπὲρ ἁπάντων ἵστατο αἰτῶν, καὶ τοὺς ἄλλους ἐπαίδευε. πνεῦμα τοίνυν ἐνταῦθα καλεῖ τό τε χάρισμα τὸ τοιοῦτον, καὶ τὴν ψυχὴν τὴν δεχομένην τὸ χάρισμα, καὶ ἐντυγχάνουσαν τῷ Θεῷ καὶ στενάζουσαν. ὁ γὰρ τοιαύτης καταξιωθεὶς χάριτος, ἑστὼς μετὰ κατανύξεως πολλῆς, μετὰ πολλῶν τῶν στεναγμῶν τῶν κατὰ διάνοιαν· τῷ Θεῷ προσπίπτων, ᾔτει πᾶσι τὰ συμφέροντα· οὗ καὶ νῦν σύμβολον ὁ διάκονος ἐστὶ, τὰς ὑπὲρ τοῦ δήμου ἀναφέρων εὐχάς. ἐνταῦθα τοίνυν οὐ περὶ τοῦ Παρακλήτου ἐστὶν ὁ λόγος, ἀλλὰ περὶ τῆς καρδίας τῆς πνευματικῆς.

ΚΥΡΙΛΛΟΥ. "Ἐντυγχάνει στεναγμοῖς ἀλαλήτοις ὑπὲρ ἡμῶν." ἐπειδὴ στενάζομεν ἐσθ' ὅτε, τὰς πρὸς τὸν Θεὸν ἱκετείας ἐκτελεῖν σπουδάζοντες. οὐκοῦν μανθάνομεν ἐν Ἁγίῳ Πνεύματι, καὶ τοῦτο·

σοφὸν γὰρ, ὡς καὶ ὁ Υἱός. "ἐπειδὴ δέ," φησιν, "τὸ τί προσευ-"ξόμεθα, καθὸ δεῖ, οὐκ οἴδαμεν," ἐκεῖνο ζητήσωμεν. καί τοι τὸ τίνα δεῖ τρόπον εὔχεσθαι, πεπαιδεύμεθα παρὰ τοῦ Χριστοῦ λέγοντος ἐναργῶς, "ὑμεῖς οὖν προσεύχεσθε· Πάτερ ἡμῶν, ὁ ἐν τοῖς "οὐρανοῖς·" καὶ ὅσα τούτοις κείμενα ἐστὶν ἐφεξῆς. ὅτε τοίνυν καθ' ὃν πρέπει τρόπον ἐκτελεῖν τὰς ἱκετείας ἐγνώκαμεν, τίς ἂν, εἰπέ μοι, γένοιτο τῶν ἀποστολικῶν γραμμάτων ὁ λόγος; ἤ, ἔνθα ἂν βλέποι τὸ διὰ τῆς τοῦ Παύλου φωνῆς εἰρημένον; φαμὲν οὖν ὅτι προσευχόμεθα μὲν ἐκζητοῦντες τὴν τῶν ἀγαθῶν αἴτησιν, καὶ τὰ εἰς δόξαν Θεοῦ πρό γε τῶν ἄλλων· καὶ τὰ δι' ὧν ἂν ἔσοιτο βιῶναί τε ὀρθῶς, καὶ τὴν ζωὴν τὴν εὐδόκιμον ἀληθῶς κατορθῶσαι. "τὴν δὲ ἀπαρχὴν ἔχοντες τοῦ Πνεύματος, καὶ αὐτοὶ στενάζομεν "ἐν ἑαυτοῖς. υἱοθεσίαν ἀπεκδεχόμενοι, καὶ ἐλπίζοντες τὴν ἀπολύ-"τρωσιν τοῦ σώματος." καὶ ὡς ἔν γε τούτῳ τῷ μέρει τὸ, "τί "προσευξόμεθα καθὸ δεῖ οὐκ οἴδαμεν." "εἰ γὰρ ὀφθαλμὸς οὐκ "εἶδε καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, "ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτὸν," τί προσιόντες αἰτήσομεν; ἢ πῶς ἂν εἰδείημεν, ἃ μὴ τεθεάμεθα; μᾶλλον δὲ καὶ τὰ ἐπέκεινα νοῦ, καὶ ταῖς τῶν ἀνθρώπων καρδίαις οὐκ ἐγνωσμένα; ποία δ' ἂν γένοιτο καὶ ἡ τοῦ σώματος ἀπολύτρωσις· ἢ τίς ὁ μεταπλασμός· ἀναστοιχειοῦται δὲ ὅπως εἰς ἀφθαρσίαν καὶ δόξαν· αὐτὸς ἂν εἰδείη καὶ μόνος ὁ τούτων τεχνίτης. ἔφη δέ που πρός τινας τοῦ Σωτῆρος ὁ μαθητὴς, καθὸ δεῖ προσεύχεσθαι μὴ εἰδότας, "αἰτεῖτε καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε. ἵνα ἐν ταῖς ἡδο-"ναῖς ὑμῶν δαπανήσητε·" οὐκοῦν πρέποι ἂν τοῖς ὧδε διακειμένοις εἰπεῖν, τὸ, "τί προσευξόμεθα, καθὸ δεῖ οὐκ οἴδαμεν." ἀλαλήτοις δὴ οὖν ἐν στεναγμοῖς λαλοῦμεν ἐν Πνεύματι, ἃ καὶ ὅτι μὲν ἔσται, πεπιστεύκαμεν· τίνα δὲ τρόπον, ἀγνοοῦμεν παντελῶς.

Θεοδωρήτου. Ἢ καὶ ἁπλούστερον, μὴ αἰτεῖτε, φησὶ, τῶν λυπηρῶν τὴν ἀπαλλαγήν· οὐ γὰρ ἴστε τὸ συμφέρον, ὡς ὁ κυβερνῶν Θεός. δότε ὑμᾶς αὐτοὺς τῷ κατέχοντι τοῦ παντὸς τὰ πηδάλια· οὗτος γὰρ, κἂν μηδὲν αἰτήσετε, στενάζητε δὲ μόνον ὑπὸ τῆς ἐνοικούσης χάριτος ἐνεργούμενοι, σοφῶς τὰ καθ' ὑμᾶς πρυτανεύει, καὶ τὸ συνοῖσον μέλλει παρέξειν.

Οἰκουμενίου. Αὐτό, φησιν, τὸ Πνεῦμα συναντιλαμβάνεται ταῖς ἀσθενείαις ἡμῶν. εἰ μὲν γὰρ σπεύδεις ἐργάσασθαι τὰ ἀγαθὰ, ὡσαύτως καὶ τὸ Πνεῦμα φροντίσει σου. εἰ δὲ ἀμελεῖς, ἀμεληθήσῃ.

Θεοδώρου Μονάχου. Σημεῖον δὲ ἀσθενείας, καὶ τὸ σπουδάζειν παραγενέσθαι τὰ ἐλπιζόμενα, πρὸ τοῦ δέοντος καιροῦ. συναντιλαμβάνεται οὖν ἡμῖν τὸ Πνεῦμα, ἀσθενοῦσι περὶ τὸ εὔχεσθαι ἃ δεῖ. ἐπειδὴ ἡμεῖς τὰ συμφέροντα οὐκ ἴσμεν, οὐδὲ τοὺς εὐθέτους καιρούς. τὸ μέντοι Πνεῦμα τὸ Ἅγιον ἐν τῷ συνεργεῖν, οὐκ ἀναιρεῖ τῆς αὐτεξουσιότητος τὴν χάριν. τὸ γὰρ συνεργεῖν, συμπράττειν ἐστὶν ἀσθενούσῃ τῇ γνώμῃ. οὐκ ἀναγκάζει, ἀλλὰ τοὺς ἑκουσίως εἰς ἀρετὴν ὁρμῶντας, ἐπιρωννύει· καὶ αὐτὸ δὲ τὸ Ἅγιον Πνεῦμα ἔστιν εἰπεῖν, ὅτι διὰ τῶν ἀλαλήτων στεναγμῶν, οὓς ἐγκαταμιγνυσι ταῖς τῶν ὁσίων εὐχαῖς, διορθοῦται τῶν εὐχομένων τὴν ἄγνοιαν· ὅταν ὁ εὐχόμενος ἐξ ἀγνοίας αἰτῇ τὸ μὴ δέον. ἀλαλήτους δέ φησι στεναγμοὺς, τοὺς ἐν βάθει τῆς καρδίας ὑπὸ τοῦ Ἁγίου Πνεύματος κινουμένους.

Γενναδίου. Ἢ καὶ οὕτως. ἡ μὲν φύσις ἡμῶν ἐστι, φησὶν, ἀσθενὴς, καὶ τὸ καθ' αὑτὴν τὸ αὖθις ἀναβιώσεσθαι· τὰ δὲ ἐπηγγελμένα, μεγάλα τὲ καὶ θεῖα, καὶ οἷα μηδὲ νῷ χωρηθῆναι δυνάμενα. ἀλλ' ὅμως πρὸς πίστιν τούτων τῶν τηλικούτων, ἀπὸ τοῦ Πνεύματος οὐ μικρὰν ἐπικουρίαν ἔχομεν. τὰ γὰρ καὶ αἰτήσεως κρείττονα, καὶ περὶ ὧν οὐκ ἴσμεν, οὐ δὲ ὅπως εὔξασθαι χρὴ, ἵν' εἴπῃ καὶ τὰ ὑπὲρ νοῦν ἀνθρώπινον καὶ εὐχὴν, ταῦτα ἡμῖν ἡ δεδομένη τοῦ Πνεύματος τοῦ Ἁγίου χάρις ἀπορρήτως εἰσπράττεται, καὶ δίδωσιν ἡ ἀπαρχὴ θαρρεῖν περὶ τοῦ παντός. ὥσπερ γὰρ οἱ ἐπὶ τῶν γάμων ἀρραβῶνες, οὓς ἀλλήλοις οἱ γαμοῦντες διδόασιν, ἐγγυῶνται τὰ μετὰ ταῦτα· καὶ προφερόμενοι τὰς ἐφ' οἷς δέδονται συνθήκας, ἐπὶ πέρας ἀχθῆναι καταναγκάζουσιν· οὕτως οἶμαι καὶ ἡ ἀπαρχὴ τοῦ Πνεύματος, τουτέστι τὸ μερικὸν τοῦ Πνεύματος χάρισμα, ὅ ἐστιν ἀρραβὼν τῆς κληρονομίας ἡμῶν, τὴν ἐπὶ καιροῦ δοθησομένην καθόλου χάριν ἡμῖν βεβαιοῖ. δέον οὖν ἄρα τοὺς ὑπὲρ αὐτῆς πόνους μὴ ἀποφεύγειν. τὸ δὲ ἐντυγχάνειν, μεταφορικῶς εἶπεν· ἀπὸ τοῦ καὶ ἡμῶν τὰς χρείας ταῖς πρὸς ἀλλήλους ἐντυχίαις ἀνύεσθαι.

27 Ὁ δὲ ἐρευνῶν τὰς καρδίας, οἶδε τὸ φρόνημα τοῦ πνεύματος, ὅτι κατὰ Θεὸν ἐντυγχάνει ὑπὲρ ἁγίων.

Χρυσοστόμου. Ἐκ τούτων μᾶλλον ἀληθὲς φαίνεται ὅτι περὶ τοῦ Παρακλήτου οὐκ ἔστιν ὁ λόγος τῷ Παύλῳ. ἀλλὰ περὶ τῆς καρδίας τῆς πνευματικῆς. ἐπεὶ εἰ μὴ τοῦτο ἦν, ἔδει εἰπεῖν, ὁ δὲ ἐρευνῶν τὸ Πνεῦμα. ἀλλ' ἵνα μάθῃς ὅτι περὶ ἀνθρώπου ὁ λόγος πνευματικοῦ, καὶ χάρισμα ἔχοντος εὐχῆς, ἐπήγαγεν, "ὁ δὲ ἐρευνῶν τὰς καρδίας, οἶδε τί τὸ φρόνημα τοῦ πνεύματος." τουτέστι, τοῦ ἀνθρώπου τοῦ πνευματικοῦ· ὅτι κατὰ Θεὸν ἐντυγχάνει ὑπὲρ ἁγίων. οὐ γὰρ ἀγνοοῦντα, φησὶν, διδάσκει τὸν Θεόν· ἀλλὰ τοῦτο γίνεται, ἵνα ἡμεῖς μάθωμεν εὔχεσθαι ἃ χρὴ, καὶ αἰτεῖν παρὰ τοῦ Θεοῦ τὰ δοκοῦντα αὐτῷ. τοῦτο γάρ ἐστι τὸ κατὰ Θεόν. ὥστε καὶ παρακλήσεως ἕνεκεν ἐγίνετο τοῦτο τῶν προσιόντων, καὶ διδασκαλίας ἀρίστης. καὶ γὰρ ὁ παρέχων τὰ χαρίσματα, καὶ τὰ μυρία διδοὺς ἀγαθὰ, ὁ παράκλητος ἦν. "πάντα γὰρ ταῦτα," φησὶν, "ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα." καὶ τῆς ἡμετέρας παιδεύσεως χάριν τοῦτο γίνεται, καὶ τοῦ δειχθῆναι τοῦ Πνεύματος τὴν ἀγάπην· ὅτι μέχρι τούτου συγκαταβαίνει. ὅθεν καὶ τὸ εὔχεσθαι τῷ ἀγαπωμένῳ ἐγίνετο· μᾶλλον δὲ τὸ ἀκούεσθαι τῷ εὐχομένῳ.

Γενναδίου. Διὰ μέντοι τοῦ, ὁ ἐρευνῶν, οὐκ ἄγνοιαν ἐσήμανεν. ἀλλὰ τὴν ἀκριβῆ τοῦ Θεοῦ γνῶσιν τῶν καθ' ἡμᾶς. ἐπεὶ καὶ ἡμεῖς ἐρεύνης καὶ πλείονος ἀξιοῦμεν ζητήσεως, ἅπερ ἂν ἀκριβῶς βουληθείημεν λαβεῖν. τοῦτο προσέοικε κἀκεῖνο· "τὸ Πνεῦμα πάντα ἐρευνᾷ·" καὶ τὸ παρὰ τοῦ προφήτου Σοφονία· "ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγει Κύριος, ἐξερευνήσω τὴν Ἱερουσαλὴμ μετὰ λύχνου." Θεὸς οὖν φησὶν, ὁ σοφῶς πάντα τὰ τῶν ἀνθρώπων εἰδὼς, οὐδὲ τὸν σκοπὸν τοῦ πνεύματος ἡμῶν ἀγνοεῖ· ἀλλ' οἶδεν ὅτι κατὰ τὸ αὐτοῦ θέλημα· καὶ ἐφ' ᾧ δέδωκεν αὐτό. τοῦτο γάρ ἐστι, τὸ "κατὰ Θεόν." πρὸς αὐτὸν ποιεῖται τὴν ἔντευξιν. ὥστε τυχεῖν οὓς ἀγαπᾷ, ὁλοκλήρου τῆς ἁγιότητος. τουτέστιν, ὥστε αὐτοὺς διὰ τῆς ἀναστάσεως, εἰς ἀθάνατον καὶ ἀπαθῆ μεταστῆναι ζωήν. ἁγίους δέ φησιν, τοὺς πιστούς. διττὸν γὰρ τὸ τῆς ἁγιότητος ὄνομα. τὸ μὲν, ἀπὸ τῆς πίστεως. τὸ δὲ, ἀπὸ τῆς ἀρίστης πολιτείας. ἢ ἁγίους, τοὺς

διὰ τῆς εὐχῆς ἁγιαζομένους. ἢ ὑπὲρ ἁγίων φησίν. ἀντὶ τοῦ, ὑπὲρ καθαρῶν καὶ θεαρέστων ἔργων τὰς αἰτήσεις ποιεῖται. ἢ ὑπὲρ ἀνθρώπων τὸν ἁγιασμὸν ἐπιποθούντων. οὐκ εἶπε δὲ ἐντυγχάνει, ἀλλ' ὑπερεντυγχάνει· τὴν σύντονον καὶ κατεσπουδασμένην δηλῶν ἔντευξιν.

28 Οἴδαμεν δὲ ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν, πάντα συνεργεῖ εἰς τὸ ἀγαθὸν, τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν.

Χρυσοστόμου. *Ἐνταῦθά μοι δοκεῖ πρὸς τοὺς ἐν κινδύνοις ὄντας ἅπαν τοῦτο κεκινηκέναι τὸ χωρίον. μᾶλλον δὲ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὰ μικρῷ πρὸ τούτων εἰρημένα. καὶ γὰρ τὸ "οὐκ "ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ," καὶ τὰ ἑξῆς ἅπαντα, πρὸς ἐκείνους εἴρηται. δι' ἐκείνων τοίνυν πάντων ἀλείψας αὐτοὺς, καὶ παιδεύσας, μὴ ἅπερ ἂν νομίσωσιν εἶναι συμφέροντα, ταῦτα αἰτεῖσθαι πάντως· ἀλλ' ἅπερ ἂν τὸ Πνεῦμα ὑποβάλῃ, ἄνεσις γὰρ καὶ κινδύνων ἀπαλλαγὴ καὶ τὸ ἐν ἀδείᾳ ζῇν ἐδόκει συμφέρον ἐκείνοις· ὅπερ ἐπιβλαβὲς μᾶλλον ἐστὶν, ἐπάγει καὶ ταῦτα*[q]. *λογισμὸν κινῶν ἱκανὸν αὐτοὺς ἀνακτήσασθαι. ὅταν δὲ εἴπῃ πάντα, καὶ τὰ δοκοῦντα εἶναι λυπηρὰ λέγει. κἂν γὰρ θλίψις καὶ πενία· κἂν ὁτιοῦν ἕτερον ἐπέλθῃ, δυνατὸς ὁ Θεὸς εἰς τοὐναντίον ἅπαντα μεταβαλεῖν. ἐπεὶ καὶ τοῦτο τῆς ἀφάτου δυνάμεως αὐτοῦ· τὸ τὰ δοκοῦντα εἶναι μοχθηρὰ, κοῦφα τὲ ἡμῖν ποιεῖν, καὶ εἰς τὴν ὑπὲρ ἡμῶν τρέπειν βοήθειαν. διόπερ οὐκ εἶπε τοῖς ἀγαπῶσι τὸν Θεὸν, οὐκ ἐπέρχεταί τι δεινὸν, ἀλλ' ὅτι "συνεργεῖ εἰς ἀγαθόν." τουτέστιν, ὅτι αὐτοῖς τοῖς δεινοῖς κέχρηται εἰς τὴν τῶν ἐπιβουλευομένων εὐδοκίμησιν. ὅπερ πολλῷ μεῖζον ἐστὶ, τοῦ κωλῦσαι ἐπελθεῖν τὰ δεινά· ἢ καταλῦσαι ἐπελθόντα. ὃ καὶ ἐπὶ τῆς Βαβυλωνίας καμίνου πεποίηκεν. οὔτε γὰρ ἐκώλυσεν ἐμπεσεῖν εἰς αὐτήν· οὔτε ἐμπεσόντων τῶν ἁγίων ἐκείνων, τὴν φλόγα ἔσβεσεν. ἀλλὰ ἀφεὶς καίεσθαι, δι' αὐτῆς ταύτης θαυμαστοτέρους εἰργάσατο. εἶδες πῶς τοῖς ἀγαπῶσι τὸν Θεὸν, πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν;*

Γενναδίου. *Καὶ τοῦτο ἡμῖν που πάντως ἀνωμολόγηται, φησὶν, ὅτι ὁ Θεὸς οὐκ ἐγκαταλείπει ποτὲ τοὺς ἀγαπῶντας αὐτόν.*

[q] Desunt quædam.

ἀλλ' ἅπαντα αὐτοῖς τὰ περὶ αὐτοὺς συμβαίνοντα, γίνεσθαι παρασκευάζει εἰς ἀγαθόν.

Θεοδωρήτου. Πλὴν οὐχ ἅπασι συνεργεῖ, ἀλλὰ τοῖς ἀγαπῶσι. καὶ οὐχ ἁπλῶς συνεργεῖ, ἀλλ' εἰς ἀγαθόν. εἰ γάρ τις αἰτήσει τὰ μὴ συμφέροντα, διαμαρτάνει τῆς αἰτήσεως· ἐπειδὴ τὸ μὴ τυχεῖν συμφέρει.

Θεοδώρου Μονάχου. Ἢ τὸ Πνεῦμα συνεργεῖ, ὅ ἐστι συμπράττει εἰς τὸ ἀγαθὸν τοῖς ἀγαπῶσι τὸν Θεόν. ἀγαπῶσι δὲ τὸν Θεὸν, οἱ κατὰ πρόθεσιν κλητοί. οἱ διὰ τὴν ἀγαθὴν πρόθεσιν, ἄξιοι γεγονότες κλήσεως. ὁ μὲν γὰρ Θεὸς καλεῖ πάντας, οὐ πᾶσι δὲ συνεργεῖ, ἀλλὰ τοῖς εὐσεβῆ πρόθεσιν ἔχουσιν. οὗτοι γὰρ καὶ τέλειοι, καὶ υἱοί. οὐ μὴν Ἰουδαῖοι, οἱ φόβῳ τοῦ νόμου εὐσεβοῦντες. διὸ καὶ δοῦλοι οὗτοι. εἶτα ἐπειδὴ εἶπε, πάντα συνεργεῖ εἰς τὸ ἀγαθὸν ὁ Θεὸς, ἐπάγει καὶ τὰ ἑξῆς.

Χρυσοστόμου. Εἰπὼν γὰρ τὸ μέγα τοῦτο ἀγαθὸν, καὶ σφόδρα τὴν ἀνθρωπίνην ὑπερβαῖνον φύσιν, ὅτι οὐ κωλύει τὰ δοκοῦντα εἶναι Θεὸς, ἀλλ' εἰς τὴν τῶν ἐπιβουλευομένων εὐδοκίμησιν αὐτοῖς κέχρηται. ἐπειδὴ πολλοῖς ἄπιστον τοῦτο εἶναι ἐδόκει· ἀπὸ τῶν παρελθόντων αὐτὸ πιστοῦται· "τοῖς κατὰ πρόθεσιν," λέγων, "κλη-"τοῖς οὖσι." σκόπει γάρ, φησι, εὐθέως ἀπὸ τῆς κλήσεως τὸ εἰρημένον. διατί γὰρ μὴ ἐξαρχῆς πάντας ἐκάλεσεν, ἢ μηδὲ αὐτὸν Παῦλον εὐθέως μετὰ τῶν ἄλλων, οὐ δοκεῖ ἡ ἀναβολὴ ἐπιζήμιος εἶναι. ἀλλ' ὅμως, ἐδείχθη διὰ τῶν πραγμάτων, ὅτι χρήσιμος γέγονε. πρόθεσιν δὲ ἐνταῦθα φησίν· ἵνα μὴ τὸ πᾶν τῇ κλήσει δῷ. ἐπειδὴ οὕτως ἔμελλον καὶ Ἕλληνες ἀντιλέγειν καὶ Ἰουδαῖοι. εἰ γὰρ ἡ κλῆσις ἤρκει μόνον, τίνος ἕνεκεν οὐ πάντες ἐσώθησαν; ὅτι οὐχ ἡ κλῆσις μόνον, ἀλλὰ καὶ ἡ πρόθεσις τῶν καλουμένων τὴν σωτηρίαν ἐργάζεται. οὐ γὰρ ἠναγκασμένη γέγονεν ἡ κλῆσις. πάντες γοῦν ἐκλήθησαν, ἀλλ' οὐ πάντες ἐσώθησαν.

Ἰσιδώρου. Ἡ γὰρ θεία χάρις τῇ ἀνθρωπίνῃ κιρνωμένη προθυμίᾳ, σώζει τὸν ἄνθρωπον. διόπερ καὶ ὁ τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα, εἶπε συνεργεῖν τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν. οὐ γὰρ ἡ κλῆσις μόνον· πάντες γὰρ ὑπήκουσαν μὲν οὐδαμῶς· ἐκλήθησαν δὲ, ἀλλὰ καὶ ἡ πρόθεσις τῶν κεκλημένων τὴν σωτηρίαν

εἰργάσατο. οὐ γὰρ ἠναγκασμένη γέγονεν ἡ κλῆσις, οὐδὲ βεβιασμένη, ἀλλ' ἑκουσία.

Θεοδωρήτου. Σφόδρα τοίνυν ἀκριβῶς συνέζευξε τῇ κλήσει τὴν πρόθεσιν. οὐ γὰρ ἁπλῶς καλεῖ, ἀλλὰ τοὺς πρόθεσιν ἔχοντας. διὰ τοῦτο ἐν μὲν Κορίνθῳ ἔφη τῷ Ἀποστόλῳ, "λάλει καὶ μὴ "σιωπήσῃς. ἔστι γάρ μοι λαὸς πολὺς ἐν τῇ πόλει ταύτῃ." εἰς δὲ τὴν Μυσίαν λαλῆσαι τὸν λόγον ἐκώλυσεν. εἰς μέντοι τὴν Ἀσίαν, τὸ μὲν πρῶτον, ἐπέσχεν. ὕστερον δὲ τοῦτο ἐπέσχεν ἥκιστα· ἀλλὰ ποιῆσαι προσέταξε. διὰ τοῦτο καὶ ἐν Ἱεροσολύμοις ἔφη πρὸς αὐτὸν, "σπεῦσον καὶ ἔξελθε τὸ τάχος ἐντεῦθεν. οὐ γὰρ "μὴ προσδέξονταί σου τὴν μαρτυρίαν." διὰ τοῦτο κἀνταῦθα, "τοῖς κατὰ πρόθεσιν," ἔφη, "κλητοῖς."

Γενναδίου. Ἐντεῦθεν μέντοι καὶ τὴν ἀπολογίαν τὴν ὑπὲρ τῆς τῶν Ἰουδαίων ἀποβολῆς, ἤρξατο προκατασκευάζειν.

Κυρίλλου. Τὸ μὲν οὖν κατὰ πρόθεσιν, εἴη ἂν τὸ κατὰ βούλησιν. κέκληνται δὲ, οἱ, περὶ ὧν ὁ λόγος, κατὰ βούλησιν, τίνων; πότερα δὴ τοῦ κεκληκότος, ἢ τῶν κεκλημένων; οὐκοῦν ἅπασα μὲν ἔφεσις πρὸς δικαιοσύνην ἡμᾶς ἀποφέρουσα, γένοιτο ἂν ἡμῖν παρὰ τοῦ Θεοῦ καὶ Πατρός. ἔφη γάρ που ὁ Χριστός· "οὐδεὶς δύναται "ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ Πατὴρ ὁ πέμψας με, ἑλκύσῃ αὐτόν." πλὴν ἔν γε τούτοις, οὐκ ἂν τίς ἁμάρτοι τοῦ πρέποντος, λέγων, ὡς κλητοὶ γεγόνασι τινὲς κατὰ πρόθεσιν, τήν τε τοῦ κεκληκότος καὶ τὴν ἑαυτῶν.

29 Ὅτι οὓς προέγνω, καὶ προώρισε συμμόρφους τῆς εἰ-
κόνος τοῦ υἱοῦ αὐτοῦ. εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν
30 πολλοῖς ἀδελφοῖς. οὓς δὲ προώρισε, τούτους καὶ ἐκά-
λεσε. καὶ οὓς ἐκάλεσε, τούτους καὶ ἐδικαίωσεν. οὓς δὲ
ἐδικαίωσε, τούτους καὶ ἐδόξασεν.

Κυρίλλου. Πολλοὶ μέν, φησιν, οἱ κατὰ πρόθεσιν κλητοί· οὐ μὴν ἅπαντες ἐκλεκτοί. μόνοι δὲ οὗτοι τετίμηνται, οἳ καὶ προεγνώσθησαν, ὡς ἔσονται σύμμορφοι τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ. εἰκὼν δὲ τοῦ Υἱοῦ αὐτοῦ, τίς ἂν νοοῖτο, πάλιν σαφηνιεῖ λέγων αὐτὸς ὁ μακάριος Παῦλος, "ὥσπερ γὰρ ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ,

φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου." οἱ γὰρ τῶν σαρκικῶν ἐπιθυμιῶν ἀλογήσαντες, οὗτοι τὴν εἰκόνα μεμίμηνται τοῦ Χριστοῦ. τουτέστι, τὴν ἐν ἁγιασμῷ πολιτείαν καὶ ζωήν. ὥσπερ γὰρ εἰκόνα τοῦ χοϊκοῦ, τουτέστιν Ἀδὰμ, τὴν ἐν παρακοῇ καὶ ἁμαρτίαις ζωὴν εἶναι φαμὲν, οὕτω καὶ εἰκόνα τοῦ ἐπουρανίου, τουτέστι Χριστοῦ, τὸν ἁγιασμὸν καὶ τὴν δικαίωσιν καὶ τὴν ὑπακοήν. ὅσοι τοίνυν προεγνώσθησαν, ὡς ἐσόμενοι κατὰ καιροὺς τῆς Χριστοῦ ζωῆς σύμμορφοί τε καὶ μιμηταὶ, κατά γε τὸ ἐγχωροῦν τῇ ἀνθρωπίνῃ φύσει, οὗτοι καὶ κέκληνται.

Θεοδώρου Μονάχου. Ἢ καὶ οὕτως. διὰ τοῦτο φησὶ συνεργεῖ τὸ Πνεῦμα τοῖς κατὰ πρόθεσιν κλητοῖς, ὅτι αὐτοὺς προέγνω Θεὸς ἀξίους τῆς τοῦ Πνεύματος βοηθείας· καὶ προγνοὺς, προώρισε συμμόρφους εἶναι τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ. οὐκ ἀναιρῶν τὸ αὐτεξούσιον· ἡ γὰρ πρόγνωσις, οὐκ ἔστιν ἀναγκαστική· ἀλλὰ προθεωρητικὴ τῆς τῶν πολιτευομένων ὁρμῆς τε καὶ διαθέσεως. σαφέστερον δ' ἂν εἴη τὸ ῥηθὲν, εἰ ἀπὸ τῶν τελευταίων ἀρξάμενοι, ἐπὶ τὰ πρῶτα ἀνίωμεν. τίνας τοίνυν ἐνταῦθα ἐδόξασεν ὁ Θεός; οὓς ἐδικαίωσε. τίνας δὲ ἐδικαίωσεν; οὓς καὶ ἐκάλεσε· τίνας δὲ ἐκάλεσεν; οὓς προώρισε. τίνας δὲ προώρισεν; οὓς προέγνω. τίνας δὲ προέγνω; τοὺς κατὰ πρόθεσιν κλητοὺς ὄντας. τουτέστι, τοὺς διὰ τὴν ἰδίαν πρόθεσιν κλητοὺς ὄντας καὶ συμμόρφους Χριστῷ. σύμμορφοι δὲ γινόμεθα τῆς εἰκόνος τοῦ Υἱοῦ ἐν τῷ καὶ αὐτοὶ υἱοὶ χρηματίσαι, ὡς ἀδελφοὶ τοῦ φύσει Υἱοῦ καὶ πρωτοτόκου Ἰησοῦ Χριστοῦ, κατὰ τὸν πνευματικὸν λόγον. ἐπειδὴ γὰρ Πνεῦμα ὁ Θεὸς, πνευματικοὶ δὲ καὶ οἱ ἐκ τοῦ Πνεύματος γεννηθέντες· σύμμορφοι ἄρα κατὰ τοῦτον τὸν λόγον ἐσμὲν τῷ Χριστῷ. ἢ οὕτως σύμμορφοι ἐσμὲν τῆς εἰκόνος τοῦ Θεοῦ καὶ Πατρός· τουτέστι, τοῦ Υἱοῦ αὐτοῦ. εἰκὼν γὰρ τοῦ Πατρὸς ὁ Υἱός.

Γενναδίου. Ἢ συμμόρφους φησὶ τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ· ἀντὶ τοῦ, τῆς υἱότητος τοῦ σώματος αὐτοῦ. διὸ καὶ ἐπήγαγεν, "εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον" εἰ γὰρ καὶ μετέδωκε τῆς υἱοθεσίας καὶ ἄλλοις, οὐδὲν ἐντεῦθεν τὸν Υἱὸν ἐζημίωσεν· ἔχει γὰρ καὶ οὕτως ἐκεῖνος τὴν κατὰ πάντων ὑπεροχήν· καὶ πλεονεκτεῖ τοῖς πρωτοτοκίοις τῶν ἀδελφῶν.

Θεοδωρήτου. Ἀκριβῶς δὲ σφόδρα οὐκ εἶπε συμμόρφους τοῦ Υἱοῦ αὐτοῦ· σαφέστερον δὲ τοῦτο τέθεικεν ἐν τῇ πρὸς Φιλιππησίους. εἰρηκὼς γάρ· "ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει. "ἐξ οὗ καὶ Σωτῆρα ἀπεκδεχόμεθα, Κύριον Ἰησοῦν Χριστὸν," ἐπήγαγεν, "ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, εἰς "τὸ γενέσθαι σύμμορφον αὐτὸ τῷ σώματι τῆς δόξης αὐτοῦ." οὐ γὰρ δὴ τῇ θεότητι αὐτοῦ σύμμορφον ἡμῶν ἔσται τὸ σῶμα, ἀλλὰ "τῷ σώματι τῆς δόξης αὐτοῦ." οὕτω κἀνταῦθα, τοὺς τῆς κλήσεως ἀξιωθέντας, τῆς εἰκόνος τοῦ Υἱοῦ συμμόρφους ὠνόμασεν. τουτέστι, τοῦ σώματος τοῦ Υἱοῦ. ἐπειδὴ γὰρ ἀόρατος ἡ θεία φύσις· τὸ δὲ σῶμα ὁρατὸν, ὡς ἐν εἰκόνι τινὶ διὰ τοῦ σώματος προσκυνεῖται. ἢ εἰκόνα τοῦ Υἱοῦ, τὸ σῶμα αὐτοῦ φησίν. ἐπειδὴ ὁ ἐκ σπέρματος Δαβὶδ, εἰκὼν τοῦ Λόγου κατὰ τὴν υἱότητα. Υἱὸς γὰρ προσηγορεύθη διὰ τὴν πρὸς τὸν Λόγον ἕνωσιν. σύμμορφοι γοῦν ἐσώμεθα τῷ ἐκ Δαβίδ· εἰ γὰρ καὶ σαρκὶ ἁγίᾳ καὶ καθαρᾷ καὶ ἡνωμένῃ Θεῷ συμμορφούμεθα, ἀλλ᾽ ὅμως ἔχομεν οἰκειότητα, πρὸς τὸ σύμμορφοι γενέσθαι ὡς ἄνθρωποι ἀνθρώπῳ.

Σευηριανοῦ. Ἢ τῆς εἰκόνος τοῦ Υἱοῦ, ἀντὶ τοῦ Ἁγίου Πνεύματος. ὥσπερ γὰρ Υἱὸς τοῦ Πατρὸς εἰκὼν ἀπαράλλακτος, οὕτω καὶ τὸ Πνεῦμα, τοῦ Υἱοῦ. ὅσοι οὖν Πνεύματος Ἁγίου ἀξιωθέντες, πνευματικῶς ζῶσιν, οὗτοι σύμμορφοι εἰσὶ τοῦ Πνεύματος· ὅ ἐστιν, εἰκὼν τοῦ Υἱοῦ.

Βασιλείου. Διὰ τοῦτο καὶ Θεοῦ μὲν ὁ Υἱὸς, Λόγος· ῥῆμα δὲ Υἱοῦ, τὸ Πνεῦμα. "φέρων γάρ," φησι, "τὰ πάντα τῷ ῥήματι "τῆς δυνάμεως αὐτοῦ." καὶ ἐπειδὴ ῥῆμα Υἱοῦ, καὶ διὰ τοῦτο "Θεοῦ, "τὴν μάχαιραν," φησὶ, "τοῦ Πνεύματος. ὅ ἐστι, ῥῆμα "Θεοῦ." ῥῆμα δὲ, ζῶν καὶ ἐνεργόν.

Χρυσοστόμου. Εἶδες τιμῆς ὄγκον; ὅπερ ὁμογενὴς ἦν φύσει, τοῦτο καὶ οἱ κατὰ πρόθεσιν κληθέντες γεγόνασιν ἐν χάριτι. ἀλλ᾽ ὅμως, οὐκ ἠρκέσθη τῷ εἰπεῖν συμμόρφους, ἀλλὰ καὶ ἕτερον προστέθεικεν, "εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον." καὶ οὐδὲ ἐνταῦθα ἔστη· ἀλλὰ καὶ ἕτερον ἐπάγει, "ἐν πολλοῖς ἀδελφοῖς." διὰ πάντων, σαφῆ τὴν συγγένειαν ἐπιδεῖξαι βουλόμενος. ταῦτα δὲ πάντα περὶ τῆς οἰκονομίας εἰρῆσθαι νόμιζε. κατὰ γὰρ τὴν θεότητα, μονογενής.

Θεοδωρήτου. Οὐ γὰρ ἔχει ἀδελφοὺς ὁ Θεὸς, ὡς Θεός. ὡς δὲ ἄνθρωπος, ἀδελφοὺς τοὺς πεπιστευκότας καλεῖ, ὧν ἐστι πρωτότοκος. οὐκ ἄλλος ὢν παρὰ τὸν μονογενῆ· ἀλλ' ὁ αὐτὸς, καὶ μονογενὴς καὶ πρωτότοκος.

Βασιλείου. Πρωτότοκος, πρὸς τοὺς δι' υἱοθεσίαν τοῦ Ἁγίου Πνεύματος ἐκ Θεοῦ γεννωμένους. ὡς ὁ Παῦλος ἐνταῦθα φησὶ, "εἰς τὸ εἶναι πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς." λέγεται δὲ καὶ "πρωτότοκος τῆς κτίσεως·" ὡς πρὸ πάσης αὐτῆς ἐκ Θεοῦ γεννηθείς. ἀλλ' οἱ τῇ κτίσει τοῦτον συντάττοντες, εἰ πρωτότοκος, φασὶν, ὁ μονογενὴς, οὐκέτι μονογενής· ἀλλ' ὀφείλει καὶ ἄλλος εἶναι οὗ πρωτότοκος λέγεται. καί τοι γε, ὦ σοφοὶ, καὶ ἐκ Μαρίας τῆς παρθένου μόνος γεννηθεὶς, πρωτότοκος αὐτῆς εἴρηται. "ἕως οὗ γὰρ "ἔτεκε," φησὶν, "τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον." ὥστε οὐκ ἀνάγκη ἀδελφοῦ πρωτότοκον λέγεσθαι. εἰ δὲ πρὸ τῆς κτίσεως ὢν, οὐ γέννημα ἐστὶν ἀλλὰ κτίσμα, πρωτόκτιστος ἂν ἐλέγετο, καὶ οὐ πρωτότοκος.

Ἰωάννου τοῦ Δαμασκέως. Ἀλλ' ἰστέον ὅτι πρωτότοκος ἐστὶν, ὁ πρῶτος γεννηθείς· εἴτε μονογενὴς, εἴτε καὶ πρὸ ἄλλων ἀδελφῶν. εἰ μὲν οὖν ἐλέγετο Υἱὸς τοῦ Θεοῦ πρωτότοκος, μονογενὴς δὲ οὐκ ἐλέγετο, ὑπενοήσαμεν ἂν κτισμάτων αὐτὸν εἶναι πρωτότοκον, ὡς κτίσμα ὑπάρχοντα. ἐπειδὴ δὲ καὶ πρωτότοκος καὶ μονογενὴς λέγεται, δεῖ δὲ καὶ ἄμφω τηρῆσαι ἐπ' αὐτοῦ. πρωτότοκον μὲν αὐτὸν φαμὲν ἀληθῶς ἁπάσης τῆς κτίσεως, ἐπειδὴ καὶ αὐτὸς ἐκ τοῦ Θεοῦ, καὶ ἡ κτίσις ἐκ τοῦ Θεοῦ. ἀλλ' αὐτὸς μὲν ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς, μόνος ἀχρόνως γεγεννημένος, εἰκότως υἱὸς μονογενὴς πρωτότοκος, καὶ οὐ πρωτόκτιστος λεχθήσεται. ἡ γὰρ κτίσις, οὐκ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, ἀλλὰ θελήματι αὐτοῦ, ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθη. "πρωτό- "τοκος δὲ ἐν πολλοῖς ἀδελφοῖς." μονογενὴς γὰρ ὢν καὶ ἐκ μητρός· ἐπειδήπερ μετέσχηκεν αἵματος καὶ σαρκὸς παραπλησίως ἡμῖν, καὶ ἄνθρωπος γέγονε. γεγόναμεν δὲ καὶ ἡμεῖς δι' αὐτοῦ υἱοὶ Θεοῦ· υἱοθετηθέντες διὰ βαπτίσματος. αὐτὸς ὁ φύσει Υἱὸς τοῦ Θεοῦ, πρωτότοκος ἐν ἡμῖν τοῖς θέσει καὶ χάριτι υἱοῖς Θεοῦ γεγεννημένοις, καὶ ἀδελφοῖς αὐτοῦ χρηματίσασι γέγονεν. ὅθεν ἔλεγεν,

" ἀναβαίνω πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν." Πατέρα μου, φύσει· πατέρα ὑμῶν, θέσει καὶ χάριτι.

Καὶ ἄλλως δὲ πρωτότοκος τῆς κτίσεως, διὰ τὸ τῆς ἐνανθρωπήσεως τοῦ Θεοῦ μυστήριον λεχθείη ἂν ἐπ' αὐτοῦ.

Γρηγορίου Νύσσης. Ὁ γάρ τοι μέγας Παῦλος εἰδὼς ὅτι παντὸς ἀγαθοῦ ἀρχηγός τε καὶ αἴτιος ὁμογενὴς ἔστι Θεὸς, ὁ ἐν πᾶσι πρωτεύων, προσμαρτυρεῖ αὐτῷ, τὸ μὴ μόνον τὴν τῶν ὄντων κτίσιν δι' ἐκείνου γενέσθαι, ἀλλ' ὅτι τῆς ἀρχαίας τῶν ἀνθρώπων κτίσεως παλαιωθείσης καὶ ἀφανισθείσης, καθὼς αὐτὸς ὀνομάζει, ἄλλης δὲ καινῆς κτίσεως ἐν Χριστῷ γενομένης, οὐδὲ ταύτης ἄλλος τις καθηγήσατο· ἀλλὰ πάσης τῆς διὰ τοῦ εὐαγγελίου τῶν ἀνθρώπων γενομένης κτίσεως, αὐτός ἐστιν ὁ πρωτότοκος. ὡς ἂν σαφέστερον γένοιτο τὸ περὶ τούτου νόημα, οὑτωσὶ τὸν λόγον διαληψόμεθα. τετράκις τῆς φωνῆς ταύτης μέμνηται ὁ θεῖος Ἀπόστολος. ἅπαξ μὲν, οὕτως εἰπών· " ὅτι πρωτότοκος πάσης κτίσεως·" πάλιν δέ· " ὅτι πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς." ἐκ τρίτου δέ· " ὅτι " πρωτότοκος ἐκ τῶν νεκρῶν." μετὰ ταῦτα δὲ ἀπόλυτόν τε καὶ ἀσυζυγῆ τὴν φωνὴν παρατίθεται, εἰπών· " ὅταν δὲ πάλιν εἰσαγάγῃ " τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην." οὐκοῦν ἥνπερ ἂν διάνοιαν ἐπὶ τῶν ἄλλων συζυγιῶν τοῦ ὀνόματος τούτου κατανοήσωμεν, ἀκολούθως τὴν αὐτὴν καὶ τῷ πρωτοτόκῳ τῆς κτίσεως ἐφαρμόσομεν. μιᾶς γὰρ καὶ τῆς αὐτῆς οὔσης φωνῆς, ἀνάγκη μίαν εἶναι καὶ τὴν σημαινομένην διάνοιαν. πῶς τοίνυν γίνεται πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς; πῶς δὲ ἐκ νεκρῶν πρωτότοκος; ἢ τοῦτο πάντως ἐστὶ δῆλον, ὅτι διὰ τὸ γενέσθαι ἡμᾶς καὶ σάρκα, καθὼς φησὶν ἡ γραφὴ, ὁ δι' ἡμᾶς γενόμενος καθ' ἡμᾶς, καὶ σαρκὸς καὶ αἵματος κοινωνήσας, μέλλων ἡμᾶς ἐκ τοῦ φθαρτοῦ μεταποιεῖν πρὸς τὸ ἄφθαρτον, διὰ τῆς ἄνωθεν γεννήσεως τῆς δι' ὕδατος καὶ πνεύματος, αὐτὸς τοῦ τοιούτου τόκου καθηγήσατο διὰ τοῦ ἰδίου βαπτίσματος· τὸ Ἅγιον Πνεῦμα ἐπὶ τὸ ὕδωρ ἐπισπασάμενος. ὥστε πάντων τῶν πνευματικῶς ἀναγεννωμένων πρωτότοκον αὐτὸν γενέσθαι· καὶ ἀδελφοὺς ὀνομάσαι τοὺς τῆς ὁμοίας αὐτῷ διὰ τοῦ ὕδατος καὶ τοῦ Πνεύματος μετεσχηκότας γεννήσεως.

Ἐπειδὴ δὲ καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως ἔδει αὐτὸν ἐναπο-

θέσθαι τῇ φύσει τὴν δύναμιν, πάλιν γίνεται "ἀπαρχὴ τῶν κεκοι-"μημένων· καὶ πρωτότοκος ἐκ τῶν νεκρῶν." ὁ πρῶτος δι' ἑαυτοῦ λύσας τὰς ὠδῖνας τοῦ θανάτου. ὥστε καὶ ἡμῖν ὁδοποιηθῆναι τὴν ἐκ τοῦ θανάτου παλιγγενεσίαν, διὰ τῆς τοῦ Κυρίου ἀναστάσεως, τῆς ὠδῖνος τοῦ θανάτου λυθείσης, ᾧ κατειχόμεθα. ὥσπερ οὖν μετασχὼν τῆς διὰ λουτροῦ ἀναγεννήσεως, ἀδελφῶν πρωτότοκος γίνεται. καὶ πάλιν ἀπαρχὴν τῆς ἀναστάσεως ἑαυτὸν ποιήσας, πρωτότοκος ἐκ τῶν νεκρῶν ὀνομάζεται· οὕτως ἐν πᾶσι πρωτεύων μετὰ τὸ παρελθεῖν τὰ ἀρχαῖα πάντα, καθὼς φησὶ ὁ Ἀπόστολος, τῆς ἐν Χριστῷ καινῆς κτίσεως τῶν ἀνθρώπων πρωτότοκος γίνεται. διὰ τῆς διπλῆς παλιγγενεσίας· τῆς τε κατὰ τὸ ἅγιον βάπτισμα, καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως· ἀρχηγὸς τῆς ζωῆς καθ' ἑκάτερον ἡμῖν γενόμενος, καὶ ἀπαρχὴ καὶ πρωτότοκος. ἐν οἷς δέ φησιν, "ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην," ἡ τοῦ "πάλιν" προσθήκη τὴν ἐπὶ τέλει γενησομένην τοῦ δεσπότου τῶν ὅλων ἐμφάνειαν προαγορεύει. ὡς γὰρ "ἐν τῷ ὀνόματι Ἰησοῦ "πᾶν γόνυ κάμπτει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων." καίτοι ὁ Υἱὸς τὸ ἀνθρώπινον ὄνομα οὐκ ἔχει τῷ ὑπὲρ πᾶν εἶναι ὄνομα, οὕτως παρὰ πάσης τῆς ὑπερκοσμίου κτίσεως προσκυνεῖσθαι τὸν πρωτότοκον λέγει, τὸν δι' ἡμᾶς οὕτως ὠνομασμένον· πάλιν εἰς τὴν οἰκουμένην εἰσιόντα· ὅταν κρίνῃ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ. οὕτως διακρίνεται παρὰ τοῦ λόγου τῆς εὐσεβείας, τό τε τοῦ πρωτοτόκου καὶ τὸ τοῦ μονογενοῦς σημαινόμενον. ἑκατέρῳ τῶν ὀνομάτων τῆς καταλλήλου σημασίας φυλασσομένης. ὁ δὲ εἰς τὴν προαιώνιον ὕπαρξιν ἀνάγων τοῦ πρωτοτόκου τὸ ὄνομα, πῶς διασώσει τὴν τοῦ μονογενοῦς ἔννοιαν; οὐ γὰρ συμβαίνει ταῦτα προσάλληλα· μήτε τοῦ πρωτοτόκου, χωρὶς ἀδελφῶν νοουμένου· μήτε τοῦ μονογενοῦς, μετὰ ἀδελφῶν. ὅταν μὲν γὰρ εἴπῃ "ἐν ἀρχῇ ἦν ὁ Λόγος," διὰ τούτου τὸν μονογενῆ παρεδεξάμεθα. ὅταν δὲ ἐπαγάγῃ ὅτι "ὁ "Λόγος σὰρξ ἐγένετο," διὰ τούτου τὸν πρωτότοκον ἐνοήσαμεν.

Τοῦ αὐτοῦ. Διὰ πάντων τοίνυν δέδεικται πρωτότοκος ὁ Υἱὸς, ὡς ἄνθρωπος ὀνομαζόμενος. καὶ εἰ βούλει πάλιν ἐξετάσωμεν τὰ ῥητὰ ἐν οἷς πρωτότοκος εἴρηται· ἐν τῷ, "ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει, "καὶ προσκυνησάτωσαν "αὐτὸν πάντες ἄγγελοι τοῦ Θεοῦ." ἡ τοῦ "πάλιν" προσθήκη,

τὸ μήτε πρώτως γίνεσθαι τοῦτο διὰ τῆς κατὰ λέξιν σημασίας ἐνδείκνυται. ἐπὶ τῆς ἐπαναλήψεως γὰρ τῶν ἅπαξ γεγονότων τῇ λέξει ταύτῃ κεχρήμεθα. οὐκοῦν τὴν ἐπὶ τῷ τέλει τῶν αἰώνων φοβερὰν αὐτοῦ ἐπιφάνειαν, σημαίνει τῷ λόγῳ· ὅτε οὐκέτι τῇ τοῦ δούλου καθορᾶται μορφῇ, ἀλλ' ἐπὶ τοῦ θρόνου τῆς μεγαλοπρεπείας προφανῶς καθήμενος, καὶ ὑπὸ τῶν Ἀγγέλων πάντων τῶν περὶ αὐτὸν μεγαλοπρεπῶς προσκυνούμενος. διὰ τοῦτο ὁ ἅπαξ εἰσελθὼν εἰς τὴν οἰκουμένην, πρωτότοκος γενόμενος ἐκ τῶν νεκρῶν τὲ καὶ ἀδελφῶν καὶ πάσης τῆς κτίσεως· ὅταν πάλιν εἰσέρχηται εἰς τὴν οἰκουμένην, ὁ κρίνων τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καθὼς ἡ προφητεία λέγει, οὐκ ἀποβάλλει τοῦ πρωτοτόκου τὸ ὄνομα, ὃ ἅπαξ ὑπὲρ ἡμῶν κατεδέξατο· ἀλλ' ὡς ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμπτει τῷ ὑπὲρ πᾶν ὄντι ὄνομα, οὕτως καὶ τὸν ἐν τῷ ὀνόματι τοῦ πρωτοτόκου γενόμενον, προσκυνεῖ ἅπαν τῶν Ἀγγέλων τὸ πλήρημα, τῇ ἀνακλήσει τῶν ἀνθρώπων ἐπευφραινόμενον· ἣν διὰ τοῦ γενέσθαι ἡμῶν πρωτότοκος πάλιν εἰς τὴν ἐξ ἀρχῆς χάριν ἀνεκαλέσατο. καὶ πρωτότοκος δὲ ἐκ νεκρῶν γίνεται, πρῶτος δι' ἑαυτοῦ τὰς ὠδῖνας τοῦ θανάτου λύσας, ἵνα πᾶσιν ὁδοποιήσῃ τὸν ἐξ ἀναστάσεως τόκον. ἐν ἀδελφοῖς δὲ πάλιν πρωτότοκος, τοῦ καινοῦ τῆς παλιγγενεσίας τόκου προγεννηθεὶς ἐν τῷ ὕδατι· οὗ τὰς ὠδῖνας ἡ πτῆσις τῆς περιστερᾶς ἐμαιεύσατο. δι' οὗ τοὺς συμμετασχόντας αὐτῷ τῆς ὁμοίας γεννήσεως, ἀδελφοὺς ἑαυτοῦ ποιεῖ. καὶ πρωτότοκος γεννωμένων μετ' αὐτὸν, ἐκ τοῦ ὕδατός τε καὶ τοῦ Πνεύματος γίνεται.

Εἰ ταῦτα τοίνυν κατὰ λόγον νενόηται· οὐδὲ τὸ τῆς κτίσεως σημαινόμενον, ἧς πρωτότοκος ἐστὶν, ἀγνοηθήσεται. διπλῆν γὰρ τῆς φύσεως ἡμῶν τὴν κτίσιν ἐγνώκαμεν. τήν τε πρώτην, καθ' ἣν ἐπλάσθημεν· καὶ τὴν δευτέραν καθ' ἣν ἀνεπλάσθημεν. ἀλλ' οὐκ ἂν[r] τῆς δευτέρας ἡμῶν κτίσεως χρεία, εἰ μὴ τὴν πρώτην διὰ τῆς παρακοῆς ἠχρειώσαμεν. ἐκείνης τοίνυν παλαιωθείσης τὲ καὶ ἀφανισθείσης, ἔδει καινὴν ἐν Χριστῷ γενέσθαι κτίσιν, καθὼς φησὶν ὁ Ἀπόστολος, "ἐνδύσασθε," λέγων, "τὸν καινὸν ἄνθρωπον, τὸν "κατὰ Θεὸν κτισθέντα." καὶ "εἴ τις ἐν Χριστῷ," φησὶν, "καινὴ

[r] Leg. ἂν ἦν.

" κτίσις." ταύτης τοίνυν τῆς καινῆς ἐν Χριστῷ κτίσεως, ἧς αὐτὸς καθηγήσατο, πρωτότοκος ὠνομάσθη. ὅτι γὰρ οὐ κατὰ τὴν προαιώνιον ὕπαρξιν ἐφαρμόζεται τῷ Υἱῷ τὸ πρωτότοκος, ἡ τοῦ μονογενοῦς προσηγορία διαμαρτύρεται. ὁ γὰρ ἀληθῶς μονογενὴς, ἀδελφοὺς οὐκ ἔχει. πῶς οὖν ἄν τις εἴη μονογενὴς ἐν ἀδελφοῖς ἀριθμούμενος; ἀλλ' ὡς λέγεται Θεὸς καὶ ἄνθρωπος, Υἱὸς Θεοῦ καὶ υἱὸς ἀνθρώπου, τὰ μὲν, κατὰ τὴν ὑπερέχουσαν φύσιν ὢν, τὰ δὲ, κατὰ τὴν φιλάνθρωπον οἰκονομίαν γενόμενος, οὕτω καὶ μονογενὴς Θεὸς ὢν, πρωτότοκος πάσης τῆς κτίσεως γίνεται. μονογενὴς μὲν ὢν ἐν τῷ πατρῴῳ κόλπῳ· ἐν δὲ τοῖς διὰ τῆς καινῆς κτίσεως σωζομένοις, πρωτότοκος τῆς κτίσεως καὶ γενόμενος καὶ λεγόμενος.

Εἰ δὲ, καθὼς ἡ αἵρεσις βούλεται, διὰ τὸ προκατεσκευάσθαι τῆς λοιπῆς κτίσεως πρωτότοκος λέγεται, οὐ συμφωνεῖ τοῖς παρ' αὐτῶν περὶ τοῦ μονογενοῦς Θεοῦ κατασκευαζομένοις τὸ ὄνομα. οὐ γὰρ τοῦτο φασὶν, ὅτι παρὰ τοῦ Πατρὸς τὴν ἡμῶν περιεβάλετο σάρκα. οὐκοῦν τότε πρωτότοκος, ὅτε πολλοὺς κατὰ χάριν υἱοὺς ἀπέδειξε Θεοῦ. καὶ πρωτότοκος δὲ πάσης καλεῖται κτίσεως, οὐχ ὡς πρωτότοκος αὐτῆς κατὰ χρόνον ὑπάρχων· οὐδὲ τῆς αὐτῆς τοῖς κτίσμασιν οὐσίας· ἀλλὰ καθάπερ ἤδη προείρηται, διὰ τὴν πρὸς τὰ κτίσματα συγκατάβασιν, καὶ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν. ἐπιτηρῆσαι δὲ ὅμως κἀκεῖνο, καλόν. μονογενὴς καλεῖται καὶ πρωτότοκος· ὅτε μὲν οὖν μονογενὴς ὀνομάζεται, οὐδεμιᾶς αὐτῷ συμπεπλεγμένης αἰτίας, καθ' ἣν ἐστὶ μονογενὴς, τοῦτο καλεῖται. ἀλλὰ ἀπολελυμένως ὁ μονογενὴς Θεὸς " ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός." ὅτε δὲ πρωτότοκον αἱ θεῖαι καλοῦσι γραφαὶ αὐτὸν, εὐθὺς ἐπιφέρουσιν, ὧν ἐστι πρωτότοκος, καὶ τὴν αἰτίαν δι' ἣν καὶ ταύτην ἔχει τὴν ἐπωνυμίαν. φασὶν γὰρ, " πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς." καὶ " πρωτότοκος ἐκ τῶν νεκρῶν." ἐπειδὴ γὰρ τὸν Υἱὸν τοῦ Θεοῦ κατὰ φύσιν ἔχοντα τὸ πρωτεύειν, καὶ ὅτε γέγονεν ἄνθρωπος τοῦτο μὴ ἀπολέσας, εἰκότως καὶ τῆς πρὸς ἡμᾶς ὁμοιώσεως ἐπιλαβόμενος, πάσης προτάττεται κτίσεως.

Οὐδὲ γὰρ καθὸ γέγονεν ἄνθρωπος, ἐλάττων ἔσται τινός· ὅσον εἰς τὸ πρέπον ἀξίωμα τῇ θείᾳ φύσει. ἀλλὰ καὶ οὕτω, πρωτεύει· καὶ καθηγήσεται πάσης ὁμοῦ τῆς κτίσεως· ἅτε δὴ ποιητὴς αὐτῆς ὑπάρχων καὶ Κύριος. οὕτω καὶ ὁ εὐαγγελιστὴς φησίν· " καὶ

"ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ Πατρός." ἄλλως τε οὐδὲ εἴρηκεν ἡ θεία γραφὴ, ὅτι περ ἐστὶ πρωτότοκος τῶν ἄλλων κτισμάτων. ἵνα μὴ ὄντως ὡς εἷς ἐξ αὐτῆς εἶναι νοοῖτο· ἀλλὰ πάσης κτίσεως πρωτότοκον αὐτὸν εἶναι φησί. ἵνα διὰ τοῦ "πάσης" εἰπεῖν, ὅλης ὁμοῦ τῆς κτίσεως ἐν μέρει κειμένης, ἕτερος εἶναι παρ' αὐτὴν πιστεύηται. ὁ δὲ ἔξω πάσης ὑπάρχων κτίσεως, οὐκ ἂν εἴη κτιστῆς οὐσίας, ἀλλ' ἕτερος παρ' αὐτήν. καὶ γοῦν ἡ θεῖα γραφὴ τὴν τοιαύτην ἐπιτήρησιν εἰδυῖα σαφῶς, οὐκ ἐκάλεσε τὸν Ῥουβὶμ πρωτότοκον πάντων τῶν τέκνων τοῦ Ἰακώβ. ἵνα μὴ ἕτερος παρὰ τούτους εἶναι νομίζηται. ἀλλὰ μετὰ πολλῆς ἀκριβείας πρωτότοκον αὐτὸν εἶναι φησὶ τοῦ Ἰακὼβ καὶ τῶν ἀδελφῶν αὐτοῦ. εἰ οὖν διὰ τὸ καλεῖσθαι πρωτότοκον πάσης κτίσεως τὸν Υἱὸν τῇ κτίσει συγκαταριθμεῖν αὐτὸν ἐπιχειροῦσι τινὲς, ἔσται καὶ αὐτὸς ἐν τοῖς πᾶσιν. εἰ δέ τις δοίη τοῦτο κρατεῖν, ἑαυτοῦ πρωτότοκος ἔσται· καθὸ πάσης τῆς κτίσεως πρωτότοκος ὢν, καὶ αὐτὸς ἐν τοῖς πᾶσιν ἐστίν. ἔσται οὖν ἑαυτοῦ, καὶ πρωτότοκος καὶ δεύτερος. εἰ μὲν γὰρ διὰ τὸ πάσης κτίσεως εἶναι πρωτότοκον, ἔξω τῶν πάντων αὐτὸν κεῖσθαι νοήσαιμεν, πρῶτος ἔσται τῶν πάντων. εἰ δὲ τοῖς πᾶσι καὶ αὐτὸς συνταχθήσεται, ἑαυτοῦ κατὰ χρόνον ἔσται δεύτερος. πρῶτος μὲν, κατ' ἐκεῖνον τὸν τρόπον· δεύτερος δὲ, κατὰ τοῦτον. καὶ ἔτι, εἰ διὰ τὸ καλεῖσθαι πρωτότοκος πάσης τῆς κτίσεως, εἷς ἔσται καὶ αὐτὸς τῶν κτισμάτων· γέγονε δὲ πάντα δι' αὐτοῦ· ἑαυτοῦ ποιητὴς ἔσται καθ' ὑμᾶς· καὶ ὁ κτίζων, κτίζεται. καὶ τοῦτο, δι' ἑαυτοῦ. εἰ γὰρ ἐν τοῖς πᾶσιν ἔστι, καὶ πάντα δι' αὐτοῦ, ἀληθὲς ἔσται τὸ εἰρημένον. καὶ εἰ πᾶσα κτίσις ἐν αὐτῷ συνέστηκε, πῶς εἷς τῶν πάντων εἶναι δύναται, ὁ τοῖς πᾶσι τὸ συνεστάναι διδούς;

"Πρωτότοκος δὲ ἐν πολλοῖς ἀδελφοῖς" λέγεται, καθὸ "γέγονεν "ὅμοιος ἡμῖν κατὰ πάντα, χωρὶς ἁμαρτίας." καὶ καθὸ τὴν ἡμετέραν σάρκα φορέσας, ἀδελφὸς τὲ ἡμῶν χρηματίσας, τοῦτο καλεῖται δικαίως. "πρωτότοκος δὲ ἐκ τῶν νεκρῶν·" πρῶτος γὰρ αὐτὸς εἰς ἀφθαρσίαν ἀνέστησε τὴν ἑαυτοῦ σάρκα, καὶ πρῶτος αὐτὴν εἰς οὐρανοὺς ἀνήγαγε. διὸ καὶ φησὶν, "ἐγώ εἰμὶ ἡ ὁδός." καὶ "ἐγὼ "εἰμὶ ἡ θύρα." δι' αὐτοῦ γὰρ ἡ φύσις ἡ ἀνθρωπεία, καὶ τὴν καινὴν τῆς ἀναστάσεως ὁδὸν βαδίζειν ἐκδιδάσκεται· καὶ ὥσπερ διά τινος

θύρας εἰς αὐτὸν ἀνέρχεται τὸν οὐρανόν. καὶ ἄλλως δὲ κατὰ τὸν εὐσεβῆ λόγον διὰ τὴν τοῦ Πατρὸς φιλίαν, ἣν ἔχει περὶ τὰ ἑαυτοῦ κτίσματα, πρωτότοκον ἑαυτὸν πάσης κτίσεως ἐκάλεσε, τῆς τε ὁρωμένης, τῆς τε ἀοράτου, ὁ Υἱός. καὶ τῇ πρὸς τὰ πεποιημένα συγκαταβάσει μονονουχὶ καὶ ἑαυτὸν τούτοις συντάττειν οὐκ ὀκνεῖ. ἵν' ἐπειδή περ καλεῖται τούτων πρωτότοκος, δι' αὐτοῦ σώζηται μετ' αὐτόν. εἰ γὰρ δεῖ πάντως αὐτὸν εἶναι πρωτότοκον, μενοῦσι πάντως καὶ ὧν ἔσται πρωτότοκος. ἔστι τοίνυν μονογενὴς μὲν κατὰ φύσιν, ἅτε δὴ μόνος ὢν ἐκ Πατρός· Θεὸς ἐκ Θεοῦ· καὶ φῶς ἐκ φωτὸς ἀναλάμψας. πρωτότοκος δὲ δι' ἡμᾶς. ἵν' ὥσπερ ἀθανάτῳ τινὶ ῥίζῃ, πᾶσα ἡ κτίσις ἐγκεκεντρισμένη, καὶ ἐκ τοῦ ἀεὶ ὄντος ἀναβλαστήσασα, γέγονε γὰρ τὰ πάντα δι' αὐτοῦ, καὶ συνέστηκεν εἰς ἀεὶ, καὶ αὐτὴ διασώζηται.

Εἰ δὲ τὸ καλεῖσθαι πρωτότοκον πάσης κτίσεως κτίσμα κατὰ φύσιν ὄντα, τῇ κτίσει συντάξει τὸν Υἱὸν, ἔσται μὲν ταύτης κατὰ τὸν χρόνον, πρῶτος, συγγενὴς δὲ ὅμως κατὰ τὴν φύσιν, καὶ διὰ τὸ εἶναι κτίσμα τοῖς ἄλλοις ἅπασι προσεοικώς. συγγενὴς οὖν ἔσται καὶ ἀλόγοις ζώοις, ὀρνέοις τὲ καὶ νηκτοῖς. ταῦτα γὰρ εἰ καὶ ἐλάχιστα, μέρη γοῦν τῆς πάσης κτίσεως ἐστίν. ἀλλὰ τοῦτο ἄτοπον. οὐκοῦν εὐσεβῶς μὲν πρωτότοκος, ὡς ἐν πολλοῖς ἀδελφοῖς, διὰ τοὺς κατὰ χάριν εἰς υἱοθεσίαν κεκλημένους, νοηθήσεται. πάσης δὲ κτίσεως ἀνωτέρω κείσεται· ὡς πρὸ ταύτης ὢν, καὶ εἰς τὸ εἶναι παραγαγών· κτιστῆς τὲ αὐτὸς οὐχ ὑπάρχων οὐσίας. καὶ πάλιν, εἰ πρωτότοκος ἐκ Θεοῦ, ὡς τῶν πολλῶν πρῶτος γεννηθείς· ἔστι δὲ καὶ ἐκ τῆς παρθένου πρωτότοκος, εἴη ἂν καὶ ἐξ αὐτῆς ὡς πρωτότοκος ἑτέρων. εἰ δὲ μόνος, ἀλλ' οὐ πρὸ ἄλλων γεννηθείς. ἐκ Μαρίας πρωτότοκος αὐτῆς κέκληται, καὶ ἐκ Θεοῦ ἄρα πρωτότοκος, οὐχ ὡς πολλῶν πρῶτος, ἀλλ' ὡς μόνος γεννηθείς. εἰ δὲ κτίσμα καὶ αὐτὸς, οὐκέτ' ἂν εἴη πρωτότοκος. οὔτε αὐτὸς γεννηθεὶς, καὶ τῶν ἄλλων ἀδελφῶν οὐκ ὄντων ἐκ πατρός. αὐτὸ δὲ δὴ τοῦτο τὸ εἶναι πρῶτον, εἰκόνα δείκνυσιν αὐτὸν τοῦ Πατρὸς ἀληθινήν. ὥσπερ γὰρ ὁ Πατὴρ πρῶτον ἑαυτὸν εἶναι φησὶ, οὕτω καὶ ὁ Υἱὸς εἰκὼν ἀκριβὴς, καὶ ὁμοίωμα τοῦ πρώτου Πατρὸς ὑπάρχων, πρῶτος καὶ ἔστι καὶ λέγεται. ἐν αὐτῷ γάρ ἐστιν ὁ πρῶτος Πατήρ. καὶ αὐτὸς ὁμοίως ἐν τῷ πρώτῳ Πατρί. καὶ δι' αὐτοῦ τὰ πάντα

γέγονε, καὶ πρὸς υἱοθεσίαν καλεῖται τὰ λογικά. κἂν τὸ λέγεσθαι πρῶτον τῆς κτίσεως εἶναι τὸν Υἱόν. ἀνάγκη συγγενῆ τοῖς μετ᾽ αὐτὸν γενομένοις ὑπάρχειν αὐτόν· καὶ τοιοῦτον εἶναι κατὰ φύσιν, ὁποῖα περ ἂν ᾖ τὰ τῷ χρόνῳ δεύτερα. τί ἄρα φατέ; κἂν ὁ Πατὴρ λέγῃ περὶ ἑαυτοῦ, "ἐγὼ πρῶτος καὶ ἐγὼ μετὰ ταῦτα," ἆρα καὶ αὐτῷ τὸ τῷ χρόνῳ προτερεύειν μόνον τῶν κτισμάτων παραχωρήσαντες, γενητὴν περιθήσετε τὴν οὐσίαν; καὶ τοῖς πεποιημένοις αὐτὸν συγκαταριθμήσετε; ἀλλ᾽ οὐκ ἂν οἶμαί τις εἰς τοσαύτην ἔλθοι μανίαν, ὡς τολμῆσαι τοῦτο κἂν δέχεσθαι κατὰ νοῦν. ὥσπερ οὖν τὸ λέγεσθαι πρῶτον τὸν Πατέρα, οὐκ ἀναγκάσει πάντως αὐτὸν συγγενῆ τοῖς μετ᾽ αὐτὸν νοεῖσθαι· οὕτω κἂν ὁ Υἱὸς πρῶτος λέγηται τῆς κτίσεως, οὐ πάντως ἔσται τῶν ποιημάτων εἷς. ἀλλ᾽ ὥσπερ ὁ Πατὴρ ἀρχὴν ἑαυτὸν τῶν πάντων ἀποδεικνύων ἔλεγεν, "ἐγώ εἰμι "πρῶτος," οὕτω καὶ ὁ Υἱὸς πρωτότοκος τῆς κτίσεως λέγεται. δι᾽ αὐτοῦ γὰρ τὰ πάντα γέγονε, καὶ αὐτός ἐστιν ἡ πάντων τῶν κτισμάτων ἀρχή. ὡς κτίστης καὶ δημιουργός.

Οὓς δὲ προώρισε, τούτους καὶ ἐκάλεσεν. οὓς δὲ ἐκάλεσε, τούτους καὶ ἐδικαίωσε. καὶ οὓς ἐδικαίωσε, τούτους καὶ ἐδόξασεν.

Χρυσοστόμου. *Δείκνυσι τοῦ Θεοῦ τὴν κηδεμονίαν, τῷ λέγειν ἄνωθεν ταῦτα προτετυπῶσθαι. ἄνθρωποι μὲν γὰρ ἀπὸ τῶν πραγμάτων, τὰς ὑπὲρ αὐτῶν γνώμας λαμβάνουσι. τῷ δὲ Θεῷ πάλαι τοῦτο ἔδοξε, καὶ ἄνωθεν πρὸς ἡμᾶς διέκειτο. οὓς δὲ ἐκάλεσεν, ἐδικαίωσε μὲν διὰ τῆς τοῦ λουτροῦ παλιγγενεσίας· ἐδόξασε δὲ, διὰ τῆς χάριτος, διὰ τῆς υἱοθεσίας.*

Θεοδωρήτου. *Σὺ δὲ τούτοις συνυπάκουε, ὅτι ὧν προέγνω τὴν πρόθεσιν, τούτους προώρισεν ἄνωθεν. ἀλλὰ μηδεὶς τὴν πρόγνωσιν αἰτίαν εἶναι λεγέτω τῶν ἐπ᾽ αὐτοῖς γεγονότων. οὐ γὰρ ἡ πρόγνωσις αὐτοὺς τοιούτους εἰργάσατο. οὐ δὲ γὰρ εἰ γαῦρον ἵππον ἐνδακόντα τὸν χαλινὸν ὁρῶν, καὶ τοῦ ἐποχουμένου οὐδαμῶς ἀνεχόμενον, εἴποιμι αὐτὸν κατὰ κρημνοῦ χωρήσειν πελάζοντα· εἶτα γένοιτο κατὰ τὸν λόγον ἡ ἔκβασις, ἐγὼ τὸν ἵππον ἐνέβαλον εἰς κρημνόν. ἀλλὰ τὸ μέλλον ἔσεσθαι προηγόρευσα· τεκμηρίῳ χρησάμενος τῇ τοῦ ἵππου θρασύτητι. ὁ δὲ τῶν ὅλων Θεὸς πόρρωθεν οἶδεν ἅπαντα*

ὡς Θεός. οὐ μὴν ἀνάγκην ἐπάγει τῷ δεῖνι εἰς κατόρθωσιν ἀρετῆς, τῷ δεῖνι δὲ εἰς ἐργασίαν κακίας. εἰ γὰρ αὐτὸς εἰς ἑκάτερον ἐβιάζετο, οὐ δικαίως τὸν μὲν ἀνακηρύττει καὶ στεφανοῖ, τοῦ δὲ, καταψηφίζεται κόλασιν. εἰ δὲ δίκαιος ὁ Θεὸς, ὥς περ οὖν δίκαιος, προτρέπει μὲν ἐπὶ τὰ καλὰ, καὶ ἀπαγορεύει τἀναντία. ἐπαινεῖ δὲ τοὺς τῶν ἀγαθῶν ἐργάτας, καὶ τιμωρεῖται τοὺς ἑκόντας τὴν κακίαν ἀσπασαμένους.

Ἰωάννου τοῦ Δαμασκηνοῦ. Χρὴ γὰρ γινώσκειν, ὡς πάντα μὲν προγινώσκει ὁ Θεός· οὐ πάντα δὲ προορίζει. προγινώσκει γὰρ καὶ τὰ ἐφ' ἡμῖν, οὐ προορίζει δὲ αὐτά. οὐ γὰρ θέλει τὴν κακίαν γενέσθαι, οὐ δὲ βιάζεται τὴν ἀρετήν. ὥστε τῆς θείας προγνωστικῆς κελεύσεως ἐστὶν ὁ προορισμός. προορίζει δὲ τὰ οὐκ ἐφ' ἡμῖν κατὰ πρόγνωσιν αὐτοῦ. προέκρινε γὰρ πάντα ὁ Θεὸς ἤδη κατὰ τὴν πρόγνωσιν αὐτοῦ, κατὰ τὴν ἀγαθότητα καὶ τὴν δικαιοσύνην αὐτοῦ. χρὴ δὲ γινώσκειν ὅτι ἡ μὲν ἀρετὴ ἐκ τοῦ Θεοῦ ἐδόθη ἐν τῇ φύσει, καὶ αὐτός ἐστιν παντὸς ἀγαθοῦ ἀρχὴ καὶ αἰτία. καὶ ἐκτὸς τῆς αὐτοῦ συνεργίας καὶ βοηθείας, ἀδύνατον ἀγαθὸν θελῆσαι ἢ πρᾶξαι ἡμᾶς. ἐφ' ἡμῖν δέ ἐστιν ἢ ἐμμεῖναι τῇ ἀρετῇ, καὶ ἀκολουθῆσαι τῷ Θεῷ πρὸς ταύτην καλοῦντι, ἢ ἀποφοιτῆσαι αὐτῆς. ὅπέρ ἐστιν ἐν κακίᾳ γενέσθαι, καὶ ἀκολουθῆσαι τῷ διαβόλῳ πρὸς ταύτην καλοῦντι ἀβιάστως. ἡ γὰρ κακία οὐδὲν ἕτερόν ἐστιν, εἰ μὴ ἀναχώρησις τοῦ ἀγαθοῦ· ὥσπερ καὶ τὸ σκότος, τοῦ φωτός ἐστιν ἀναχώρησις. μένοντες οὖν ἐν τῷ κατὰ φύσιν, ἐν τῇ ἀρετῇ ἐσμέν. ἐκκλίνοντες δὲ ἐκ τοῦ κατὰ φύσιν, ἤγουν ἐκ τῆς ἀρετῆς, εἰς τὸ περὶ[q] φύσιν ἐρχόμεθα, καὶ ἐν τῇ κακίᾳ γινόμεθα.

Κυρίλλου. Οὐδὲν μέντοι τὸ ἀπεικὸς, εὐάφορμον τῆς ἀπιστίας τὸ χρῆμα ποιεῖσθαι τινὰς, ἐξ ἀμαθίας συνηρπασμένους, καὶ λέγοντας, εἰ οὓς αὐτὸς προέγνω κατὰ πρόθεσιν, καὶ προώρισεν, οὗτοι καὶ κέκληνται, πρὸς ἡμᾶς τοὺς οὔπω πεπιστευκότας οὐδέν. οὐ γάρ τοι κεκλήμεθα, οὔτε μὴν προωρίσμεθα. πρὸς οὓς ἐροῦμεν, ὅτι ὁ ποιῶν τοὺς γάμους τῷ υἱῷ αὐτοῦ, τοὺς μὲν οἰκέτας ἀπέστειλε συναγεῖραι τοὺς κεκλημένους. οἱ δὲ, οὐκ ἠθέλησαν ἐλθεῖν. εἰσῆλθον δὲ μετ' ἐκείνους οἱ κλητοὶ κατ' ἰδίαν πρόθεσιν. πέπλησται δὲ

[q] Leg. παρά.

οὕτως ὁ νυμφὼν τῶν ἀνακειμένων. οὐδὲν οὖν ἄρα τοῖς ἐθέλουσιν ἐλθεῖν ἐμποδὼν ὁρᾶται κείμενον. ἀδικεῖ δὲ οὐδένα τὸ συμπᾶν ἡ πρόγνωσις, οὔτε μὴν ὀνίνησι τινάς. ἐπεὶ διδασκόντων εἰ μὴ καὶ αὐτοὶ προεγνώσθησαν, οἱ ταῖς ἀπειθείαις ἐξυβρικότες τὸν σεσωκότα Θεόν. ἀλλὰ καὶ κέκληνται μὲν καὶ εἰσπεπεδήκασι τινὲς εἰς τὸν γάμον. πλὴν οὐ γεγόνασιν ἐκλεκτοί· οὐ δεδικαίωνται οὐδὲ ἐδοξάσθησαν. διὰ ποίαν αἰτίαν; ὅτι μὴ πρέπουσαν τοῖς γάμοις ἐμφιέννυντο στολήν. ἄλλως τε καὶ αὐτὸν εὑρήσομεν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἀναφανδὸν εἰρηκότα, "δεῦτε πρός με πάντες "οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς." ἰδοὺ δὴ σύμπαντας ἐκάλει πρὸς ἑαυτόν. ἀμοιρήσειε δ' ἂν οὐδεὶς τῆς ἐπὶ τῷ κεκλῆσθαι χάριτος. ἐν γὰρ τῷ, "πάντες" εἰπεῖν, ἀπόπεμπτον ποιεῖται παντελῶς οὐδένα.

Ἐκ τῆς Φιλοκαλίας τοῦ Ὠριγένους. *Προσχῶμεν δὲ ἄνωθεν τοῖς εἰρημένοις, ὡς ἂν ὁμοῦ ἀπολογησώμεθα, καὶ πρὸς τοὺς ἐπιλαμβανομένους τῶν τοιούτων λέξεων, καὶ οἰομένους διὰ τούτων εἰσάγειν τοὺς ἐκ κατασκευῆς καὶ φύσεως σωζομένους, καὶ τὸ ἐφ' ἡμῖν ἐκ τούτων ἀναιροῦντας. ἴδωμεν οὖν τὴν τάξιν τῶν εἰρημένων. δικαιοῖ ὁ Θεὸς, καλέσας πρότερον. οὐκ ἂν δικαιώσας οὓς μὴ ἐκάλεσε· καλεῖ δὲ, πρὸ τῆς κλήσεως προορίσας. οὐκ ἂν καλέσας, οὓς μὴ προώρισε. καὶ ἔστιν αὐτῷ ἀρχὴ τῆς κλήσεως καὶ τῆς δικαιώσεως, οὐχ ὁ προορισμός· οὗτος γὰρ εἰ ἦν ἀρχὴ τῶν ἑξῆς, πιθανώτατα ἂν ἔλεγον οἱ παρεισάγοντες τὸν περὶ τῆς φύσεως ἄτοπον λόγον. ἀνωτέρω δέ ἐστι τοῦ προορισμοῦ ἡ πρόγνωσις· "οὓς γὰρ προέγνω," φησὶν, "καὶ προώρισε, συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ." προενατενίσας οὖν ὁ Θεὸς τῷ εἱρμῷ τῶν ἐσομένων, καὶ κατανοήσας ῥοπὴν τοῦ ἐφ' ἡμῖν, τῶν δέ τινων ἐπὶ εὐσέβειαν· καὶ ὁρμὴν ἐπὶ ταύτην μετὰ τὴν ῥοπήν· καὶ ὡς ὅλους ἑαυτοὺς ἐπιδώσουσι τῷ κατ' ἀρετὴν ζῆν, προέγνω αὐτούς. γινώσκων μὲν τὰ ἐνιστάμενα, προγινώσκων δὲ τὰ μέλλοντα. καὶ οὓς οὕτω προέγνω, "προώρισε συμ-"μόρφους ἐσομένους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ." ἔστιν οὖν ὁ Υἱὸς τοῦ Θεοῦ, εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου· τούτου δὲ εἰκὼν, ἡ λεγομένη εἰκὼν, τοῦ Θεοῦ*[r]· *ἥντινα νομίζω εἶναι, ἣν ἀνέλαβε ψυχὴν ὁ*

[r] I. marg. ab ead. m. *τοῦ υἱοῦ*.

Υἱὸς τοῦ Θεοῦ ἀνθρωπίνην· γενομένην διὰ τὴν ἀρετὴν, τῆς εἰκόνος τοῦ Θεοῦ εἰκόνα. ταύτης δὲ, ἣν οἰόμεθα εἰκόνος εἰκόνα εἶναι τοῦ Υἱοῦ τοῦ Θεοῦ, συμμόρφους προώρισε γενέσθαι ὁ Θεὸς, οὓς διὰ τὴν περὶ αὐτῶν πρόγνωσιν προώρισεν. οὐ νομιστέον τοίνυν εἶναι τῶν ἐσομένων αἰτίαν, τὴν πρόγνωσιν τοῦ Θεοῦ. ἀλλ' ἐπεὶ ἔμελλε γίνεσθαι κατ' ἰδίας ὁρμὰς τοῦ ποιοῦντις, διὰ τοῦτο προέγνω· εἰδὼς τὰ πάντα πρὸ γενέσεως αὐτῶν. καὶ ὡς εἰδὼς τὰ πάντα πρὸ γενέσεως αὐτῶν, τούσδε μέν τινας προέγνω καὶ προώρισε συμμόρφους ἐσομένους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ. ἄλλους δὲ εἶδεν ἀπηλλοτριωμένους. ἐὰν δέ τις ἀνθυποφέρῃ πρὸς ταῦτα· εἰ δυνατόν ἐστι μὴ γενέσθαι ἃ τοιάδε ἔσεσθαι προεγίνωσκεν ὁ Θεὸς, φήσομεν ἀδύνατον μὲν μὴ γενέσθαι· οὐχὶ δὲ εἰ ἀδύνατον μὴ γενέσθαι, ἀνάγκη μὴ γενέσθαι ἢ γενέσθαι. καὶ γίνεται οὐ πάντως ἐξ ἀνάγκης. ἀλλὰ δυνατόν ἐστι καὶ τὸ αὐτὰ μὴ γενέσθαι.

Τῆς δὲ λογικῆς ἔχεται ἐντρεχείας καὶ θεωρίας ὁ περὶ δυνατῶν τόπος. ἵν' ὁ σμήξας ἑαυτοῦ τὸ ὄμμα τῆς ψυχῆς, δυνηθῇ τῇ λεπτότητι τῶν ἀποδείξεων παρακολουθήσας, κατανοῆσαι πῶς μέχρι καὶ τῶν τυχόντων οὐκ ἐμποδίζεται, τὸ εἶναί τι εἰς πολλὰ δυνατὸν, ἑνὸς ἐκ τῶν πολλῶν ὄντος τοῦ ἐσομένου, καὶ οὐ κατὰ ἀνάγκην ἐσομένου· προεγνωσμένου τε οὑτωσὶν, ὅτι ἔσται μὲν, οὐκ ἐξ ἀνάγκης δὲ ἔσται. ἀλλ' ἐνδεχομένου τυγχάνοντος τοῦ μὴ γενέσθαι, ἔσται. οὐ στοχαστικῶς εἰρημένον, ἀλλ' ἀληθῶς προεγνωσμένον. μὴ νομιζέτω δέ τις ἡμᾶς τὸ κατὰ πρόθεσιν σεσιωπηκέναι ὡς θλίβον ἡμῶν τὸν λόγον. ἐπεὶ φησὶν ὁ Παῦλος, "οἴδαμεν δὲ, ὅτι τοῖς "ἀγαπῶσι τὸν Θεὸν, πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν· τοῖς κατὰ "πρόθεσιν κλητοῖς οὖσιν." ἀλλὰ προσεχέτω, ὅτι τοῦ κατὰ πρόθεσιν εἶναι κλητοὺς τὴν αἰτίαν εὐθέως ἀποδέδωκε καὶ ὁ Ἀπόστολος, ὅτι οὓς προέγνω καὶ προώρισε συμμόρφους τῆς εἰκόνος, εἰπὼν, τοῦ Υἱοῦ αὐτοῦ. καὶ τίνα γε μᾶλλον ἐχρῆν ἐγκαταχωρισθῆναι εἰς τὴν δικαιοῦσαν κλῆσιν τῇ προθέσει τοῦ Θεοῦ, ἢ τοὺς ἀγαπῶντας αὐτόν; πάνυ δὲ τὴν ἐκ τοῦ ἐφ' ἡμῖν αἰτίαν παρίστησι τῆς προθέσεως καὶ τῆς προγνώσεως, τὸ, "οἴδαμεν δὲ, ὅτι τοῖς ἀγαπῶσι "τὸν Θεὸν, πάντα συνεργεῖ εἰς ἀγαθόν." σχεδὸν γὰρ εἶπεν, ὅτι πάντα συνεργοῦντα εἰς ἀγαθὸν, διὰ τοῦτο συνεργεῖ, ἐπεὶ ἄξιοι εἰσὶ

συνεργίας οἱ ἀγαπῶντες τὸν Θεόν. ἅμα δὲ καὶ ἐρωτήσωμεν τοὺς τὰ ἐναντία λέγοντας, καὶ ἀποκρινέσθωσαν ἡμῖν πρὸς ταῦτα. ἔστω καθ' ὑπόθεσιν εἶναί τινα ἐφ' ἡμῖν. καὶ τοῦτο ἐροῦμεν αὐτοῖς ἀναιροῦσι τὸ ἐφ' ἡμῖν, ἕως ἐκ τῆς διδομένης ὑποθέσεως ἐλεγχθῇ αὐτῶν ὁ λόγος οὐχ ὑγιὴς ὤν. ὄντος δὴ τοῦ ἐφ' ἡμῖν, ἆρα ὁ Θεὸς ἐπιβαλὼν τῷ εἱρμῷ τῶν ἐσομένων, προγνώσεται τὰ πραχθησόμενα ἐκ τοῦ ἐφ' ἡμῖν, ἑκάστῳ τῶν ἐχόντων τὸ ἐφ' ἡμῖν, ἢ οὐ προγνώσεται; τὸ μὲν οὖν λέγειν οὐ προγνώσεται, ἀγνοοῦντος ἐστὶ τὸν ἐπὶ πᾶσι νοῦν, καὶ τὴν μεγαλωσύνην τοῦ Θεοῦ. εἰ δὲ δώσουσιν ὅτι προγνώσεται, πάλιν ἐρωτήσωμεν αὐτούς. ἆρα τὸ ἐγνωκέναι αὐτὸν αἴτιόν ἐστι τοῦ ἔσεσθαι τὰ ἐσόμενα; διδομένου τοῦ εἶναι τὸ ἐφ' ἡμῖν; ἢ ἐπεὶ ἔσται προέγνω. καὶ οὐδαμῶς ἐστιν αἰτία αὐτοῦ ἡ πρόγνωσις τῶν ἐσομένων ἐκ τοῦ ἐφ' ἡμῖν ἑκάστῳ. δυνατὸν οὖν ἦν τῶν δέ τινων ἀπαντησάντων, μὴ τόδε, ἀλλὰ τόδε ἐνεργῆσαι τὸν δημιουργηθέντα αὐτεξούσιον.

31 Τί οὖν ἐροῦμεν πρὸς ταῦτα; εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν;

Χρυσοστόμου. Ὡς ἂν εἰ ἔλεγε. μὴ τοίνυν λοιπὸν λέγε μοι περὶ τῶν κινδύνων, καὶ τῆς παρὰ πάντων ἐπιβουλῆς. εἰ γὰρ καὶ τοῖς μέλλουσι τινὲς διαπιστοῦσιν. ἀλλὰ πρὸς τὰ ἤδη γεγενημένα ἀγαθὰ, οὐδὲν ἂν ἔχοιεν εἰπεῖν. οἷον, τὴν ἄνωθεν τοῦ Θεοῦ πρὸς σὲ φιλίαν, τὴν δικαίωσιν, τὴν δόξαν. καὶ γὰρ ταῦτά σοι διὰ τῶν δοκούντων εἶναι λυπηρῶν ἐχαρίσατο. καὶ ὅπερ ἐνόμιζες αἰσχύνης εἶναι, τὸν σταυρὸν, τὰς μάστιγας, τὰ δεσμὰ, ταῦτά ἐστιν ἃ τὴν οἰκουμένην κατώρθωσεν ἅπασαν. ὥσπερ οὖν οἷς αὐτὸς ἔπαθε, καίτοι γε σκυθρωποῖς εἶναι δοκοῦσι, τούτοις εἰς ἐλευθερίαν καὶ σωτηρίαν τῆς φύσεως ἀπεχρήσατο, οὕτως καὶ ἐφ' οἷς αὐτὸς ὑπομένεις, ποιεῖν εἴωθεν· εἰς δόξαν σου καὶ εὐδοκίμησιν τοῖς σοῖς ἀποχρώμενος πάθεσι. καὶ τίς οὐ καθ' ἡμῶν, φησιν; καὶ γὰρ ἡ οἰκουμένη καθ' ἡμῶν, καὶ τύραννοι, καὶ δῆμοι, καὶ συγγενεῖς, καὶ πολῖται· ἀλλ' οὗτοι οἱ καθ' ἡμῶν, τοσοῦτον ἀπέχουσιν ἐπηρεάζειν ἡμῖν, ὅτι καὶ ἄκοντες στεφάνων ἡμῖν αἴτιοι γίνονται, καὶ μυρίων ἀγαθῶν πρόξενοι. τῆς τοῦ Θεοῦ σοφίας τὰς ἐπιβουλὰς, εἰς τὴν ἡμετέραν

τρεπούσης σωτηρίαν καὶ δόξαν. ὁρᾷς, πῶς οὐδεὶς καθ' ἡμῶν; ὅτι τοῦ Θεοῦ ὄντος ὑπὲρ ἡμῶν, καὶ τὰ καθ' ἡμῶν δοκοῦντα εἶναι, ὑπὲρ ἡμῶν πάντα γίνεται. ἐκ γὰρ τούτων, ἡμῖν οἱ στέφανοι πλέκονται· καὶ αὐτοὶ οἱ δοκοῦντες ἐπιβουλεύειν, τῶν εὐεργετούντων οὐκ ἔλαττον ἡμᾶς ὠφελοῦσι.

ΘΕΟΔΩΡΉΤΟΥ. *Πάντα δὲ ὁμοῦ συμπεριέλαβε, διὰ τοῦ, "τίς." καὶ βασιλέας, καὶ στρατηγοὺς, καὶ δήμους, καὶ δημαγωγοὺς, καὶ πᾶσαν ὁμοῦ τὴν οἰκουμένην.*

ΦΩΤΊΟΥ. *Ἢ καὶ οὕτως. τί ἐροῦμεν πρὸς ταῦτα; ὅτι προώρισεν, ὅτι ἐκάλεσεν, ὅτι ἐδικαίωσεν, ὅτι ἐδόξασε· πρὸς τοιαύτην ἀφθονίαν εὐεργεσιῶν, τί ἐροῦμεν; οὐδὲ εὐχαρίστων, φησὶν, λόγων εὐποροῦμεν· μή τι γε ἔργων ἀμοιβῆς. τοιαύτη ἐστὶν ἄφατος αὐτοῦ ἡ περὶ ἡμᾶς χάρις. εἶτα ὥσπερ πόρισμα λαβὼν ἐντεῦθεν, φησὶν, "εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν;" οὐδείς. κἂν γάρ τινες βλάπτειν ἐπιχειρήσωσιν, οὐ βλάψουσιν, ἀλλὰ ὠφελήσουσιν.*

32 Ὅς γε τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτὸν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται;

ΧΡΥΣΟΣΤΌΜΟΥ. *Οὐκ ἀρκεσθεὶς τοῖς εἰρημένοις, τὸ μέγιστον σημεῖον τῆς περὶ ἡμᾶς ἀγάπης, καὶ ὃ συνεχῶς ἀεὶ περιστρέφει, τοῦτο καὶ ἐνταῦθα τίθησι, τὴν σφαγὴν τοῦ παιδός. οὐ γὰρ ἐδικαίωσε μόνον φησὶν, καὶ ἐδόξασε, καὶ συμμόρφους ἐποίησε τῆς εἰκόνος ἐκείνης, ἀλλ' οὐδὲ τοῦ παιδὸς ἐφείσατο διὰ σέ. καὶ μεθ' ὑπερβολῆς καὶ πολλῆς τῆς θερμότητος ταῖς λέξεσι κέχρηται. ἵνα ἐνδείξηται αὐτοῦ τὴν ἀγάπην. πῶς οὖν ἡμᾶς προήσεται, ὑπὲρ ὧν τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν; ἐννόησον γὰρ ὅσης ἀγαθότητος, τὸ καὶ τοῦ ἰδίου Υἱοῦ μὴ φείσασθαι· ἀλλὰ καὶ δοῦναι, καὶ ὑπὲρ πάντων ἐκδοῦναι, καὶ εὐτελῶν, καὶ ἀγνωμόνων, καὶ ἐχθρῶν, καὶ βλασφήμων. "πῶς οὖν οὐχὶ καὶ "σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται;" ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. εἰ τὸν Υἱὸν αὐτοῦ ἐχαρίσατο, καὶ οὐχ ἁπλῶς ἐχαρίσατο, ἀλλὰ καὶ σφαγῇ παρέδωκε, τί λοιπὸν ὑπὲρ τῶν ἄλλων ἀμφιβάλλεις, τὸν δεσπότην λαβών; τί διστάζεις ὑπὲρ τῶν κτημάτων,*

τὸν Κύριον ἔχων; ὁ γὰρ τὸ μεῖζον τοῖς ἐχθροῖς δεδωκὼς, πῶς τὰ ἐλάττονα οὐ δώσει τοῖς φίλοις;

Φωτίου. Τέθεικε τοίνυν τὸ, "ὅς γε τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο," τὴν κηδεμονίαν ὡς ἔφαμεν τὴν ἄφατον τοῦ Θεοῦ τὴν περὶ ἡμᾶς ἐνδεικνύμενος. καὶ ἅμα εἴ τι δυσχερὲς ὑπό τινος πάσχομεν, καρτερεῖν διὰ τοῦ παραδείγματος παραινῶν. οὐ μόνον δὲ, ἀλλὰ καὶ ἀνακτώμενος καὶ παρηγορῶν· εἰ γὰρ ὁ Υἱὸς τοσαῦτα ὑπὲρ σοῦ ἔπαθε, τί σε χρὴ παθεῖν ὑπὲρ αὐτοῦ; καὶ εἰ ἐκεῖνος τοιαῦτα παθὼν, τῆς πατρικῆς δόξης τε καὶ θεότητος οὐδέν τι καθυφειμένον ἐδέξατο· μὴ δὲ σὺ ὀλιγωρήσῃς πάσχων ταῦτα. πάντως γὰρ τῶν ἐπηγγελμένων, καὶ μετὰ τὰ παθήματα, καὶ μετὰ τῶν θάνατον, ἀξιωθήσῃ.

Γενναδίου. Εὔκαιρον δὲ τοῦτο ἐπισχεῖν νῦν, ὅτι ἐνταῦθα τὸν Υἱὸν παρὰ τοῦ Πατρὸς ὑπὲρ ἡμῶν παραδεδόσθαι λέγων ὁ Παῦλος, ἐν τῇ πρὸς Ἐφεσίους αὐτὸν παρ' ἑαυτοῦ λέγει τὸν Υἱὸν τοῦτο πεποιηκέναι. "ὁ Χριστὸς γάρ," φησι, "ἠγάπησεν ἡμᾶς, καὶ "ἑαυτὸν παρέδωκεν ὑπὲρ ἡμῶν." τί διδάσκων ἡμᾶς ἕτερον, ἢ ἓν εἶναι Πατρὶ καὶ Υἱῷ τῆς ἀνθρώπων σωτηρίας τὸ βούλημα;

Γρηγορίου Νύσσης. Εἰπών γε μὴν ὁ Παῦλος τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀντιδιαστέλλει τὸν ἀληθινὸν Υἱὸν τοῖς γεννηθεῖσι καὶ ὑψωθεῖσι καὶ ἀθετήσασι. τούτοις λέγω τοῖς διὰ προστάγματος παραχθεῖσιν εἰς γένεσιν. τῇ τοῦ ἰδίου προσθήκῃ, τὸ κατὰ τὴν φύσιν οἰκεῖον ἐπισημαίνων. καὶ ὡς ἂν μή τις τῇ ἀκηράτῳ φύσει τὸ κατὰ τὸν σταυρὸν πάθος προστρίβοιτο, δι' ἑτέρων τρανοτέρων τὴν τοιαύτην ἐπανορθοῦται πλάνην. μεσίτην αὐτὸν Θεοῦ καὶ ἀνθρώπων, καὶ ἄνθρωπον καὶ Θεὸν ὀνομάζων. ἵν' ἐκ τοῦ, τὰ δύο περὶ τὸ ἓν λέγεσθαι, τὸ πρόσφορον νοοῖτο περὶ ἑκάτερον. περὶ μὲν τὸ θεῖον, ἡ ἀπάθεια· περὶ δὲ τὸ ἀνθρώπινον, ἡ κατὰ τὸ πάθος οἰκονομία. τῆς ἐπινοίας διαιρούσης τὸ κατὰ φιλανθρωπίαν μὲν ἡνωμένον· τῷ λόγῳ δὲ διακρινόμενον· ὥστε περὶ ἑκάτερον τὸ εὐσεβὲς φυλαχθῆναι. τοῦτε ἀνθρωπίνου, διὰ τῆς ἀναλήψεως δοξαζομένου· καὶ τοῦ θείου διὰ τῆς συγκαταβάσεως μὴ μολυνομένου. ἀλλὰ διδόντος μὲν τοῖς πάθεσι τὸ ἀνθρώπινον μέρος, ἐνεργοῦντος δὲ τὴν τοῦ πεπονθότος ἀνάστασιν διὰ τῆς θείας δυνάμεως· καὶ οὕτως οὔτε

τοῦ θανάτου πεῖρα ἐπὶ τὸν κεκοινωνηκότα τῆς ἐμπαθοῦς φύσεως ἀναφέρεται, διὰ τὴν τοῦ ἀνθρώπου πρὸς αὐτὸν ἕνωσιν· καὶ τὰ ὑψηλά τε καὶ θεοπρεπῆ τῶν ὀνομάτων ἐπὶ τὸν ἄνθρωπον καταβαίνει. ὡς καὶ Κύριον τῆς δόξης τὸν ἐπὶ σταυροῦ φανέντα, κατονομάζεσθαι τῇ τῆς φύσεως αὐτοῦ πρὸς τὸ ταπεινὸν ἀνακράσει· καὶ τῆς τῶν ὀνομάτων χάριτος, ἐκ τοῦ θείου πρὸς τὸ ἀνθρώπινον συμμετελθούσης.

Διὰ τοῦτο ποικίλως καὶ διαφόρως αὐτὸν παραδίδωσι. νῦν μὲν, τὸν ἐξ οὐρανῶν κατελθόντα· νῦν δὲ, τὸν ἐκ γυναικὸς γεννηθέντα. καὶ Θεὸν προαιώνιον· καὶ ἐπ᾽ ἐσχάτων ἡμερῶν, ἄνθρωπον. οὕτως καὶ ἀπαθὴς ὁμογενὴς Θεὸς, καὶ παθητὸς ὁ Χριστὸς εἶναι πιστεύεται. καὶ ὁ λόγος διὰ τῶν ἐναντίων οὐ ψεύδεται· τὸ πρόσφορον ἑκατέρῳ τῶν ὀνομάτων ἐν τοῖς νοήμασιν ἐφαρμόζων. τὰ μὲν οὖν ἀνθρώπινα, τῷ ἀνθρωπίνῳ· τὰ δὲ ὑψηλὰ, τῇ θεότητι καταλλήλως ἁρμόζομεν. καὶ φαμὲν ὅτι καθὸ Θεὸς ὁ Υἱὸς, ἀπαθὴς πάντως ἐστι καὶ ἀκήρατος. εἰ δέ τι πάθος περὶ αὐτοῦ λέγοιτο, διὰ τοῦ ἀνθρωπίνου πάντως τοῦ δεχομένου τὸ πάθος, τὸ τοιοῦτον ἐνήργησεν. ἐνεργεῖ γὰρ ὡς ἀληθῶς ἡ θεότης διὰ τοῦ περὶ αὐτὴν σώματος σωτηρίαν· ὡς εἶναι τῆς μὲν σαρκὸς, τὸ πάθος, τοῦ δὲ Θεοῦ, τὴν ἐνέργειαν. κἂν τὸν Ἀπόστολον εἰς συνηγορίαν τινὲς, τοῦ ἐναντίου καθέλκωσι δόγματος, λέγοντα, ὅτι τοῦ ἰδίου οὐκ ἐφείσατο· καὶ ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν ἔπεμψε, καὶ ὅσα τοιαῦτα. πρὸς τὴν θείαν φύσιν ἐν τῇ τοῦ πάθους οἰκονομίᾳ, καὶ οὐχὶ πρὸς τὸ ἀνθρώπινον βλέπειν δοκεῖ. οὐδὲν ἧττον τῶν ὑγιῶν δογμάτων οὐκ ἀφεξόμεθα· αὐτοῦ τοῦ Παύλου γυμνότερον τὸ περὶ τούτου σαφηνίσαντος ἡμῖν μυστήριον. πανταχοῦ γὰρ τῷ ἀνθρωπίνῳ μέρει τοῦ Χριστοῦ, τὴν τοῦ πάθους οἰκονομίαν προσμαρτυρεῖ, λέγων, "ἐπειδὴ γὰρ "δι᾽ ἀνθρώπου ὁ θάνατος, καὶ δι᾽ ἀνθρώπου ἀνάστασις νεκρῶν." καὶ, "ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας, ἐν ὁμοιώματι σαρκὸς "ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί." ἐν τῇ σαρκὶ γὰρ, οὐκ ἐν τῇ θεότητι φησίν. καὶ μηδεὶς οἰέσθω τὸν θεῖον Ἀπόστολον καθ᾽ ἑαυτοῦ πρὸς τὰ ἐναντία μερίζεσθαι. καὶ τοῖς μαχομένοις κατὰ τὰ δόγματα, πρὸς τὴν εἰς ἑκάτερον ἐπιχείρησιν ἐκ τοῦ ἴσου παρέχειν διὰ τῶν ἰδίων λόγων τὰς ὕλας. εὕροι γὰρ ἂν

τις ἀκριβῶς ἐξετάζων, ὅτι πρὸν ἓν αὐτῷ βλέπει δι' ἀκριβείας ὁ λόγος, καὶ οὐκ ἐπιδιστάζει ταῖς ἐπινοίαις. πανταχοῦ γὰρ τὴν τοῦ ἀνθρωπίνου πρὸς τὸ θεῖον ἀνάκρασιν κηρύσσων, οὐδὲν ἧττον ἐν ἑκατέρῳ τὸ ἴδιον καθορᾷ. ὡς καὶ τῆς ἀνθρωπίνης ἀσθενείας διὰ τῆς πρὸς τὸ ἀκήρατον κοινωνίας πρὸς τὸ κρεῖττον ἀλλοιωθείσης· καὶ τῆς θείας δυνάμεως οὐ συγκαταπιπτούσης τῇ πρὸς τὸ ταπεινὸν συναφείᾳ τῆς φύσεως.

Κυρίλλου. Σὺ δὲ ἀκούων ὅτι τὸν Υἱὸν αὐτοῦ ἔδωκεν ὑπὲρ ἡμῶν, σύνες, ὡς οἱ τὸν τῆς οὐσίας αὐτοῦ καρπὸν εἰς ποίημα κατασύροντες, καὶ αὐτὸ τὸ μέγα καὶ ἐξαίσιον τὸ ἐπὶ τῇ τοῦ Θεοῦ καὶ Πατρὸς ἀγάπῃ καταστρέφουσι θαῦμα. β. φρασείας ἂν, ὅπως. α. καὶ μάλα προθύμως. δέδωκεν ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας τὸν υἱόν; β. καὶ πάνυ. α. ἄμεινον δὲ δήπουθεν τὸ γεννηθὲν, οὗπερ ἂν φιλοτεχνήσαιτό τις· εἴπέρ ἐστι τὸ μὲν, ἐξ ἡμῶν, καὶ τῆς τοῦ τεκόντος ὑποστάσεως καρπός· τὸ δὲ, τῆς ἀρίστης εὕρεμα βουλῆς, καὶ σοφίας ἔργον· οὐ βλαστὸς οὐσίας. β. τί οὖν τοῦτό γε; α. ἢ οὐκ ἐννοεῖς, ὡς μεῖον μὲν ἄντις ἀγάσαιτο τυχὸν τὴν ἀγάπησιν τοῦ Θεοῦ καὶ Πατρὸς, προεμένου πρὸς λύτρωσιν τῆς ὅλης κτίσεως, μέρος ὄντα κτίσεως τὸν Υἱόν· εἴπέρ ἐστι γενητός. πλουσιώτερον δὲ κατατεθήποι ἂν, καὶ μάλα εἰκότως τῆς τοῦ κόσμου ζωῆς ἀντάλλαγμα, καὶ αὐτὸν εἰ μάθοι δεδωκότα τὸν Υἱόν· καὶ ἀφειδήσαντα μὲν ἰδίου καρποῦ, κατά γε τὸ, ἐν σαρκὶ γεγονότα· καὶ ἐντεθνάναι δοκεῖν, δεδιψηκότα δὲ μᾶλλον τοῦ κόσμου τὴν εἰς τὸ εὖ εἶναι διαμονήν. β. συνίημι. α. οἶμαι δὲ ἔγωγε. καὶ νεμεσάτω μηδεὶς ἀνακαιομένῳ πρὸς θράσος ἐκ φιλοθείας τῷ λόγῳ· ὡς οὐδ' ἂν ἀντάξιος εἴη τῆς ὅλης κτίσεως ὁ Χριστός· οὐδ' ἂν ἔχῃ διαρκῶς εἰς τὸ ἐκπρίασθαι καλῶς τὴν τοῦ κόσμου ζωὴν, εἰ καὶ αὐτὴν κατάθοιτο, καθάπερ ἐν τάξει τιμῆς, τὴν ἰδίαν ψυχὴν, πρόοιτό τε ὑπὲρ ἡμῶν τὸ τίμιον αἷμα· εἰ μὴ ἀληθῶς Υἱός ἐστι, καὶ ὡς ἐκ Θεοῦ Θεὸς, κτίσμα δὲ καὶ κτίσεως μέρος.

33 Τίς ἐγκαλέσειε κατὰ ἐκλεκτῶν Θεοῦ; Θεὸς ὁ δι-
34 καίων. τίς ὁ κατακρίνων;

Χρυσοστόμου. Ταῦτα πρὸς τοὺς λέγοντας ὅτι οὐδὲν ἡ πίστις ὠφελεῖ, καὶ ἀπιστοῦντας τῇ ἀθρόᾳ μεταβολῇ. καὶ ὅρα πῶς τά-

χεως αὐτοὺς ἐπεστόμισεν, ἀπὸ τοῦ ἀξιώματος τοῦ ἐκλεξαμένου· καὶ οὐκ εἶπε, τίς ἐγκαλέσει κατὰ τῶν δούλων τοῦ Θεοῦ; οὐδὲ κατὰ τῶν πιστῶν τοῦ Θεοῦ; ἀλλὰ "κατὰ τῶν ἐκλεκτῶν τοῦ Θεοῦ;" ἡ γὰρ ἐκλογὴ, ἀρετῆς σημεῖον ἐστίν· εἰ γὰρ, ἐπειδὰν πωλοδάμνης πώλους ἐκλέξηται πρὸς δρόμον ἐπιτηδείους, οὐδεὶς ἐπισκῆψαι δυνήσεται, ἀλλὰ καταγέλαστος γίνεται, κἂν ἐγκαλέσῃ τίς, πολλῷ μᾶλλον ὅταν ὁ Θεὸς ἐκλέγηται ψυχὰς, καταγέλαστοι οἱ ἐγκαλοῦντες. οὐκ εἶπε δὲ Θεὸς ὁ ἀφεὶς ἁμαρτήματα· ἀλλ' ὃ πολλῷ μεῖζον ἦν, "Θεὸς ὁ δικαιῶν." ὅταν γὰρ ἡ τοῦ δικαστοῦ ψῆφος, δίκαιον ἀποφήνῃ, καὶ δικαστοῦ τοιούτου, τίνος ἄξιος ὁ κατηγορῶν; οὐκοῦν οὔτε τοὺς πειρασμοὺς φοβεῖσθαι δίκαιον, (ὑπὲρ ἡμῶν γάρ ἐστιν ὁ Θεός. καὶ ἐδήλωσεν ἐξ ὧν ἐποίησεν.) οὔτε τὰς φλυαρίας τὰς Ἰουδαϊκάς. καὶ γὰρ καὶ ἐξελέξατο ἡμᾶς καὶ ἐδικαίωσε. καὶ τὸ δὴ θαυμαστὸν, ὅτι καὶ διὰ τῆς σφαγῆς τοῦ παιδὸς, ἐδικαίωσε. τίς οὖν ἡμᾶς κατεδίκασεν;

Φωτίου. Ἐν τοῖς ἔμπροσθεν δὲ εἰπὼν τοὺς πειρασμοὺς τοὺς διὰ θλίψεων καὶ βασάνων, ἐν τῷ εἰπεῖν "τις καθ' ἡμῶν;" νῦν ἕτερον εἶδος πειρασμῶν λέγει· τοὺς ὀνειδισμοὺς, τὰς μέμψεις, τὰς λοιδορίας, ἃς κατέχεον οἱ ἄπιστοι τῶν πιστῶν. καὶ τοῦτο δηλοῖ διὰ τοῦ λέγειν, "τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν Θεοῦ;" καὶ ἀποδείκνυσι κἀνταῦθα, ὥσπερ καὶ ἐπὶ τῶν εἰρημένων, ὅτι Θεοῦ δικαιοῦντος, εἰς μάτην γλωσσαλγοῦσιν οἱ αἰτιώμενοι καὶ κατακρίνοντες.

Κυρίλλου. Τάχα δὲ καὶ οἰκονομικῶς ὁ Παῦλος οὐκ ἐᾷ τὸν νοῦν τῶν κεκλημένων εἰς ἀμηχανίαν ἐμπεσεῖν, ἀλλὰ διδάσκει, ὅτι τῶν μὲν ἀρχαίων ἁμαρτιῶν ἐλευθερωθήσονται, δικαιωθήσονται δὲ, Θεοῦ κατανεύοντος. εἰ γὰρ καὶ πᾶσα ἁμαρτία, τοῦ θείου νόμου παράβασιν ἔχει, καὶ κατακρίνει τὸν ῥαθυμοῦντα· ἀλλ' εἰ αὐτὸς ὁ τοῦ νόμου κύριος συγχωρεῖ, τίς ὁ κατακρίνων τὸν ἡμαρτηκότα;

Ὠριγένους. Δόξειε δ' ἂν τοῦτο καὶ ἐπὶ τὸν διάβολον ἀναφέρεσθαι, ὄντα κατήγορον καὶ τῶν ἐκλεκτῶν. οὐδεὶς γάρ ἐστιν, οὗ ἐκεῖνος μὴ κατηγορήσει, καὶ ᾧ οὐκ ἐγκαλέσει, εἰ μὴ μόνος ὁ Ἰησοῦς, "ὃς ἁμαρτίαν οὐκ ἐποίησε." καὶ διὰ τοῦτο ἔλεγεν, "ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν."

διὰ τοῦτο οὖν ἐκεῖνος ἐξευτελίζεται, ἐγκαλῶν καὶ κατὰ ἐκλεκτῶν τοῦ Θεοῦ. τοῦ γὰρ Θεοῦ δικαιοῦντος, τίς κατακρίναι δύναται; κἂν ὁ κατήγορος φέρῃ εἰς μέσον τὰ ἀπειλημένα, ἐφ' οἷς κατεκρίθη ἂν, εἰ μὴ ἀπήλειπτο. ἐδικαίωσε δὲ, ὡς νεφέλην ἀπολείψας τὰς ἀνομίας αὐτῶν, καὶ ὡς γνόφον τὰς ἁμαρτίας αὐτῶν.

34 Χριστὸς ὁ ἀποθανὼν, μᾶλλον δὲ καὶ ἐγερθεὶς, ὃς καὶ ἔστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν.

Χρυσοστόμου. Τίς, φησιν, ἡμᾶς καταδικάσει, τοῦ Χριστοῦ δι' ἡμᾶς σφαγέντος· καὶ μετὰ τὴν σφαγὴν, καὶ ὑπὲρ ἡμῶν ἐντυγχάνοντος; καὶ γὰρ ἐπὶ τῆς οἰκείας ἀξίας φανεὶς, οὐ κατέλυσε τὴν ὑπὲρ ἡμῶν πρόνοιαν. ἀλλὰ καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν· καὶ τὴν αὐτὴν ἀγάπην μένει διατηρῶν. οὐδὲ γὰρ ἠρκέσθη τῇ σφαγῇ μόνον, ὅπερ μεγίστου μάλιστά ἐστι φίλτρου, τὸ μὴ μόνον τὰ εἰς αὐτὸν ἥκοντα ποιεῖν, ἀλλὰ καὶ ἕτερον ὑπὲρ τούτου παρακαλεῖν. τοῦτο γὰρ μόνον διὰ τοῦ ἐντυγχάνει, δηλῶσαι ἠβουλήθη, ἀνθρωπικώτερον διαλεχθεὶς καὶ συγκαταβατικώτερον· ἵνα τὴν ἀγάπην ἐνδείξηται. ἐπεὶ καὶ τὸ, "οὐκ ἐφείσατο," ἐὰν μὴ μετὰ ταύτης ἐκλάβωμεν τῆς ἐννοίας, πολλὰ τὰ ἄτοπα ἕψεται. καὶ ἵνα μάθῃς ὅτι τοῦτο ἐστιν ὃ κατασκευάσαι βούλεται, πρότερον εἰπὼν ὅτι ἔστιν ἐν δεξιᾷ, τότε ἐπήγαγεν, ὅτι ἐντυγχάνει ὑπὲρ ἡμῶν, ὅτε τὴν ὁμοτιμίαν ἔδειξε καὶ τὴν ἰσότητα. ἵνα λοιπὸν τὸ, ἐντυγχάνει, μὴ ἐλαττώσεως, ἀλλὰ ἀγάπης φαίνηται ὄν. ὁ γὰρ αὐτοζωὴ ὢν, καὶ πηγὴ τῶν ἀγαθῶν ἁπάντων, καὶ μετ' ἐξουσίας τῆς αὐτῆς τῷ Πατρὶ, καὶ νεκροὺς ἐγείρων καὶ ζωοποιῶν, καὶ τὰ ἄλλα πάντα ποιῶν, πῶς ἂν ἐντεύξεως ἐδεήθη εἰς τὸ ὠφελῆσαι ἡμᾶς, ὁ ἀπεγνωσμένους καὶ καταδεδικασμένους, καὶ ἐξ οἰκείας ἐξουσίας, καὶ τῆς καταδίκης ἐκείνης ἀπαλλάξας, καὶ δικαίους υἱοὺς ποιήσας, καὶ πρὸς τὰς ἀνωτάτω τιμὰς ἀγαγὼν, καὶ τὰ μηδέποτε ἐλπισθέντα εἰς ἔργον ἀγαγὼν, πῶς ἂν μετὰ τὸ κατορθῶσαι πάντα, καὶ τὴν φύσιν τὴν ἡμετέραν δεῖξαι, ἐπὶ τοῦ θρόνου τοῦ βασιλικοῦ, πρὸς τὰ εὐκολώτερα, ἐντυχίας ἐδεῖτο; ὁρᾷς πῶς πανταχόθεν δείκνυται, ὅτι τὸ, "ἐντυγχάνει" δι' οὐδὲν ἕτερον εἴρηκεν, ἀλλ' ἵνα τὸ θερμὸν καὶ ἀκμάζον τῆς περὶ ἡμᾶς ἀγάπης ἐνδείξηται. ἐπεὶ καὶ ὁ Πατὴρ

φαίνεται παρακαλῶν ἀνθρώπους καταλλαγῆναι αὐτῷ. "ὑπὲρ "Χριστοῦ γὰρ πρεσβεύομεν," φησὶν, "ὡς τοῦ Θεοῦ παρακα-"λοῦντος δι' ἡμῶν." ἀλλ' ὅμως καὶ Θεοῦ, καὶ ἀνθρώπων ὑπὲρ Χριστοῦ πρεσβευομένων, οὐδὲν ἀνάξιον ἐννοοῦμεν ἐντεῦθεν τῆς ἀξίας ἐκείνης, ἀλλ' ἓν μόνον ἐκ τῶν εἰρημένων ἁπάντων συλλέγομεν, τὴν τῆς ἀγάπης ἐπίτασιν. τοῦτο δὴ καὶ ἐνταῦθα ποιῶμεν. εἰ τοίνυν καὶ "τὸ Πνεῦμα ἐντυγχάνει στεναγμοῖς ἀλαλήτοις," καὶ ὁ Χριστὸς ἀπέθανε καὶ ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν, καὶ ὁ Πατὴρ τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο διὰ σὲ, καὶ ἐξελέξατό σε καὶ ἐδικαίωσέ σε, τί λοιπὸν δέδοικας τοσαύτης ἀπολαύων ἀγάπης;

ΘΕΟΔΩΡΗΤΟΥ. Τί τούτων μεῖζον ζητεῖς; ὑπὲρ ἡμῶν ἀπέθανεν ὁ δεσπότης Χριστός· καὶ ἀναστὰς, τῷ Πατρὶ συνεδρεύει. καὶ οὐδὲ οὕτως τῆς περὶ ἡμῶν ἐπαύσατο προμηθείας. ἀλλ' ἣν ἐξ ἡμῶν ἀνέλαβε δεικνὺς ἀπαρχὴν, καὶ τὸ ταύτης ἄμωμον ἐπιδεικνὺς τῷ Πατρὶ, δι' ἐκείνης ἡμῖν τὴν σωτηρίαν αἰτεῖ. καὶ τοῦτο μέντοι κατὰ τὸ ἀνθρώπινον τέθεικεν. ὡς γὰρ Θεὸς οὐκ αἰτεῖ, ἀλλὰ χορηγεῖ. εἰ δὲ καὶ κατὰ τὴν θεότητα φήσαιεν οἱ αἱρετικοὶ τοῦτο ποιεῖν τὸν Υἱὸν, οὐδὲ οὕτως αὐτοῦ τὴν δόξαν ἐλάττονα δείξουσι. δῶμεν γὰρ δύο βασιλεῖς ἰσοτίμους εἶναι, τὴν αὐτὴν ἔχοντας ἐξουσίαν. ὕπαρχον δέ τινα ἢ στρατηγὸν ἀμφοτέροις προσκεκρουκέναι. καὶ τούτων τὸν ἕτερον πρότερον τοῦ προσκεκρουκότος τὰς ἱκετείας δεξάμενον, αἰτεῖν παρὰ τοῦ κοινωνοῦ τῆς βασιλείας τὰς πρὸς τοῦτον καταλλαγάς· ἆρα τοῦτο σμικρύνει τὴν τοῦ αἰτοῦντος ἀξίαν; οὐδαμοῦ· ἀλλ' ἐνταῦθα οὐδὲ τοῦτο ἔστιν εἰπεῖν. τὰ γὰρ δοκοῦντα τῷ Υἱῷ, καὶ τῷ Πατρὶ συνδοκεῖ. ἐσχημάτισται δὲ οὕτως τῷ Ἀποστόλῳ ὁ λόγος, ἵνα δείξῃ τὴν τῆς κηδεμονίας ὑπερβολήν.

ΣΕΥΗΡΙΑΝΟΥ. Δῆλόν γε μὴν ὅτι ταῦτα ἐντυγχάνει ἅπερ καὶ ἡνίκα συνῆν ἀνθρώποις κατὰ σάρκα. ᾔτει γὰρ τὸν Πατέρα λέγων, "θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ, ἐκεῖ καὶ αὐτοὶ μετ' ἐμοῦ ὦσιν." οὔτε δὲ ὡς ἀγνοοῦντα τὸν Πατέρα, τὰ καθ' ἡμᾶς διδάσκει ἐντυγχάνων· οὔτε ὡς μὴ βουλόμενον. ἃ γὰρ βούλεται ὁ Πατὴρ, βούλεται καὶ ὁ Υἱός. τί οὖν βούλεται ἡ πρεσβεία; τὴν μέλλουσαν ἀσέβειαν Σαβελλίου προεκκόπτει ὁ λόγος· διδάσκων ὡς εἰ καὶ μία ἐστὶ τῆς Τριάδος ἡ φύσις, ἀλλ' οὐχὶ μία καὶ ἡ ὑπόστασις. διὰ γὰρ

τῆς ἐντεύξεως, ἕτερος ὁ αἰτῶν, καὶ ἕτερος ὁ αἰτούμενος δείκνυται. οὐκ ἄτοπον γὰρ, τὸν μὲν Υἱὸν, αἰτεῖν, τὸν δὲ Πατέρα χαρίζεσθαι· ὅπως ἂν ἁρμόζουσα τάξις ἐπ' ἀμφοτέρων τῶν προσώπων φυλάττηται. ἢ οὐκ ἄτοπον ἦν, εἰδότα τοῦ Πατρὸς τὴν γνώμην φθάνειν τὸν Υἱὸν τοῦ Πατρὸς τὴν δωρεάν; καὶ ὑφαρπάζοντα διδόναι τὴν χάριν; οὕτω γοῦν καὶ πάντα μὲν διὰ τοῦ Υἱοῦ ἐδημιουργήθη, βουλήσει δὲ Πατρός. ἵνα δι' ὅλου τὸ πρέπον ἐπ' ἀμφοτέρων τῶν προσώπων φυλάττηται. διδάσκει οὖν ὁ λόγος ἡμᾶς τὴν τοῦ Πατρὸς καὶ Υἱοῦ ἀσύγχυτον τάξιν. ἐὰν δὲ καὶ τὸν ἐν σαρκὶ Χριστὸν λογίσῃ αἰτοῦντα, πολλῷ σοι μᾶλλον ὁ λόγος φανεῖται εὐσυνοπτότερος.

Γρηγορίου τοῦ Θεολόγου. Ἐντυγχάνει, φησὶν, ὑπὲρ ἡμῶν, εὖγε καὶ λίαν μυστικῶς τὲ καὶ φιλανθρώπως. τὸ γὰρ ἐντυγχάνειν, οὐχ ὡς ἡ τῶν πολλῶν συνήθεια, τὸ ζητεῖν ἐκδίκησιν ἔχει. τοῦτο γάρ πως καὶ ταπεινότητος· ἀλλὰ τὸ πρεσβεύειν ὑπὲρ ἡμῶν τῷ λόγῳ τῆς μεσιτείας· ὡς καὶ τὸ Πνεῦμα ὑπὲρ ἡμῶν ἐντυγχάνειν λέγεται. "εἷς γὰρ Θεὸς, καὶ εἷς μεσίτης Θεοῦ καὶ ἀνθρώ-"πων, ἄνθρωπος Ἰησοῦς Χριστός." πρεσβεύει γὰρ ἔτι καὶ νῦν ὡς ἄνθρωπος ὑπὲρ τῆς ἐμῆς σωτηρίας. ὅτι μετὰ τοῦ σώματος ἐστὶν οὗ προσέλαβεν, ἕως ἂν ἐμὲ ποιήσῃ Θεὸν τῇ δυνάμει τῆς ἐνανθρωπήσεως. κἂν μηκέτι κατὰ σαρκὰ γινώσκηται, τὰ σαρκικὰ λέγω πάθη, καὶ χωρὶς τῆς ἁμαρτίας ἡμέτερα.

Βασιλείου. Ὅταν δὲ λέγῃ, "ὅς ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ." διὰ τοῦ δεξιοῦ, οὐ τὴν κάτω χώραν δηλοῖ, ὡς ὁ λόγος τῶν ἐν τόπῳ ὑπόβασίν τινα νοούντων τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα· ὡς ὑπεράνω μὲν τὸν Πατέρα καθῆσθαι, πρὸς δὲ τὸ ἐφεξῆς εἰς τὸ κάτω τὸν Υἱὸν ἀπεῶσθαι. ἀλλὰ τὴν πρὸς τὸ ἶσον σχέσιν παρίστησιν. οὐ σωματικῶς τοῦ δεξιοῦ λαμβανομένου. οὕτω γὰρ ἄν τι καὶ σκαιὸν ἐπὶ τοῦ θείου εἴη. ἀλλ' ἐκ τῶν τιμίων τῆς προεδρίας ὀνομάτων τὸ μεγαλοπρεπὲς τῆς περὶ τὸν Υἱὸν τιμῆς παριστῶντος τοῦ λόγου. τί τοίνυν φήσουσιν; ἢ τίνα ἕξουσι δικαίαν ἀπολογίαν ἐπὶ τοῦ φοβεροῦ καὶ κοινοῦ τῆς κτίσεως ἁπάσης δικαστηρίου; εἰ τοῦ Στεφάνου θεασαμένου τὸν Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ· καὶ Παύλου ἐν πνεύματι διαμαρτυρομένου περὶ Χριστοῦ, ὅτι ἔστιν ἐν δεξιᾷ τοῦ Θεοῦ· καὶ τοῦ Πατρὸς λέγοντος, "κάθου ἐκ δεξιῶν

" μου·" καὶ τοῦ Ἁγίου Πνεύματος μαρτυροῦντος, " ὅτι ἐκάθισεν " ἐν δεξιᾷ τῆς μεγαλωσύνης τοῦ Θεοῦ." αὐτοὶ τὸν σύνθρονον καὶ ὁμότιμον ἀπὸ τῆς πρὸς τὸ ἶσον σχέσεως ἐπὶ τὸ κάτω καταβιβάζουσιν· οἶμαι γὰρ, τὴν μὲν στάσιν καὶ τὴν καθίδρυσιν, τὸ πάγιον τῆς φύσεως καὶ πάντη στάσιμον ὑποφαίνειν. καθὸ καὶ Βαροὺχ τὸ ἀκίνητον καὶ ἀμετάθετον τῆς τοῦ Θεοῦ διεξαγωγῆς ἐνδεικνύμενος, ἔφη, " σὺ καθήμενος εἰς τὸν αἰῶνα. καὶ ἡμεῖς ἀπολλύ" μενοι εἰς τὸν αἰῶνα." τὴν δὲ δεξιὰν χώραν δηλοῖ, τὸ τῆς ἀξίας ὁμότιμον.

35 Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλί-
ψις, ἢ στενοχωρία, ἢ διωγμὸς, ἢ λιμὸς, ἢ γυμνότης, ἢ
36 κίνδυνος, ἢ μάχαιρα; καθὼς γέγραπται, ὅτι ἕνεκα σοῦ
θανατούμεθα ὅλην τὴν ἡμέραν· ἐλογίσθημεν ὡς πρό-
37 βατα σφαγῆς. ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ
τοῦ ἀγαπήσαντος ἡμᾶς.

Χρυσοστόμου. Δείξας πολλὴν τὴν ἄνωθεν πρόνοιαν, μετὰ παρρησίας λοιπὸν ἐπάγει ταυτί. καὶ οὐ λέγει ὅτι ὀφείλετε καὶ ὑμεῖς οὕτως αὐτὸν ἀγαπᾶν. ἀλλ' ὥσπερ ἔνθους γενόμενος, ὑπὸ τῆς ἀφάτου ταύτης προνοίας, φησί· " τίς ἡμᾶς χωρίσει;" καὶ οὐκ εἶπε τοῦ Θεοῦ. οὕτως ἀδιάφορον αὐτῷ καὶ Χριστὸν καὶ Θεὸν ὀνομάζειν. καὶ ὅρα τὴν αὐτοῦ σύνεσιν. οὐ γὰρ εἶπε ταῦτα οἷς καθ' ἡμέραν ἁλισκόμεθα, χρημάτων ἔρωτα, καὶ δόξας ἐπιθυμίαν, καὶ ὀργῆς τυραννίδα· ἀλλ' ἃ πολλῷ τούτων ἔστι τυραννικώτερα, καὶ τὴν φύσιν αὐτὴν ἱκανὰ βιάσασθαι, καὶ διανοίας στερρότητα ἀναμοχλεῦσαι πολλάκις. καὶ ἀκόντων ἡμῶν ταῦτα τίθησι, θλίψεις καὶ στενοχωρίας. εἰ γὰρ καὶ εὐαρίθμητα τὰ εἰρημένα, ἀλλὰ μυρίους ἔχει πειρασμῶν ὁρμαθοὺς, ἑκάστη λέξις. ὅταν γὰρ εἴπῃ θλίψιν, καὶ δεσμωτήρια λέγει καὶ συκοφαντίας, καὶ ταλαιπωρίας, καὶ τὰς ἄλλας ἐξορίας ἁπάσας. ἑνὶ ῥήματι πέλαγος κινδύνων διατρέχων ἄπειρον. καὶ πάντα ἁπλῶς τὰ ἐν ἀνθρώποις δεινὰ διὰ μιᾶς ἡμῖν ἐμφαίνων λέξεως· ἀλλ' ὅμως καὶ πάντων αὐτῶν κατατολμᾷ. διὸ καὶ κατὰ ἐρώτησιν αὐτὰ προάγει. ὡς ἀναντίρρητον ὂν, ὅτι τὸν οὕτως ἀγαπηθέντα, καὶ τοσαύτης ἀπολαύσαντα προ-

νοίας, οὐδέν ἐστιν ὃ διαστῆσαι δυνήσεται. εἶτα ἵνα μὴ δόξῃ ταῦτα ἐγκαταλείψεως εἶναι, καὶ τὸν προφήτην ἐπάγει προαναφωνοῦντα αὐτὰ πρὸ πολλοῦ τοῦ χρόνου καὶ λέγοντα, "ὅτι ἕνεκα σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν. ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς." τουτέστι, πᾶσιν ἐσμὲν προκείμενοι εἰς τὸ πάσχειν κακῶς. ἀλλ' ὅμως πρὸς τοὺς τοσούτους καὶ τηλικούτους κινδύνους, καὶ τὰς καινὰς ταύτας τραγῳδίας, ἀρκοῦσα παράκλησις, ἡ τῶν ἀγώνων ὑπόθεσις ἡμῖν δέδοται. μᾶλλον δὲ οὐκ ἀρκοῦσα μόνον· ἀλλὰ καὶ πολλῷ πλείων. οὐ γὰρ δι' ἀνθρώπους, οὐδὲ δι' ἄλλό τι βιωτικὸν ταῦτα πάσχομεν, ἀλλὰ διὰ τὸν τῶν ὅλων βασιλέα, φησίν.

Οὐ τούτῳ δὲ μόνον αὐτούς, ἀλλὰ καὶ ἑτέρῳ πάλιν ἀνέδησε στεφάνῳ, ποικίλῳ καὶ πολυειδεῖ. ἐπειδὴ γὰρ ἀνθρώπους ὄντας, οὐκ ἐνῆν μυρίους ὑπομεῖναι θανάτους, δείκνυσιν, ὅτι οὐδὲ ταύτῃ τὰ βραβεῖα ἠλάττωται. κἂν γὰρ τῇ φύσει κεκληρωμένον ᾖ, τὸ μόνον ἅπαξ ἀποθανεῖν, τῇ προαιρέσει τὸ καθ' ἡμέραν τοῦτο πάσχειν εἰ βουληθείημεν, δέδωκεν ὁ Θεός. ὅθεν δῆλον, ὅτι τοσούτους ἀπελευσόμεθα ἔχοντες στεφάνους, ὅσας ἂν βιώσωμεν ἡμέρας· μᾶλλον δὲ καὶ πολλῷ πλείους. ἔστι γὰρ ἐν ἡμέρᾳ μιᾷ, καὶ ἅπαξ καὶ δίς, καὶ πολλάκις ἀποθανεῖν. ὁ γὰρ πρὸς τοῦτο παρεσκευασμένος ἀεί, ἀεὶ τὸν μισθὸν ἀπηρτισμένον λαμβάνει. τοῦτο γοῦν καὶ ὁ προφήτης αἰνιττόμενος ἔλεγεν, "ὅλην τὴν ἡμέραν." διὸ καὶ ὁ Ἀπόστολος αὐτὸν ἐπεισήγαγε, μειζόνως αὐτοὺς διεγείρων. εἰ γὰρ οἱ ἐν τῇ παλαιᾷ φησὶν, καὶ γῆν τὸ ἔπαθλον τῶν πόνων ἔχοντες, καὶ τὰ ἄλλα τὰ τῷ παρόντι συγκαταλυόμενα βίῳ, ῥᾴδιον τῆς παρούσης ὑπερώρων ζωῆς, καὶ τῶν πειρασμῶν καὶ τῶν κινδύνων, τίνα ἂν σχοίημεν συγγνώμην ἡμεῖς, μετὰ τὸν οὐρανὸν καὶ τὴν βασιλείαν τὴν ἄνω, καὶ τὰ ἀπόρρητα ἀγαθὰ, καταμαλακιζόμενοι, καὶ μὴ δὲ πρὸς τὸ αὐτὸ μέτρον φθάνοντες ἐκείνοις; ἀλλ' οὕτω μὲν οὐκ εἶπε· τῷ δὲ συνειδότι αὐτὸ καταλιπὼν, τῶν ἀκροατῶν τῇ μαρτυρίᾳ ἀρκεῖται μόνῃ. καὶ δείκνυσιν, ὅτι καὶ θυσία αὐτῶν τὰ σώματα γίνεται. καὶ οὐ δεῖ θορυβεῖσθαι οὐδὲ ταράττεσθαι, τοῦ Θεοῦ οὕτως οἰκονομήσαντος. καὶ ἑτέρως δὲ αὐτοὺς προτρέπει. ἵνα γὰρ μὴ λέγῃ τὶς, ὅτι ἁπλῶς ταῦτα φιλοσοφεῖ πρὸ τῆς πείρας τῶν πραγμάτων, ἐπήγαγεν, "ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς." τοὺς καθημερι-

νοὺς τῶν Ἀποστόλων θανάτους λέγων. εἶδες ἀνδρίαν καὶ ἐπιείκειαν; ὥσπερ γὰρ ἐκεῖνα, φησὶν, οὐκ ἀνθίσταται σφαττόμενα, οὕτως οὐδὲ ἡμεῖς. ἀλλ' ἐπειδὴ τῆς ἀνθρωπίνης διανοίας ἡ ἀσθένεια, καὶ μετὰ τοσαῦτα, τῶν πειρασμῶν ἐδεδοίκει τὸ πλῆθος, ὅρα πῶς πάλιν ἀνίστησι τὸν ἀκροατὴν, εἰπὼν, "ἀλλ' ἐν τούτοις πᾶσιν "ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς." τὸ γὰρ δὴ θαυμαστὸν τοῦτό ἐστιν· οὐχ ὅτι νικῶμεν μόνον, ἀλλὰ καὶ δι' ὧν ἐπιβουλευόμεθα νικῶμεν. καὶ οὐχ ἁπλῶς νικῶμεν, ἀλλὰ καὶ "ὑπερ-"νικῶμεν." τουτέστι, μετ' εὐκολίας ἁπάσης, χωρὶς ἱδρώτων καὶ πόνων. οὐ γὰρ πράγματα ὑπομένοντες, ἀλλὰ τὴν γνώμην παρασκευάζοντες μόνον, οὕτω πανταχοῦ τὰ τρόπαια κατὰ τῶν ἐχθρῶν ἱστῶμεν. καὶ μάλα εἰκότως. Θεὸς γάρ ἐστιν ἡμῖν ὁ συναγωνιζόμενος. μὴ τοίνυν ἀπιστήσῃς εἰ μαστιζόμενοι, τῶν μαστιζόντων περιγινόμεθα. ὅταν γὰρ καὶ τὴν δύναμιν τοῦ Θεοῦ καὶ τὴν ἀγάπην θῇς, οὐδὲν τὸ κωλύον τὴν ἐκ περιουσίας λάμψαι νίκην. λέγω δὴ τὸ, ἅπερ κατ' αὐτῶν ἐμηχανῶντο, πάντα ὑπὲρ αὐτῶν ὁρᾶσθαι γινόμενα. διὸ καὶ ἔλεγεν, "ὑπερνικῶμεν." καινὸς γὰρ οὗτος ὁ νόμος τῆς νίκης ἦν, τὸ διὰ τῶν ἐναντίων κρατεῖν, καὶ μηδέποτε ἡττᾶσθαι· ἀλλ' ὡς αὐτοὺς ὄντας κυρίους τοῦ τέλους, οὕτως εἰς τοὺς ἀγῶνας ἐξιέναι τούτους.

Θεοδωρήτου. Ἢ τὸ, "διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς." ἀντὶ τοῦ, περιγινόμεθα τῶν δεινῶν, τὴν περὶ ἡμᾶς ἀγάπην τοῦ Θεοῦ τῶν ὅλων, τούτοις ἅπασιν ἀντιτάττοντες. λογιζόμεθα γὰρ ὅτι τῶν ἀτοπωτάτων ἐστὶ, τὸν μὲν δεσπότην Χριστὸν, τὸν ὑπὲρ ἁμαρτωλῶν καταδέξασθαι θάνατον· ἡμᾶς δὲ τὴν ὑπὲρ αὐτοῦ σφαγὴν, μὴ λίαν ἀσπαστῶς ὑπομένειν. κατάλληλος δὲ ἡ μαρτυρία, τὸ "ἕνεκεν "σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν." ἐκ προσώπου γὰρ ἀνδρῶν εἴρηται τῶν ἐσχηκότων τὸν αὐτὸν σκοπόν. τὸ γὰρ Πανάγιον Πνεῦμα, διὰ τοῦ θεσπεσίου Δαβὶδ περὶ τῶν θαυμασίων Μακκαβαίων γέγραφε τὸν ψαλμόν.

Γενναδίου. Καὶ τὸ "ὑπερνικῶμεν" δὲ οὕτως ἀπέδωκέ τις. ἐπειδὴ, φησὶ, τὰ τῷ προφήτῃ Δαβὶδ περὶ τῆς ὑπὲρ τοῦ νόμου τῶν Μακκαβαίων ἐνστάσεως εἰρημένα προήνεγκεν, ἐπήγαγεν, "ἀλλ' "ἐν τούτοις ἅπασιν ὑπερνικῶμεν." τί γὰρ θαυμαστὸν ἐργασό-

μεθα τὴν ἴσην τοῖς πρεσβυτέροις εὔνοιαν ἐπιδεικνύμενοι περὶ τὸν Θεόν. οἷς οὐκ ἴσην, ἀλλὰ καὶ μείζονα κεκομίσμεθα χάριν. καὶ ἐπειδὴ τῆς οἰκείας γνώμης ἐξεῖπε τὴν πρόθεσιν, ἵνα μὴ δόξῃ κατὰ ἀλαζονείαν ἐφθέγχθαι, ἐπήγαγε, "διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς." ἔχομεν λέγων, τὸ τούτων κατὰ περιουσίαν κρατεῖν, οὐκ ἀφ' ἑαυτῶν, ἀλλὰ διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς.

38 Πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος, οὔτε ζωὴ, οὔτε
ἄγγελοι, οὔτε ἀρχαὶ, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε
39 μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτέ τις κτίσις ἑτέρα
δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ, τῆς
ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Χρυσοστόμου. Τί δεῖ, φησιν, *τὰ παρόντα λέγειν, καὶ τὰ τῷ βίῳ τούτῳ συγκεκληρωμένα δεινά. κἂν γὰρ τὰ μέλλοντα εἴπῃ τὶς, καὶ πράγματα καὶ δυνάμεις· πράγματα μὲν, ὡς θάνατον καὶ ζωήν· δυνάμεις δὲ, ὡς Ἀγγέλους καὶ ἀρχαγγέλους· καὶ πᾶσαν τὴν ἄνω κτίσιν· καὶ ταῦτα ἐμοὶ μικρὰ πρὸς τὴν ἀγάπην τοῦ Χριστοῦ. οὔτε γὰρ, εἰ θάνατόν τις ἠπείλει τὸν μέλλοντα τὸν ἀθάνατον, ὥστε ἀποστῆναι τοῦ Χριστοῦ· οὔτε εἰ ζωὴν ἐπηγγέλλετο τὴν ἄπειρον, κατεδεξάμην ἄν. τί γὰρ δεῖ λέγειν βασιλεῖς τοὺς κάτω, καὶ ὑπάτους, καὶ τὸν δεῖνα καὶ τὸν δεῖνα; κἂν Ἀγγέλους μοι εἴπῃς· κἂν πάσας τὰς ἄνω δυνάμεις· κἂν πάντα τὰ ὄντα· κἂν πάντα τὰ μέλλοντα· πάντα ἐμοὶ μικρά· καὶ τὰ ἐν τῇ γῇ· καὶ τὰ ἐν τοῖς οὐρανοῖς· καὶ τὰ ὑπὸ γῆν, καὶ ὑπὲρ οὐρανοὺς, πρὸς τὸ φίλτρον ἐκεῖνο. εἶτα ὡς οὐκ ἀρκούντων τούτων παραστῆσαι τὸν πόθον ὃν εἶχεν, ἕτερα τοσαῦτα πάλιν ὑποστησάμενος φησὶν, "οὔτε κτίσις ἑτέρα." ὃ δὲ λέγει τοιοῦτόν ἐστι· καὶ εἰ ἄλλη τοσαύτη κτίσις ἦν, ὅση ἡ ὁρωμένη, ὅση ἡ νοητὴ, οὐδὲν ἄν με τῆς ἀγάπης ἐκείνης ἀπέστησε. ταῦτα δὲ ἔλεγεν, οὐχ ὡς Ἀγγέλων τοῦτο ἐπιχειρούντων, ἢ τῶν ἄλλων δυνάμεων· μὴ γένοιτο· ἀλλὰ μεθ' ὑπερβολῆς ἁπάσης τὸ φίλτρον, ὃ περὶ τὸν Χριστὸν εἶχεν, ἐπιδεῖξαι βουλόμενος. οὐ γὰρ τὸν Χριστὸν ἐφίλει διὰ τὰ Χριστοῦ· ἀλλὰ δι' αὐτὸν, τὰ ἐκείνου· καὶ πρὸς αὐτὸν ἑώρα μόνον. καὶ ἓν ἐδεδοίκει, τὸ τῆς ἀγάπης ἐκπεσεῖν ἐκείνου. τοῦτο γὰρ αὐτῷ καὶ*

γεέννης φοβερώτερον ἦν· ὥσπερ καὶ τὸ μένειν ἐν αὐτῇ, βασιλείας ποθεινότερον.

Θεοδώρου Μονάχου. Ἢ ἐνεστῶτα καὶ μέλλοντα, τὰ παρόντα φησὶν, καὶ τὰ προσδοκώμενα φοβερά. καὶ ὕψωμα μὲν, τὰ ἄγαν ἐπίδοξα· βάθος δὲ, τὰ ἄγαν ἄδοξα.

Θεοδωρήτου. Ἢ ἐνεστῶτα μὲν καὶ μέλλοντα, τὰ παρόντα καὶ τὰ προσδοκώμενα ἀγαθά. βάθος δὲ, τὴν γέενναν. ὕψωμα, τὴν βασιλείαν· καὶ ζωὴν, τὴν αἰώνιον· καὶ θάνατον, τὸν αἰώνιον.

Κλήμεντος. Ἢ ζωὴν, τὴν κατὰ τὸν παρόντα βιόν· καὶ θάνατον, τὸν κατ' ἐπιφορὰν τῶν διωκόντων· Ἀγγέλους τε καὶ ἀρχὰς καὶ δυνάμεις, τὰ ἀποστολικὰ πνεύματα.

Θεοδωρήτου. Ὃ τοίνυν λέγει, τοῦτό ἐστιν· οὐκ ἂν εἱλόμην τὴν βασιλείαν τῶν οὐρανῶν ἔχειν, καὶ τὰ ὁρώμενα πάντα καὶ τὰ νοούμενα, καὶ ἄλλα δὶς τοσαῦτα καὶ τρὶς, δίχα τῆς περὶ τὸν Θεὸν ἀγάπης. εἰ δέ τις μοι προὔτεινε τάτε παρόντα σκυθρωπὰ καὶ τὰ μέλλοντα, τὸν πρόσκαιρον θάνατον καὶ τὸν αἰώνιον, καὶ τὴν ἐν γεέννῃ μακροτάτην κόλασιν, μετὰ τῆς περὶ αὐτὸν ἀγάπης, ἀσπασίως ἂν ταῦτα καὶ προθύμως εἱλόμην· ἢ ἐκεῖνα τὰ λαμπρὰ καὶ μεγάλα καὶ ὑπὲρ λόγον, τῆς ἀγάπης ἐστερημένος.

Ὠριγένους. Σὺ δὲ καὶ καθ' ἑτέραν ἐπιβολὴν, πρόσχες. εἰ, θάνατος μὲν παλαίει βουλόμενος χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ, οὐχ ὁ κοινὸς περὶ οὗ ἀνωτέρω εἴρηται, τὸ, "ἕνεκα σοῦ "θανατούμεθα ὅλην τὴν ἡμέραν·" ἀλλ' ὁ ἐχθρὸς Χριστοῦ ὁ ἐσχάτως κατακριθησόμενος. βουλήσεται μὲν γὰρ οὗτος χωρίσαι φέρε εἰπεῖν, Παῦλον. οὐ δυνήσεται δέ· καταργούμενος ὑπὸ τοῦ ἐν αὐτῷ Χριστοῦ. ζωὴ δὲ, οὐχ ἡ τῷ θανάτῳ τούτῳ ἐναντία· τὰ γὰρ ἀλλήλοις ἐναντία, οὐ πέφυκεν ἓν καὶ ταυτὸ βούλεσθαι· ἀλλὰ ἡ καθ' ἣν ζῇ τίς τῇ ἁμαρτίᾳ καὶ τοῖς εἴδεσιν αὐτῆς. αὕτη γὰρ βουλήσεται μὲν χωρίσαι τὸν ἐν τῇ ἀγάπῃ τοῦ Θεοῦ. οὐ δύναται δέ. καταργουμένη, πῇ μὲν, ὑπὸ τοῦ θανάτου, καθ' ἣν ἀποθνήσκει τίς τῇ ἁμαρτίᾳ· πῇ δὲ, ὑπὸ τῆς ζωῆς ἡμῶν, ἥ τις κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ. καὶ Ἄγγελοι δὲ βούλονται ἡμᾶς χωρίσαι τῆς ἀγάπης τοῦ Θεοῦ. περὶ ὧν λέλεκται τοῖς ἐξ εὐωνύμων, "πορεύεσθε "εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις

"αὐτοῦ." τὸ δὲ, "οὔτε ἀρχαὶ," ἐπὶ τὸ, "οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς "αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τοὺς κοσμοκράτο-"ρας," ἀναφέρεται. καὶ εἰς τὸ, "ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ "ἐξουσίαν καὶ δύναμιν." ἑξῆς τούτῳ ἐστὶ, τὸ, "ἐνεστῶτα." ταῦτα δὲ ἐπίσκεψαι εἰ δύναται ἀναφέρεσθαι ἐπὶ "τοὺς κοσμοκράτορας τοῦ "σκότους τοῦ αἰῶνος τούτου." ἄλλος δ' ἂν σοι λέγῃ τὰ ἐνεστῶτα ἀναφέρεσθαι ἐπὶ τὰ βλεπόμενα καὶ πρόσκαιρα. μετὰ τοῦτο ἴδωμεν, τίνα "τὰ μέλλοντα." ἤτοι, τὰ πρὸς τὸν μέλλοντα χρόνον τῆς ἐν τῷ βίῳ τούτῳ παρεπιδημίας, ὡς πρὸς τὰς ἐνεστηκυίας τῆς γραφῆς τῆς ἐπιστολῆς ἡμέρας, παλαίσοντα τῷ Ἀποστόλῳ. ἢ τὰ μετὰ τὸν ἐνεστηκότα αἰῶνα, καὶ μετὰ τὴν ἔξοδον εὐθέως ἀπαντήσοντα· ὅτε ὁ ἄρχων τοῦ κόσμου τούτου, καί τινες ὑπ' αὐτὸν δυνάμεις, βουλήσονται μὲν κρατεῖν τοῦ ἐκδημήσαντος, οὐ δυνήσονται δὲ, ἐπὶ τῶν προανειληφότων τὴν ἀγάπην τοῦ Θεοῦ ἐν Χριστῷ Ἰησοῦ. ἑξῆς δὲ αὐτῷ ἐστὶ, τὸ, "οὔτε ὕψωμα, οὔτε βάθος." μήποτε οὖν ἡ τοῦ ἀνθρώπου ψυχὴ ἐπιβουλεύεται, ὑπὸ μὲν ὑψώματος, κατὰ τὰ ἐν τοῖς ἐπουρανίοις πρὸς τὰ πνευματικὰ τῆς πονηρίας. ὑπὸ δὲ βάθους, κατὰ τὰ καταχθόνια. ὧν οὐδέτερον τὸν ἐν τῇ ἀγάπῃ τοῦ Χριστοῦ ὁπλισάμενον χωρισθῆναι ἐάσει, αὐτῆς.

Ἐπειδὴ δὲ ταῦτα οὐ περὶ τῶν πονηρῶν πνευμάτων, ἀλλὰ περὶ τῶν θείων ἀγγέλων, ἀνωτέρω ἁπλούστερόν τε καὶ κυριώτερον ἐξειλήφθη, φέρε πλατύτερόν τι περὶ τῶν Ἀγγέλων διαληψόμεθα.

Τοῦ Ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτου. Πάσας ἡ θεολογία τὰς οὐρανίους οὐσίας, ἐννέα κέκληκεν. εἰς τρεῖς δὲ ταύτας ἀφορίζει τριαδικὰς διακοσμήσεις. καὶ πρώτην μὲν εἶναι φησὶν, τὴν περὶ Θεὸν οὖσαν ἀεὶ, καὶ προσεχῶς αὐτῷ καὶ πρὸ τῶν ἄλλων ἀμέσως ἡνῶσθαι παραδεδομένην. τούς τε γὰρ ἁγιωτάτους θρόνους, καὶ τὰ πολυόμματα καὶ πολύπτερα τάγματα, Χερουβὶμ Ἑβραίων φωνῇ καὶ Σεραφὶμ ὠνομασμένα, κατὰ τὴν πάντων ὑπερκειμένην ἐγγύτητα, περὶ Θεὸν ἀμέσως ἱδρύσθαι φησίν. τὸν τριαδικὸν οὖν τοῦτον διάκοσμον ὡς ἕνα καὶ ὁμοταγῆ καὶ ὄντως πρώτην ἱεραρχίαν, ὁ κλεινὸς ἡμῶν ἔφη καθηγεμών. ἧς οὐκ ἔστιν ἑτέρα θεοειδέστερα καὶ ταῖς πρωτούργοις τῆς θεαρχίας ἐλλάμψεσιν ἀμέσως προσεχέστερα. δευτέραν δέ φησιν εἶναι, τὴν ὑπὸ

τῶν ἐξουσιῶν καὶ κυριοτήτων καὶ δυνάμεων συμπληρουμένην. καὶ τρίτην ἐπ᾽ ἐσχάτων τῶν οὐρανίων ἱεραρχιῶν, τὴν τῶν Ἀγγέλων τὲ καὶ Ἀρχαγγέλων καὶ ἀρχῶν διακόσμησιν.

Ταύτην ἡμεῖς ἀποδεχόμενοι τὴν τῶν ἁγίων ἱεραρχιῶν τάξιν, φαμὲν ὅτι πᾶσα τῶν οὐρανίων νόων ἐπωνυμία, δήλωσιν ἔχει τῆς ἑκάστου θεοειδοῦς ἰδιότητος. καὶ τὴν μὲν ἁγίαν τῶν Σεραφὶμ ὀνομασίαν, φασὶν οἱ τὰ Ἑβραίων εἰδότες, ἢ τὸ, ἐμπρηστὰς ἐμφαίνειν, ἢ τὸ θερμαίνοντας. τὴν δὲ τῶν Χερουβὶμ, πλῆθος γνώσεως, ἢ χύσιν σοφίας. εἰκότως οὖν ἡ πρώτη τῶν οὐρανίων ἱεραρχία πρὸς τῶν ὑπερτάτων οὐσίων ἱερουργεῖται· τάξιν ἔχουσα τὴν πασῶν ὑψηλοτέραν, τὸ περὶ Θεὸν ἀμέσως ἱδρύσθαι· καὶ τὰς πρωτουργοὺς θεοφανείας καὶ τελειώσεις εἰς αὐτὴν ὡς ἐγγυτάτην ἀρχικωτέρως διαπορθμεύεσθαι. θερμαίνοντες γοῦν ὀνομάζονται, καὶ χύσις σοφίας. ἐκφαντορικῶς τῶν θεοειδῶν αὐτῶν ἕξεων ὀνόματα. τὸ μὲν γὰρ ἀεικίνητον αὐτῶν περὶ τὰ θεῖα καὶ ἀκατάληκτον, καὶ τὸ θερμὸν καὶ ὀξὺ καὶ ὑπερζέον, τῆς προσεχοῦς καὶ ἀνενδότου καὶ ἀκλινοῦς ἀεικινησίας. καὶ τὸ τῶν ὑποβεβηκότων ἀναγωγικῶς καὶ δραστηρίων ἀφομοιωτικὸν ὡς ἀναζέον ἐκεῖνα καὶ ἀναζωπυροῦν ἐπὶ τὴν οἰκείαν θερμότητα. καὶ τὸ πρηστηρίως καὶ ὁλοκαύτως καθαρτικὸν, καὶ τὴν ἀπερικάλυπτον καὶ ἄσβεστον ἔχουσαν ὡσαύτως ἀεὶ φωτοειδῆ καὶ φωτιστικὴν ἰδιότητα. καὶ πάσης ἀλαμποῦς σκοτοποιΐας ἐλάτειραν οὖσαν καὶ ἀφανιστικὴν, ἡ τῶν Σεραφὶμ ἐπωνυμία ἐκφαντορικῶς διδάσκει. ἡ δὲ τῶν Χερουβὶμ, τὸ γνωστικὸν αὐτῶν καὶ θεοπτικόν· καὶ τῆς ὑπερτάτης φωτοδοσίας δεκτικὸν καὶ θεωρητικὸν ἐν πρωτουργῷ δυνάμει τῆς θεαρχικῆς εὐπρεπείας, καὶ τῆς σοφοποιοῦ μεταδόσεως ἀναπεπλησμένον. καὶ κοινωνικὸν ἀφθόνως πρὸς τὰ δεύτερα τῇ χύσει τῆς δωρηθείσης σοφίας. ἡ δὲ τῶν ὑψηλοτάτων καὶ ἐπηρμένων θρόνων τὸ πάσης ἀμιγῶς ἐξηρῆσθαι περιπεζίας ὑφέσεως· καὶ πρὸς τὸ ἄναντες ὑπερκοσμίως ἀνωφερές· καὶ πάσης ἐσχατιᾶς ἀνῳκισμένον· καὶ περὶ τὸν ὄντως ὕψιστον ὁλικαῖς δυνάμεσιν, ἀκατασείστως καὶ εὐσταθῶς ἱδρυμένον· καὶ τῆς θεαρχικῆς ἐπιφοιτήσεως ἐν ἀπαθείᾳ πάσῃ καὶ αὐλίᾳ δεκτικόν· καὶ θεοφόρον, καὶ θεραπευτικῶς ἐπὶ τὰς θείας ὑποδοχὰς ἀναπεπταμένον.

Ἀλλ᾽ ἐπειδὴ πάσης ἱεραρχίας τάξις ἐστὶ, τὸ τοὺς μὲν, καθαι-

ρεσθαι, τοὺς δὲ, καθαίρειν. καὶ τοὺς μὲν, φωτίζεσθαι, τοὺς δὲ, φωτίζειν. καὶ τοὺς μὲν, τελεῖσθαι, τοὺς δὲ, τελεσιουργεῖν. καὶ καθαίρεσθαι μέν ἐστι, τὸ ἀμιγεῖς ἀποτελεῖσθαι καθόλου, καὶ πάσης ἐλευθερῶσθαι τῆς ἀνομοίου συμφύρσεως. φωτίζεσθαι δὲ, τὸ ἀποπληροῦσθαι τοῦ θείου φωτὸς πρὸς θεωρητικὴν ἕξιν καὶ δύναμιν, ἐν παναγίοις νοὸς ὀφθαλμοῖς ἀναγομένους. τελεῖσθαι δὲ, τὸ ἐκ τοῦ ἀτελοῦς μετατασσομένους, μετόχους γίνεσθαι τῆς τῶν ἐποπτευθέντων ἱερῶν τελειωτικῆς ἐπιστήμης. καὶ πάλιν καθαίρειν μέν ἐστι, τὸ περιουσίᾳ καθάρσεως καὶ ἑτέροις μεταδιδόναι ἁγνότητος. φωτίζειν δέ ἐστι, τὸ, ὡς διειδεστέρους νόας καὶ πρὸς μετοχὴν φωτὸς, καὶ μετάδοσιν οἰκείως ἔχοντας· καὶ πανολβίως τῆς ἱερᾶς ἀποπληρουμένης αἴγλης, τὸ κατὰ πᾶν αὐτῶν ὑπερχεόμενον φῶς εἰς τοὺς ἀξίους αὐτῶν ἐποχετεύειν. τελεσιουργεῖν δὲ ἐστι, τὸ, ὡς ἐπιστημονικοὺς τῆς τελεστικῆς μεταδόσεως τελεῖν τοὺς τελουμένους τῇ πανιέρῳ μυήσει τῆς τῶν ἐποπτευθέντων ἱερῶν ἐπιστήμης.

Ἐπειδὴ τοίνυν αὕτη πάσης ἱεραρχίας ἐστὶν ἡ τάξις. ἡ πρώτη τῶν οὐρανίων νόων ἱεραρχία, πρὸς αὐτῆς τῆς ἱεραρχίας, ἢ μᾶλλον εἰπεῖν τελεταρχίας, ἱεραρχουμένη, τῷ ἐπ' αὐτὴν ἀμέσως ἀντείνεσθαι τῆς παναγεστάτης καθάρσεως τοῦ ἀπλέτου φωτὸς τῆς προτελείου τελεσιουργίας ἀναλόγως αὐτὴ πληρουμένη, καθαίρεται καὶ φωτίζεται καὶ τελεσιουργεῖται· πάσης μὲν ὑφέσεως ἀμιγὴς, πρώτου δὲ φωτὸς πλήρης, καὶ πρωτοδότου γνώσεως καὶ ἐπιστήμης μέτοχος ἀποτειλαμένη. συνελὼν δὲ καὶ τοῦτο φαίην ἂν οὐκ ἀπεικότως, ὅτι καὶ κάθαρσίς ἐστι καὶ φωτισμὸς, καὶ τελείωσις, ἡ τῆς θεαρχικῆς ἐπιστήμης μετάληψις. ἀγνοίας μὲν οἷον ἀποκαθαίρουσα, τῇ κατ' ἀξίαν ἐνδιδομένῃ γνώσει τῶν τελειοτέρων μυήσεων. φωτίζουσα δὲ αὐτῇ τῇ θείᾳ γνώσει· δι' ἧς καὶ καθαίρει τοὺς οὐ πρότερον ἐποπτεύσαντας ὅσα νῦν ἐκφαίνεται διὰ τῆς ὑψηλοτέρως ἐλλάμψεως· καὶ τελειοῦσα πάλιν αὐτῷ τῷ φωτὶ τῇ καθ' ἕξιν ἐπιστήμῃ τῶν φανοτάτων μυήσεων. αὕτη μὲν οὖν ἐστιν ἡ πρώτη τῶν οὐρανίων οὐσιῶν διακόσμησις. ἡ κύκλῳ Θεοῦ καὶ περὶ Θεὸν ἀμέστως ἑστηκυῖα.

Μετιτέον δὲ νῦν ἐπὶ τὴν μέσην. τὰς κυριότητας ἐκείνας, καὶ τὰς ἐξουσίας καὶ τὰς δυνάμεις, τῶν μὲν ἁγίων κυριοτήτων τὴν

ἐκφαντορικὴν ὀνομασίαν οἶμαι δηλοῦν, ἀδούλωτόν τινα καὶ πάσης ὑποπεζίας ὑφέσεως ἐλευθέραν ἀναγωγήν. οὐδεμιᾷ τῶν τυραννικῶν ἀνομοιοτήτων οὐδενὶ τρόπῳ καθόλου κατακλινομένην. πάσης μειωτικῆς δουλοποιίας ὑπερκειμένην, ἀνένδοτον ὑφέσει πάσῃ, τῆς ὄντως κυριότητος καὶ κυριαρχίας ἀκαταλήκτως ἐφιεμένην· καὶ πρὸς τὴν αὐτῆς κυρίαν ἐμφέρειαν ὡς ἐφικτὸν ἑαυτήν τε καὶ τὰ μεθ' ἑαυτὴν ἀγαθοειδῶς διαπλάττουσαν· πρὸς οὐδὲν τῶν εἰκῇ δοκούντων· ἀλλὰ πρὸς τὸ κυρίως ἂν ὁλικῶς ἐπεστραμμένην, καὶ κυριαρχικῆς ἀεὶ ἀγαθοειδείας μέτοχον, κατὰ τὸ δυνατὸν αὐτῇ γινομένην. τὴν δὲ τῶν ἁγίων δυνάμεων ἀρρηνωπόν τινα καὶ ἀκατάσειρον ἀνδρείαν, εἰς πάσας τὰς κατ' αὐτὴν θεοειδεῖς ἐνεργείας πρὸς μηδεμίαν τῶν ἐνδιδομένων αὐτῇ θεαρχικῶν ἐλλάμψεων ἀδρανῶς ἐξασθενοῦσαν. δυνατῶς ἐπὶ τὸ θεομίμητον ἀναγομένην. οὐκ ἀπολείπουσαν ἑαυτῆς ἀνανδρίᾳ τὴν θεοειδῆ κίνησιν· ἀλλ' ἀρρηνωπῶς ἀφορῶσαν εἰς τὴν ὑπερούσιον καὶ δυναμοποιὸν δύναμιν, καὶ ταύτης εἰκόνα δυναμοειδῆ κατὰ τὸ ἐφικτὸν γινομένην. καὶ πρὸς μὲν αὐτὴν ὡς ἀρχιδύναμον, δυνατῶς ἐπεστραμμένην· πρὸς δὲ τὰ δεύτερα, δυναμοδότως καὶ θεοειδῶς προιοῦσαν. τὴν δὲ τῶν ἁγίων ἐξουσιῶν, τὴν ὁμοταγῆ τῶν θείων κυριοτήτων καὶ δυνάμεων, τὴν εὔκοσμον καὶ ἀσύμφυρτον περὶ τὰς θείας ὑποδοχὰς εὐταξίαν. καὶ τὸ τεταγμένον τῆς ὑπερκόσμου καὶ νοερᾶς ἐξουσιότητος, οὐ τυραννικῶς ἐπὶ τὰ χείρω ταῖς ἐξουσιαστικαῖς δυνάμεσιν ἀποκεχρημένης, ἀλλ' ἀκρατήτως ἐπὶ τὰ θεῖα μετ' εὐταξίας ἀναγομένης τε καὶ τὰ μετὰ ταύτην ἀγαθοειδῶς ἀναγούσης. καὶ πρὸς τὴν ἐξουσιοποιὸν ἐξουσιαρχίαν ὡς θεμιτὸν ἀφομοιουμένης. καὶ ταύτην ὡς δυνατὸν Ἀγγέλοις ἀναλαμπούσης, ἐν ταῖς κατ' αὐτὴν εὐκόσμοις τάξεσι, τῆς ἐξουσιαστικῆς δυνάμεως.

Ταύτας ἔχουσα τὰς θεοειδεῖς ἰδιότητας, ἡ μέση τῶν οὐρανίων νόων διακόσμησις καθαίρεται καὶ φωτίζεται καὶ τελεσιουργεῖται, καθ' ὃν εἴρηται τρόπον, ὑπὸ τῶν θεαρχικῶν ἐλλάμψεων, ἐνδιδομένων αὐτῇ δευτέρως διὰ τῆς πρώτης ἱεραρχικῆς διακοσμήσεως· καὶ διὰ μέσης ἐκείνης δευτεροφανῶς διαπορθμευομένων. ἀμέλει τὴν δι' ἀλλήλου λεγομένην φοιτᾶν εἰς ἄλλον ἄγγελον ἀκοὴν, σύμβολον ποιησόμεθα τῆς πόρρωθεν ἐπιτελουμένης, καὶ διὰ τὴν πρόοδον ἀμυδρουμένης εἰς δευτέρωσιν τελειώσεως. τοῦτο γάρ ἐστι καθόλου

τῇ θείᾳ ταξιαρχίᾳ νενομοθετημένον θεοπρεπῶς, τὸ διὰ τῶν πρώτων τὰ δεύτερα τῶν θεαρχικῶν μετέχειν ἐλλάμψεων. διὸ καὶ πρὸς τῆς ἱερατικῆς ἡμῶν παραδόσεως τελεταὶ καὶ φωτουργοὶ καὶ καθαρτικαὶ δυνάμεις οἱ πρῶτοι νόες ὀνομάζονται, τῶν ὑφειμένων, ὡς δι' αὐτῶν ἐπὶ τὴν ὑπερούσιον ἀρχὴν ἀγομένων. καὶ τῶν τελεταρχικῶν καθάρσεων καὶ φωτισμῶν καὶ τελειώσεων κατὰ τὸ αὐτοῖς θεμιτὸν, γινομένων ἐν μετουσίᾳ.

Λοιπὸς ἡμῖν εἰς θεωρίαν ἱερὰν διάκοσμος, ὁ τὰς ἀγγελικὰς συγκλείων ἱεραρχίας. ὁ πρὸς τῶν θεοειδῶν ἀρχῶν, Ἀρχαγγέλων τὲ καὶ Ἀγγέλων διακοσμούμενος. καὶ πρώτας εἰπεῖν ἀναγκαῖον οἶμαι κατὰ τὸ ἐμοὶ δυνατὸν, τὰς τῶν ἁγίων αὐτῶν ἐπωνυμιῶν, ἐκφαντορίας. ἐκφαίνει γὰρ ἡ μὲν τῶν οὐρανίων ἀρχῶν, τὸ θεοειδῶς ἀρχικὸν καὶ ἡγεμονικὸν μετὰ τάξεως ἱερᾶς, καὶ ταῖς ἀρχικαῖς πρεπωδεστάτης δυνάμεσι. καὶ τὸ πρὸς τὴν ὑπεράρχιον ἀρχὴν αὐτάς τὲ ὁλικῶς ἐπεστράφθαι, καὶ ἑτέρων ἀρχικῶς ἡγεῖσθαι. καὶ τὸ πρὸς αὐτὴν ἐκείνην ὡς δυνατὸν ἀποτυποῦσθαι τὴν ἀρχοποιὸν ἀρχήν. ἀναφαίνειν τὲ τὴν ὑπερούσιον αὐτῆς ταξιαρχίαν τῇ τῶν ἀρχικῶν εὐκοσμίᾳ δυναμένων. ἡ δὲ τῶν ἁγίων Ἀρχαγγέλων, ὁμοταγὴς μέν ἐστι ταῖς οὐρανίαις ἀρχαῖς. ἔστι γὰρ αὐτῶν τὲ καὶ τῶν Ἀγγέλων ὡς ἔφην, ἱεραρχία μία καὶ διακόσμησις. πλὴν ἐπείπερ οὐκ ἔστιν ἱεραρχία, μὴ καὶ πρώτας καὶ μέσας καὶ τελευταίας δυνάμεις ἔχουσα, ἡ τῶν Ἀρχαγγέλων ἁγία τάξις κοινωνικῶς τῇ ἱεραρχικῇ μεσότητι τῶν ἄκρων ἀντιλαμβάνεται. ταῖς τε γὰρ ἁγιωτάταις ἀρχαῖς κοινωνεῖ καὶ τοῖς ἁγίοις Ἀγγέλοις· ταῖς μὲν, ὅτι πρὸς τὴν ὑπερούσιον ἀρχὴν ἀρχικῶς ἐπέστραπται, καὶ πρὸς αὐτὴν ὡς ἐφικτὸν ἀποτυποῦται. καὶ τοὺς Ἀγγέλους ἑνοποιεῖ, κατὰ τὰς εὐκόσμους αὐτῆς καὶ τεταγμένας καὶ ἀοράτους ἡγεμονίας. τοῖς δὲ, ὅτι καὶ τῆς ὑποφητικῆς ἐστι τάξεως τὰς θεαρχικὰς ἐλλάμψεις ἱεραρχικῶς διὰ τῶν πρώτων δυνάμεων ὑποδεχομένης. καὶ τοῖς Ἀγγέλοις αὐτὰς ἀγαθοειδῶς ἀγγέλλουσα· καὶ δι' Ἀγγέλων ἡμῖν ἀναφαίνουσα.

Οἱ γὰρ Ἄγγελοι, καθὼς ἤδη προειρήκαμεν, συμπληρωτικῶς ἀποπερατοῦσι τὰς ὅλας τῶν οὐρανίων νόων διακοσμήσεις. κατὰ τὸ τελευταῖον ὡς ἐν οὐρανίαις οὐσίαις ἔχοντες τὴν ἀγγελικὴν ἰδιότητα. καὶ μᾶλλον πρὸς ἡμῶν Ἄγγελοι παρὰ τοὺς προτέρους

οἰκειότερον ὀνομαζόμενοι· ὅσῳ καὶ περὶ τὸ ἐμφανέστερον αὐτοῖς ἐστιν ἡ ἱεραρχία, καὶ μᾶλλον, περικόσμιος. τὴν μὲν γὰρ ὑπερτάτην ὡς εἴρηται διακόσμησιν, ὡς τῷ κρυφίῳ πρωτοταγῶς πλησιάζουσαν, κρυφιωδῶς οἰητέον ἱεραρχεῖν τῆς δευτέρας. τὴν δὲ δευτέραν, ἣ συμπληροῦται, πρὸς τῶν ἁγίων κυριοτήτων καὶ δυνάμεων καὶ ἐξουσιῶν, τῆς τῶν ἀρχῶν καὶ Ἀρχαγγέλων Ἀγγέλων ἱεραρχίας ἡγεῖσθαι, τῆς μὲν ἱεραρχίας, ἐμφανέστερον· τῆς δὲ μετὰ ταύτην, κρυφιωδέστερον· τὴν δὲ τῶν Ἀρχῶν καὶ Ἀρχαγγέλων καὶ Ἀγγέλων ἐκφαντορικὴν διακόσμησιν, ταῖς ἀνθρωπείαις ἱεραρχίαις δι᾽ ἀλλήλων ἐπιστατεῖν· ἵν᾽ ᾖ κατὰ τάξιν πρὸς Θεὸν ἀγωγὴ καὶ ἐπιστροφὴ καὶ κοινωνία καὶ ἕνωσις· καὶ μὴν ἡ παρὰ Θεοῦ πάσαις ταῖς ἱεραρχίαις ἀγαθοπρεπῶς ἐνδιδομένη, καὶ κοινωνικῶς ἐπιφοιτῶσα μετ᾽ εὐκοσμίας ἱερωτάτης, πρόοδος.

Συνῆκται τοίνυν ἡμῖν ὡς ἡ μὲν πρεσβυτάτη τῶν περὶ Θεὸν νόων διακόσμησις, ὑπὸ τῆς τελεταρχικῆς ἐλλάμψεως ἱεραρχουμένη τῷ ἐπ᾽ αὐτὴν ἀμέσως ἀνατείνεσθαι, κρυφιωτέρα καὶ φανοτέρα τῆς θεαρχίας φωτοδοσίᾳ καθαίρεται. κρυφιωτέρα μὲν, ὡς νοητοτέρα, καὶ μᾶλλον ἁπλωτικῇ καὶ ἑνοποιῷ. φανοτέρα δὲ, ὡς πρωτοδότῳ καὶ πρωτοφανεῖ· καὶ ὁλικωτέρα, καὶ μᾶλλον εἰς αὐτὴν ὡς διειδῆ κεχυμένη. πρὸς ταύτης δὲ πάλιν, ἀναλόγως ἡ δευτέρα. καὶ πρὸς τῆς δευτέρας, ἡ τρίτη. καὶ πρὸς τῆς τρίτης ἡ καθ᾽ ἡμᾶς ἱεραρχία, κατὰ τὸν αὐτὸν τῆς εὐκόσμου ταξιαρχίας θεσμόν. ἐν ἁρμονίᾳ θείᾳ καὶ ἀναλογίᾳ πρὸς τὴν ἁπάσης εὐκοσμίας ὑπεράρχιον ἀρχὴν καὶ περάτωσιν ἱεραρχικῶς ἀνάγεται. ἐκφαντορικοὶ δὲ πάντες εἰσὶ καὶ Ἄγγελοι τῶν πρὸ αὐτῶν. οἱ μὲν πρεσβύτατοι, Θεοῦ τοῦ κινοῦντος. ἀναλογῶς δὲ οἱ λοιποὶ τῶν ἐκ Θεοῦ κεκινημένων. διὸ τῆς ἀγγελικῆς ἐπωνυμίας ἠξίωνται, διὰ τὸ πρώτως αὐτοῖς ἐγγίνεσθαι τὴν θεαρχικὴν ἔλλαμψιν. καὶ δι᾽ αὐτῶν εἰς ἡμᾶς διαπορθμεύονται τὰς ὑπὲρ ἡμᾶς ἐκφαντορίας.

Ἀλλ᾽ αὕτη μὲν ἡ αἰτία τῆς ἀγγελικῆς ἐπωνυμίας. ἐρευνῆσαι δὲ ὡς οἶμαι χρὴ, δι᾽ ἣν αἰτίαν οἱ θεολόγοι, πάσας μὲν ἅμα τὰς οὐρανίους οὐσίας, Ἀγγέλους καλοῦσιν· ἐρχόμενοι δὲ πρὸς τὴν ἐκφαντορίαν τῶν ὑπερκοσμίων αὐτῶν διακοσμήσεων, τάξιν ἀγγελικὴν ἰδίως ὀνομάζουσι τὴν συμπληρωτικῶς ἀποπερατοῦσαν τὰ

θεῖα καὶ οὐρανία τάγματα. πρὸς ταύτης δὲ τάττουσιν ἀρχαγγέλους, ἀρχὰς, ἐξουσίας, δυνάμεις, καὶ τὰ λοιπά. φαμὲν δὴ ὅτι κατὰ πᾶσαν ἱερὰν διακόσμησιν, αἱ μὲν ὑπερβεβηκυῖαι τάξεις, ἔχουσι καὶ τὰς τῶν ὑφειμένων διακοσμήσεων ἐλλάμψεις καὶ δυνάμεις· ἀμέθεκτοι δὲ τῶν αὐτὰς ὑπερκειμένων εἰσὶν αἱ τελευταῖαι. τὰ μὲν ἁγιώτατα τῶν ὑπερτάτων οὐσιῶν τάγματα, καὶ Ἀγγέλους καλοῦσιν οἱ θεολόγοι. καὶ γὰρ εἰσὶν ἐκφαντορικὰ καὶ αὐτὰ τῆς θεαρχικῆς ἐλλάμψεως. τὴν τάξιν δὲ τὴν τῶν οὐρανίων νόων τελευταίαν, οὐκ ἔχει λόγον, ἀρχὰς, ἢ θρόνους, ἢ Σεραφὶμ ὀνομάζειν. οὐδὲ γάρ ἐστιν ἐν μετουσίᾳ τῶν ὑπερτάτων δυνάμεων.

Τούτων δὲ διωρισμένων, ἐκεῖνο ἄξιον ἐννοῆσαι, δι' ἣν αἰτίαν ἁπάσας ὁμοῦ τὰς ἀγγελικὰς οὐσίας, δυνάμεις οὐρανίας καλεῖν εἰώθαμεν. οὐ γὰρ ἔστιν εἰπεῖν ὡς ἐπὶ τῶν Ἀγγέλων, ὅτι πασῶν ἐστιν ἐσχάτη διακόσμησις ἡ τῶν ἁγίων δυνάμεων. καὶ τῆς μὲν τῶν ἐσχάτων ἁγιοπρεποῦς ἐλλάμψεως, αἱ τῶν ὑπερκειμένων οὐσιῶν διακοσμήσεις μετέχουσιν. αἱ τελευταῖαι δὲ τῶν πρώτων οὐδαμῶς. καὶ τούτου χάριν οὐρανίαι μὲν δυνάμεις, ἅπαντες οἱ θεῖοι νόες ὀνομάζονται, Σεραφὶμ δὲ καὶ θρόνοι καὶ κυριότητες, οὐδαμῶς. οἱ γὰρ Ἄγγελοι καὶ Ἀρχάγγελοι καὶ ἀρχαὶ καὶ ἐξουσίαι, μετὰ τὰς δυνάμεις ὑπὸ τῆς θεολογίας ταττόμενοι, κατὰ κοινοῦ πολλάκις ὑφ' ἡμῶν ὁμοῦ ταῖς ἄλλαις ἁγίαις οὐσίαις, οὐρανίαι δυνάμεις ἀποκαλοῦνται. φαμὲν δὴ ὅτι κοινῶς ἐπὶ πάσας κεχρημένοι τῇ τῶν οὐρανίων δυνάμεων ἐπωνυμίᾳ, οὐ σύγχυσίν τινα τῶν ἑκάστης διακοσμήσεως ἰδιοτήτων εἰσάγομεν. ἀλλ' ἐπειδὴ εἰς τρία διήρηντο τῷ κατ' αὐτοὺς ὑπερκειμένῳ λόγῳ πάντες οἱ θεῖοι νόες, εἰς οὐσίαν καὶ δύναμιν καὶ ἐνέργειαν· ὅταν ἅπαντας ἢ τινὰς αὐτῶν ἀπαρατηρήτως οὐρανίας οὐσίας, ἢ οὐρανίας δυνάμεις ἀποκαλῶμεν αὐτοὺς περιφραστικῶς τοὺς περὶ ὧν ὁ λόγος ἐμφαίνειν ἡμᾶς οἰητέον ἐκ τῆς καθ' ἕκαστον αὐτῶν οὐσίας ἢ δυνάμεως.

Κἀκεῖνο δὲ ἔτι ζητήσεως ἄξιον. εἰ γὰρ ἀμέθεκτα τῶν ὑπερτέρων εἰσὶ τὰ τελευταῖα, δι' ἣν αἰτίαν ὁ καθ' ἡμᾶς ἱεράρχην, Ἄγγελος Κυρίου ὑπὸ τῶν ἁγίων ὠνόμασται; φαμὲν δὴ καὶ πρὸς τοῦτο· ὅτι τῆς ὁλικῆς καὶ ὑπερκειμένης τῶν πρεσβυτέρων διακόσμων δυνάμεως ἀποδέουσιν οἱ τελευταῖοι. τῆς δὲ μερικῆς καὶ

ἀναλόγου μετέχουσι κατὰ τὴν μίαν ἁπάντων ἐναρμόνιον καὶ συνδετικὴν κοινωνίαν. οἷον, ἡ τῶν ἁγίων Χερουβὶμ τάξις, μετέχει σοφίας καὶ γνώσεως ὑψηλοτέρας. αἱ δὲ τῶν ὑπ' αὐτοὺς οὐσιῶν διακοσμήσεις, μετέχουσι μὲν καὶ αὗται σοφίας καὶ γνώσεως, μερικῆς δὲ ὅμως ὡς πρὸς ἐκείνους, καὶ ὑφειμένης. καὶ τὸ μὲν ὅλως ἐν μετουσίᾳ σοφίας εἶναι καὶ γνώσεως, κοινόν ἐστι πᾶσι τοῖς θεοειδέσι καὶ νοεροῖς. τὸ δὲ προσεχῶς καὶ πρώτως, ἢ δευτέρως καὶ ὑφειμένως, οὐκέτι κοινὸν, ἀλλ' ὡς ἑκάστῳ πρὸς τῆς οἰκείας ἀναλογίας ὥρισται. τοῦτο δὲ καὶ περὶ τῶν θείων νόων πάντων ἂν τις ὁρίσαιτο. οὐδὲν οὖν ὡς οἶμαι τὸ ἄτοπον, εἰ καὶ τὸν καθ' ἡμᾶς ἱεράρχην, Ἄγγελον ἢ θεολόγον καλεῖ· τὸν κατὰ δύναμιν οἰκείαν τῆς τῶν Ἀγγέλων ὑποφητικῆς ἰδιότητος, μετέχοντα, καὶ πρὸς τὴν ἐκφαντορικὴν αὐτῶν ὁμοίωσιν ὡς ἐφικτὸν ἀνθρώποις ἀνατεινόμενον.

Ἄγε δὴ καὶ τοῦτο κατὰ δύναμιν ἐπισκοπήσωμεν· ὅτου ἕνεκα πρὸς ἕνα τῶν θεολόγων, ὁ Σεραφὶμ ἀποστέλλεσθαι λέγεται, καὶ οὐ τῶν ὑφειμένων τίς Ἀγγέλων ἀποκαθαίρει τὸν ὑποφήτην. τινὲς μὲν οὖν φασὶν, ὅτι κατὰ τὸν ἤδη προαποδοθέντα τῆς πάντων τῶν νόων κοινωνίας ὅρον, οὐχ ἕνα τῶν περὶ Θεὸν πρωτίστων νόων ὀνόμαζει τὸ λόγιον ἐπὶ τὴν τοῦ θεολόγου κάθαρσιν ἐληλυθέναι· τινὰ δὲ τῶν ἡμῖν ἐφεστηκότων Ἀγγέλων ὡς ἱερουργὸν τῆς τοῦ προφήτου καθάρσεως, τῇ τῶν Σεραφὶμ ὁμωνυμίᾳ κληθῆναι, διὰ τὴν πρηστήριον τῶν ἁμαρτιῶν ἀναίρεσιν, καὶ τὴν τοῦ καθαρθέντος ἐπὶ τὴν θείαν ὑπακοὴν ἀναζωπύρησιν. ἕτερος δὲ τοιοῦτόν τι περὶ τούτου ἔφη, ὅτι τὴν οἰκείαν καθαρτικὴν ἱερουργίαν ὁ μέγας ἐκεῖνος, ὅς τίς ποτε ἦν, ὁ τὴν ὅρασιν διαπλάσας Ἄγγελος, εἰς τὸ μυῆσαι τὰ θεῖα τὸν θεολόγον, ἐπὶ Θεὸν καὶ μετὰ Θεὸν, εἰς τὴν πρωτουργὸν ἱεραρχίαν ἀνέθηκε. πᾶσα γὰρ θεαρχικὴ ἐνέργεια, διὰ τῶν πρώτων οὐσιῶν ἀναλάμπουσα, εἰς τὰς λοιπὰς διαδίδοται κατὰ τὴν ἑκάστης ἀναλογίαν. διὸ καὶ τὴν ἐμπυρίως καθαρτικὴν ἰδιότητα τοῖς Σεραφὶμ εἰκότως μετὰ Θεὸν ἀνατέθεικεν ἐκεῖνος ὁ Ἄγγελος. ὥσπερ γὰρ ὁ καθ' ἡμᾶς ἱεράρχης, διὰ τῶν αὐτοῦ λειτουργῶν ἢ ἱερέων καθαίρων ἢ φωτίζων, αὐτὸς λέγεται καθαίρειν καὶ φωτίζειν· τῶν δι' αὐτοῦ καθιερωμένων τάξεων ἐπ' αὐτὸν ἀνατιθεισῶν τὰς οἰκείας ἱερὰς ἐνεργείας, οὕτω καὶ τὴν οἰκείαν καθαρτικὴν ἐπιστήμην καὶ

δύναμιν, ὁ τὴν κάθαρσιν τοῦ λόγου τελετουργῶν Ἄγγελος, ἐπὶ Θεὸν μὲν ὡς αἴτιον· ἐπὶ δὲ τὸν Σεραφὶμ ὡς πρωτουργὸν ἱεράρχην, ἀνατίθησιν, ὡς ἂν τις φαίη, μετ' εὐλαβείας ἀγγελικῆς· διδάσκων τὸν ὑπ' αὐτοῦ καθαιρόμενον, ὅτι τῆς εἰς σὲ πρὸς ἐμοῦ τελετουργουμένης καθάρσεως, ἀρχὴ μὲν ἔστιν ἐξηρημένη, Θεός· ἱεράρχης δὲ καὶ μετὰ Θεὸν ἡγεμὼν, ὁ τῶν πρωτίστων οὐσιῶν διάκοσμος· παρ' οὗ καὶ τὸ καθαίρειν ἐγὼ θεοειδῶς ἐμυήθην. οὗτος οὖν ἐστιν ὁ δι' ἐμοῦ σε καθαίρων. καὶ τοῦτο δὲ ἄξιον ἐπιστασίας· ὅτι τῶν λογίων ἡ περὶ τῶν Ἀγγέλων παράδοσις, χιλίας χιλιάδας εἶναι φησὶ, καὶ μυρίας μυριάδας. τοὺς παρ' ἡμῖν ἀκροτάτους τῶν ἀριθμῶν εἰς ἑαυτοὺς ἐπανακυκλοῦσα καὶ πολλαπλασιάζουσα. καὶ διὰ τούτων ἐναργῶς ἐμφαίνουσα τὰς ἡμῖν ἀναριθμήτους τῶν οὐρανίων νόων διατάξεις· πολλαὶ γάρ εἰσι· τὴν ἀσθενῆ καὶ συνεσταλμένην ὑπερβεβηκυῖαι τῶν καθ' ἡμᾶς ὑλαίων ἀριθμῶν συμμετρίαν· ὑφ' ἑαυτῶν δὲ γινωσκόμεναι. αἱ δὲ διάφοροι τούτων ἀναπλάσεις καὶ ὀνομασίαι καὶ οἱ σχηματισμοὶ, καθ' ὁμοιότητα ἐνεργειῶν παρὰ τῇ γραφῇ ἀναπλάττονται. περὶ ὧν ὁ ζητῶν, ἀπ' αὐτῶν τῶν γραφῶν διδαχθήσεται.

Ἰωάννου τοῦ Δαμασκέως. Τούτους ὁ Θεὸς ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγε. κατ' οἰκείαν εἰκόνα κτίσας αὐτοὺς, φύσιν ἀσώματον· οἷόν τι πῦρ ἄϋλον, ὥς φησιν ὁ θεῖος Δαβὶδ, "ὁ ποιῶν "τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα· καὶ τοὺς λειτουργοὺς αὐτοῦ "πῦρ φλέγον." τὸ κοῦφον, καὶ διάπυρον, καὶ θερμὸν, καὶ τομώτατον, καὶ ὀξὺ περὶ τὴν θείαν ἔφεσίν τε καὶ λειτουργίαν, διαγράφων· καὶ τὸ ἀνωφερὲς αὐτῶν, καὶ πάσης ὑλικῆς ἐννοίας ἀπηλλαγμένον. Ἄγγελος τοίνυν οὐσία ἐστὶ νοερὰ ἀεικίνητος, αὐτεξούσιος, ἀσώματος, Θεῷ λειτουργοῦσα· κατὰ χάριν ἐν τῇ φύσει τὸ ἀθάνατον εἰληφυῖα. ἧς οὐσίας τὸ εἶδος καὶ τὸν ὅρον, μόνος ὁ κτίσας ἐπίσταται. ἀσώματος δὲ καὶ ἄϋλος λέγεται, ὅσον πρὸς ἡμᾶς. πᾶν γὰρ συγκρινόμενον πρὸς Θεὸν τὸν μόνον ἀσύγκριτον, παχὺ τὲ καὶ ὑλικὸν εὑρίσκεται. μόνον γὰρ ὄντως τὸ θεῖον ἄϋλον ἐστὶ καὶ ἀσώματον. ἔστι τοίνυν φύσις λογικὴ, νοερὰ τὲ καὶ αὐτεξούσιος· τρεπτὴ κατὰ γνώμην, ἤτοι ἐθελότρεπτος. πᾶν γὰρ κτιστὸν, καὶ τρεπτόν. μόνον γὰρ τὸ ἄκτιστον, καὶ ἄτρεπτον. καὶ πᾶν λογικὸν, αὐτεξούσιον. ὡς μὲν οὖν λογικὴ καὶ νοερὰ, αὐτεξούσιος. ὡς δὲ

κτιστὴ, τρεπτή. ἔχουσα ἐξουσίαν καὶ μένειν καὶ προκόπτειν ἐν τῷ ἀγαθῷ· καὶ ἐπὶ τὸ χεῖρον τρέπεσθαι. ἀνεπίδεκτος μετανοίας· ὅτι καὶ ἀσώματος. ὁ γὰρ ἄνθρωπος, διὰ τὴν τοῦ σώματος ἀσθένειαν, τῆς μετανοίας ἔτυχεν. ὅπερ δέ ἐστι τοῖς ἀνθρώποις ὁ θάνατος, τοῦτο τοῖς Ἀγγέλοις ἡ ἔκπτωσις. μετὰ γὰρ τὴν ἔκπτωσιν, οὐκ ἔστιν αὐτοῖς μετάνοια· ὥσπερ οὐδὲ τοῖς ἀνθρώποις μετὰ τὸν θάνατον. ἀθάνατος, οὐ φύσει, ἀλλὰ χάριτι. πᾶν γὰρ τὸ ἀρξάμενον, καὶ τελευτᾷ κατὰ φύσιν. μόνος δὲ ὁ Θεὸς ἀεὶ ὢν, μᾶλλον δὲ καὶ ὑπὲρ τὸ ἀεί. οὐχ ὑπὸ χρόνον γὰρ, ἀλλ' ὑπὲρ χρόνον ὁ τῶν χρόνων ποιητής. φῶτα δεύτερα, νοερά· ἐκ τοῦ πρώτου καὶ ἀνάρχου φωτὸς τὸν φωτισμὸν ἔχοντα. οὐ γλώσσης καὶ ἀκοῆς δεόμενα· ἀλλ' ἀναλόγου προφορικοῦ, μεταδιδόντα ἀλλήλοις τὰ διανοήματα καὶ βουλεύματα.

Διὰ τοῦ λόγου τοίνυν ἐκτίσθησαν πάντες οἱ Ἄγγελοι· καὶ ὑπὸ τοῦ Ἁγίου Πνεύματος διὰ τοῦ ἁγιασμοῦ ἐτελειώθησαν· κατὰ ἀναλογίαν τῆς ἀξίας καὶ τῆς τάξεως, τοῦ φωτισμοῦ καὶ τῆς χάριτος μετέχοντες. περιγραπτοί· ὅτε γάρ εἰσιν ἐν τῷ οὐρανῷ, οὐκ εἰσὶν ἐν τῇ γῇ· καὶ εἰς τὴν γῆν ὑπὸ τοῦ Θεοῦ ἀποστελλόμενοι, οὐκ εἰσὶν ἐν τῷ οὐρανῷ. οὐ περιορίζονται δὲ ὑπὸ τοιχῶν καὶ θυρῶν καὶ κλείθρων καὶ σφραγίδων. ἀόριστοι γάρ. ἀορίστους δὲ λέγω· οὐ γὰρ καθ' ὅ εἰσιν, ἐπιφαίνονται τοῖς ἀξίοις, οἷς ὁ Θεὸς φαίνεσθαι αὐτοὺς θελήσοι· ἀλλ' ἐν μετασχηματισμῷ. καθὼς δύνανται οἱ ὁρῶντες ὁρᾶν. ἀόριστον γάρ ἐστι φύσει καὶ κυρίως, μόνον τὸ ἄκτιστον· πᾶν γὰρ κτίσμα ὑπὸ τοῦ κτίσαντος αὐτὸ Θεοῦ ὁρίζεται. ἔξωθεν τῆς οὐσίας τὸν ἁγιασμὸν ἐκ τοῦ Ἁγίου Πνεύματος ἔχοντες. διὰ τῆς θείας χάριτος προφητεύοντες. μὴ γάμου χρῄζοντες. ἐπειδήπέρ μὴ εἰσὶ θνητοί.

Νόες δὲ ὄντες, ἐννοητοῖς καὶ τόποις εἰσίν. οὐ σωματικῶς περιγραφόμενοι. οὐ γὰρ σωματικῶς κατὰ φύσιν σχηματίζονται. οὐ δὲ τριχῇ εἰσὶ διαστατοί· ἀλλὰ νοητῶς παρεῖναι λέγονται, καὶ ἐνεργεῖν ἔνθα ἂν προσταχθῶσι· καὶ μὴ δύνασθαι κατὰ ταυτὸν ὧδε κἀκεῖσε εἶναι καὶ ἐνεργεῖν. εἴτε ἴσοι κατ' οὐσίαν· εἴτε διαφέροντες ἀλλήλων οὐκ ἴσμεν· μόνος οἶδεν ὁ ποιήσας αὐτοὺς Θεός· ὁ καὶ πάντα εἰδώς. διαφέροντες δὲ ἀλλήλων τῷ φωτισμῷ καὶ τῇ στάσει. εἴτε πρὸς τὸν φωτισμὸν τὴν στάσιν ἔχοντες· ἢ πρὸς

τὴν στάσιν τοῦ φωτισμοῦ μετέχοντες. καὶ ἀλλήλους φωτίζοντες διὰ τὸ ὑπερέχον τῆς τάξεως ἢ φύσεως. δῆλον δὲ ὡς οἱ ὑπερέχοντες, τοῖς ὑποβεβηκόσι μεταδιδόασι τοῦ φωτισμοῦ καὶ τῆς γνώσεως. ἰσχυροὶ καὶ ἕτοιμοι πρὸς τὴν τοῦ θείου θελήματος ἐκπλήρωσιν. καὶ πανταχοῦ ταχέως εὑρισκόμενοι ἔνθα ἂν ἡ θεία κελεύσῃ ἐπίνευσις, τάχει φύσεως· καὶ φυλάττοντες μέρη τῆς γῆς, καὶ ἐθνῶν καὶ τόπων προϊστάμενοι· καθὼς ὑπὸ τοῦ δημιουργοῦ ἐτάχθησαν. καὶ τὰ καθ' ἡμᾶς οἰκονομοῦντες καὶ βοηθοῦντες ἡμῖν. πάντως δὲ ὅτι κατὰ τὸ θεῖον θέλημά τε καὶ πρόσταγμα ὑπὲρ ἡμᾶς ὄντες. ἀεὶ τὲ περὶ Θεὸν ὑπάρχοντες, δυσκίνητοι πρὸς τὸ κακόν. ἀλλ' οὐκ ἀκίνητοι· νῦν δὲ ἀκίνητοι, οὐ φύσει, ἀλλὰ χάριτι· καὶ τῇ τοῦ μόνου ἀγαθοῦ προσεδρείᾳ. ὁρῶντες Θεὸν κατὰ τὸ ἐφικτὸν αὐτοῖς, καὶ ταύτην τροφὴν ἔχοντες. ὑπὲρ ἡμᾶς ὄντες ὡς ἀσώματοι, καὶ παντὸς σωματικοῦ πάθους ἀπηλλαγμένοι. οὐ μὴν ἀπαθεῖς· μόνον γὰρ τὸ θεῖον ἀπαθές ἐστι. μετασχηματίζονται δὲ πρὸς ὅπερ ἂν κελεύσοι ὁ Θεός. καὶ οὕτω τοῖς ἀνθρώποις ἐπιφαίνονται, καὶ τὰ θεῖα αὐτοῖς ἀποκαλύπτουσι μυστήρια. ἐν οὐρανῷ διατρίβουσι. καὶ ἓν ἔργον ἔχουσιν ὑμνοῦν τὸν Θεὸν, καὶ λειτουργεῖν τῷ θείῳ αὐτοῦ θελήματι.

Τινὲς μὲν οὖν φασὶν ὅτι πρὸ πάσης κτίσεως ἐγένοντο· ὡς ὁ θεολόγος λέγει Γρηγόριος. "πρῶτον ἐννοεῖ τὰς ἀγγελικὰς δυνάμεις "καὶ οὐρανίους· καὶ τὸ ἐννόημα, ἔργον ἦν." ἕτεροι δὲ, ὅτι μετὰ τὸ γενέσθαι τὸν πρῶτον οὐρανόν. ὅτι δὲ πρὸ τῆς ἀνθρώπου πλάσεως, πάντες ὁμολογοῦσιν. ἐγὼ δὲ τῷ θεολόγῳ Γρηγορίῳ συντίθεμαι. ἔπρεπε γὰρ πρῶτον τὴν νοερὰν οὐσίαν κτισθῆναι, καὶ οὕτω τὴν αἰσθητήν. καὶ τότε ἐξ ἀμφοτέρων τὸν ἄνθρωπον. ὅσοι δὲ φασὶν τοὺς Ἀγγέλους δημιουργοὺς τῆς οἱασδήποτε οὐσίας, οὗτοι στόμα εἰσὶ τοῦ πατρὸς αὐτῶν τοῦ διαβόλου. κτίσμα γὰρ ὄντες, οὐκ εἰσὶ δημιουργοί. πάντων δὲ ποιητὴς καὶ προνοητὴς καὶ συνοχεὺς, ὁ Θεός ἐστιν· ὁ μόνος ἄκτιστος. τὰ μέλλοντα δὲ οὐκ οἴδασιν οἱ Ἄγγελοι· ὅμως, προλέγουσι, τοῦ Θεοῦ αὐτοῖς ἀποκαλύπτοντος, καὶ προλέγειν κελεύοντος· ὅθεν ὅσα λέγουσι, γίνονται.

Ὁ μέντοι τῆς Νυσσαέων πρόεδρος Γρηγόριος, ἐν τῷ τέλει τοῦ κατὰ Εὐνομίου ἑβδόμου λόγου, οὕτω φησὶν περὶ αὐτῶν.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. *Αἱ παρὰ τοῦ Παύλου κατειλεγμέναι*

φωναὶ τῶν ὑπερκοσμίων δυνάμεων, οὐ φύσεις τινὰς ἀλλήλων παρηλλαγμένας σημαίνουσιν· ἀλλ' ἡ τῶν προσηγοριῶν σημασία σαφῶς ἐνδείκνυται, τὸ μὴ φύσεων διαφόρας, ἀλλὰ τῆς ἐπουρανίου στρατιᾶς τὰς ποικίλας τῶν ἐνεργειῶν ἰδιότητας τῷ λόγῳ παρίστασθαι. ἀρχαὶ γάρ φησιν, καὶ θρόνοι καὶ ἐξουσίαι καὶ δυνάμεις ἢ κυριότητες. ταῦτα δὲ τὰ ὀνόματα τοιαῦτά ἐστιν, ὡς αὐτόθεν παντὶ πρόδηλον εἶναι, τὸ κατ' ἐνεργείας τινὸς τετάχθαι τὰ σημαινόμενα. τὸ γὰρ ἄρχειν, καὶ τὸ κυριεύειν, καὶ τὸ ἐξουσιάζειν, καὶ τὸ θρόνον εἶναί τινος, ταῦτα πάντα οὐκ ἂν ὁ λελογισμένος, εἰς οὐσίων διαφόρας ἀπαγάγῃ· προδήλως τῆς ἐνεργείας ὑφ' ἑκάστου τῶν ὀνομάτων σημαινομένης. ὥστε ὁ λέγων φύσεων διαφορὰς ἐν τούτοις σημαίνεσθαι, φρεναπατᾷ ἑαυτόν.

Βασιλείου ἐκ τοῦ εἰς λβ ψαλμόν. Τὴν μὲν οὖν εἰς τὸ εἶναι πάροδον αὐτῶν, ὁ δημιουργὸς Λόγος, ὁ ποιητὴς τῶν ὅλων παρείχετο. τὸν ἁγιασμὸν δὲ αὐτοῖς, τὸ Πνεῦμα τὸ Ἅγιον συνεπέφερεν. οὐ γὰρ νήπιοι κτισθέντες οἱ Ἄγγελοι, εἶτα τελειωθέντες τῇ κατ' ὀλίγον μελέτῃ, οὕτως ἄξιοι τῆς ὑποδοχῆς τοῦ Πνεύματος γεγόνασιν. ἀλλ' ἐν τῇ πρώτῃ συστάσει, καὶ τῷ οἱονεὶ φυράματι τῆς οὐσίας αὐτῶν, συγκαταβληθεῖσαν ἔσχον τὴν ἁγιότητα. διὸ καὶ μετατιθέμενοι δυσκόλως εἰσὶ πρὸς κακίαν. εὐθὺς οἱονεὶ βαφῇ τινὶ τῷ ἁγιασμῷ στομωθέντες, καὶ τὸ μόνιμον εἰς ἀρετὴν, τῇ δωρεᾷ τοῦ Ἁγίου Πνεύματος ἔχοντες.

Τοῦ αὐτοῦ εἰς τὸν μδ. Οὐδεὶς τὲ παρ' ἐκείνοις παῖς, οὐδὲ νεάνισκος, οὐδὲ πρεσβύτης· οὐ γὰρ ἐπιδέχονται τὴν ἀλλοίωσιν. ἀλλ' ἐν ᾗ περ ἐξαρχῆς ἐκτίσθησαν καταστάσει, ἐν ταύτῃ διαμένουσιν· ἀκεραίας αὐτοῖς καὶ ἀτρέπτου τῆς συστάσεως, σωζομένης.

Τοῦ αὐτοῦ εἰς τὸν λγ. Καὶ παντὶ δὲ πεπιστευκότι εἰς τὸν Κύριον, Ἄγγελος παρεδρεύει· ἐὰν μήποτε αὐτὸν ἡμεῖς ἐκ τῶν πονηρῶν ἔργων ἀποδιώξωμεν. ὡς γὰρ τὰς μελίσσας καπνὸς φυγαδεύει, καὶ τὰς περιστερὰς ἐξελαύνει δυσωδία, οὕτω καὶ τὸν φύλακα τῆς ζωῆς ἡμῶν Ἄγγελον ἡ πολύδακρυς καὶ δυσώδης ἀφίστησιν ἁμαρτία. ἐὰν δὲ ἔχῃς ἐν τῇ ψυχῇ ἄξια φυλακῆς ἀγγελικῆς ἔργα, ἀναγκαίους φρουρούς σοι καὶ φύλακας ὁ Θεὸς παρακαθίστησιν.

1 Ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, συμμαρ-
2 τυρούσης μοι τῆς συνειδήσεως ἐν Πνεύματι Ἁγίῳ, ὅτι
λύπη μοι ἐστὶ μεγάλη, καὶ ἀδιάλειπτος ὀδύνη ἐν τῇ
3 καρδίᾳ μου· ηὐχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ
Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου
4 τῶν κατὰ σάρκα· οἵ τινές εἰσιν Ἰσραηλῖται, ὧν ἡ υἱο-
θεσία, καὶ ἡ δόξα, καὶ αἱ διαθῆκαι, καὶ ἡ νομοθεσία, καὶ
5 αἱ λατρεῖαι, καὶ αἱ ἐπαγγελίαι, ὧν οἱ πατέρες, καὶ ἐξ ὧν
ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλο-
γητὸς εἰς τοὺς αἰῶνας, ἀμήν.

Γρηγορίου τοῦ θεολόγου ἐκ τῶν περὶ φιλοπτωχίας. Ἐξ *ἀγάπης ὁ θεῖος Ἀπόστολος ἐτόλμησέ τι καὶ καθ' ἑαυτοῦ διὰ τὸν Ἰσραὴλ φθέγξασθαι.*

Χρυσοστόμου. *Μεγάλα δὲ μέλλων εἰπεῖν, ὡς καὶ ἀπιστεῖσθαι παρὰ τῶν πολλῶν, πρότερον διαβεβαιοῦται περὶ ὧν μέλλει λέγειν. ὅπερ πολλοῖς ἔθος ποιεῖν, ὅταν μέλλωσί τι λέγειν παρὰ τοῖς πολλοῖς ἀπιστούμενον· καὶ ὑπὲρ οὗ σφόδρα εἰσὶν ἑαυτοῖς πεπιστευκότες. καὶ γὰρ "ἀλήθειαν λέγω," φησὶν, "καὶ οὐ ψεύδομαι. "καὶ ἡ συνείδησίς μοι μαρτυρεῖ, ὅτι λύπη μοι ἐστὶ μεγάλη, "καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου. ηὐχόμην γὰρ αὐτὸς ἐγὼ "ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ." τί λέγεις, ὦ Παῦλε; ἀπὸ τοῦ Χριστοῦ; τοῦ ποθουμένου; οὗ μήτε γέεννα, μήτε βασιλεία σε ἐχώριζε; μήτε τὰ ὁρώμενα, μήτε τὰ νοούμενα· μήτε ἄλλα τοσαῦτα; ἀπὸ τοῦ νῦν εὔχῃ ἀνάθεμα εἶναι; τί γέγονε; μὴ κατέλυσας τὸν πόθον ἐκεῖνον; οὐχί φησι. ἀλλὰ καὶ ἐπέτεινα μᾶλλον αὐτόν. πῶς οὖν εὔχῃ ἀνάθεμα εἶναι, μεθ' ὃν ἕτερον οὐκ ἔστιν εὑρεῖν; ἐπειδὴ σφόδρα αὐτὸν φιλῶ φησι. πῶς; εἰπέ μοι. καὶ γὰρ αἰνίγματι τὸ πρᾶγμα ἔοικε. μᾶλλον δὲ εἰ δοκεῖ, πρῶτον μάθωμεν, τί ἐστιν ἀνάθεμα. ἄκουσον αὐτοῦ λέγοντος, "εἴ τις οὐ "φιλεῖ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἀνάθεμα ἔστω." τουτέστι, κεχωρίσθω πάντων. ἀλλότριος ἔστω πάντων. καθάπερ γὰρ τοῦ ἀναθέματος τοῦ ἀνατιθεμένου τῷ Θεῷ· οὐδεὶς ἂν τολμήσειεν ἁπλῶς ταῖς χερσὶν ἅψασθαι, οὐδὲ ἐγγὺς γενέσθαι, οὕτω καὶ τὸν χωριζόμενον τῆς ἐκκλησίας πάντων ἀποτεμὼν, καὶ ὡς πορρωτάτω*

ἀπάγων, τούτῳ τῷ ὀνόματι ἀπὸ τοῦ ἐναντίου καλεῖ. μετὰ πολλοῦ τοῦ φόβου πᾶσιν αὐτοῦ κελεύων χωρίζεσθαι καὶ ἀποπηδᾶν. τῷ μὲν γὰρ ἀναθέματι τιμῆς ἕνεκεν, οὐδεὶς ἐτόλμα ἐγγίσαι. τοῦ δὲ ἀποτμηθέντος ἐξ ἐναντίας ἐχωρίζοντο γνώμης ἅπαντες. ὥστε ὁ μὲν χωρισμὸς, εἷς· καὶ ὁμοίως καὶ τοῦτο κακεῖνο τῶν πολλῶν ἠλλοτρίωτο· ὁ δὲ τρόπος τοῦ χωρισμοῦ, οὐχ εἷς· ἀλλὰ καὶ ἐναντίος οὗτος ἐκείνῳ. τοῦτο οὖν καὶ ὁ Παῦλος δηλῶν ἔλεγεν, "ηὐχόμην "ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ." καὶ οὐδὲ ἁπλῶς εἶπεν, ἠβουλόμην, ἀλλ' ἐπιτείνων αὐτό φησιν· "ηὐχόμην." εἰ δὲ θορυβεῖ σε, ἅτε ἀσθενέστερον ὄντα τὰ λεγόμενα· μὴ τὸ πρᾶγμα λογιζόμενον[s], ὅτι χωρισθῆναι ἠβούλετο, ἀλλὰ καὶ τὴν αἰτίαν δι' ἣν ἐβούλετο. καὶ τότε ὄψει αὐτοῦ τὴν ὑπερβολὴν τῆς ἀγάπης.

[t] Τίς οὖν ἡ αἰτία; αὐτὸς ὁ ποθούμενος Ἰησοῦς. καὶ μὴν οὐ δι' αὐτόν φησιν, ηὐχόμην γὰρ ἀπ' αὐτοῦ, φησι, ἀνάθεμα εἶναι ὑπὲρ τῶν ἀδελφῶν μου. καὶ τοῦτο τῆς αὐτοῦ ταπεινοφροσύνης. οὐ γὰρ βούλεται ὡς μέγα τι λέγων, καὶ τῷ Χριστῷ τοῦτο χαριζόμενος φανῆναι. διὸ εἶπε "συγγενῶν," ἵνα κρύψῃ τὸ πλεονέκτημα. ἐπεὶ ὅτι τὸ πᾶν διὰ τὸν Χριστὸν ἤθελεν, ἄκουσον τῶν ἑξῆς, "ὧν ἡ "υἱοθεσία καὶ ἡ δόξα· καὶ ἡ διαθήκη," καὶ τὰ ἑξῆς. καὶ τί τοῦτο φησίν; εἰ γὰρ ὑπὲρ τοῦ πιστεῦσαι ἑτέρους ἐβούλετο γενέσθαι ἀνάθεμα, ἔδει καὶ ὑπὲρ τῶν ἐθνῶν τοῦτο εὔξασθαι. εἰ δὲ ὑπὲρ Ἰουδαίων ηὔχετο μόνων, δείκνυσιν οὐ διὰ τὸν Χριστὸν αὐτὸ βουλόμενον, ἀλλὰ διὰ τὴν πρὸς ἐκείνους οἰκείωσιν. καὶ μὴν εἰ ὑπὲρ τῶν ἐθνῶν ηὔξατο, οὐκ ἂν ὁμοίως τοῦτο ἐφάνη. ἐπειδὴ ὑπὲρ Ἰουδαίων μόνων, δείκνυται καθαρῶς διὰ τὴν τοῦ Χριστοῦ δόξαν, τοῦτο σπουδάζων. οὐδὲ γὰρ ἁπλῶς ταῦτα εἴρηκεν ἅπερ εἴρηκεν· ἀλλ' ἐπειδὴ πάντες ἔλεγον, καὶ τοῦ Θεοῦ κατηγόρουν, ὅτι υἱοὶ Θεοῦ καταξιωθέντες κληθῆναι, καὶ νόμον δεξάμενοι, καὶ πρὸ πάντων αὐτὸν εἰδότες, καὶ τοσαύτης ἀπολαύσαντες δόξης, καὶ θεραπεύσαντες αὐτὸν πρὸ τῆς οἰκουμένης ἁπάσης, καὶ ἐπαγγελίας δεξάμενοι, καὶ πατέρων ὄντες τῶν αὐτῷ φίλων, καὶ τὸ δὴ πάντων μεῖζον, καὶ προπάτορες αὐτοῦ γινόμενοι τοῦ Χριστοῦ, τοῦτο γάρ ἐστιν "ἐξ "ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα," ἐκβέβληνται καὶ ἠτίμωνται·

[s] Leg. λογίζου μόνον.

[t] I. marg. a m. rec. desunt quæd.

ἀντεισήχθησαν δὲ ἀντ' ἐκείνων, οἱ μηδέποτε αὐτὸν ἐπιγνόντες, οἱ ἐξ ἐθνῶν.

Ἐπεὶ οὖν ταῦτα λέγοντες, τὸν Θεὸν ἐβλασφήμουν. ἀκούων ταῦτα ὁ Παῦλος, καὶ ὑπὲρ τῆς δόξης ἀλγῶν τοῦ Θεοῦ, ηὔξατο ἀνάθεμα εἶναι, εἴ γε δυνατὸν ἦν, ὥστε σωθῆναι ἐκείνους, καὶ τὴν βλασφημίαν ταύτην καταλυθῆναι· καὶ μὴ δόξαι τὸν Θεὸν ἠπατηκέναι τοὺς ἐκγόνους ἐκείνων· οἷς τὰς δωρεὰς ἐπηγγείλατο. καὶ ἵνα μάθῃς ὅτι ὑπὲρ τούτου κοπτόμενος, ταῦτα ηὔχετο, μετὰ τὸ ταῦτα εἰπεῖν, ἐπήγαγεν, "οὐχ οἷον δὲ ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ Θεοῦ·" δεικνὺς ὅτι ταῦτα πάντα διὰ τὸν λόγον τοῦ Θεοῦ ὑπομεῖναι ηὔχετο. τουτέστι τὴν ἐπαγγελίαν τὴν πρὸς τὸν Ἀβραὰμ γεγενημένην. ἵνα γὰρ μὴ εἴπωσι, φησὶν, ὅτι ἐξέπεσεν ἡ ἐπαγγελία τοῦ Θεοῦ, καὶ εἰς ἔργον οὐκ ἐξῆλθεν ὁ λόγος, ἠβουλόμην ἀνάθεμα γενέσθαι. διὰ δὴ τοῦτο οὐχ ὑπὲρ τῶν ἐθνῶν φησὶν, οὐδὲν γὰρ ἦν πρὸς ἐκείνους ἐπηγγελμένον αὐτῷ, οὐδὲ ἦσαν αὐτὸν τεθεραπευκότες· διὸ οὐδὲ ἐβλασφήμουν αὐτὸν δι' ἐκείνους. διὰ τοῦτο ἔλεγεν· "ὧν ἡ υἱοθεσία," καὶ τὰ ἑξῆς. καὶ γὰρ ὁ νόμος ἐκεῖθεν ὁ περὶ τοῦ Χριστοῦ φησὶ, καὶ αἱ συνθῆκαι πρὸς αὐτοὺς πᾶσαι, καὶ αὐτὸς ἐξ αὐτῶν, καὶ οἱ πάτερες οἱ δεξάμενοι τὰς ἐπαγγελίας, ἐξ ἐκείνων πάντες. ἀλλ' ὅμως, τοὐναντίον γέγονε, καὶ πάντων ἐξέπεσον τῶν ἀγαθῶν· διὰ τοῦτο φησὶ, εἴ γε ἦν χωρισθῆναι τοῦ περὶ τὸν Χριστὸν χοροῦ, καὶ ἀλλοτριωθῆναί με οὐχὶ τῆς ἀγάπης αὐτοῦ, μὴ γένοιτο· ἐπεὶ καὶ ταῦτα δι' ἀγάπην ἐποίει· ἀλλὰ τῆς ἀπολαύσεως ἐκείνης καὶ τῆς δόξης, κατεδεξάμην ἄν· ὥστε μὴ τὸν δεσπότην βλασφημεῖσθαι τὸν ἐμόν· [t] μεγίστην ἡγούμενος ἁπάντων εἶναι παραμυθίαν τοῦ πόνου, τὸ τὸν ποθούμενον, μηκέτι βλασφημούμενον ἀκούειν.

Εἰ δὲ οὐδέπω καταδέχῃ τὸ εἰρημένον· ἐννόησον ὅτι καὶ πάτερες πολλοὶ πολλάκις εἵλοντο χωρισθῆναι τῶν ἰδίων παίδων, καὶ μόνον αὐτοὺς εὐδοκιμοῦντας ὁρᾷν. τῆς συνουσίας αὐτῶν ἡδίω νομίζοντες, τὴν εὐδοκίμησιν τὴν ἐκείνων. τινὲς δὲ περὶ θανάτου τοῦ προσκαίρου ταῦτα λέγειν τὸν Παῦλον ἐνόμισαν. οὓς τοσοῦτον εἴποιμι ἂν ἀγνοεῖν τὸν Παῦλον, ὅσον τὸν πηρὸν τὴν ἀκτῖνα τὴν ἡλιακήν. ὁ

[t] I. m. a m. rec. defect.

γὰρ καθ᾽ ἑκάστην ἡμέραν ἀποθνήσκων, καὶ εἰπὼν, "τίς ἡμᾶς χωρί-" "σει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλίψις, ἢ στενοχωρία, ἢ" "διωγμὸς, ἢ λιμός;" καὶ οὐκ ἀρκεσθεὶς τοῖς λεχθεῖσιν, ἀλλ᾽ ὑπερβὰς τὸν οὐρανὸν, καὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ· καὶ ἀρχαγγέλων· καὶ πάντα τὰ ἄνω παραδραμών· καὶ συλλαβὼν ὁμοῦ τὰ παρόντα, τὰ μέλλοντα, τὰ ὁρώμενα, τὰ νοούμενα, τὰ λυπηρὰ, τὰ χρηστὰ, τὰ ἐν ἑκατέροις. καὶ οὐδὲν ὅλως ἀφεὶς, καὶ οὐδὲ οὕτω κορεσθείς· ἀλλὰ καὶ ἑτέραν τοσαύτην κτίσιν τὴν οὐκ οὖσαν ὑποστησάμενος· πῶς ὡς μέγα τι λέγων μετ᾽ ἐκεῖνα πάντα, θανάτου τοῦ προσκαίρου ἐμνημόνευσεν ἄν; οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν· ἀλλὰ σκωλήκων ἐν κοπρίᾳ φωλευόντων ἡ τοιαύτη ὑπόνοια· εἰ γὰρ τοῦτο ἔλεγε, πῶς ἀνάθεμα ἑαυτὸν ηὔχετο εἶναι ἀπὸ τοῦ Χριστοῦ; ὁ γὰρ τοιοῦτος θάνατος, μᾶλλον τῷ τοῦ Χριστοῦ συνῆπτε χορῷ, καὶ τῆς δόξης ἀπολαύειν ἐκείνης ἐποίει. ἄλλοι δέ τινες οὐ θάνατον φασὶν, ἠνίξατο, ἀλλὰ κειμήλιον καὶ ἀνάθημα εἶναι ηὔχετο εἶναι τοῦ Χριστοῦ. καὶ τίς τοῦτο, καὶ τῶν σφόδρα εὐτελῶν καὶ ἀναπεπτωκότων, οὐκ ἂν ηὔξατο; πῶς δὲ ὑπὲρ τῶν συγγενῶν τοῦτο ἔμελλε τῶν αὐτοῦ γίνεσθαι;

Ἰσιδώρου. Πῶς δ᾽ ἂν τοσαῦτα διεβεβαιώσατο, ὡς μέλλων ἀπιστεῖσθαι· εἴ γε εὐτελές τι ἦν καὶ φαῦλον τὸ νενοημένον αὐτῷ; ἐπειδὴ κρεῖττον ἦν ἁπάσης δυνάμεως καὶ ῥώμης ὃ ἔμελλεν εἰπεῖν, πολλοὺς μάρτυρας παρέστησε τοῦ μὴ ψεύδεσθαι καὶ κομπάζειν τὴν ἀλήθειαν· τὸν Χριστὸν, τὸ μὴ ψεύδεσθαι· τὴν συνείδησιν· καὶ τὸ Πνεῦμα τὸ Ἅγιον· τίς ἂν οὖν πιστεύσειεν ὅτι ταπεινόν τι ἐννοῶν καὶ οὐδαμινὸν, εἰς τοσαύτην ἐξηνέχθη διὰ βεβαιώσεως ὑπερβολήν; εἰ δ᾽ ἔτι μικρὸν φρονοῦσι τινὲς, καὶ περὶ γῆν ἰλυσπώμενοι, οὐδὲν μέγα καὶ νεανικὸν ἐννοῆσαι βούλονται, λογιζέσθωσαν τὸν θεοφιλῆ Μωσέα εὐξάμενον ἐκ τῆς θείας βίβλου ἐξαλειφθῆναι, εἰ οἱ ὑπ᾽ αὐτὸν τελοῦντες, πανωλεθρίᾳ παραδοθεῖεν. μεῖζον γάρ ἐστι τὸ τοῦ Ἀποστόλου. ὁ μὲν γὰρ, συναπολέσθαι, ὁ δὲ, ἀπολέσθαι, ἵνα ἄλλοι σωθῶσιν, ηὔξατο. ἀπὸ δὲ γυναικὸς γενναίας, ὡς ἄν τις μικρὸν μεγάλῳ εἰκάσειε, τοῦτ᾽ ἀποδεῖξαι πειράσομαι.

Ἡ Ῥεβέκκα ἀποστολικὴν, ὡς ἄν τις εἴποι, ἔχουσα μεγαλοψυχίαν, εἵλετο κατάραν ὑποστῆναι, ἵν᾽ ὁ παῖς εὐλογίαν κληρονομήσῃ. καὶ

τῶν μὲν ἀγαθῶν, ἐκείνῳ παρεχώρει, οὐ γὰρ δὴ μετ' ἐκείνου εὐλογεῖσθαι ἔμελλε· τὰ δὲ κακὰ, αὐτὴ μόνη παρεσκευάζετο ὑπομένειν. ἔφη γὰρ τῷ παιδὶ ἀναδυομένῳ καὶ δεδοικότι "ἐπ' ἐμὲ ἡ κατάρα σου "τέκνον." μόνον μὴ διαφθείρῃς τὸ κατασκευασθὲν ὑπ' ἐμοῦ δρᾶμα, μὴ δὲ προδῷς τὸν θησαυρόν. εἰ τοίνυν γυνὴ, μὴ δὲ ἀνδρὸς ἔχουσα δύναμιν, μὴ δὲ μεγαλοψυχίαν, εἵλετο καταρθῆναι, ἵνα ἄλλος εὐλογηθῇ· ὁ τοσοῦτος καὶ τηλικοῦτος Ἀπόστολος, οὐκ ἂν ηὔξατο τί τοιοῦτον παθεῖν, ἵνα Ἰουδαῖοι πιστεύσωσι, καὶ μὴ δόξῃ βλασφημεῖσθαι ὁ Θεός· ἄλλοις μὲν ἐπαγγειλάμενος· ἄλλους δὲ εἰς τοσαύτην ἀξίαν ἀγαγών; πάνυ μὲν οὖν. ταῦτα δὲ ἔλεγεν· οὐχ ὡς τῷ ὄντι τῆς ἐπαγγελίας διαπεσούσης· ἔφη γὰρ, "οὐχ οἷον δὲ ὅτι ἐκπέπτωκεν ὁ "λόγος τοῦ Θεοῦ," ὁ πρὸς τοὺς πατέρας δηλονότι γεγενημένος. ἐξέβη γὰρ ἡ ἐπαγγελία, ἐν τοῖς ἐξ αὐτῶν πιστεύσασι· καὶ ἐν τοῖς ὁμοίοις τοῦ Ἰσαὰκ διὰ τοῦ βαπτίσματος ἐξ ἐθνῶν τεχθεῖσι. καὶ τοῦτο ἐγγυᾶται ὁ τῶν Ἀποστόλων κορυφαῖος Πέτρος, λέγων, "ταύτην τὴν ἐπαγγελίαν ἐκπεπλήρωκεν ὁ Θεὸς τοῖς τέκνοις αὐ"τῶν, ἡμῖν ἀναστήσας Ἰησοῦν." οὐ τοίνυν ὡς διαπεσούσης τῆς ἐπαγγελίας τοῦτο ἔφη, ἀλλ' ἵνα δείξῃ τὸ ἀκάθεκτον ἑαυτοῦ περὶ τὸν τοῦ Χριστοῦ πόθον.

Κυρίλλου. Πάλιν δὲ ἄνωθεν καθ' ἑτέραν ἐπιβολὴν περὶ τῶν εἰρημένων εἴπωμεν. ἀπόλεκτον μὲν ἐποιεῖτο Θεὸς ἐν ἀρχαῖς τὸν Ἰσραήλ· καὶ δὴ πρωτότοκον αὐτὸν ἀπεκάλει. ἀλλὰ γεγόνασιν ἀλάζονες καὶ ὑβρισταί· καὶ τὸ, ἔτι τούτων ἐπέκεινα, κυριοκτόνοι. ταύτῃ διολώλασι· γεγόνασι γὰρ ἀπόπεμπτοι καὶ ἐξερριμμένοι. καὶ τῆς πρὸς Θεὸν οἰκειότητος εἰσάπαν ὠλισθηκότες, τέθεινται κατόπιν ἐθνῶν. πεφήνασι δὲ καὶ τῆς τῶν πατέρων ἐλπίδος ἀλλότριοι. ἐπειδὴ δὲ ὁ μακάριος Παῦλος τῶν θείων εὐαγγελίων τέθειται λειτουργός· καὶ διεκήρυττε τοῖς ἔθνεσι τὸν Ἰησοῦν· ἄνω τε καὶ κάτω τοὺς ἐξ αἵματος Ἰσραὴλ ἀποπεπτωκέναι λέγων· καὶ τοὺς ἐν σκότῳ ποτὲ, καὶ τῶν δαιμονίων θεραπευτὰς, κλητοὺς γενέσθαι κατὰ πρόθεσιν καὶ πρόγνωσιν Θεοῦ διϊσχυριζόμενος, ἵνα μή τινες οἴωνται τῶν ἀμαθεστέρων, μονονουχὶ κειμένοις καὶ ἐναλλεσθαι τοῖς ἐκ γένους αὐτὸν, καὶ πεσοῦσιν ἐπιμειδιᾶν, ἀναγκαίαν ποιεῖται τὴν ἀπολογίαν, καὶ φησὶ, "ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ

"ψεύδομαι," καὶ τὰ ἑξῆς· ἀλλὰ τοῖς μὲν εἰς τοῦτο σκαιότητος ἐκπεφοιτηκόσιν, ὡς τῆς εἰς Θεὸν ἀγάπης ἀπολισθεῖν, σκληρὰς τὲ τὰς ἐπὶ τούτῳ δίκας ἀνατλῆναι λοιπὸν, ἐπιστυγνάσειεν ἄν τις. καὶ τὸ ἐκ φιλαλληλίας αὐτοῖς ἐπιστάξαι δάκρυον, εἴη ἂν οὐ πέρα λόγου. μᾶλλον δὲ τῆς ἀγάπης ἔχει τὴν πλήρωσιν. τὸ δὲ δὴ καὶ ὑπὲρ αὐτῶν θέλειν ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ, μέτρων ἐπέκεινα τῆς ἀγάπης λοιπόν. οὐ γὰρ ἂν ἕλοιτό τις, εἴπέρ ἐστιν ἐν καλῷ φρενὸς, τῆς ἑτέρων ἕνεκα σωτηρίας προσκρούειν Θεῷ. καὶ ποιεῖσθαι μὲν παρ' οὐδὲν τὴν αὐτοῦ ζωὴν, ἑτέροις γε μὴν τὸ χρῆμα ἐνεῖναι ἑλέσθαι. τί οὖν ἄρα φησὶν, τῆς Ἰουδαίων σωτηρίας ἀντάλλαγμα τὴν ἑαυτοῦ προτιθείς; οὐκοῦν ὑπερβολικὸς ὁ λόγος, καὶ ἀγάπης ἀπόδειξιν ἔχει τῆς τελεωτάτης. "ηὐχόμην γάρ," φησιν, "ἀνάθεμα εἶναι αὐτὸς ἀπὸ Χριστοῦ, ὑπὲρ τῶν ἀδελφῶν μου." ὅμοιον γὰρ ὡς εἴπερ λέγοι· εἰ προσκεκρουκότος ἐμοῦ τῷ Χριστῷ, ὁ Ἰσραὴλ ἀνασώζεται, εἱλόμην ἂν αὐτὸς ἐγὼ, ὁ πᾶσι διακηρύττων, "τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ," τὸ οὕτω δεινὸν ὑποστῆναι κακὸν, καὶ εἶς ὑπὲρ πάντων χωρῆσαι πρὸς ὄλεθρον. τοῦτο δὲ ἦν, σαγηνεύοντος μὲν τοὺς Ἰουδαίους εἰς εὐπείθειαν, ἀποκρουομένου δὲ τὰς τῶν ἀσυνέτων συκοφαντίας· ᾤοντο γὰρ τῶν Ἰουδαίων τινὲς οἷον ἀπόπληκτον γεγονότα τὸν θεσπέσιον Παῦλον, τοῖς διὰ Μωσέως ἀντιφέρεσθαι νόμοις. ταύτῃ τοῖς πιστεύσασιν ἐπιστέλλει λέγων, "εἴτε γὰρ ἐξέστημεν Θεῷ· εἴτε σωφρονοῦμεν "ὑμῖν." οὐκοῦν ἑλοίμην ἂν ἔγωγε καὶ μάλα προθύμως, φησὶ, ἵνα τοὺς ἐξ αἵματος ἀνασώσαιμι, ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ.

Σετηριανοτ. Τὴν ὑπερβολὴν οὖν τοῦ εἰς Χριστὸν ἐνδεικνύμενος φίλτρου, τοῦτο φησίν.

Γρηγορίοτ τοτ θεολόγοτ ἐκ τοτ ἡττημένοτ. Καὶ τολμήσας τί μεῖζον ὑπὲρ τῶν ἀδελφῶν αὐτοῦ τῶν κατὰ σάρκα, ἵνα τολμήσω τί καὶ αὐτὸς οὕτω λέγων, ἀντεισαχθῆναι τούτους ἑαυτοῦ Χριστῷ διὰ τὴν ἀγάπην εὔχεται. ὢ τῆς μεγαλονοίας. ὢ τῆς τοῦ πνεύματος ζέσεως. Χριστὸν τὸν γενόμενον ὑπὲρ ἡμῶν κατάραν. τὸν τὰς ἀσθενείας ἡμῶν λαβόντα καὶ τὰς νόσους βαστάσαντα. ἢ τό γε μετριώτερον εἰπεῖν, παθεῖν τί ὑπὲρ αὐτῶν· καὶ ὡς ἀσεβὴς δέχεται πρῶτον ἀπὸ Χριστοῦ, μόνον εἰ οὗτοι σώζοιντο.

Μαξίμοτ. Ηὐχόμην, λέγων, παραδοθῆναι ἀπὸ Χριστοῦ τῷ δια-

βόλῳ, ὥστε μαστιγωθῆναι, καὶ τὰς ὑπὲρ τοῦ Ἰσραὴλ ὑπομεῖναι κολάσεις, ἃς κατὰ τὸ δίκαιον ἐχρεώστουν ὑπὲρ τῆς εἰς Θεὸν αὐτῶν ἀπιστίας, μόνον, ἵνα σωθῶσι· καθ᾽ ὃν τρόπον καὶ ὁ Κύριος παρέδωκεν ἑαυτὸν, καὶ γέγονεν ὑπὲρ ἡμῶν κατάρα.

Φωτίου. *Ἀλλὰ πῶς φησιν, ὃν οὐδὲν χωρίζει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ, οὗτος ὑπὲρ συγγενῶν ἐπιζητεῖ καὶ εὔχεται τούτου χωρισθῆναι; οὐκ ἔστιν ἐναντία ταῦτα, ἀλλὰ καὶ μᾶλλον συνᾴδει. ὁ γὰρ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, τὸν Θεὸν ἀγαπᾷ. "ἐν τούτῳ "γὰρ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταὶ ἐστὲ, ἐὰν ἀγάπην "ἔχητε πρὸς ἀλλήλους." ναί φησιν· ἀλλ᾽ ἐνταῦθα προκρίνει τῆς πρὸς τὸν Θεὸν ἀγάπης, τὴν τοῦ πλησίον. ἀλλὰ τὸ φιλεῖν ἐκείνους, τὸ οἰκειῶσαι τῷ Χριστῷ ἐστι. δείκνυσι γοῦν τὴν ὑπερβάλλουσαν ἀγάπην, ὅτι καὶ ἑτέρους συνήλαυνεν εἰς αὐτόν. οὕτω γὰρ ἂν νοοῖτο τὸ ῥητόν. εἰ ἦν δυνατὸν διὰ τῆς ἐμῆς ἀπωλείας, δοξασθῆναι τὸν Χριστὸν, καὶ σωθῆναι τοὺς Ἰουδαίους, οὐδὲ τοῦτο ἂν παρῃτησάμην. ἄλλως τε οὐ δὲ λέγει ἀνάθεμα γενέσθαι. τουτέστιν, ἀπὸ τοῦ νῦν αὐτοῦ χωρισθῆναι· τοῦτο γὰρ ἀπευκτότατον· ἀλλὰ ἀνάθεμα εἶναι. τουτέστι, κεχωρισμένον ἔτι εἶναι, καὶ μήπω τῷ Χριστῷ προσελθεῖν, ἀλλ᾽ ἔτι κεχωρισμένον αὐτοῦ εἶναι· εἰ τοῦτο εἰς τὴν ὑμετέραν εἴσοδον καὶ πίστιν τὴν εἰς αὐτὸν συντέλει. μὴ γὰρ ὅτι προσῆλθον τῷ Χριστῷ, διὰ τοῦτο καὶ ὑμᾶς με προκαλεῖσθαι νομίσητε, φησίν. καὶ πρὸ ἔμου ὑμᾶς ἠβουλόμην προσδραμεῖν αὐτῷ.*

Ἀλλὰ φέρε καὶ αὖθις ἄνωθεν τήν τε ἀκολουθίαν τῶν εἰρημένων καταμάθωμεν· καὶ αὐτὰ τὰ ῥήματα εἰς μέσον ἀγάγωμεν.

Θεοδωρήτου. *Ἀπέδειξεν ὁ θεῖος Ἀπόστολος περὶ τὰς ἀρχὰς τῆς ἐπιστολῆς, ὡς ἀναγκαία καὶ τῶν ἀρρήτων πρόξενος ἀγαθῶν τοῖς πιστεύουσιν ἡ τοῦ Σωτῆρος ἐνανθρώπησις. Ἰουδαίους τὲ γὰρ ἤλεγξεν, ἐκ τῆς τοῦ νόμου θέσεως μείζοσι κατηγορίαις ὑπευθύνους γεγενημένους, καὶ τοὺς ἄλλους ἅπαντας τῆς φύσεως παραβάντας τὸν νόμον. καὶ γυμνώσας τῆς τιμωρίας τὴν ἀπειλὴν, τῆς εὐαγγελικῆς χάριτος τὰ δῶρα παρέθηκε, καὶ τὴν ἐκ πίστεως σωτηρίαν ὑπέδειξεν. ἵνα μήτε Ἰουδαῖοι δυσχεραίνωσι κατηγορεῖσθαι τὸν νόμον ὑπειληφότες· μήτε μὴν οἱ περὶ τὴν παλαιὰν ἀπεχθῶς διακείμενοι αἱρετικοὶ, πρόφασιν εἰς τὴν κατὰ τοῦ νόμου συκο-*

φαντίαν λάβωσιν. ἐκ τῆς γεγενημένης παρεξετάσεως, ἔδειξεν ἀναγκαίως τοῦ νόμου τὸ χρήσιμον· καὶ πολλαῖς αὐτὸν ἐπαινίωσεν εὐφημίαις. ἐπεὶ δὲ πάλιν Ἰουδαῖοι τὸν πατριάρχην Ἀβραὰμ προβαλλόμενοι, καὶ τὰς πρὸς αὐτὸν ὑπὸ τοῦ Θεοῦ γεγενημένας ἐπαγγελίας, ἐναντίον ταύταις ἐπειρῶντο δεικνύειν τῶν Ἀποστόλων τὸ κήρυγμα, παρὰ τὴν θείαν ὑπόσχεσιν τοῖς ἔθνεσι προσφερόμενον, ἀναγκαίως καὶ τούτους εἰς μέσον προφέρει τοὺς λόγους. καὶ σοφῶς ἄγαν διαλύει, καὶ γραφικαῖς μαρτυρίαις, καὶ παραδείγμασι παλαιοῖς εἰς καιρὸν κεχρημένος. καὶ δεικνὺς ἐναργῶς τῶν θείων ὑποσχέσεων τὴν ἀλήθειαν. μέλλων μέντοι τῆς Ἰουδαίων ἀπιστίας κατηγορεῖν, πρῶτον ἣν ἔχει περὶ αὐτοὺς φιλοστοργίαν γυμνοῖ. εἰπὼν δὲ, ὅτι λύπη μοι ἐστὶ μεγάλη, ὤφειλε μὲν προσθεῖναι διὰ τὴν Ἰουδαίων ἢ ἀποβολὴν ἢ ἀπιστίαν. φειδοῖ δὲ κεχρημένος, ταῦτα μὲν οὐ τέθεικε τὰ ῥήματα. τὴν δὲ τούτων διὰ τῶν ἑξῆς διδάσκει διάνοιαν. σφόδρα δὲ ἁρμοζόντως παρενέθηκε, καὶ τὸ, " αὐτὸς ἐγώ." τῶν ἤδη περὶ τῆς ἀγάπης τῆς πρὸς τὸν Χριστὸν εἰρημένων, ἀναμιμνήσκων. καὶ μονονουχὶ λέγων, ὅτι ἐγὼ ὃν οὐδὲν χωρίσαι δυνήσεται ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ, ὑπὲρ τῆς Ἰουδαίων σωτηρίας ἥδιστα ἂν ἐχωρίσθην αὐτοῦ. δῆλον δὲ ὅτι οὐ τούτους προτιμῶν τοῦ σεσωκότος, ἀλλὰ διὰ τὸν περὶ ἐκεῖνον ἔρωτά τε καὶ πόθον, ταῦτα εἴρηκε· πάντας ὑποκύπτοντας ἰδεῖν ποθῶν, καὶ ἀσπασίως δεχομένους τὸ κήρυγμα.

Χρυσοστόμου. Αὐτὸς ἐγὼ ὁ διδάσκαλος πάντων γενόμενος· ὁ μυρία κατορθώματα συναγαγών· ὁ μυρίους ἀναμένων στεφάνους· ὁ ποθήσας αὐτὸν οὕτως, ὡς πάντων αὐτοῦ προτιμῆσαι τὴν ἀγάπην· ὁ καθ᾽ ἑκάστην ἡμέραν δι᾽ αὐτὸν ἀποθνήσκων. καὶ εὔχεται μὲν ἃ εἴπομεν. ἐπειδὴ δὲ οὐκ ἔμελλε γενέσθαι οὕτως, οὐδὲ ἔμελλεν ἀνάθεμα εἶναι, πειρᾶται λοιπὸν καὶ εἰς ἀπολογίαν ἐμβῆναι τῶν ἐγκλημάτων· καὶ τὰ θρυλλούμενα παρὰ πάντων εἰς μέσον ἀγαγὼν, ἀνατρέψαι. πρὶν δὲ εἰς τὴν σαφῆ τούτων ἀπολογίαν ἐμβῆναι, τὰ σπέρματα αὐτῆς ἤδη προκαταβάλλεται· ὅταν γὰρ λέγῃ, " ὧν ἡ " υἱοθεσία καὶ ἡ δόξα," καὶ τὰ ἑξῆς, οὐδὲν ἄλλο φησὶν, ἢ ὅτι ὁ Θεὸς μὲν αὐτοὺς ἐβούλετο σωθῆναι· καὶ τοῦτο ἐδήλωσε δι᾽ ὧν ἔμπροσθεν ἐποίησε· καὶ δι᾽ ὧν ὁ Χριστὸς ἐξ ἐκείνων ἐγένετο· καὶ δι᾽ ὧν τοῖς πατράσιν ἐπηγγείλατο· αὐτοὶ δὲ ἐξ οἰκείας ἀγνωμο-

σύνης ἀπεκρούσαντο τὴν εὐεργεσίαν· διὸ καὶ ἐκεῖνα τίθησιν ἅπερ τῆς τοῦ Θεοῦ δωρεᾶς ἐστιν ἐνδεικτικὰ μόνον, οὐκ ἐκείνων ἐγκώμια· καὶ γὰρ ἡ υἱοθεσία τῆς αὐτοῦ γέγονε χάριτος, καὶ ἡ δόξα, καὶ αἱ ἐπαγγελίαι, καὶ ὁ νόμος.

ΚΥΡΙΛΛΟΥ ἘΚ ΤΩΝ ΕἸΣ ΤῊΝ ΓΈΝΕΣΙΝ. *Ἰσραηλῖται δὲ ἐκλήθησαν ἀπὸ τοῦ προπάτορος αὐτῶν Ἰακώβ· ὃς Ἰσραὴλ μετωνομάσθη, ἐκ τοιαύτης αἰτίας. ὑποστρέφων ἀπὸ τῆς Μεσοποταμίας ὁ Ἰακὼβ, προσήγγισε τῷ χειμάρρῳ Ἰακώβ. δεῖ γὰρ τὴν ἱστορίαν εἰπεῖν, εἶτα καὶ τίνων σύμβολα παραστῆσαι. ἀναστὰς δὲ τὴν νύκτα ἐκείνην, ἔλαβε τὰς δύο γυναῖκας, καὶ τὰς δύο παιδίσκας, καὶ τὰ ἕνδεκα παιδία αὐτοῦ, καὶ διέβη τὴν διάβασιν Ἰακὼβ, καὶ ἔλαβεν αὐτούς. καὶ διεβίβασε πάντα τὰ αὐτοῦ. ὑπελείφθη δὲ Ἰακὼβ μόνος. καὶ ἐπάλαιεν ἄνθρωπος μετ' αὐτοῦ ἕως πρωΐ. εἶδε δὲ ὅτι οὐ δύναται πρὸς αὐτόν. καὶ ἥψατο τοῦ πλάτους τοῦ μηροῦ αὐτοῦ. καὶ ἐνάρκησε τὸ πλάτος τοῦ μηροῦ Ἰακὼβ ἐν τῷ παλαίειν αὐτὸν μετ' αὐτοῦ. καὶ εἶπεν αὐτῷ· ἀπόστειλόν με. ἀνέβη γὰρ ὁ ὄρθρος. καὶ εἶπεν οὗτος. οὐ μή σε ἀποστείλω, ἐὰν μή με εὐλογήσῃς. εἶπε δὲ αὐτῷ· τί τὸ ὄνομά σου ἐστίν; ὁ δὲ, εἶπεν, Ἰακώβ. λέγει αὐτῷ οὐ κληθήσεται ἔτι τὸ ὄνομά σου Ἰακώβ, ἀλλ' Ἰσραήλ. ὅτι ἐνίσχυσας μετὰ Θεοῦ. καὶ μετὰ ἀνθρώπων δυνατὸς ἔσῃ. εἶτα τί τὸ ἐκ τούτων δηλούμενον; πῶς οὐκ ἄξιον ἰδεῖν, τὸν μὲν προσπαλαίοντα τῷ Ἰακὼβ, φαμὲν ἅγιον Ἄγγελον εἰς τύπον Χριστοῦ τὸ καθ' ἡμᾶς διὰ τὸ ἀνθρώπινον; ὅτι δὲ μὴ αὐτὸς τοῖς ἄλλοις ὁμοῦ διέβη τὸν χειμάρρουν, ἤτοι τὸν Ἰακὼβ, ὃς ἑρμηνεύεται πάλη, γέγονεν αὐτῷ ἡ δοκοῦσα μάχη.*

Καὶ τίς ἂν νοοῖτο τούτων ὁ λόγος; πρὸς μὲν γὰρ τοὺς διαβαίνοντας τὸν Ἰορδάνην, οὗ καὶ εἰς τύπον Ἰακὼβ, οὐ παλαίει Χριστὸς, οὐδὲ ἐν τάξει πολεμίων ἢ ἀντιπάλων ποιεῖται, τοὺς τὰ αὐτοῦ τιμῶντας μυστήρια. διασώζει δὲ, μᾶλλον καὶ τὸν κόσμον νενικηκότας, ὡς ἐν μάχῃ φημὶ τῇ νοητῇ, στεφανοῖ, καὶ ταῖς ἀνωτάτω καταφαιδρύνει τιμαῖς. πάλη δὲ ὄνομα τῷ ποταμῷ. " βιαστὴ γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, καὶ βιασταὶ ἁρπά- " ζουσιν αὐτήν." " καὶ στενὴ λίαν ἡ πύλη, καὶ τεθλιμμένη ἡ " ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν. καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες " αὐτήν." ὅτι τοίνυν οἱ ἐξ Ἰακὼβ ἐσόμενοι κατὰ καιροὺς, οὔτε τὸν

Ἰορδάνην ἔμελλον διαβήσασθαι. τουτέστι τὴν διὰ τοῦ ἁγίου βαπτίσματος χάριν. αὐτὸν τὲ λοιπὸν ἀντίπαλον ἕξειν τὸν Ἐμμανουὴλ, ὑπεδήλου τὸ γεγονός. ὅτι γὰρ οἱ μὴ τιμῶντες τὴν πίστιν, πάντη τὲ καὶ πάντως καταλογισθήσονται εἰς ἀνθεστηκότας, πληροφορήσει λέγων αὐτὸς ὁ Σωτήρ, "ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ "ἐστιν·" ἀλλὰ μετ' αὐτοῦ μὲν εἶεν ἂν οἱ πεπιστευκότες· ἀληθὲς δὲ καὶ τὸ ἔμπαλιν. πῶς οὖν ἐνδοιάσειέ τις; πλὴν ἐπάλαιε, φησὶ, μετὰ Ἰακὼβ, ἄνθρωπος ἕως πρωΐ. καὶ εἶπεν ὅτι οὐ δύναται πρὸς αὐτόν. ἀκούεις ὅπως ἐν νυκτὶ γέγονεν ἡ πάλη; ἠλέγχετο δὲ πίπτων καὶ νικώμενος. ὅτι τὰ ἀνέφικτα ἐζήτει, θεομαχεῖν ἠρημένος· περιέσεσθαι προσδοκῶν τοῦ πάντα ἰσχύοντος Χριστοῦ. τοῦτο οἶμαι ἐστὶν ὅπερ ἔφη καὶ ὁ θεσπέσιος ψαλμῳδὸς, "διελογίσαντο βουλὴν, καὶ οὐ μὴ δύνωνται στῆναι." δῆλον δὲ ὅτι περὶ τῶν ἐξ Ἰσραήλ· ὅτι δεινὰ κατὰ τῆς ἑαυτῶν ἐσκέπτοντο κεφαλῆς· ἵνα μὴ λέγοιμι Χριστοῦ. ἐμαχέσαντο τοίνυν τῷ Χριστῷ ἐν σκότει γεγονότες. τουτέστι, τὸν θεῖον εἰς νοῦν οὐκ ἔχοντες λογισμόν. οὔτε μὴν τὴν διαυγάζουσαν ἡμέραν, οὔτε τὸν ἀνίσχοντα νοητῶς ἑωσφόρον ἐν ταῖς τῶν πιστῶν καρδίαις. διαμεμενήκασι γὰρ ἀπειθεῖς, καὶ ὡς ὁ προφήτης φησὶν "ὑπομεινάντων αὐτῶν φῶς, ἐγένετο "αὐτοῖς σκότος. μείναντες αὐγὴν, ἐν ἀωρίᾳ περιεπάτησαν."

Ἀλλ' ὅ γε μέγας Ἀπόστολος Παῦλος τοῖς ἐν πίστει δεδικαιωμένοις, καὶ τὸν διὰ πνεύματος φωτισμὸν πεπλουτηκοσιν ἐπιστέλλει λέγων, "οὐκ ἐσμὲν νυκτὸς, οὐδὲ σκότους, ἀλλ' υἱοὶ φωτὸς καὶ ἡμέρας." ὅτι δὲ ἀμείνους τῆς Ἰουδαίων ἀμαθίας γεγόνασι, καὶ τὸν ἐκείνοις πρέποντα παρήλασαν σκότον, ὑπεδήλου προστιθεὶς, "ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν· ἀποθώμεθα οὖν "τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός. ὡς "ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν." οὐκοῦν ἐν ἡμέρᾳ μὲν οἱ πιστεύσαντες. οἱ δὲ ἀπειθεῖς ὡς ἐν νυκτὶ καὶ σκότῳ μάχονται τῷ Χριστῷ. τοῦτο πεπράχασιν οἱ ἐξ Ἰακώβ· πλὴν ἠσθενήκασι καὶ νενίκηνται, καὶ ὀρθοποδεῖν οὐκ ἔχουσιν. "ἥψατο γάρ," φησι, "ὁ "παλαίων ἄνθρωπος μετὰ τοῦ Ἰακὼβ, τοῦ πλάτους τοῦ μηροῦ "αὐτοῦ. καὶ ἐνάρκησε τὸ πλάτος τοῦ μηροῦ τοῦ Ἰακὼβ, ἐν τῷ "παλαίειν αὐτὸν μετ' αὐτοῦ." τί δὲ δὴ ἄρα κἀντεῦθεν εἰσόμεθα,

φέρε λέγωμεν[u] ὡς ἔνι. ὁ μηρὸς ὡς ἐπίπαν παρά γε τῇ θεοπνεύστῳ γραφῇ, τὰ εἰς τέκνων γονὴν ἀναγκαῖα τοῦ σώματος ὑπεμφαίνει μόρια. καὶ αὐτὴν δὲ λοιπὸν ὡς ἐκ τούτου τὴν γονήν. περὶ μηροὺς γὰρ ἅπασι τὰ παιδοποιὰ κεῖται μέλη. καὶ γοῦν καὶ ὁ μακάριος Ἀβραὰμ, ὅτε τὸν γνήσιον οἰκέτην, γυναῖκα τῷ Ἰσαὰκ ληψόμενον, εἰς τὴν τῶν ποταμῶν ἐξέπεμπε μέσην, ὀμνύειν ἐκέλευε λοιπὸν, οὕτω λέγων, "θὲς τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου." τουτέστιν, ὄμνυθι μετὰ Θεὸν, καὶ κατὰ τῶν ἐσομένων ἐξ ἐμοῦ, καὶ γονῆς τῆς δεσποτικῆς. ὁ μηρὸς οὖν ἄρα τοὺς ἐκ μηρῶν σημαίνει. ἐνάρκησε τοίνυν ὁ μηρὸς Ἰακώβ. ἐχώλαναν γὰρ οἱ ἐκ μηρῶν αὐτοῦ γεγονότες. τουτέστιν, οἱ ἐξ Ἰσραήλ. καὶ μάρτυς αὐτὸς ὁ Σωτὴρ οὕτω λέγων διὰ φωνῆς τοῦ Δαβὶδ, "υἱοὶ ἀλλότριοι ἐψεύσαντό με. υἱοὶ ἀλλό-"τριοι ἐπαλαιώθησαν, καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν." ὅτι δὲ χωλότητα τὴν νοητὴν ὑπομενένηκεν ὁ Ἰσραὴλ, καὶ ὁ σοφὸς ἠπίστατο Παῦλος· γράφει γοῦν καὶ αὐτὸς, "διὸ τὰς παρειμένας "χεῖρας, καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε. καὶ τροχιὰς "ὀρθὰς ποιήσατε τοῖς ποσὶν ἡμῶν·" ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον.

Ἴασις δὲ τῆς τοιᾶσδε χωλότητος, οὐκ ἂν ἑτέρως γένοιτό ποτε, πλὴν ὅτι διὰ μόνης τῆς εἰς Χριστὸν πίστεως καὶ ἀγάπης. οἱ δὲ τὴν πίστιν μὴ προσηκάμενοι, μεμενήκασιν ἐν χωλότητι καὶ ἐν ἐκτροπῇ τοῦ πάθους, κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνήν. αἴνιγμα δὴ οὖν τῆς Ἰσραὴλ χωλότητος νοητῆς τὸ συμβεβηκὸς τῷ Ἰακὼβ περὶ τὸν μηρὸν πάθος, ἐν τῷ παλαίειν αὐτόν. πλὴν ὅτι ψευδοεπήσαιμεν ἂν οὔτι που διαβεβαιούμενοί τε καὶ λέγοντες, ὅτι τοῖς οὖσιν ἐν νυκτὶ καὶ σκοτίαν ἔχουσιν εἰς νοῦν, ἀντιφέρεται τρόπον τινὰ καὶ προσπαλαίει Χριστὸς, παραλύων εἰς χωλότητα τὴν πνευματικήν. ἀναμάθοι δ' ἄν τις τοῦτο εὐκόλως καὶ διὰ τῶν ἐφεξῆς. ἔφη γὰρ τῷ Ἰακὼβ ὁ προσπαλαίων ἄνθρωπος "ἀπόστειλόν "με. ἀνέβη γὰρ ὁ ὄρθρος." συνίης ὅπως οὐκ ἀνέχεται προσπαλαίειν διαυγαζούσης ἡμέρας; οὐ γὰρ μάχεται τοῖς ἐν φωτὶ γεγονόσιν οἷς ἂν εἴη πρέπον, εἰς τοῦτο λαμπρότητος διεληλακόσι, καὶ τὸ

[u] Cod. λέγω μέν.

φάναι λοιπὸν, "ὁ Θεὸς ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω." καὶ πρός γε δὴ τούτῳ τὸ "πρωῒ εἰσακούσῃ τῆς φωνῆς μου· τὸ πρωῒ παραστή-"σομαί σοι, καὶ ἐπόψει με." ἀνίσχοντος γὰρ ἡμῖν τοῦ φωτὸς τῆς δικαιοσύνης, τουτέστι Χριστοῦ, καὶ νοητὴν ἐν καρδίαις ἱέντος αὐγήν. τότε δὴ τότε καὶ μάλα λαμπροὶ παραστησόμεθα αὐτῷ διὰ τῆς εἰσάγαν ἐπιεικείας, καὶ τῆς ἄνωθεν ἐποπτείας, ἑαυτοὺς ἀποφανοῦμεν ἀξίους. "ὀφθαλμοὶ γάρ," φησι, "Κυρίου ἐπὶ δι-"καίους." ὄρθρου δὴ οὖν ἀνίσχοντος, τὴν πάλην καταλύει.

Θέα δὲ ὅπως οἰκονομικῶς καὶ εὐτεχνέστατα λίαν διδάσκει τὸν Ἰακὼβ ἀποπηδᾶν ἐθέλοντος, μεταποιεῖσθαί τε καὶ λίαν ἐπιθυμεῖν ἐπιδοῦναί τι τῶν ἀναγκαίων εἰς σωτηρίαν αὐτῷ. ὁ γὰρ ὅλως νενικηκὼς καὶ ἀποστῆναι δυνάμενος, εἰ μὴ μεθεῖτο τυχὸν ὁ νενικημένος, ἐξουσίαν ὡσπερεὶ διδοὺς τοῦ, εἴπερ ἕλοιτο καὶ ἀπρὶξ ἔχεσθαι τυχὸν, "ἀπόστειλόν με," φησιν. τούτῳ προσεοικὸς εὑρήσομεν τὸ πρὸς Μωσέα παρὰ Θεοῦ σοφῶς τε καὶ οἰκονομικῶς εἰρημένον. ἐβουλεύετο μὲν γὰρ εἰδωλολατροῦντα κατὰ τὴν ἔρημον, μεμοσχοποίηκε γὰρ, ἐξαιτῆσαι δίκας τὸν ἀπόπληκτον Ἰσραήλ. ἐφιεὶς δὲ ὥσπερ τῷ μακαρίῳ Μωϋσῇ, καὶ κατακωλύειν εἰ βούλοιτο τὴν ὀργὴν, καὶ τὰς ὑπὲρ τῶν ἡμαρτηκότων ποιεῖσθαι λιτὰς, "ἔασόν με," φησὶν, "καὶ ἐξολοθρεύσω αὐτοὺς, καὶ ποιήσω σε εἰς "ἔθνος μέγα." ἐπειδὴ δὲ συνῆκε Μωσῆς τῆς θείας ἡμερότητος τὴν οἰκονομίαν, ἐπὶ τὸ κωλύειν ἔρχεται, καὶ φησὶν, "εἰ μὲν ἀφῇς "αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες. εἰ δὲ μὴ, ἐξάλειψον κἀμὲ ἐκ τῆς "βίβλου ταύτης ἧς ἔγραψας." οὐκοῦν κατὰ τοιόνδε τρόπον εἰρήσεται πρὸς Ἰακὼβ τὸ, "ἀπόστειλόν με," παρὰ τοῦ παλαίοντος μετ' αὐτοῦ. ὁ δὲ, τάχα που συνεὶς, τίς ὁ παλαίων ἐστὶ, καὶ ἐν αἰσθήσει γενόμενος τοῦ παντὸς πράγματος, μεταποιεῖται λίαν, καὶ φησὶ, "οὐ μή σε ἀνῶ, ἐὰν μή με εὐλογήσῃς." ηὐλόγηται δὲ, καὶ γέγονεν αὐτῷ τῆς εὐλογίας ὁ τρόπος, ἐξ ὀνόματος τοῦ πρώτου πρὸς ἕτερον μεταβιβασμένος. "οὐ κληθήσεται γὰρ τὸ ὄνομά σου Ἰακώβ. "ἀλλ' Ἰσραὴλ ἔσται τὸ ὄνομά σου." τοῦ μὲν Ἰακὼβ σημαίνοντος τὸν πτερνίζοντα· τουτέστι, τὸν ἀδρανῆ καὶ νηφάλιον εἰς τὸ δύνασθαι κατορθοῦν ἃ δεῖ. τοῦ δὲ Ἰσραὴλ, εἰς νοῦν ὁρῶντα Θεὸν, ἑρμηνευομένου.

Τίς οὖν ὁ λόγος, φέρε δὴ λέγωμεν. βραχὺ τὴν ἀφήγησιν ἀνόπιν

ἀνασειράζοντες. παλαίσας ὁ Ἰακὼβ καὶ νενικημένος, καὶ παθὼν ἐν σκότῳ τὴν νάρκησιν τὴν ἐν τῷ μηρῷ δηλονότι, τὸ λοιπὸν ἀντέχεται τοῦ παλαίοντος ὡς εἰρηνικὸς, διαυγάζοντος ἤδη φωτὸς, καὶ ὄρθρου λοιπὸν γεγονότος. ἐξεβιάζετο δὲ ὥσπερ εἰς εὐλογίας αὐτόν. καὶ δὴ καὶ ηὐλόγηται. μετωνόμασται γὰρ Ἰσραήλ. ἀντεξάγων γὰρ ὥσπερ ὁ Ἰσραὴλ τῷ Ἐμμανουὴλ τὸ ἀπειθὲς καὶ δυσάγωγον, πλὴν ὡς ἐν ἀγνοίᾳ καὶ σκότῳ τῷ τῆς ἀμαθίας φημί· πεπώρωτο γάρ· ἐπέγνω μόλις ἀνίσχοντος καὶ αὐτῷ κατὰ νοῦν τοῦ θείου φωτός. ηὐλόγηταί τε παρὰ Χριστοῦ· κἂν μὴ ἅπας τυχὸν, ἀλλ' οὖν ἐν μοίρᾳ τινὶ τῶν πεπιστευκότων. "γέγονε γὰρ λεῖμμα κατ' "ἐκλογὴν χάριτος τῷ Ἰσραὴλ," κατὰ τὸ γεγραμμένον. καὶ πεπιστεύκασι τῶν Ἰουδαίων, οὐκ ὀλίγοι τὸν ἀριθμόν· καὶ πρόγε τῶν ἄλλων οἱ θεσπέσιοι μαθηταί. οἳ ποτὲ μὲν ἦσαν Ἰακώβ· τὸ ἀδρανὲς ἔχοντες ἐν νόμῳ, καὶ οἱονεὶ πτερνίζοντες, παριππεύοντες γοργῶς, καὶ ὅτι μάλιστα παραιτούμενοι τὸ προσκρούειν Θεῷ. ἄμεμπτοι γὰρ ἦσαν κατὰ τὴν δικαιοσύνην τὴν ἐν νόμῳ. γεγόνασι δὲ μετὰ τοῦτο καὶ Ἰσραήλ. τουτέστι, μετακεχωρήκασιν εἰς νοῦν ὁρῶντα λοιπὸν Θεόν. τὸ γὰρ Χριστὸν εἰδέναι, τίς δὴ ἄρα καὶ πόθεν καὶ ὅπως γέγονε καθ' ἡμᾶς; ἢ ποῖος αὐτῷ τῆς μετὰ σαρκὸς οἰκονομίας ὁ πλοῦτος; τοῦτο εἶναι φημὶ τῆς ἀληθοῦς θεοπτίας εἰσδέξασθαι κατὰ νοῦν τὸ φῶς. οὐκοῦν κἂν εἴτις εἴη ἀληθῶς Ἰακὼβ, τουτέστιν εἰ πτερνίζειν δύναιτο, καὶ διαδιδράσκειν ἀστείως καὶ νεανικῶς, πᾶν ὅπέρ ἐστι παραλύειν εἰδὸς, καὶ καλοῦν εἰς ἁμαρτίαν, προκόψει διὰ Χριστοῦ καὶ εἰς σύνεσιν ἁγιοπρεπῆ· κεκλήσεται δὲ καὶ Ἰσραήλ· τουτέστι, Θεὸν ὁρῶν· τότε δὴ τότε καὶ μετὰ ἀνθρώπων ἔσται δυνατὸς, ἐνισχύσας μετὰ Θεοῦ. οὐ γὰρ νοῦ τὸ ἄναλκι κατηρρωστηκότος, ἔργον ἂν γένοιτο τὸ εἰδέναι Θεὸν, καὶ τὴν ἐπ' αὐτῷ γνῶσιν ἑλεῖν, εἰ καὶ ἐν ἐσόπτρῳ βλέπει καὶ αἰνίγματι. ἀλλὰ τοῦ πρὸς τοῦτο λοιπὸν εὐσεβείας ἐνηνεγμένου, ὡς δι' οὐδενὸς μὲν ποιεῖσθαι λόγου τὰ σαρκικὰ καὶ ἐγκόσμια· γοργῷ δὲ ὥσπερ καὶ ἀκαθέκτῳ φρονήματι διατάττειν δύνασθαι πρὸς τὸ τῷ Θεῷ δοκοῦν. οὕτω τοίνυν Ἰσραὴλ μετονομασθέντος τοῦ Ἰακὼβ, καὶ οἱ ἐξ αὐτοῦ Ἰσραηλῖται λέγονται.

Θεοδωρήτου. "Οἵτινες," φησὶν, "Ἰσραηλῖται εἰσίν." ἦν γὰρ καὶ τοῦτο τὸ ὄνομα μέγα καὶ πολυθρύλλητον. ἐπιτεθὲν μὲν παρὰ τοῦ

Θεοῦ τῷ προπάτορι· καθάπερ δέ τις κλῆρος εἰς τοὺς ἐκγόνους παραπεμφθέν. "ὧν ἡ υἱοθεσία·" "υἱὸς γάρ," φησιν, "πρωτό-"τοκός μου Ἰσραήλ." "καὶ ἡ δόξα·" περιφανεῖς γὰρ ἀπὸ τῶν θαυμάτων ἐγένοντο. "καὶ αἱ διαθῆκαι." οὐ γὰρ μόνον τὴν παλαιὰν, ἀλλὰ καὶ τὴν καινὴν αὐτοῖς ὑπέσχετο δώσειν. "θήσομαι "γὰρ," φησὶν, "τῷ οἴκῳ Ἰσραὴλ διαθήκην καινήν· οὐ κατὰ τὴν "διαθήκην ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν." ἀλλὰ ταύτην αὐτοὶ λαβεῖν οὐκ ἠθέλησαν. "καὶ ἡ νομοθεσία." αὐτοῖς γὰρ τὸν Μωσαϊκὸν ἐδεδώκει νόμον. "καὶ ἡ λατρεία." τῶν γὰρ ἄλλων ἐθνῶν αὐτοὺς προτιμήσας, τὴν νομικὴν ἱερουργίαν ἐδίδαξε. "καὶ αἱ "ἐπαγγελίαι." αἵτε πρὸς τοὺς πατέρας παρὰ τοῦ Θεοῦ γεγενημέναι, καὶ αἱ διὰ τῶν προφητῶν προενηνεγμέναι. "ὧν οἱ πα-"τέρες" οἱ ἀοίδιμοί τε καὶ πολυθρύλλητοι. ὧν Θεὸς ἐχρημάτισεν ὁ Θεός. εἶτα τελευταῖον τέθεικε τὸ μεῖζον τῶν ἀγαθῶν. "καὶ ἐξ "ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα." καὶ ἤρκει μὲν ἡ τοῦ κατὰ σάρκα προσθήκη παραδηλῶσαι τοῦ Χριστοῦ τὴν θεότητα· ὁ δὲ, προστέθεικε τὸ, "ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς "αἰῶνας. ἀμήν." καὶ τῶν φύσεων δεικνὺς τὴν διαφορὰν καὶ τοῦ θρήνου διδάσκων τὸ εὔλογον· ὅτι ἐξ αὐτῶν μὲν κατὰ σάρκα ὁ ἐπὶ πάντων Θεός· αὐτοὶ δὲ τῆς συγγενείας ταύτης ἐξέπεσον.

Χρυσοστόμου. Ἅμα δὲ καὶ ὡς λογισάμενος ἅπερ εἰς αὐτοὺς ὁ Θεὸς ἐνεδείξατο, εἶπεν, "ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας. ἀμήν." τὴν ὑπὲρ πάντων εὐχαριστίαν ἀναφέρων αὐτὸς τῷ μονογενεῖ τοῦ Θεοῦ. εἰ γὰρ καὶ ἕτεροι βλασφημοῦσιν, ἀλλ' ἡμεῖς οἱ τὰ ἀπόρρητα εἰδότες αὐτοῦ, ἴσμεν σαφῶς ὅτι τοῦ δοξάζεσθαι ἄξιος.

Βασιλείου ἐκ τῶν ἀντιρρητικῶν. "Ὁ δὲ ἐπὶ πάντων "Θεὸς" ἐξ ἀνάγκης ὑπερέχων πάντων. ὁ Ἀπόστολος οὖν Θεὸν εἰπὼν τὸν Σωτῆρα, οὐχὶ καὶ τοῦ Πατρὸς εἶπε μείζονα. οὐ γὰρ πρὸς αὐτὸν ἀντιδιέστειλεν· ἀλλὰ πρὸς τοὺς λεγομένους μὲν ψευδῶς θεοὺς, μὴ ὄντας δέ.

Γρηγορίου Νύσσης ἐκ τοῦ κατὰ Εὐνομίου. ιβ' λόγος. Εἰ τοίνυν ἐπὶ πάντων Θεὸς ὁ Σωτὴρ, οἱ ἀποξενοῦντες αὐτὸν τῆς οὐσίας τοῦ Πατρὸς, καὶ κτιστὸν λέγοντες, τί χλευαστικῶς αὐτῷ τὴν ψευδώνυμον κλῆσιν χαρίζονται, τῷ ἀλλοτρίῳ τῆς ἀληθινῆς θεότητος, τὴν Θεὸς φωνὴν μάτην ὥσπερ τοῖς εἰδώλοις. ὥστε ἢ μὴ

δὲ Θεὸν ὁμολογείτωσαν αὐτὸν, οἱ κτιστὸν εἶναι διοριζόμενοι, ἵνα φανῶσιν Ἰουδαΐζοντες. ἢ εἴπερ ὁμολογοῦσι τὸν κτισθέντα εἶναι Θεὸν, εἰδωλολατρεῖν μὴ ἀρνείσθωσαν.

Κυρίλλου ἐκ τῶν Θησαυρῶν. Καὶ εἰ μηδὲν τῶν γεγενημένων
λέλεκταί τε καὶ ἔστιν ἐπὶ πάντων Θεός. ἔστι δὲ ἐπὶ πάντων Θεὸς
ὁ Υἱός. οὐκ ἄρα τῶν γενομένων ἐστίν. εἰ δὲ Θεὸς ἐπὶ πάντων
ὑπάρχων ὁ Υἱὸς, καὶ γενητός ἐστιν· ἔστι δὲ ἐπὶ πάντων Θεός· καὶ
6 ὁ πατὴρ γενητὸς ἔσται κατ᾽ αὐτοὺς, ὅπερ ἀσεβὲς ἐννοεῖν.

7 Οὐχ οἷον δὲ ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ Θεοῦ. οὐ
γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ, οὗτοι Ἰσραήλ. οὐδ᾽ ὅτι εἰσὶ
8 σπέρμα Ἀβραὰμ, πάντες τέκνα, ἀλλ᾽, ἐν Ἰσαὰκ κλη-
θήσεταί σοι σπέρμα. τουτέστιν, οὐ τὰ τέκνα τῆς σαρ-
9 κὸς, ταῦτα τέκνα τοῦ Θεοῦ· ἀλλὰ τὰ τέκνα τῆς ἐπαγ-
γελίας λογίζεται εἰς σπέρμα. ἐπαγγελίας γὰρ ὁ λόγος
οὗτος, κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι, καὶ ἔσται τῇ
Σάρρᾳ υἱός.

Χρυσοστόμου. Ἐμβαίνει λοιπὸν εἰς τὸν παρὰ τῶν πολλῶν ζητούμενον λόγον. καὶ γὰρ ἐζήτουν πολλοὶ, καθάπερ ἔφθην εἰπὼν, τινὸς ἕνεκεν οἱ μὲν δεξάμενοι τὴν ἐπαγγελίαν, ἐξέπεσον. οἱ δὲ μὴ ἀκούσαντες αὐτῆς πώποτε, πρὸ ἐκείνων ἐσώθησαν. ταύτην τοίνυν λύων τὴν ἀπορίαν, πρὸ τῆς ἀντιθέσεως τὴν λύσιν εἰσάγει. ἵνα γὰρ μὴ λέγῃ τίς· τί οὖν σὺ μᾶλλον φροντίζεις τῆς δόξης τοῦ Θεοῦ, ἢ ὁ Θεὸς τῆς ἑαυτοῦ; καὶ τῆς παρὰ σοῦ δεῖται βοηθείας, ἵνα μὴ ἐκπέσῃ ὁ λόγος αὐτοῦ; κἂν μὴ σὺ γένῃ ἀνάθεμα, ἐκπίπτει αὐτοῦ ὁ λόγος; πρὸς ταῦτα πάντα ἱστάμενος φησίν. ταῦτα δὲ πάντα εἶπον, ἵνα δείξω τὸ περὶ Χριστὸν φίλτρον· καὶ γὰρ καὶ οὕτω τῶν πραγμάτων ἐκβάντων, οὐκ ἀποροῦμεν τῶν ὑπὲρ τοῦ Θεοῦ λόγων, φησὶν, καὶ τοῦ δεῖξαι ὅτι ἕστηκεν ἡ ἐπαγγελία ἣν εἶπεν ὁ Θεὸς τῷ Ἀβραάμ· "σοὶ δώσω καὶ τῷ σπέρματί σου·" καὶ "ὅτι ἐν τῷ σπέρματί σου ἐνευλογήσονται πάντα τὰ ἔθνη." ἴδωμεν οὖν ποῖον ἐστὶ τὸ σπέρμα φησίν. οὐ γὰρ πάντες οἱ ἐξ αὐτοῦ, σπέρμα αὐτοῦ εἰσίν. ἂν τοίνυν μάθῃς ποῖον ἐστὶ τοῦ Ἀβραὰμ σπέρμα, ὄψει δοθεῖσαν τὴν ὑπόσχεσιν τῷ σπέρματι αὐτοῦ, καὶ γνώσῃ ὅτι οὐκ ἐξέπεσεν ὁ λόγος. ποῖον οὖν ἐστιν, εἰπὲ, τὸ σπέρμα;

αὐτὴ ἡ ἐπαγγελία ἑαυτὴν ἑρμηνεύει, οὕτω λέγουσα. " ἐν Ἰσαὰκ " κληθήσεταί σοι σπέρμα·" τί ἐστιν " ἐν Ἰσαάκ;" ἑρμήνευσον. τουτέστιν, ὅτι οὐ τὰ τέκνα τῆς σαρκὸς, ταῦτα τέκνα τοῦ Θεοῦ, ἀλλὰ καὶ τὰ τέκνα τῆς ἐπαγγελίας, ταῦτα λογίζεται εἰς σπέρμα. καὶ ὅρα Παύλου σύνεσιν καὶ μεγαλόνοιαν. ἑρμηνεύων γὰρ οὐκ εἶπεν, ὅτι οὐ τὰ τέκνα τῆς σαρκὸς, ταῦτα τέκνα τοῦ Ἁβραάμ· ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας, ταῦτα τέκνα τοῦ Θεοῦ. τῷ παρόντι τὰ παλαιὰ συνάπτων, καὶ δεικνὺς ὅτι οὐδὲ Ἰσαὰκ ἁπλῶς τοῦ Ἁβραὰμ τέκνον ἦν.

Ὃ δὲ λέγει, τοῦτό ἐστιν. ὅσοι κατὰ τὸν Ἰσαὰκ ἐγεννήθησαν· οὗτοι τέκνα τοῦ Θεοῦ εἰσὶ, καὶ σπέρμα τοῦ Ἁβραάμ. διὰ γὰρ τοῦτο εἶπεν, " ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα." ἵνα μάθῃς ὅτι οἱ τῷ τρόπῳ γεννώμενοι τῷ κατὰ τὸν Ἰσαὰκ, οὗτοι μάλιστά εἰσι τὸ σπέρμα τοῦ Ἁβραάμ. πῶς οὖν ὁ Ἰσαὰκ ἐγεννήθη; οὐ κατὰ νόμον φύσεως, οὐδὲ κατὰ δύναμιν σαρκός. ἀλλὰ κατὰ δύναμιν ἐπαγγελίας· " κατὰ τὸν καιρὸν τοῦτον," φησὶν, " ἐλεύσομαι, καὶ ἔσται " τῇ Σάρρα υἱός." αὕτη τοίνυν ἡ ἐπαγγελία, τὰ τέκνα τοῦ Θεοῦ διέπλασέ τε καὶ ἐγέννησε διὰ τῶν τοῦ Θεοῦ ῥημάτων. τί γὰρ εἰ καὶ μήτρα ὑπέκειτο, καὶ νηδὺς γυναικός; οὐ γὰρ ἡ δύναμις τῆς νηδύος, ἀλλὰ τῆς ἐπαγγελίας ἡ ἰσχὺς, ἔτεκε τὸ παιδίον. οὕτω καὶ ἡμεῖς γεννώμεθα διὰ τῶν τοῦ Θεοῦ ῥημάτων. ἐν γὰρ τῇ κολυμβήθρᾳ τῶν ὑδάτων, ῥήματα εἰσὶ τὰ Θεοῦ γεννῶντα ἡμᾶς, καὶ διαπλάττοντα. εἰς γὰρ ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος βαπτιζόμενοι, γεννώμεθα. αὕτη δὲ οὐχὶ φύσεως, ἀλλ' ἐπαγγελίας Θεοῦ ἡ γέννησις. ὥσπερ γὰρ τὴν τοῦ Ἰσαὰκ προσαγορεύσας γέννησιν, τότε αὐτὴν ἐπλήρωσεν· οὕτω καὶ τὴν ἡμετέραν πρὸ πολλῶν προανεφώνησε χρόνων, διὰ τῶν προφητῶν ἁπάντων· καὶ μετὰ ταῦτα εἰς ἔργον ἐξήγαγεν. εἰ δὲ λέγοιεν οἱ Ἰουδαῖοι, ὅτι τὸ " ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα," τοῦτο ἐστὶ, τὸ τοὺς ἐκ τοῦ Ἰσαὰκ γενομένους αὐτῷ λογίζεσθαι εἰς σπέρμα· ἔδει καὶ τοὺς Ἰδουμαίους καὶ πάντας ἐκείνους υἱοὺς αὐτοῦ χρηματίζειν. ὁ γὰρ πρόγονος αὐτῶν Ἡσαῦ, υἱὸς ἦν τοῦ Ἰσαάκ· νῦν δὲ οὐ μόνον οὐ χρηματίζουσι παῖδες, ἀλλὰ καὶ σφόδρα εἰσὶν ἠλλοτριωμένοι. ὁρᾷς ὅτι οὐ τὰ τέκνα τῆς σαρκὸς ταῦτα

τέκνα τοῦ Θεοῦ, ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας; ἀλλὰ καὶ ἐν αὐτῇ τῇ φύσει ἡ διὰ τοῦ βαπτίσματος ἄνωθεν προϋπογέγραπτο γέννησις. εἰ δὲ τὴν μήτραν μοι λέγεις, ἔχω κἀγὼ τὸ ὕδωρ εἰπεῖν. ἀλλ᾽ ὥσπερ ἐνταῦθα τὸ πᾶν τοῦ Πνεύματος, οὕτω κἀκεῖ τὸ πᾶν τῆς ἐπαγγελίας. τοῦ γὰρ ὕδατος ψυχροτέρα ἦν ἡ μήτρα διὰ τὴν στείρωσιν καὶ τὸ γῆρας.

ΘΕΟΔΩΡΗΤΟΥ. *Ἐγὼ μὲν φύσιν οὐκ ἠβουλόμην μόνον, ἀλλὰ καὶ ηὐχόμην ἀλλότριος εἶναι ἀπὸ Χριστοῦ. εἴπερ οἷόν τε ἦν διὰ τῆς ἐμῆς ἀλλοτριώσεως Ἰουδαίους τῶν ἐπηγγελμένων τυχεῖν ἀγαθῶν. ἀλλ᾽ ὅμως καὶ τούτων ἀντιλεγόντων, καὶ τὴν σωτηρίαν οὐ βουλομένων καρπώσασθαι, ἔχουσι τἀληθὲς αἱ πρὸς τοὺς πατέρας ἐπαγγελίαι· πῶς ἔχουσιν; “οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ, οὗτοι Ἰσραήλ.” οὐ γὰρ τῆς φύσεως ὁ Θεὸς, ἀλλὰ τῆς ἀρετῆς ἐπιζητεῖ τὴν συγγένειαν. εἶτα διδάσκει τοῦτο σαφέστερον. οὐδὲ ὅτι εἰσὶ σπέρμα τοῦ Ἀβραὰμ, πάντες τέκνα. τουτέστι Θεοῦ. τοῦτο γὰρ μετὰ βραχέα διδάσκει. “ἀλλ᾽ ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα.” καὶ τεθεικὼς τοῦ Θεοῦ τὴν ὑπόσχεσιν, ἀναπτύσσει ταύτην, καὶ τῇ ἑρμηνείᾳ σαφῆ τὸν λόγον ποιεῖ. καλεῖ δὲ σαρκὸς μὲν τέκνα, τὰ κατὰ τὴν τῆς φύσεως ἀκολουθίαν γεγεννημένα. ἐπαγγελίας δὲ, τὰ κατὰ χάριν παρεσχημένα. τῆς γὰρ φύσεως ἀπειρηκυίας, κατὰ θείαν φιλοτιμίαν ἀπεφάνθη πατήρ. λέγει δὲ τοῦτο, ὅτι καὶ Ἰσμαὴλ τοῦ Ἀβραὰμ ἦν υἱὸς, καὶ πρωτότοκος υἱός. διὰ τί τοίνυν μέγα φρονεῖς, ὦ Ἰουδαῖε, ὡς μόνος σπέρμα τοῦ Ἀβραὰμ προσαγορευόμενος; εἰ δὲ νομίζεις ἐκεῖνον ὡς ἡμίδουλον ἐκβεβλῆσθαι τῆς συγγενείας, οὐκ εἰκότως νομίζεις. ἐκ πατέρων γὰρ, ἀλλ᾽ οὐκ ἐκ μητέρων ἔθος γενεαλογεῖν τῇ θείᾳ γραφῇ. καὶ ἐδύνατο μὲν ὁ θεῖος Ἀπόστολος παραγαγεῖν καὶ τοὺς ἐκ τῆς Χετούρας γεγενημένους, σπέρμα δὲ τοῦ Ἀβραὰμ οὐ καλουμένους. ῥάδιον ἦν αὐτῷ καὶ τοὺς δυοκαίδεκα παῖδας τοῦ Ἰακὼβ, ἐκ διαφόρων δεῖξαι μητέρων γεγεννημένους. καὶ τοὺς τέτταρας ἡμιδούλους, καὶ ὅλους Ἰσραὴλ χρηματίζοντας· καὶ οὐδὲν ἐκ τῆς τῶν μητέρων παραβλαβέντας δουλείας. ἀλλὰ μετὰ φειδοῦς τοὺς ἐλέγχους προσφέρων, τοῦτο μὲν παραλέλοιπεν. ἐκ πολλοῦ δὲ τοῦ περιόντος ἐνίκησε. τεθεικὼς γὰρ τὸ ὑπὸ τοῦ Θεοῦ πρὸς τὸν Ἀβραὰμ εἰρημένον, “ὅτι ἐν Ἰσαὰκ*

“ κληθήσεταί σοι σπέρμα,” δείκνυσιν ὅτι οὐδὲ τὸ τούτου γένος ἅπαν τῆσδε τῆς εὐλογίας μετειληφὸς εὑρίσκεται. τῶν γὰρ τούτου παίδων ὁ μὲν, τὴν εὐλογίαν εἴληφεν· ὁ δὲ, ταύτης διήμαρτεν. ὃ παρακατιὼν δηλοῖ.

Θεοδώρου Μονάχου. Ἐπειδὴ τοίνυν τὰ τοῖς Ἰσραηλίταις ἐπηγγελμένα ἐνέφηνεν, ὅτι εἰς τὰ ἔθνη μετετέθη, ὅπερ ἦν κατηγόρημα τοῦ Θεοῦ, ὡς διαψευσαμένου τὰς ἐπαγγελίας, καὶ μηδὲν δεδωκότος τῷ σπέρματι τοῦ Ἀβραὰμ, δείκνυσιν ὅτι οὐ τοὺς κατὰ σάρκα Ἰσραηλίτας ἐδήλου ἡ γραφὴ, ἀλλὰ τοὺς διὰ τῆς εὐσεβείας δεικνύντας, ὅτι ἄξιοι εἰσὶν Ἰσραηλῖται προσαγορεύεσθαι, καὶ τέκνα τοῦ Ἀβραὰμ, κἂν μὴ ὦσι σπέρμα αὐτοῦ. τῶν γὰρ τοιούτων πατέρα αὐτὸν ἔσεσθαι ὁ Θεὸς ἐπηγγείλατο. εἰπὼν δὲ οὐ “ πάντες οἱ ἐξ Ἰσραὴλ,” ἔδειξεν ὅτι γεγόνασι πιστοὶ καὶ ἐν τῷ Ἰσραήλ· εἰ καὶ ὀλίγοι. διὰ γὰρ τοῦτο μετέστησεν ὁ Θεὸς τὴν χάριν ἐπὶ τὰ ἔθνη, ἐπεὶ οἱ πλείους τοῦ Ἰσραὴλ ἐξέκλιναν. εἰπὼν δὲ “ ἐν Ἰσαὰκ,” δηλοῖ ἐν τρόπῳ τοῦ Ἰσαάκ. τουτέστιν, ἐξ ἐπαγγελίας ὥσπερ ὁ Ἰσαάκ. οὐ γὰρ οἱ ἐκ σαρκὸς Ἀβραὰμ, οὗτοι πάντως τέκνα Θεοῦ, ἀλλ᾽ ἐκεῖνοι εἰσὶ τέκνα Ἀβραὰμ, οἱ δίκαιοι. οὗτοι γάρ εἰσιν οἱ ἐξ ἐπαγγελίας, οὓς κατὰ πρόγνωσιν ἐπηγγείλατο ὁ Θεὸς υἱοὺς τοῦ Ἀβραάμ· οὓς καὶ προεγίνωσκεν ἀξίους ὄντας ἐπιγράφεσθαι πατέρα τὸν Ἀβραάμ. καὶ γὰρ ὁ ἐξ ἐπαγγελίας Ἰσαὰκ γεγονὼς τῷ Ἀβραὰμ, δίκαιος ὤφθη. ὃν εἰδὼς δίκαιον ἔσεσθαι ὁ Θεὸς ἐπηγγείλατο. ὁμοίως δὲ καὶ τοὺς ἐξ ἐθνῶν, προειδὼς τῶν ἐσομένων ἐθνῶν τὴν εὐσέβειαν.

Ὁ οὖν Ἰσαὰκ δι᾽ ἐπαγγελίας δίκαιος ἦν, καὶ τύπος δικαίων. διὸ καὶ τὸν πρωτότοκον αὐτοῦ τὸν Ἰσμαὴλ παρέδραμεν, ὡς μὴ δίκαιον. ἀσφαλῶς οὖν οὐκ εἶπε γενηθήσεταί σοι σπέρμα, ἀλλὰ “ κληθήσεται.” οὐ γὰρ φυσικοὺς υἱοὺς ἐπηγγείλατο, ἀλλὰ κληθησομένους διὰ τὴν τῆς εὐσεβείας πρὸς αὐτὸν οἰκείωσιν. καὶ ἀκόλουθον μὲν ἦν εἰπεῖν, οὐ τὰ τέκνα τῆς σαρκὸς, ταῦτα τέκνα τοῦ Ἀβραάμ· ἀλλ᾽ εἶπε “ τοῦ Θεοῦ,” ἵνα δείξῃ ὅτι τὰ ἄξια τέκνα τοῦ Ἀβραὰμ, ἄξια ἦν καὶ Θεοῦ λέγεσθαι διὰ τὸ τῆς πολιτείας καθαρόν. οἱ μὴ ἄξιοι οὖν τοῦ Ἀβραὰμ, οὐδ᾽ ἂν ὦσιν ἐξ αὐτοῦ, λογισθήσονται εἰς τέκνα. ἀλλ᾽ οἱ τὴν πολιτείαν αὐτοῦ ζηλοῦντες, κἂν μὴ ὦσιν ἐξ αὐτοῦ. ἡ δὲ ὅλη κατασκευὴ τοῦ λόγου,

ὅτι κατὰ πρόγνωσιν ἡ ἐπαγγελία τοῦ Θεοῦ, ἥτις γίνεται κατὰ δικαιοκρισίαν· καὶ ὡς ἐπὶ τοῦ Ἰσαὰκ, οὕτω καὶ ἐπὶ τῶν ἐθνῶν.

10 Οὐ μόνον δὲ, ἀλλὰ καὶ Ῥεβέκκα ἐξ ἑνὸς κοίτην
11 ἔχουσα Ἰσαὰκ τοῦ πατρὸς ἡμῶν. μήπω γὰρ γεννηθέν-
των, μὴ δὲ πραξάντων τί ἀγαθὸν ἢ κακὸν, ἵνα ἡ κατ'
ἐκλογὴν πρόθεσις τοῦ Θεοῦ μένῃ, οὐκ ἐξ ἔργων, ἀλλ'
12 ἐκ τοῦ καλοῦντος, ἐῤῥήθη αὐτῇ, ὁ μείζων δουλεύσει τῷ
13 ἐλάσσονι, καθὼς γέγραπται, τὸν Ἰακὼβ ἠγάπησα, τὸν
δὲ Ἡσαῦ ἐμίσησα.

Χρυσοστόμου. Μέγα τὸ ζητούμενον ἦν. διὸ καὶ πολλαχόθεν ἐπεχείρησε λῦσαι τὴν ἀπορίαν. εἰ γὰρ παράδοξον τὸ μετὰ τοσαύτας ἐπαγγελίας ἐκπεσεῖν ἐκείνους, πολλῷ παραδοξότερον τὸ καὶ ἡμᾶς εἰς τὰ ἐκείνων εἰσελθεῖν ἀγαθὰ, τοὺς μηδὲν προσδοκήσαντας τοιοῦτον. εἰ γὰρ πάντες ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ, πῶς πάντων ἀναξίων ὄντων, τὰ ἔθνη ἐσώθη μόνα; μετὰ δὲ τούτου, καὶ ἕτερον ἄν τις διαποροίη. εἰ γὰρ μὴ ἔμελλεν αὐτοῖς πληροῦν τὰς ὑποσχέσεις ὁ Θεὸς, τίνος ἕνεκεν ὑπισχνεῖτο· ἐπιστάμενος ὅτι ἀναξίους ἑαυτοὺς καταστήσουσι τῶν ὑποσχέσεων, καὶ διὰ τοῦτο οὐδὲν λήψονται τῶν εἰρημένων; πῶς οὖν αὐτὸ ἔλυσεν ὁ Παῦλος; ἀπὸ τοῦ δεῖξαι τίς ἐστιν ὁ Ἰσραὴλ, ᾧ ὑπέσχετο. τούτου γὰρ δειχθέντος, κἀκεῖνο συναποδέδεικται, τὸ πεπληρῶσθαι τὰς ἐπαγγελίας ἁπάσας. διὰ τοῦτο οὐδὲ τὸ τοῦ Ἰακὼβ ὄνομα τέθεικεν· ἀλλὰ τὸ τοῦ Ἰσραήλ. ὅπερ ἄρε τῆς ἦν τοῦ δικαίου, καὶ τῆς ἄνωθεν δωρεᾶς, καὶ τοῦ Θεὸν ἑωρακέναι, σύμβολον. εἰ οὖν πάντες ἥμαρτον, πῶς φησι, "οἱ μὲν, ἐσώθησαν· οἱ δὲ, ἀπώλοντο;" ὅτι μὴ πάντες προσελθεῖν ἠβουλήθησαν. ὡς, τόγε αὐτοῦ μέρος, διεσώθησαν ἅπαντες. καὶ γὰρ ἐκλήθησαν ἅπαντες. ἀλλὰ τέως τοῦτο οὐ τίθησι· ἀλλ' ἐκ περιουσίας αὐτὸ λύει, καὶ ἐκ παραδείγματος ἑτέρου· ἄλλο ζήτημα εἰς μέσον ἀγαγών. καθάπερ καὶ ἐν τοῖς ἔμπροσθεν ἔλυσεν ἀπορίαν μεγίστην, δι' ἀπορίας ἑτέρας.

Ἐπειδὴ γὰρ ἐζητεῖτο πῶς τοῦ Χριστοῦ δικαιωθέντος, πάντες ἀπήλαυσαν οἱ λοιποὶ τῆς δικαιοσύνης ἐκείνης, τὸ τοῦ Ἀδὰμ παρήγαγε λέγων· "εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι θάνατος ἐβασίλευσε, πολλῷ μᾶλλον οἱ τὴν περισσείαν τῆς χάριτος λαβόντες,

ἐν ζωῇ βασιλεύσουσι. καὶ τὸ μὲν τοῦ Ἀδὰμ, οὐ λύει· τὸ δὲ αὐτοῦ λύει ἐκ τούτου. ὅσῳ γὰρ ἐκεῖνο ἀσαφέστερον ἔμενε, τοσούτῳ μᾶλλον ὁ Ἰουδαῖος ἐπεστομίζετο, καὶ ἡ τούτου διαπόρησις καὶ ἐπ' ἐκεῖνο μετέβαινε, καὶ σαφέστερον τοῦτο ἐκείνου ἐγένετο· οὕτω δὴ καὶ ἐνταῦθα διὰ ἀπορουμένων ἑτέρων λύει τὰ ζητούμενα. πρὸς γὰρ Ἰουδαίους ὁ ἀγὼν ἦν αὐτῷ. διά τοι τοῦτο τὰ μὲν παραδείγματα ἅπερ ἤγαγεν εἰς μέσον, οὐ σφόδρα λύει. οὐ γὰρ ἦν ὑπεύθυνος ἐν τούτοις, ὡς ἐν τῇ πρὸς Ἰουδαίους μάχῃ. τὰ δὲ ἑαυτοῦ πάντα ἐξ ἐκείνου ποιεῖ σαφέστερα· τί θαυμάζεις φησί. ὅτι τῶν Ἰουδαίων οἱ μὲν, ἐσώθησαν· οἱ δὲ, οὐκ ἐσώθησαν νῦν; καὶ γὰρ καὶ ἐπὶ τῶν πατριαρχῶν τοῦτο γινόμενον ἴδοι τίς ἄν. διατί γὰρ ὁ Ἰσαὰκ σπέρμα καλεῖται μόνος; καί τοι γε καὶ τοῦ Ἰσμαὴλ αὐτὸς ἦν πατὴρ, καὶ ἑτέρων πολλῶν. ἀλλὰ ἀπὸ δούλης ἦν μητρὸς φησί. καὶ τί τοῦτο πρὸς τόν γε γεγεννηκότα; πλὴν οὐδὲν φιλονεικῶ. ἐκβεβλήσθω διὰ τὴν μητέρα οὗτος. τί ἂν ἄρα εἴποιμι περὶ τῶν ἀπὸ τῆς Χεττούρας; οὐχὶ ἐλεύθεροι, καὶ ἐξ ἐλευθέρας; διὰ τί μὴ τοῖς αὐτοῖς ἐτιμήθησαν τῷ Ἰσαάκ; καὶ τί λέγω τούτους; ἡ γὰρ Ῥεβέκκα μόνη τῷ Ἰσαὰκ ἐγένετο γυνή· καὶ δύο τεκοῦσα παῖδας, ἐκ τοῦ Ἰσαὰκ ἔτεκεν ἀμφοτέρους. ἀλλ' ὅμως οἱ τεχθέντες τοῦ αὐτοῦ πατρὸς ὄντες, τῆς αὐτῆς μητρὸς, τὰς αὐτὰς λύσαντες ὠδῖνας, καὶ πρὸς τούτοις καὶ δίδυμοι ὄντες, οὐ τῶν αὐτῶν ἀπήλαυσαν. ὡς ἐπὶ σαφέστερον οὖν ἐλθὼν παράδειγμα, οὐ μόνον δὲ ἐπὶ τοῦ Ἰσαὰκ τοῦτο συνέβη φησὶν, "ἀλλὰ καὶ Ῥεβέκκα ἐξ ἑνὸς "κοίτην ἔχουσα" καὶ τὰ ἑξῆς.

Τίνος οὖν ἕνεκεν ὁ μὲν ἐμισεῖτο τῶν αὐτῆς παίδων, ὁ δὲ ἐφιλεῖτο; διὰ τί ὁ μὲν ἐδούλευεν, ὁ δὲ ἐδουλεύετο; ἐπειδὴ ὁ μὲν, πονηρός· ὁ δὲ, ἀγαθὸς ἦν. καί τοι μηδέπω γεννηθέντων, ὁ μὲν, ἐτιμᾶτο, ὁ δὲ, κατεδικάζετο· οὔπω γὰρ γεννηθέντων, ὁ Θεὸς εἶπεν· "ὁ μείζων δουλεύσει τῷ ἐλάττονι." τίνος οὖν ἕνεκεν τοῦτο εἶπεν; ὅτι οὐκ ἀναμένει καθάπερ ἄνθρωπος, ἀπὸ τοῦ τέλους τῶν πράξεων, ἰδεῖν τὸν ἀγαθὸν καὶ τὸν οὐ τοιοῦτον· ἀλλὰ καὶ πρὸ τούτων οἶδε. καὶ τοῦτο ἐπὶ τῶν Ἰσραηλιτῶν γέγονε μετὰ πλείονος τοῦ θαύματος. τί γὰρ λέγω φησὶν, περὶ τοῦ Ἡσαῦ καὶ περὶ τοῦ Ἰακώβ; ὧν ὁ μὲν, πονηρὸς ἦν, ὁ δὲ ἀγαθός. ἐπὶ γὰρ τῶν Ἰσραηλιτῶν, κοινὸν τὸ ἁμάρτημα ἦν. πάντες γὰρ τὸν μόσχον προσεκύνησαν. ἀλλ' ὅμως

οἱ μὲν, ἠλεήθησαν, οἱ δὲ, οὐκ ἠλεήθησαν· "ἐλεήσω γάρ," φησιν, "ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω." τοῦτο καὶ ἐπὶ τῶν κολαζομένων ἴδοι τίς ἄν. τί γὰρ ἂν εἴποις περὶ τοῦ Φαραὼ, ὅτι ἐκολάσθη οὕτως; ὅτι σκληρὸς ἦν καὶ ἀπειθής; ἀλλ' ἦσαν καὶ ἕτεροι τοιοῦτοι· πῶς οὖν οὗτος, οὕτω σφοδρῶς ἐκολάζετο; τί δή ποτε καὶ ἐπὶ τῶν Ἰουδαίων, τὸν οὐ λαὸν, ἐκάλεσε λαόν· καὶ πάλιν οὐ πάντας τῆς αὐτῆς ἠξίωσε τιμῆς; ἐὰν γὰρ ὦσι, φησὶν, ὡσεὶ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται. ὁρᾳς ὅσης ἀπορίας ἐνέπλησε τὰ κείμενα;

Εἰπέ μοι φησὶν, ὦ Ἰουδαῖε, τούτων οὐδὲν λύσαι δυνάμενος, πῶς ὑπὲρ τῆς τῶν ἐθνῶν κλήσεως ἡμῖν πράγματα παρέχεις; καί τοι γε ἔχω ἐγὼ καὶ δικαίαν αἰτίαν εἰπεῖν, δι' ἣν τὰ ἔθνη ἐδικαιώθη, ὑμεῖς δὲ ἐξεπέσετε. τίς οὖν ἡ αἰτία; ὅτι οἱ μὲν, ἐκ πίστεως· ὑμεῖς δὲ ὡς ἐξ ἔργων νόμου. καὶ ταύτῃ φιλονεικήσαντες, προεδόθητε πάντες. "ἀγνοοῦντες γὰρ τὴν τοῦ Θεοῦ δικαιοσύνην," φησὶ, "καὶ τὴν ἰδίαν "δικαιοσύνην στῆσαι ζητοῦντες, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπε"τάγησαν." ἡ μὲν οὖν λύσις τοῦ χωρίου παντὸς, ὡς ἐν κεφαλαίῳ εἰπεῖν τὸ πᾶν, οὕτω προάγεται παρὰ τῆς μακαρίας ψυχῆς ἐκείνης. ἵνα δὲ καὶ σαφέστερα ταῦτα γένηται, καὶ καθ' ἕκαστον τῶν εἰρημένων ποιησώμεθα τὴν ἐξέτασιν· ἐκεῖνο εἰδότες, ὅτι τὸ σπουδαζόμενον τῷ Παύλῳ τοῦτο ἦν· δεῖξαι διὰ πάντων, ὅτι τοὺς ἀξίους ὁ Θεὸς οἶδε μόνος· ἀνθρώπων δὲ οὐδὲ εἷς. καὶ οὐκ ἀναμένει ἀπὸ τῆς τῶν πράξεων ἐκβάσεως ἰδεῖν τὸν ἀγαθὸν καὶ τὸν οὐ τοιοῦτον, ἀλλὰ καὶ προλαμβάνων, τὸν μὲν, εὐεργετεῖ, τὸν δὲ, κολάζει. πλὴν ἐπ' αὐτὰ τὰ ἀποστολικὰ ῥήματα ἴωμεν. "οὐ μόνον δὲ, ἀλλὰ καὶ Ῥε"βέκκα ἐξ ἑνὸς κοίτην ἔχουσα." ἠδυνάμην γάρ, φησὶν, εἰπεῖν καὶ τοὺς ἀπὸ τῆς Χεττούρας· ἀλλ' οὐ λέγω. ἀλλ' ὥστε ἐκ περιουσίας τὴν νίκην ἄρασθαι, τοὺς ἐξ ἑνὸς πατρὸς καὶ μίας τεχθέντας μητρὸς, εἰς μέσον ἀγάγω.

Καὶ γὰρ ἀπὸ τῆς Ῥεβέκκας ἦσαν ἀμφότεροι, καὶ ἀπὸ τοῦ Ἰσαὰκ τοῦ γνησίου παιδὸς, τοῦ δοκίμου, περὶ οὗ ἔφησεν, "ἐν "Ἰσαὰκ κληθήσεταί σοι σπέρμα·" τοῦ πατρὸς ἡμῶν πάντων γενομένου. εἰ δὲ πατὴρ ἡμῶν ἐκεῖνος, καὶ τοὺς ἐξ ἐκείνου πατέρας εἶναι ἔδει. ἀλλ' οὐκ ἐγένοντο. εἶδες πῶς πανταχοῦ πίστις καὶ ἀρετή ἐστιν ἡ διαλάμπουσα, καὶ τὴν ἀκριβῆ συγγένειαν χαρακ-

τηρίζουσα· καὶ οὐχ ὁ τρόπος τῆς γεννήσεως. εἰ γὰρ τοῦτο ἦν, ἔδει καὶ τὸν Ἡσαῦ ἀπολαῦσαι τῶν αὐτῶν τῷ Ἰακώβ. καὶ οὐ λέγει, ὅτι ἐπειδὴ ὁ μὲν, ἀγαθὸς, ὁ δὲ, πονηρὸς, διὰ τοῦτο προετιμήθη. ἵνα μὴ εὐθέως ἀντιπέσῃ αὐτῷ τοῦτο. τί οὖν ἀγαθοὶ οἱ ἐξ ἐθνῶν μᾶλλον ἢ οἱ ἐκ περιτομῆς; εἰ γὰρ καὶ οὕτως εἶχεν ἡ τοῦ πράγματος ἀλήθεια· ἀλλ᾽ οὔπω αὐτὸ τίθησι. καὶ γὰρ ἐδόκει φορτικώτερον εἶναι. ἀλλ᾽ ἐπὶ τὴν τοῦ Θεοῦ γνῶσιν τὸ πᾶν ἐπέρριψεν. ἥτινι μάχεσθαι οὐδεὶς ἂν ἐτόλμησε. μήπω γὰρ γεννηθέντος, φησὶν, “ἐρρέθη αὐτῇ, ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι.” καὶ δείκνυσιν ὅτι οὐδὲ ἡ κατὰ σάρκα εὐγένεια ὠφελεῖ, ἀλλὰ ψυχῆς ἀρετὴν δεῖ ζητεῖν. ἣν καὶ πρὸ τῶν ἔργων ὁ Θεὸς οἶδε. “μήπω γὰρ γεννηθέντων,” φησὶν, “μὴ δὲ πραξάντων τί ἀγαθὸν ἢ κακὸν, ἵν᾽ ἡ κατ᾽ ἐκλογὴν πρόθεσις τοῦ Θεοῦ μένῃ, ἐρρέθη αὐτῇ, ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι.” τοῦτο γὰρ προγνώσεως, τὸ καὶ ἐξ ὠδίνων αὐτῶν ἐκλέγεσθαι.

Ἵνα οὖν φανῇ τοῦ Θεοῦ ἡ ἐκλογὴ, ἡ κατὰ πρόγνωσιν γενομένη, ἐκ πρώτης ἡμέρας τὸν ἀγαθὸν καὶ τὸν οὐ τοιοῦτον, καὶ εἶδε καὶ ἀνεκήρυξε. μὴ τοίνυν μοι λέγε, φησὶν, ὅτι νόμον ἀνέγνως καὶ προφήτας, καὶ τοσοῦτον ἐδουλεύσας χρόνον. ὁ γὰρ εἰδὼς ψυχὴν δοκιμάζειν, οὗτος οἶδε καὶ τίς ἄξιος ἐστὶ σωθῆναι. παραχώρει τοίνυν τῷ ἀκαταλήπτῳ τῆς ἐκλογῆς[u]. οἶδε γὰρ ἐκεῖνος μετὰ ἀκριβείας πάντα ποιεῖν. διὸ καὶ ἔλεγε, “τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἡσαῦ ἐμίσησα.” ὅτι γὰρ δικαίως, σὺ μὲν ἀπὸ τοῦ τέλους ἔγνως. αὐτὸς δὲ καὶ πρὸ τοῦ τέλους ᾔδει σαφῶς. οὐδὲ γὰρ ἑτέρων ἐπίδειξιν ζητεῖ μόνον ὁ Θεὸς, ἀλλὰ καὶ προαιρέσεως εὐγένειαν, καὶ γνώμην εὐγνώμονα. ὁ γὰρ τοιοῦτος, κἂν ὑπὸ περιστάσεως ποτὲ ἁμάρτῃ τινὸς, ταχέως ἑαυτὸν ἀνακτήσεται. κἂν ἐν κακίᾳ διατρίβων τύχῃ, οὐ περιοφθήσεται· ἀλλὰ ταχέως αὐτὸν ἀνιμήσεται ὁ πάντα εἰδὼς Θεός.

Κυρίλλου ἐκ τῶν εἰς τὴν Γένεσιν. Σὺ δέ μοι σκόπει κατὰ καιρὸν ἐνταῦθα παραληφθεῖσαν τὴν Ῥεβέκκαν, τύπον οὖσαν τῆς τῷ Χριστῷ νυμφευθείσης ἐκκλησίας. ὡς γὰρ ὁ Ἀβραὰμ οὐκ ἠξίωσεν ἐκ τῶν θυγατέρων Χαναὰν, ἁρμόσαι γυναῖκα τῷ ἠγαπη-

[u] I. m. a m. rec. multa hic desunt.

μένῳ, φημὶ τῷ Ἰσαάκ. ἀλλ' εἰς τὴν τῶν εἰδωλολατρούντων χώραν τὸν γνήσιον οἰκέτην ἀποτρέχειν ἐκέλευε, φροντιοῦντα γυναικὸς τῆς ὅτι μάλιστα πρεπωδεστάτης αὐτῷ, οὕτω καὶ ὁ Θεὸς καὶ Πατὴρ, οὐκ ἠθέλησε τὴν τῶν Ἰουδαίων συναγωγὴν νοητῶς συνάψαι Χριστῷ ὡς ἐν Ἰσαὰκ σημείῳ. ὀψιγενὴς γὰρ ὁ Ἰσαὰκ καὶ ἀγαπητός. πέφηνε δὲ καὶ ἐν ἐσχάτοις καιροῖς ὁ Χριστός· καὶ ἔστιν ἠγαπημένος, τέρψις τὲ καὶ ἀγαλλίαμα· ἑρμηνεύεται γὰρ οὕτως ὁ Ἰσαάκ. ὅτι δὲ οἱ Χαναναναῖοι τύπος ἂν νοοῖντο τῶν ἐξ Ἰσραὴλ, σαφὲς ἂν γένοιτο καὶ μάλα ῥαδίως ἀπόγε τῆς τοῦ ὀνόματος ἑρμηνείας. Χαναναναῖοι γὰρ ἕτοιμοι πρὸς ταπείνωσιν. μᾶλλον δὲ ἤδη καὶ εἴκειν πλὴν δὲ τοῖς Ἰουδαίοις. τεταπείνωνται γὰρ τῆς ἐν Χριστῷ δόξης ὠλισθηκότες, καὶ εἰς πᾶν ὁτιοῦν τῶν ἐκτόπων κατερρηγμένοι. οὐκοῦν οὐκ ἐκ Χαναὰν, ἀλλ' ἐκ μέσης τῶν ποταμῶν τῷ Ἰσαὰκ ἡ νύμφη.

Ὥσπερ γὰρ ἔφην, οὐκ ἐξ Ἰουδαίων, ἀλλ' ἐξ ἐθνῶν ἡ συνηρμοσμένη τῷ Υἱῷ πνευματικῶς ἐκκλησία, πλὴν διὰ βουλῆς τοῦ Πατρὸς, μεσολαβούντων οἰκετῶν ὅτι μάλιστα πιστῶν καὶ γνησίων. ἵνα νοῶμεν τοὺς μαθητάς· οἳ καὶ ταμίαι γεγόνασι καὶ οἰκονόμοι μυστηρίων Θεοῦ. μόνον δὲ οὐχὶ καὶ ἐν χερσὶν ἔχοντες πάντα τὰ ἐν τῷ οἴκῳ αὐτοῦ. οὗτοι καταλιπόντες τὴν Ἰουδαίαν, καθάπερ ἀμέλει καὶ ὁ τοῦ Ἀβραὰμ οἰκέτης τὴν Χαναναίαν, εἰς τὴν τῶν εἰδωλολατρούντων χώραν κατέβαινον. ἄνω θέμενοι τρόπον τινὰ τὰ ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς ἀγαθά. καὶ πλήρη μὲν ἔχοντες τὸν νοῦν σοφίας τῆς ἄνωθεν, ἐπίμεστοι δὲ χαρισμάτων τῶν διὰ τοῦ Πνεύματος. ἐπιτήρει δὲ, ὅτι καὶ ἀνώνυμος ὁ οἰκέτης τῷ Ἀβραάμ. ἵνα κατὰ παντὸς φέρηται μαθητοῦ πιστοῦ τὲ καὶ δεδοκιμασμένου τῆς διακονίας ὁ τύπος. καὶ κατέλυσε μὲν ἐκεῖνος πρὸς τῷ φρέατι τοῦ ὕδατος πρὸς ἑσπέραν. παρεκάλει δὲ δι' εὐχῆς Θεὸν γενέσθαι συλλήπτορα, καὶ ἐφ' ὕδατι δοκιμάζειν τὴν παρθένον ἤθελεν.

Ἐπεφοίτησαν δὲ καὶ οἱ μακάριοι μαθηταὶ, καθάπερ ἔφην ἀρτίως, ταῖς τῶν ἐθνῶν χώραις, τὸ πρὸς ἑσπέραν. τουτέστιν, ἐν ἐσχάτοις ὄντος τοῦ αἰῶνος καιροῖς. καὶ παρ' ὕδασι, τὴν νοητὴν ἐδοκίμαζον παρθένον. ἐπιτηδειοτάτη γὰρ λίαν ἡ ἐκκλησία, καὶ εὐρώστως ἔχουσα, πρός γε τὸ δύνασθαι φημὶ τὸν ζωοποιὸν ἀρύσασθαι λόγον ἐκ τῶν πηγῶν τοῦ σωτηρίου κατὰ τὸ γεγραμμένον. ἔχει δὲ καὶ

οὐκ ἀνικάνως τὸ γεννητικὸν εἰς νοῦ καὶ φρενῶν ἐπιτηδειότητα, πρὸς τὸ καὶ ἑτέραις δύνασθαι χορηγεῖν τὰ τελοῦντα πρὸς ζωήν. ἐπότιζε γὰρ ἡ Ῥεβέκκα αὐτόν τε καὶ τοὺς οἰκέτας καὶ τὰς καμήλους. καὶ ὁ μὲν οἰκέτης τύπος ἂν νοοῖτο νῦν τῶν ἐξ Ἰσραήλ. ἄνθρωποι γὰρ οἱ νόμον ἔχοντες ἤδη παιδαγωγὸν, καὶ ὡς ἐν σκιαῖς μὲν ἔτι τὸ Χριστοῦ μυστήριον. πλὴν οὐκ ἀπαιδαγώγητοι παντελῶς. κτηνῶν δὲ ἀλόγων οὐδὲν διαφέροντες οἱ ἐξ ἐθνῶν· οἳ καὶ ταῖς καμήλοις παρεικάζοντο ἂν εἰκότως. ἀνίερον γὰρ κατὰ νόμους τὸ ζῶον. τοιοίδε πάντες οἱ μήπω Θεὸν εἰδότες, τὸν φύσει τε καὶ ἀληθῆ. ἱκανωτάτη δὴ οὖν κατάρδειν ἡ ἐκκλησία τοῖς ἱεροῖς τε καὶ θείοις νάμασι τούς τε ἐξ Ἰουδαίων ἥκοντας, ἐπὶ τὸ δεῖν ἑλέσθαι τὴν εἰς Χριστὸν ἀγάπην, καὶ τοὺς ἐξ ἐθνῶν κεκλημένους. ἐπειδὴ δὲ νῦν οἱ μαθηταὶ τοιαύτην τεθέανται τὴν παρθένον. ψελλίοις τε αὐτὴν κατηγλαΐζον εὐθύς· καὶ μέντοι τὸν ἐν ὠσὶ προσετίθεσαν κόσμον. τουτέστι λαμπρὰν ἐπετέλουν καὶ εὐπρεπεστάτην τοῖς εἰς εὐηκοΐαν αὐχήμασι. κεκοσμημένη γὰρ ἀκοὴ παραδηλώσειεν ἂν τὸ εὐήκοον. περιφανῆ δὲ ὥσπερ ὁρᾶσθαι παρεσκεύαζον, καὶ τοῖς ἐξ ἔργων ἤτοι χειρῶν κατορθώμασι. τουτὶ γὰρ οἶμαί ἐστι τὸ καὶ αὐταῖς ἐνιέναι χερσὶ τὰ ψέλλια. καὶ ὁ μὲν οἰκέτης ὁ τοῦ Ἀβραὰμ, ἀφηγεῖτο τοῖς ἐν Χαρρὰν τοῦ ἰδίου δεσπότου τὸν πλοῦτον. καὶ ὅτι μόνον ἕνα καὶ ἠγαπημένον ἔχει τὸν κληρονόμον. μεμυσταγωγήκασι γὰρ τὰ ἔθνη καὶ οἱ θεσπέσιοι μαθηταὶ, τὸν τοῦ Θεοῦ καὶ Πατρὸς ἀνακηρύττοντες πλοῦτον, τὴν ἐλπίδα, τὴν ζωὴν, τὸν ἁγιασμόν. ὡς εἷς δέ ἐστι καὶ μονος κατὰ φύσιν Υἱὸς καὶ ἀληθῶς ὁ Χριστὸς, ὃς καὶ τῶν ὅλων τέθειται κληρονόμος, ἀπήγγελλον ἐναργῶς. καὶ ἠρωτᾶτο μὲν ἡ παρθένος εἰ συμβαδιεῖται τῷ οἰκέτῃ προθύμως. ἡ δὲ, κατένευεν εὐθύς. ἑτοιμοτάτη γὰρ λίαν ἡ ἐξ ἐθνῶν ἐκκλησία. μονονουχὶ δὲ καὶ θερμὴ πρὸς τὴν ἀγάπην Χριστοῦ. καὶ μαρτυρήσει λέγων ὁ Δαβὶδ περὶ τῆς ἐξ ἐθνῶν ἀγέλης, "τῇ ἑτοιμασίᾳ τῆς "καρδίας αὐτῶν προέσχε τὸ οὖς σου." ἐπειδὴ δὲ συνήφθη λοιπὸν Ἰσαὰκ τῇ Ῥεβέκκᾳ, παρεκλήθη φησὶν περὶ τῆς μητρὸς αὐτοῦ. πάρεστι δὴ οὖν καὶ διὰ τοῦδε νοεῖν, ὅτι λελύπηται μὲν ὁ Χριστὸς, μονονουχὶ τεθνεώσης τῇ ἀπιστίᾳ τῆς Ἰουδαίων συναγωγῆς. ἐξ ἧς καὶ αὐτὸς κατὰ σάρκα γεγέννηται. ἐπειδὴ δὲ γέγονε νυμφίος τῆς

ἐξ ἐθνῶν ἐκκλησίας, κατέληξε τρόπον τινὰ τῆς ἐπέκεινα λοιπὸν κατηφείας. εἴρηται γάρ που διὰ φωνῆς προφητῶν πρὸς τὴν ἐκκλησίαν, "καὶ ἔσται ὃν τρόπον εὐφρανθήσεται νυμφίος ἐπὶ νύμφῃ, "οὕτως εὐφρανθήσεται Κύριος ἐπὶ σοί."

Κυρίλλου. Ἀλλὰ ταῦτα μὲν οὕτως. ἰστέον μέντοι, ὡς ἐν τῷ, "οὐ μόνον δὲ, ἀλλὰ καὶ Ῥεβέκκα," συμπεπέρασται μὲν οὐδαμῶς ὁ τοῦ λόγου σκοπός. ἀπήρτηται δὲ μᾶλλον· καὶ δεῖται βραχείας τινὸς ἐπαγωγῆς, ἤγουν τῶν προσυπακουομένων· ἵνα μὴ σκάζων ὁρῷτο. ἔστι δὲ ὅ φημι τοιοῦτον. προαπέδειξε μὲν γὰρ ὡς ἀπὸ τοῦ δεδόσθαι τῷ Ἀβραὰμ ἐξ ἐπαγγελίας τὸν Ἰσαὰκ, ὅτι μὴ πάντως τὰ τέκνα τῆς σαρκὸς ταῦτα αὐτῷ καταλογισθεῖεν ἂν καὶ εἰς σπέρμα. πρέποι δ' ἂν τὸ χρηματίζειν αὐτὸν πατέρα τῶν ἐκ πίστεως καὶ ἐπαγγελίας. εἶτα δέχεται τὴν Ῥεβέκκαν, καὶ τὰ ἐπ' αὐτῇ γεγονότα, καὶ φησὶν, "οὐ μόνον δέ." τουτέστιν, οὐ μέχρι δὲ μόνης τῆς Ἰσαὰκ γεννήσεως ὁ ἐμὸς ἀφίξεται λόγος. "ἀλλὰ γὰρ "καὶ Ῥεβέκκα ἐξ ἑνὸς κοίτην ἔχουσα Ἰσαὰκ τοῦ πατρὸς ἡμῶν." καὶ ἣν ἀναγκαῖον προσεπενεγκεῖν, συμπαραληφθήσεται τυχὸν πρὸς ἀπόδειξιν καὶ πληροφορίαν· ἢ γοῦν ἔσται πρὸς ὑποτύπωσιν καὶ εἰκονισμὸν τῆς κατ' ἐκλογὴν τὲ καὶ πρόγνωσιν κλήσεώς τε καὶ χάριτος. ἐπενηνεγμένου γὰρ τοιούτου τινὸς, ἔδοξεν ἂν τότε ἀρτίως αὐτῷ πεποιῆσθαι ὁ λόγος. ἀλλ' οὐκ οἶδα πῶς τοῦτο παρεὶς, ἐπ' αὐτὰ κεχώρηκεν εὐθὺς, τὰ ἐπὶ τῇ γεννήσει τῶν ἐξ Ἰσαὰκ εἰρημένα καὶ πεπραγμένα.

Θεοδώρου Μονάχου. Περὶ δὲ τοῦ, "ἡ κατ' ἐκλογὴν πρόθεσις," ἰδίωμα γραφικὸν ἔφη τίς ἐκ τῆς Ἑβραΐδος. ἤτοι τῆς κατ' αὐτὴν ἑρμηνείας συμβάν. τὸ τινὰ μὲν ὕπερ καταλέγειν. τινὰ δὲ καὶ πρωθύστερα καὶ ἀντιστρόφως τιθέναι· πολλὴν δὲ καὶ τούτων τὴν χρῆσιν, οὐ μόνον ἐπὶ τῆς παλαιᾶς, ἀλλὰ καὶ ἐπὶ τῆς καινῆς διαθήκης. ὁ γὰρ Ἀπόστολος μνησθεὶς τοῦτε Ἡσαῦ καὶ τοῦ Ἰακὼβ, οὕτω φησίν· "ἵνα ἡ κατ' ἐκλογὴν πρόθεσις τοῦ Θεοῦ μένῃ· "ἀντὶ τοῦ, ἡ κατὰ πρόθεσιν ἐκείνων ἐκλογή. οὐ γὰρ κατὰ τὴν οἰκείαν πρόθεσιν ὁ Θεὸς, τὸν μὲν, ἐξελέξατο· τὸν δὲ, ἀπώσατο. ἀμφοτέρους γὰρ τό γε ἐπ' αὐτῷ, ἐβούλετο εἶναι καλούς. ἀλλὰ κατὰ ἑκατέρου τούτων πρόθεσιν τὴν ἐκλογὴν ἐποιήσατο. τὸν μὲν, ἀγα-

πήσας, διὰ τὴν ἀρετὴν τῆς αὐτοῦ προθέσεως· τὸν δὲ, μισήσας, διὰ τὴν κακίαν τῆς γνώμης. ἀφ᾽ ὧν δῆλον, ὅτι τὴν κατὰ πρόθεσιν ἐκλογὴν, καὶ οὐ τὴν κατ᾽ ἐκλογὴν πρόθεσιν, βούλεται ὁ Ἀπόστολος λέγειν.

Ἀκακίου. Ἕτερος δὲ "πρόθεσιν," τὴν προτίμησιν ἐνταῦθα λέγει. διὰ τὸ προτεθεῖσθαι τὸν Ἰακὼβ τοῦ Ἡσαῦ, οὐκ ἐξ ἔργων, ἀλλ᾽ ἐκ τοῦ καλοῦντος.

Φωτίου. Ἢ πρόθεσιν εἰπὼν, τοῦ Θεοῦ τὴν βουλὴν ἐδήλωσεν· εἰπὼν δὲ "κατ᾽ ἐκλογὴν," ἔδειξεν ὅτι καὶ διέφερον ἀλλήλων. οὐδεὶς γὰρ ἐκλέγεται ἕτερον ἀφ᾽ ἑτέρου, εἰ μήτι αὐτοῦ διαλλάσσει. εἰπὼν δὲ "οὐκ ἐξ ἔργων," παρέδειξε τὸ μέγεθος τῆς κλήσεως καὶ τῆς χάριτος αὐτοῦ· ὅτι καὶ μηδὲν πραξάντων, ἐκλέγεται καὶ προσκαλεῖται. ἀλλ᾽ εἰ μηδὲν πραξάντων ἐκλέγεται, πῶς ἐκλέγεται; ἡ μὲν γὰρ ἐκλογὴ ἐπὶ τῶν κατά τι γίνεται διαφερόντων, οἱ δὲ μηδὲν πράξαντες, τί διαφέρουσι; καὶ πάνυ. ἀνθρωπίνοις μὲν γὰρ ὀφθαλμοῖς ἐπεὶ οὐδὲν ἔπραξαν, οὐδὲ διαφέρουσι. θείᾳ δὲ προγνώσει τοῦ μέλλοντος, πολὺ διαφέρουσι. καὶ γὰρ ὁ μὲν, εὐηρέστησε τῷ Θεῷ· ὁ δὲ, οὐκέτι.

Κυρίλλου ἐκ τῶν εἰς τὴν Γένεσιν. Ὅτι δὲ τύπος ἦσαν τῶν δύο λαῶν τὰ κατὰ τὸν Ἰακὼβ καὶ Ἡσαῦ, φέρε λέγωμεν. ὁ μὲν Ἰσαὰκ εἰς εἰκόνα καὶ τύπον τέθειται τοῦ Χριστοῦ. διηρμηνεύεται γὰρ ἡ τοιάδε κλῆσις ἀγαλλίαμα καὶ χαρά. ἀγαλλίαμα δὲ, τὸν Χριστὸν καὶ ὁ θεσπέσιος Δαβὶδ ὠνόμαζε, λέγων ὡς ἐκ προσώπου τῶν δεδιψηκότων τὴν δι᾽ αὐτοῦ σωτηρίαν, "τὸ ἀγαλλίαμά "μου λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με." διενηξάμεθα γὰρ ὡς ἐν Χριστῷ τὰς τῶν φονώντων ἐπαναστάσεις· καὶ πεπατήκαμεν ἐν αὐτῷ σκορπίους καὶ ἔχεις οἱ πεπιστευκότες. ὅτι δὲ ἀγαλλίαμα Χριστὸς παρὰ ταῖς θείαις γραφαῖς ὀνομάζεται, καὶ προφητικὸς ἡμᾶς ἀναπείσει λόγος. ἔχει γὰρ ὧδε. "καὶ ἀνατέλει Κύριος δι- "καιοσύνην, καὶ ἀγαλλίαμα ἐναντίον πάντων τῶν ἐθνῶν." γέγονε γὰρ ὁ Ἐμμανουὴλ, οὐχὶ μόνοις τοῖς ἐξ ἐθνῶν, ἀλλὰ καὶ τοῖς ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἔθνεσί τε καὶ λαοῖς, δικαιοσύνη καὶ ἀγαλλίαμα. δεδικαιώμεθα γὰρ ἐν αὐτῷ· καὶ τὴν ἐκ τῆς ἀρχαίας ἀρᾶς διεκρουσάμεθα δυσθυμίαν. μετημφιέσμεθα γὰρ ὥσπερ εὐφροσύνην καὶ χαρὰν, θανάτου καὶ ἁμαρτίας ἀπηλλαγμένοι. καὶ τί γάρ;

οὐχὶ τῶν ἄνωθεν καὶ παρὰ Θεοῦ καταπλουτήσαντες ἀγαθῶν; τοι γάρ τοι δοξολογεῖν δεδιδάγμεθα λέγοντες, "ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ. ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα "εὐφροσύνης περιέθηκέ μοι." ὅτι δὲ οὗτος ἐστὶν ὁ τῆς εὐφροσύνης χιτὼν, σαφηνιεῖ λέγων ὁ σοφώτατος Παῦλος, "ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε." "ἐνδύσασθέ τε αὖθις "τὸν Κύριον Ἰησοῦν Χριστὸν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίαν."

Ἀγαλλίαμα τοίνυν Ἰσαὰκ ὁ ἐν τύπῳ Χριστοῦ τοῖς προκειμένοις ἡμῖν θεωρήμασι χρειωδέστατα παρειλημμένος. τούτου γέγονε Ῥεβέκκα γυνή. διερμηνεύοιτο δ' ἂν καὶ αὕτη πλείστη τὲ καὶ ὅση ὑπομονή. ἀλλὰ καὶ τὸ τῆσδε πρόσωπον εἰς τὴν ἐκκλησίαν παραληψόμεθα, νοοῦντες ὀρθῶς. ἧς τὸ εὐδόκιμον, ἐν ὑπομονῇ. καὶ γοῦν τοῖς ταύτης τέκνοις, ὡς ἐν πίστει φημὶ καὶ πνεύματι, σωτηρίας ὁδὸς πέφηνεν ἡ ὑπομονή. ἱεροὶ γὰρ αὐτοῖς προσπεφωνήκασι λόγοι. ποτὲ μὲν, "ὅτι ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν." ποτὲ δ' αὖ, "ὑπομονῆς γὰρ ἔχετε χρείαν. ἵνα τὸ θέλημα τοῦ "Θεοῦ ποιήσαντες, κομίσησθε τὰς ἐπαγγελίας." ὅρα τοίνυν τὴν Ῥεβέκκαν ὀψὲ καὶ μόλις ὠδίνουσαν· στεῖρα γὰρ ἦν. ἀποτεκοῦσαν δ' οὖν ὅμως ἐκ φιλοτιμίας Θεοῦ, καὶ ἐξ αἰτήσεως Ἰσαὰκ, τόν τε Ἡσαῦ πρωτότοκον, καὶ εὐθὺς κατόπιν ἰόντα τὸν Ἰακώβ. δι' ὧν εὖ μάλα ἐξεικονισθεῖεν ἂν οἱ δύο λαοί. ὅ τε ἐξ Ἰσραὴλ, καὶ μέντοι καὶ ὁ ἐξ ἐθνῶν λαός. καὶ πρωτότοκος μὲν ὁ Ἰσραήλ. κέκληται γὰρ διὰ νόμου. δεύτερος δὲ καὶ μετ' ἐκεῖνον, ὁ ἐν πίστει διὰ Χριστοῦ.

Ἴδοι δ' ἄν τις τῶν δύο λαῶν τὴν ὡς ἐν γνώμῃ καὶ τρόποις διαφορὰν, καὶ ἐξ αὐτῶν οἶμαί που τῶν ὀνομάτων, ἃ ἦν ἐπ' ἀμφοῖν· καὶ ἐκ τῆς τῶν σωμάτων ἰδέας ἤτοι κατασκευῆς. ὁ μὲν γὰρ Ἡσαῦ διερμηνεύεται δρῦς. τουτέστιν, ἀπηνής τε καὶ ἀκαμπής. εἴρηται δέ που πρὸς τὸν Ἰσραὴλ παρὰ Θεοῦ, "γινώσκω ἐγὼ ὅτι σκληρὸς "εἶ, καὶ νεῦρον σιδηροῦν ὁ τράχηλός σου· καὶ τὸ μέτωπόν σου "χαλκοῦν." πτερνιστὴς δὲ ὁ Ἰακώβ· τουτέστι, τεχνίτης· ἤτοι νικᾶν εἰδώς. πτερνιεῖ γάρ τις ὃν ἂν ἡττήσῃ. νικᾷ δὲ δὴ πάντως, οὐχ ὁ ἐν νόμῳ λαὸς, ἀλλ' ὁ ἐν Χριστῷ· διὰ πίστεως καὶ τὰ ἐκ τῆς ἁμαρτίας διαδραμὼν ἐγκλήματα· καὶ αὐτὸ καταμβλύνων τοῦ

θανάτου τὸ κέντρον. καὶ ὁ μὲν Ἡσαῦ πυρράκης ἦν ὅλος. γέγραπται γὰρ οὕτως, καὶ ὡσεὶ δορρὰ δασύς. ἀνὴρ δὲ λεῖος Ἰακώβ. αἴνιγμα δὴ οὖν πυρρότης, θυμοῦ καὶ ὀργῆς. εἴπέρ ἐστιν ἀληθὲς ὡς ἐρυθρόν πως ἀεὶ τὸ χρῶμα τοῖς ἐν ὀργαῖς. θηριοπρεπὲς δὲ ὅτι τὸ δασὺ τὲ καὶ λασιότριχες, πῶς ἂν ἐνδοιάσειέ τις; κατίδοι δ' ἂν οἶμαι πᾶς ὁστισοῦν ἐν τούτοις ὄντα τοῖς τρόποις τὸν Ἰσραήλ· καὶ θυμῷ μὲν μᾶλλον ἢ λογισμῷ τὰ καθήκοντα διοικούμενον· ἀπονενευκότα δὲ λίαν εἰς τὸ θρασὺ καὶ ἀνήμερον. τοι γάρ τοι καὶ ἀπεκτόνασι μὲν ἁγίους προφήτας· δεδυσσεβήκασι δὲ καὶ εἰς αὐτὸν ἐν ἐσχάτοις τὸν Ἐμμανουήλ. ἡ δέ γε λειότης, ἀνθρωποπρεποῦς ἰδέας, μήνυσις ἐναργής. ἤπιος δὲ λίαν, καὶ πολὺ ἤδη βλέπων ἐπὶ τὸ ἥμερον ὁ νέος τὲ καὶ ἐν πίστει λαός. ἡ γὰρ τοῦ σώματος λειότης, εἰς παράδειξιν ἔσται σαφῆ τοῦ νοητοῦ τὲ καὶ ἔσωθεν κάλλους. καθάπερ ἀμέλει καὶ ἀγριότητος ἐν Ἡσαῦ σημεῖον εἶναι δεδώκαμεν, τὸ δασύ τε καὶ ἐρυθρόν.

Πλὴν ἀμφοῖν μήτηρ μία, ἡ Ῥεβέκκα. παρέστησε δ' ἑαυτῷ τὴν ἐκκλησίαν ὁ Κύριος Ἰησοῦς Χριστὸς παρθένον ἁγνὴν, ὑπηρετοῦσαν ὥσπερ εἰς ἀναγέννησιν τὴν πνευματικὴν τῶν δύο λαῶν. ὅσον γὰρ ἧκεν εἰς τὸν τῆς ἐπιδημίας σκοπὸν, ἔκτισεν αὐτοὺς εἰς ἕνα καινὸν ἄνθρωπον· ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάσσων τοὺς ἀμφοτέρους ἐν ἑνὶ πνεύματι, κατὰ τὸ γεγραμμένον. ἀλλ' ἦν ἐξήνιος ὁ Ἰσραὴλ, καὶ ἀσύμφωνος τῷ νέῳ λαῷ· ὁ κατὰ χρόνον πρεσβύτερος. δηλοῖ γὰρ οἶμαι τουτὶ τὸ καὶ ἐν αὐτῇ τῇ νηδύι ἀνασκιρτᾶν τὰ βρέφη, τὴν ἐσομένην ὥσπερ ἔχθραν ὑποσημαίνοντα. ὅτι δὲ ἀμείνων ὁ νεὸς ἔσται, καὶ ἐν εὐκλείᾳ τῇ προφερεστέρᾳ παρὰ τὸν Ἰσραὴλ τὸν πρωτότοκον, κατεσήμαινεν εὐθὺς ὁ πάντα εἰδὼς, αὐτῷ λέγων, ὅτι λαὸς λαοῦ ὑπερέξει· "καὶ ὁ μείζων δουλεύσει τῷ "ἐλάσσονι." προεκηρύττετο μὲν γὰρ τὸ ἐπ' ἀμφοῖν μυστήριον διὰ φωνῆς ἁγίων. καὶ ὅτι κατόπιν ἥξει τῶν ἐθνῶν ὁ Ἰσραὴλ, πολυτρόπως ἡμῖν προαπηγγέλλετο. Θεοῦ δὲ τὸ χρῆμα καὶ ἐν αὐτῷ τῷ τόκῳ δεικνύοντος. προεξέπιπτε μὲν τῆς νηδύος ὁ Ἡσαῦ· εἵπετο δὲ ὁ Ἰακώβ. καὶ ὅτι πτερνιεῖ καὶ νικήσει τὸν ἀδελφὸν, διὰ τοῦ τῆς πτέρνης ἐπειλῆφθαι καταδείκνυσι.

Καὶ ταυτὶ μὲν εἰρήσθω πρὸς τὸ παρὸν, τοῦ λόγου τὰς ἀφορμάς. ἀπό τε τῆς τῶν σωμάτων ἰδέας καὶ αὐτοῦ τοῦ τόκου, λαμ-

βάνοντος. καὶ δι' ἑτέρων δὲ οὐδὲν ἧττον ἰόντες ἐννοιῶν, φέρε λέγωμεν ὡς ἔνι τὰ ἐπ' ἀμφοῖν. μήνυσις γὰρ ἔσται τῆς ἑκατέρου γνώμης, καὶ αὐτὸς ὁ τοῦ βίου τρόπος.

Ὁ μὲν γὰρ Ἡσαῦ τὰς ἐν ἀγροῖς τὲ καὶ θήραις ἠγάπα διατριβάς. ὁ δὲ, ἦν ἀστικός. εὐπρόσιτος δηλονότι καὶ κοινωνικός. καὶ ἀνὴρ ἄπλαστος, οἰκῶν οἰκίαν. καὶ ὁ μὲν, ἀκάθεκτος εἰς ἐπιθυμίας σαρκικάς· καὶ τῶν ἄγαν εὐτελεστάτων τὰ κάλλιστα τῶν οἰκείων γερῶν κατόπιν ὥσπερ ἱείς· καὶ τὰ ψυχρὰ τὲ καὶ ἕωλα τῶν ἀναγκαίων ἀντωνούμενος. ὁ δὲ, τῶν ἀρίστων ἄπλητος ἐραστής· καὶ τὰ δι' ὧν ἂν γένοιτο λαμπρὸς, πανταχόθεν ἀναζητῶν. ἐξεπρίατο γὰρ τὰ πρωτοτοκία παραρριπτοῦντος αὐτὰ τοῦ Ἡσαῦ· καὶ τὸν τῆς γαστρὸς κόρον, τῶν ἰδίων ἀξιωμάτων ἀτημελῶς προτετιμηκότος. ταύτῃ λοιπὸν ἐκλήθη τὸ ὄνομα αὐτοῦ, Ἐδώμ. τουτέστι, γήϊνος. γηΐνου γὰρ ἀληθῶς καὶ χαμαλωτάτου φρονήματος ἔλεγχος ἀληθὴς, τὸ ἀλογῆσαι μὲν δόξης τῆς ἐνούσης αὐτῷ, καὶ τὰ τῆς γενέσεως πρεσβεῖα παρ' οὐδὲν ποιεῖσθαι παντελῶς. ἀνθέλεσθαι δὲ μᾶλλον ὡς ἀμείνω καὶ προφερεστέραν τὴν πρόσκαιρον ἡδονὴν, κἂν εἰ πολλὴν ἔχοι τὴν ζημίαν.

Τοί γαρ τοι καὶ ὁ θεσπέσιος Παῦλος, πόρνον τὲ καὶ βέβηλον τὸν οὕτως αἰσχρῶς διαβιοῦν ἠρημένον, εἰκότως ἀποκαλεῖ. τύπον ὥσπέρ τινα τῶν εἰς τοῦτο φαυλότητος κατωλισθηκότων παρατιθεὶς τὸν Ἡσαῦ· λέγων, "μή τις πόρνος ἢ βέβηλος, ὡς Ἡσαῦ. ὃς ἀντὶ "βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκα αὐτοῦ." οὐκοῦν τοῖς τῶν νεανίσκων τρόποις ἀντιπαρεξάγοντες ἀκριβῶς, καὶ τῆς Ἰουδαϊκῆς πολιτείας τὸν σκοπὸν, καὶ τῆς ἐξ ἐθνῶν πληθύος τὸ εἰλικρινὲς καὶ ἐλεύθερον, τὰ εἰκότα λέγωμεν. ἦν μὲν γὰρ ὁ Ἰσραὴλ ἄγροικος τὸν νοῦν, καὶ γεωδεστέραν τὴν φρένα· γαῦρος τὲ καὶ φιλοπόλεμος, καὶ πολὺ λίαν ἐπτοημένος εἰς μιαιφονίας, κατὰ τὸν ἄγροικον τὲ καὶ θηριοκτόνον Ἡσαῦ. καὶ γοῦν προφητικὸς μὲν αὐτοῖς ἐγκαλεῖ λόγος, ὅτι παγίδας ἔστησαν διαφθεῖραι ἄνδρας. αὐτὸς δὲ ὁ Χριστὸς ἐπηρᾶτο λέγων, "ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθορὰν παγίδος "αὐτῶν· μάτην ὠνείδισαν τὴν ψυχήν μου. ἐλθέτω αὐτοῖς παγὶς "ἣν οὐ γινώσκουσι· καὶ ἡ θήρα ἣν ἔκρυψαν συλλαβέτω αὐτούς." πεπόμφασι γάρ τινας τῶν Φαρισαίων μετὰ τῶν καλουμένων Ἡρωδιανῶν, δασμολόγοι δὲ οὗτοι, πειράζοντές τε καὶ λέγοντες, "εἰ

"ἔξεστι δοῦναι φόρους Καίσαρι ἢ οὔ;" θηρευτὴς οὖν καὶ ὁ Ἰσραήλ. ὁ δὲ γενναῖος καὶ ἐν πίστει λαὸς, κατὰ τὸν θεσπέσιον Ἰακὼβ, ἀστεῖος καὶ φιλέστιος· πρᾷος καὶ καθεστηκώς· ἁπλοῦς καὶ ἀκάκουργος, οἰκῶν οἰκίαν. τῶν ἐν πίστει δεδικαιωμένων ἡ πραοτάτη πληθὺς πόλιν ὥσπέρ τινα λαμπρὰν καὶ εὐνομουμένην ἀπεγράψατο τὴν ἐκκλησίαν. καὶ οἶκον ἐρηρεισμένον τοῖς πειράζουσιν ἀκατάσειστον, τὴν ἐν Χριστῷ πολιτείαν καὶ ζωὴν ἐχαρίσατο. καὶ ἁπλοῦς μὲν αὐτοῖς ὁ νοῦς, καὶ δυστροπίας πάσης ἀπηλλαγμένος. ἀπηχθημένον δὲ σφόδρα ποιοῦντα τὸ ὡς ἐν γνώμῃ τὲ καὶ τρόποις πεπλάσθαι δοκεῖν. καὶ περὶ αὐτῶν οἶμαί που λέγειν τὸν θεσπέσιον Δαβὶδ, "Κύριος κατοικίζει μονοτρόπους ἐν οἴκῳ." μονότροπος γὰρ, ὁ ἁπλοῦς ἐν Χριστῷ, ὃς καὶ ἐν οἴκῳ κατοικίζει. καί τοι τῷ Ἰσραὴλ ἐπιφωνοῦντος τινὸς τῶν ἁγίων προφητῶν, "ταῖς πολυοδίαις σου ἐκοπίασας." οὐκοῦν ἐναυλίζονται μὲν οἱ ἐν Χριστῷ, καθάπερ εἰς οἶκον, τὴν ἐν ὁσιότητι καὶ ἁγιασμῷ πολιτείαν καὶ ζωήν. αὐτοὶ δὲ τὸ χρῆμα ταῖς σφῶν κεφαλαῖς οἷά τινα στέφανον ἀναπλέκοντες ἁλοῖεν ἄν. καὶ μὴν καὶ εὐημερίας καταλογιζόμενοι τρόπον. ταύτῃ τοι φασὶ, "ὅτι ηὐφράνθην ἐπὶ τοῖς "εἰρηκόσι μοι, εἰς οἶκον Κυρίου πορευσόμεθα."

14 Τί οὖν ἐροῦμεν; μὴ ἀδικία παρὰ τῷ Θεῷ; μὴ γέ-
15 νοιτο. τῷ γὰρ Μωϋσῇ λέγει, Ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ
16 οἰκτειρήσω ὃν ἂν οἰκτείρω. ἄρα οὖν αὐτοῦ θέλοντος,
17 οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ. λέγει
γὰρ ἡ γραφὴ τῷ Φαραὼ, ὅτι εἰς τοῦτο ἐξήγειρά σε,
ἵνα ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου, καὶ ὅπως διαγ-
18 γελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ. ἄρα οὖν ὃν ἂν θέλῃ
19 ἐλεεῖ· ὃν δὲ θέλει, σκληρύνει. ἐρεῖς οὖν μοι, τί ἔτι μέμ-
20 φεται; τῷ γὰρ θελήματι αὐτοῦ τίς ἀνθέστηκε; μενοῦν
γε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ;
μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, τί με ἐποίησας οὕτως;
21 ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ, ἐκ τοῦ αὐτοῦ
φυράματος ποιῆσαι, ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς
ἀτιμίαν;

Χρυσοστόμου. Ὥσπερ φησὶν ἐπὶ τοῦ Ἡσαῦ καὶ τοῦ Ἰακὼβ,

οὐκ ἔχει τις εἰπεῖν ἀδικίαν τὸ γεγονὸς, οὕτως οὐδὲ ἐφ' ἡμῶν καὶ τῶν Ἰουδαίων. εἶτα ἐπάγει ἕτερον τούτου σαφέστερον. ποῖον δὴ τοῦτο; τῷ γὰρ Μωϋσῇ λελάληκεν ὁ Θεὸς, "ἐλεήσω ὃν ἂν ἐλεῶ, "καὶ οἰκτειρήσω, ὃν ἂν οἰκτείρω." καὶ πάλιν αὔξει τὴν ἀντίθεσιν. διὰ μέσου διακόπτων αὐτὴν καὶ λύων, καὶ ἑτέραν πάλιν ἀπορίαν ποιῶν. ἵνα δὲ σαφέστερον γένηται τὸ λεγόμενον, ἑρμηνεῦσαι αὐτὸ ἀναγκαῖον. εἶπε, φησὶν, ὁ Θεὸς, ὅτι μείζων δουλεύσει πρὸ τῆς ὠδῖνος[x]· τί οὖν; μὴ ἄδικος ὁ Θεός; μὴ γένοιτο. οὐκοῦν ἄκουε καὶ τῶν ἑξῆς. ἐκεῖ μὲν γὰρ, κἂν ἡ ἀρετὴ, καὶ ἡ κακία διέκρινεν, ἐνταῦθα δὲ ἓν τὸ ἁμάρτημα πάντων ἦν Ἰουδαίων, τὸ τῆς μοσχοποιΐας. καὶ ὅμως, οἱ μὲν, ἐκολάσθησαν· οἱ δὲ, οὔ. διὸ καὶ ἔλεγεν, "ἐλεήσω ὃν ἂν ἐλεῶ." οὐ γὰρ σόν ἐστιν, εἰδέναι, φησὶ, ὦ Μωϋσῆ, τίνες ἄξιοι φιλανθρωπίας. ἐμοὶ παραχώρει τούτου. εἰ δὲ Μωϋσέος οὐκ ἦν εἰδέναι, πολλῷ μᾶλλον ἡμῶν. διὰ γὰρ τοῦτο οὐδὲ ἁπλῶς τέθεικε τὸ εἰρημένον, ἀλλὰ καὶ πρὸς τίνα εἶπεν, ἐμνημόνευσε. τῷ γὰρ Μωϋσῇ φησιν λέγει. ἵνα καὶ τῷ ἀξιώματι τοῦ προσώπου τὸν ἀντιλέγοντα ἐντρέψῃ. εἰπὼν τοίνυν τὴν λύσιν τῶν ἀπορουμένων, διὰ μέσου διακόπτει, πάλιν ἑτέραν ἀντίθεσιν εἰσάγων, καὶ λέγων. "ἄρα "οὖν οὐ τοῦ τρέχοντος, οὐδὲ τοῦ θέλοντος, ἀλλὰ τοῦ εὐδοκοῦντος "Θεοῦ· λέγει γὰρ ἡ γραφὴ τῷ Φαραὼ, ὅτι εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε. ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου. καὶ ὅπως "διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ." ὥσπερ γὰρ ἐκεῖ, φησιν, οἱ μὲν, ἐσώθησαν. οἱ δὲ, ἐκολάσθησαν. οὕτω καὶ ἐνταῦθα, οὗτος εἰς αὐτὸ τοῦτο ἐτηρεῖτο. εἶτα πάλιν ἀντίθεσιν ἐπάγει. "ἄρα οὖν "ὃν ἂν θέλῃ ἐλεεῖ. ὃν δὲ θέλει σκληρύνει. ἐρεῖς οὖν μοί, τι ἔτι "μέμφεται; τῷ γὰρ βουλήματι τοῦ Θεοῦ τίς ἀνθέστηκεν;"

Ὁρᾷς πῶς ἐσπούδασεν αὐτὸ ποιῆσαι διὰ πάντων ἄπορον. καὶ οὐδὲ τὴν λύσιν εὐθέως ἐπάγει. συμφερόντως τοῦτο ποιῶν. ἀλλ' ἐπιστομίζει πρῶτα τὸν ζητοῦντα, λέγων οὕτως. "μενοῦν γε, ὦ "ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ;" ποιεῖ δὲ τοῦτο, τὴν ἄκαιρον περιεργίαν ἀναστέλλων· καὶ παιδεύων εἰδέναι, τί μὲν Θεὸς, τί δὲ ἄνθρωπος. καὶ πῶς ἀκατάληπτος αὐτοῦ ἡ πρόνοια, καὶ πῶς ἅπαντα αὐτῷ πείθεσθαι δεῖ. καὶ ὅταν τοῦτο κατασκευάσῃ

[x] τῷ ἐλάσσονι a m. rec. superscript.

παρὰ τῷ ἀκροατῇ· καὶ καταλεάνῃ αὐτοῦ τὴν γνώμην, τότε μετὰ πολλῆς εὐκολίας ἐπάγων τὴν λύσιν, εὐπαράδεκτον αὐτῷ ποιήσει τὸ λεγόμενον. καὶ οὐ λέγει ὅτι ἀδύνατον τὰ τοιαῦτα λύειν, ἀλλ' ὅτι παράνομον τὰ τοιαῦτα ζητεῖν. δεῖ γὰρ πείθεσθαι τοῖς ὑπὸ τοῦ Θεοῦ γινομένοις, καὶ μὴ περιεργάζεσθαι, κἂν τὸν λόγον αὐτῶν ἀγνοῶμεν. διὸ φησίν· "σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ;" εἶδες πῶς ἐξηυτέλισε· πῶς κατήνεγκε τὸ φύσημα; σὺ τίς εἶ; κοινωνὸς εἶ τῆς ἀρχῆς; ἀλλὰ δικαστὴς ἐκάθισας τῷ Θεῷ. πρὸς γὰρ τὴν ἐκείνου σύγκρισιν, οὐδὲ εἶναί τι δύνασαι· οὐ τόδε ἢ τόδε, ἀλλ' οὐδὲ εἶναί τι. τοῦ γὰρ εἰπεῖν οὐδὲν εἶ, πολὺ τὸ εἰπεῖν τίς οὐδαμινώτερον. καὶ ἄλλως πλείονα τὴν ἀγανάκτησιν ἐνδείκνυται τῇ ἐρωτήσει. καὶ οὐκ εἶπε, σὺ τίς εἶ, ὁ ἀποκρινόμενος τῷ Θεῷ; ἀλλ' "ὁ ἀνταποκρινόμενος." τουτέστιν, ὁ ἀντιλέγων, ὁ ἐναντιούμενος. τὸ γὰρ εἰπεῖν ὅτι οὕτως ἔδει, καὶ οὐχ οὕτως ἔδει, ἀνταποκρινομένου ἐστίν.

Κυρίλλου. Ἐπειδὴ τοίνυν εἰκὸς ἦν τῶν φιλεγκλημόνων οἴεσθαι τινὰς ῥοπῆς θελημάτων ἀβασανίστου τυχὸν τοῦ Ἰακὼβ καὶ τοῦ Ἡσαῦ· καὶ τὸν μὲν, ἠγαπῆσθαι, ἰδίᾳ χάριτι κατανεύοντος τοῦ Θεοῦ, τὸν δὲ, μισεῖσθαι, προαναιρῶν ἀναγκαίως ὁ Ἀπόστολος, ὡς ὀλέθριον τὴν ἐπὶ τούτῳ διάληψιν, ταῖς ἄνωθεν ψήφοις πειρᾶται συνηγορεῖν, τοῖς αὐτοῦ λόγοις τὸ ἀντιφέρεσθαι δοκοῦν οἱονεί πως ἀνθιστάς. εἰ γὰρ δή, φησι, καὶ πρίν τι δράσαι τὰ βρέφη, ὁ μὲν, τῆς ἀγάπης ἠξίωται, ὁ δὲ, μεμίσηται, τέτακτο δὲ καὶ εἰς δοῦλον τῷ ἐλάσσονι, τάχα που καὶ ἄδικος ὁ Θεός. εἶτα πῶς, φησιν, τοῦτο οὐκ ἀπόπληκτον; εἰ μὲν γὰρ οὐ γέγονεν ἀνὴρ ἀγαθὸς ὁ Ἰακὼβ, εἰ μὴ πονηρὸς ὁ Ἡσαῦ, φαίη τίς ἂν εἰκότως πεπλανῆσθαι τάχα που τὴν πρόγνωσιν· καὶ ῥοπῆς εἰκαίας, καὶ θελημάτων οὐκ ἀσφαλῶν ἔργον γενέσθαι, τὰ ἐπ' ἀμφοῖν ὡρισμένα. ἐπειδὴ δὲ σκαιὸς μὲν λίαν ἦν ὁ Ἡσαῦ, σοφὸς δὲ ὁ Ἰακὼβ, ἀδικήσειεν ἂν ἡ τοῦ Θεοῦ πρόγνωσις τὸ σύμπαν οὐ χαριζομένη καὶ πρὸ καιροῦ, τῷ μὲν ἀγαθῷ τοὺς τρόπους, τὸ ἀγαπᾶσθαι, τῷ δὲ μὴ τοιούτῳ, τὸ κατακρίνεσθαι. ἀνεξικακῆσαι μὲν γὰρ τὸν Θεὸν, καὶ τὸν τῶν δρωμένων περιμεῖναι καιρὸν, χαλεπὸν οὐδέν. ἵνα ἐξ αὐτῶν ἑκάτερος διαφαίνοιτο τῶν πραγμάτων.

Ἐπειδὴ δὲ ἦν ἀναγκαῖον τῆς κατ' ἐκλογὴν χάριτος, καὶ τῆς ἐν προγνώσει δωρεᾶς προανατυποῦσθαι τὸ μυστήριον, ταύτῃ τοι χρησίμως ὁ τῶν τοιούτων ἡμῖν ἀριστοτέχνης Θεὸς, μονονουχὶ καὶ ἐπεδράττετο τοῦ καιροῦ, καὶ ἐν τῇ τῶν παίδων γενέσει πεπληροφόρηκε τὸν Ἰσαάκ. ὡς εἷς τὲ καὶ μόνος ὑπάρχων ἐξ Ἀβραὰμ, ἀναριθμήτων ἔσται πατὴρ ἐθνῶν τῶν ἐξ ἐπαγγελίας, ὡς καὶ ἐν πίστει κληρωθησομένων. εἰ δὲ δὴ κατὰ γνῶσιν, οὓς ἂν ἕλοιτο τυχὸν, μᾶλλον δὲ καὶ οἷς ἂν εἰκότως τὸ ἐλεεῖσθαι πρέποι, οἰκτείρει· ἔφη γάρ που πρὸς Μωσέα, "καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω," πῶς οὐχ ἁπάσης διαβολῆς τυχὸν ἐκτὸς ἔσται τὸ χρῆμα; προαναθρήσας δὲ οἶμαι σαφῶς ὁ Ἀπόστολος, ὡς τάχα που οἰήσονται τινὲς νεύμασι τοῖς θείοις, τοὺς μὲν, εἶναι ἀγαθοὺς, τοὺς δὲ, ἀπειθεῖς, ἀναγκαίως αὐτὸς ἀνθυποφέρει τὰ ἐκ τῆς ἐκείνων ἀμαθίας, καὶ φησὶν, "ἄρα "οὖν οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος "Θεοῦ." εἰ γὰρ μεμίσηται μὲν ὁ Ἡσαῦ, καὶ πρίν τι δράσαι τῶν φαύλων· τετίμηται δὲ καὶ πρὸ τῆς εἰς τὸ εἶναι παρόδου ὁ Ἰακώβ. ἐλεεῖ δὲ πάλιν οὓς ἐλεεῖ, πῶς οὐκ ἐκεῖνο λοιπὸν περινοεῖν ἄξιον, ὡς οὐδὲν ὀνίνησιν ὁ τρέχων ἢ θέλων; τουτέστιν, ὁ δράσαι τί τῶν ἀγαθῶν προθυμούμενος. ἀπήρτηται δὲ πάντα τὰ καθ' ἡμᾶς τῶν παρὰ Θεοῦ νευμάτων. εἶτα τούτοις ἐπισωρεύει καὶ τὰ προσεμπεδοῦν δυνάμενα τὴν ἐπὶ τῷδε δόξαν· καὶ φησὶν, "λέγει γὰρ ἡ γραφὴ τῷ Φαραὼ, ὅτι εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε. ὅπως ἐνδείξω-"μαι ἐν σοὶ τὴν δύναμίν μου." προσεπάγει δὲ τούτοις τὸ οἱονεὶ συμπέρασμα τοῦ παντὸς προβλήματος, καὶ φησίν. "ἄρα οὖν ὃν "ἂν θέλῃ ἐλεεῖ, ὃν δὲ θέλει σκληρύνει. ἐρεῖς οὖν μοι τί ἔτι "μέμφεται; τῷ γὰρ βουλήματι αὐτοῦ, τίς ἀνθέστηκε;"

Τίς οὖν ἄρα γέγονεν αὐτῷ τῆς ἀπολογίας ὁ τρόπος; ἀσυμφανὴς μὲν λίαν, καὶ τοῖς παρ' ἐκείνων προβλήμασι τάχα που καὶ ἐπαμύνειν δοκῶν. πλὴν ἀποχρῶν εἰς πληροφορίαν, ὡς οὐκ ἂν γένοιτό τι τῶν ἔξω λόγου τοῦ πρέποντος παρὰ Θεοῦ. διανέμει γὰρ ἑκάστῳ τὸ πρέπον αὐτῷ. κατοικτείρει γὰρ καὶ ἐλεεῖ τοὺς οἷς ἂν ἁρμόσῃ τὸ ἐλεεῖσθαι δεῖν. ὑποφέρει δὲ δίκαις οὐκ εὐθὺς καὶ κατὰ πόδας τῶν αἰτιαμάτων τὰς τιμωρίας· προλαβούσης μᾶλλον μακρᾶς ἀνεξικακίας. ὡς οἴεσθαί που τινὰς καὶ ἀφειδῆσαι μᾶλλον τῶν ἐπὶ

γῆς τὸν Θεόν. ἀντεξάγει δὴ οὖν ὁ Παῦλος, καὶ τοῖς ἐκεῖνα λέγουσιν ἀντανίσταται· τοῦ λόγου τὴν δύναμιν ἐπαφεὶς τῷ προσώπῳ τῶν παρενηνεγμένων, Ἡσαῦ φημὶ καὶ Φαραώ. ἔφη τοίνυν ὡς πρὸς ἑκάτερον τῶν ὠνομασμένων, "ὦ ἄνθρωπε, μενοῦνγε σὺ τίς εἶ ὁ "ἀνταποκρινόμενος τῷ Θεῷ; μὴ, ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, "τί με ἐποίησας οὕτως;" ἀποφαίνει μὲν γὰρ ὡς ἐκ παραδείγματος ἐναργοῦς, ὅτι παγχάλεπον τὸ θείοις κρίμασιν ἐπιτιμᾷν. εἰ γὰρ δή τις ἕλοιτο τὰ εἰκότα φρονεῖν, ἀναδήσει μὲν τῷ πάντα εἰδότι Θεῷ τό γε κρίνειν ἕκαστα, καθ' ὃν αὐτὸς εἰδείη τρόπον. ἐνδοιάσει δὲ κατ' οὐδὲν ὡς ἔστιν ὅσιον, ὅπερ ἂν ἕλοιτο δρᾷν, διαπλάττων ἐπ' ἐξουσίας τὰ ἐφ' ἑκάστου τυχόν. οὐκοῦν αἰτιᾶται λίαν τοὺς τοῖς θείοις νεύμασιν ἐνιέντας ὅλως τὸν βασανίζοντα νοῦν, πότερα καλῶς ἢ οὐχ οὕτως ἔχει· ἔδει γάρ φησιν ἀπομιμεῖσθαι μᾶλλον αὐτοὺς τὸ διὰ χειρὸς κεραμέως πλαττόμενον, καὶ μετὰ σιγῆς ὑπομένειν τὰ παρὰ Θεοῦ. οὐ γὰρ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, τί με ἐποίησας οὕτως;

Ἀλλ' ἴσως καὶ πρός γε τοῦτο τινὲς ἐκεῖνο φασίν· εἰ κεραμέως δίκην καθ' ὃν ἂν βούλοιτο τρόπον διαπλάττει Θεὸς, ὡς τὸ μὲν, εἰς τιμὴν ποιῆσαι σκεῦος. τὸ δὲ, εἰς ἀτιμίαν· πῶς οὐχ ἁπαστισοῦν ἀναπείθει λόγος, τὸ γεγονὸς οἴεσθαι πάντη τὲ καὶ πάντως τοιοῦτον ἔχειν τὸν τρόπον, καθ' ὃν καὶ πεποίηται. ὥστε ὁ μέν τις ἐστὶν εἰς ἀτιμίαν γεγονὼς, καὶ φύσιν τοιαύτην ἀπεκληρώσατο. πεποίηται δέ τις ἕτερος, ἤγουν ἐξεγήγερται σκληρός· ἵνα, ὡς αὐτὸς φησὶν, διαγγελῇ τὸ ὄνομα αὐτοῦ ἐν πάσῃ τῇ γῇ. ποία τοίνυν ἐστὶ τοῖς πταίουσιν ἡ γραφή. γεγόνασι γὰρ εἰς τοῦτο. πρὸς δὴ τὰ τοιαῦτα φαίη τίς ἂν, ὅτι μάλιστα μὲν οὐκ ἂν ἔχοιεν εἰπεῖν, ὅτι φύσεων διαφορὰς ἐν τούτοις ἡμῖν ἡ τῶν νοημάτων δύναμις ὑπεσήμηνεν. οὐ γὰρ ἔφη πεποιῆσθαι τινὰς ὠμοὺς καὶ ἀπεσκληκότας, ἤγουν εἰς σκεύη ἀτιμίας· οὐδὲ φύσει αὐτοῖς τὴν τοιαύτην ἐκνενέμηκεν ὅλως. ἐκεῖνο δὲ μᾶλλον ἀναπείθει φρονεῖν, ὅτι διαπλάττονται τινὲς οἷά περ σκεύη κεραμεικά· ἃ μὲν εἰς τιμήν· ἃ δὲ εἰς ἀτιμίαν. καὶ τόν γε τοῦ παραδείγματος τρόπον ἐκ προφητικῶν ὑμῖν πεποίηται λόγων. τίνα οὖν τρόπον ἄρα διαπλάττονταί τινες οἷά περ ἐκ κεραμέως, οἱ μὲν, εἰς τιμήν· οἱ δὲ, εἰς ἀτιμίαν, καὶ ἐπὶ ποίαις αἰτίαις, εἰδείη τίς ἂν, τοῖς Ἱερεμίου λόγοις ἐντυχών.

γέγραπται δὲ οὕτως· "ἀνάστηθι καὶ κατάβηθι εἰς τὸν οἶκον τοῦ "κεραμέως· καὶ ἐκεῖ ἀκούσῃ τοὺς λόγους μου. καὶ κατέβην εἰς "τὸν οἶκον τοῦ κεραμέως. καὶ ἰδοὺ αὐτὸς ἐποίει ἔργον ἐπὶ τῶν "λίθων. καὶ ἔπαισε[x] τὸ ἀγγεῖον, ὃ αὐτὸς ἐποίει ἐν ταῖς χερσὶν "αὐτοῦ. καὶ πάλιν αὐτὸς ἐποίει ἀγγεῖον ἕτερον, καθὼς ἤρεσεν "αὐτῷ τοῦ ποιῆσαι. καὶ ἐγένετο λόγος Κυρίου πρός με λέγων, εἰ "ὡς ὁ κεραμεὺς οὗτος, οὐ δυνήσομαι τοῦ ποιῆσαι ὑμᾶς οἶκος "Ἰσραήλ; ἰδοὺ ὡς πηλὸς τοῦ κεραμέως ὑμεῖς ἐστὲ, ἐν ταῖς χερσί "μου. πέρας λαλήσω ἐπὶ ἔθνος ἢ ἐπὶ βασιλείαν τοῦ ἐξᾶραι αὐ-"τούς. καὶ ἐπιστρέψουσι τὸ ἔθνος ἐκεῖνο ἀπὸ πάντων τῶν κακῶν "αὐτοῦ. καὶ μετανοήσω περὶ τῶν κακῶν ὧν ἐλογισάμην τοῦ ποιῆ-"σαι αὐτοῖς."

Ὁρᾷς πῶς πλάττονται τινὲς εἰς τιμὴν τὲ καὶ ἀτιμίαν; οὐ φύσιν λαχόντες τὴν ὧδε πεποιημένην, ἀλλ' οἷς δράσειαν τὴν ἰσοπάλη καὶ πρέπουσαν ἀντίδοσιν κομιζόμενοι; οὐκοῦν εἰ κολάζοι τῶν ὅλων ὁ ποιητὴς, τὸν ἐκ τρόπων ἀγαθῶν πρὸς τὰ αἰσχίω μεταφοιτῶντα· καὶ τὸν ἐκ τῶν αἰσχιόνων μεταχωροῦντα πρὸς τὰ βελτίω, τιμαῖς στεφανοῖ, πῶς οὐκ ἀληθὲς εἰπεῖν, ὡς ἥκιστα μὲν κατὰ φύσιν γεγόνασι φαῦλοι τινὲς, ἤγουν διαπλάττονται δι' αὐτοῦ. σκεύη δὲ μᾶλλον γεγόνασιν ἀτιμίας; ὅτι καίτοι μετὸν αὐτοῖς εὐδοκιμεῖν ἑλέσθαι παρὰ Θεῷ, ἐθελούσιον ἠρρωστήκασι τὴν εἰς τὰ φαῦλα τιμήν. ἀλλ' ἐσκλήρυνε, φησὶν, αὐτὸς τὴν καρδίαν Φαραώ· καὶ δὴ καὶ ἔφασκε πρὸς αὐτὸν, "εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε· "ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου." οὐκοῦν εἰ καὶ σκληρύνει τινὰς, καὶ ἐξανίστησιν αὐτοὺς ὀργῆς ὄντας σκεύη, καὶ κατηρτίσθαι λεγόμενα εἰς ἀπώλειαν, "τί ἔτι μέμφεται; τῷ γὰρ "βουλήματι αὐτοῦ, τίς ἀνθέστηκε;" πῶς δ' ἂν γέγονεν ἀγαθὸς ὁ παρ' αὐτοῦ σκλυρυνόμενος; τί οὖν ἔχομεν πρὸς ταῦτα εἰπεῖν; ἀπόχρη πρός γε τὸ εἰδέναι τὸ ἀληθὲς, τὸ διακεῖσθαί τε καὶ φρονεῖν ὡς οὐκ ἂν γένοιτο τῶν φαύλων δημιουργὸς, πάντα γὰρ ὅσα ἐποίησε, καλὰ λίαν. εἰ μὲν οὖν οὐκ ἄνθρωπον εἶναι διατείνονται τὸν Αἰγύπτιον, καὶ τῆς αὐτῆς ἡμῖν φύσεως μεταλαχεῖν, ἀποδεικνύντων, καὶ ἡμεῖς σιωπήσομεν. εἰ δὲ ἦν καθ' ἡμᾶς, ἢ τῆς θείας

[x] I. m. ἔπεσε.

ἐναργῶς καταγορευόντων φωνῆς, ὡς οὐ τὸ καλὸν ὁρώσης καὶ τὸ μὴ τοιοῦτον· ἢ εἰ τοῦτο πεφρίκασιν, ὁμολογούντων εἶναι καλὰ τὰ παρ' αὐτοῦ πρὸς ὕπαρξιν παρενηνεγμένα. οὕτω γὰρ τὴν προβλεπεστάτην ἀποκρούσονται δόξαν. τὸ δὲ "εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε," πρὸς τὸν Φαραὼ εἰρημένον, κατασημαίνει, οὐ τὸ, ἔκτισα ἢ δεδημιούργηκα· κέκληκα δὲ μᾶλλον, εἰς τὸ θελῆσαι δεῖν ἀντιπράττειν ἐμοί· καὶ οὐκ ἐν ἀρχῇ τῆς γεννήσεως, ἀλλ' ὅτε Μωσῆς ἀπεστέλλετο λυτρωσόμενος τὸν Ἰσραήλ.

Θεοδωρήτου. Ἢ τὸ, "ἐξήγειρά σε," ἀντὶ τοῦ, συνεχώρησά σε τῆς βασιλείας τυχεῖν. καὶ κωλῦσαι δυνάμενος, οὐκ ἐκώλυσα. τὴν ἐντεῦθεν τοῖς ἄλλοις γενησομένην προορῶν ὠφέλειαν. ἀναγκαίως δὲ καὶ τοῦ Μωσέως ἐμνήσθη ἐν τῷ, "τῷ γὰρ Μωϋσῇ λέγει· "ἐλεήσω ὃν ἂν ἐλεῶ." ἵνα καὶ διὰ τοῦ εἰρηκότος, καὶ διὰ τοῦ ἀκηκοότος, δείξῃ τῶν εἰρημένων τὸ ἀξιόπιστον. εἶτα ἐπισυλλογίζεται· "ἄρα οὖν οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος." καὶ τὴν λύσιν οὐκ ἐπάγει· ἀλλ' ἐπιτείνει τῇ τῶν ἐπιφερομένων προσθήκῃ τὴν ζήτησιν. λέγει γάρ, φησιν, ἡ γραφὴ τῷ Φαραώ. εἶτα συλλογιστικῶς ἐπάγει. "ἄρα οὖν ὃν ἂν θέλῃ ἐλεεῖ· ὃν δὲ θέλει σκληρύνει." σά, φησιν, ταῦτα τὰ γράμματα. οὐ γὰρ ἑτέρωθεν αὐτὰ συλλέξας προσφέρω. αὐτοῦ ἤκουσα τοῦ Θεοῦ εἰρηκότος, "ἐλεήσω "ὃν ἂν ἐλεῶ· καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω." αὐτοῦ πάλιν ἐστὶ τὰ περὶ τοῦ Φαραώ. αὐτὸς καταλιπὼν τὸν Ἰσμαὴλ καὶ τοὺς ἀπὸ τῆς Χεττούρας, τὸν Ἰσαὰκ ἐξελέξατο. αὐτὸς καὶ τὸν Ἰακὼβ τοῦ Ἡσαῦ προτέθεικε· τί τοίνυν θαυμαστὸν, εἰ καὶ νῦν ταυτὸ τοῦτο πεποίηκε; καὶ τοὺς ἐξ ὑμῶν πεπιστευκότας ἐδέξατο, τοὺς δὲ τὴν ἀκτῖνα ταύτην μὴ δεξαμένους ἀπώσατο; ἀλλὰ τοῦτο μὲν τέως οὐ λέγει. αὔξει δὲ τῶν ζητημάτων τὴν ἀπορίαν· καὶ φησίν· "ἐρεῖς "οὖν μοι τί ἔτι μέμφεται; εἰ γὰρ ὃν θέλει ἐλεεῖ καὶ ὃν θέλει σκληρύνει, τῆς αὐτοῦ βουλῆς ἐξήρτηται τῶν ἀνθρώπων ἡ γνώμη. εἰ δὲ τοῦθ' οὕτως ἔχει, οὐκ ἐνδίκως τοῖς ἁμαρτάνουσιν ἐπιφέρει τὰς τιμωρίας. ἀντιστῆναι γὰρ τοῖς αὐτῷ δοκοῦσιν οὐχ οἷόν τε. οὕτω τὰς ἀντιθέσεις πάσας προτεθεικὼς, ἐπήγαγε, "μενοῦν γε ὦ "ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ;" ἐπειδὴ εἶπας φησὶν, "τῷ βουλήματι αὐτοῦ τίς ἀνθέστηκε." σὺ τίς εἶ; οὐκ ἄνθρωπος; πῶς οὖν ἀνταποκρίνῃ καὶ περιεργάζῃ τὰς θείας οἰκονο-

μίας; εἰ γὰρ οὐκ αὐτεξούσιος ἦσθα, οὐδὲ γνώμῃ τὸ πρακτέον ᾑροῦ, ἀλλὰ τῇ τοῦ θείου βουλήματος ἀνάγκῃ ἐδούλευες, παραπλησίως ἂν τοῖς ἀνθρώποις ἐσίγησας, τὰ οἰκονομούμενα στέργων. ἐπειδὴ δὲ λόγῳ τετίμησαι, καὶ τὰ δοκοῦντά σοι καὶ λέγεις καὶ πράττεις, οὐκ ἀγαπᾷς τὰ γινόμενα, ἀλλὰ τῶν θείων οἰκονομιῶν τὰς αἰτίας ἐπιζητεῖς; ἀπόβλεψον εἰς τὸν τοῦ κεραμέως πηλόν· ὃς οὐκ ἀντιλέγει τῷ πλάττοντι. ἀλλὰ κἂν εἰς ἀτίμου σκεύους ἐργασίαν ἀφορισθῇ, σιγῇ τὸ γενόμενον δέχεται. σὺ δὲ ἀντιτείνεις καὶ ἀντιλέγεις. οὐ τοίνυν φυσικαῖς ἀνάγκαις προσδέδεσαι, οὐδὲ παρὰ γνώμην παρανομεῖς· ἀλλ' ἑκὼν ἀσπάζῃ καὶ τὴν πονηρίαν, καὶ τοὺς τῆς ἀρετῆς πόνους. ὀρθὴ οὖν ἄρα καὶ δικαία τοῦ Θεοῦ τῶν ὅλων, ἡ ψῆφος. ἐνδίκως γὰρ κολάζει τοὺς ἁμαρτάνοντας, ὡς γνώμῃ τοῦτο ποιοῦντας. ἔχει δὲ καὶ ἡ φιλανθρωπία τὸ δίκαιον. πρόφασιν γὰρ λαμβάνουσα, ὀρέγει τὸν ἔλεον.

Ἐκ τῆς ἐκλογῆς τοῦ Ὠριγένους. Ἴδωμεν δὲ καὶ περὶ τοῦ "ἆρ' οὖν οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος "Θεοῦ." τινὲς γὰρ αἰτιώμενοι φασίν· εἰ μὴ τοῦ τρέχοντος οὐδὲ τοῦ θέλοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ· οὐκ ἐκ τοῦ ἐφ' ἡμῖν τὸ σώζεσθαι, ἀλλ' ἐκ προαιρέσεως τοῦ, ὅτε βούλεται ἐλεοῦντος. πρὸς οὓς ῥητέον. φησὶν ἐν τῇ βίβλῳ τῶν ψαλμῶν ὁ Σολομῶν· αὐτοῦ γάρ ἐστιν ἡ ᾠδὴ τῶν ἀναβαθμῶν, ἐξ ἧς παραθησόμεθα τὰ ῥητά. "ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκο-"δομοῦντες. ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν "ὁ φυλάσσων." οὐκ ἀποτρέπων ἡμᾶς ἀπὸ τοῦ οἰκοδομεῖν, οὐ δὲ διδάσκων μὴ ἀγρυπνεῖν ἡμᾶς εἰς τὸ φρουρεῖν τὴν ἐν τῇ ψυχῇ πόλιν, ἀλλὰ παριστὰς ὅτι τὰ χωρὶς Θεοῦ οἰκοδομούμενα, καὶ τὰ μὴ τυγχάνοντα τῆς ἀπὸ τούτου φυλακῆς, μάτην οἰκοδομεῖται, καὶ ἀνηνύτως τηρεῖται. εὐλόγως ἂν ἐπιγραφομένου Κυρίου τῆς οἰκοδομῆς τοῦ Θεοῦ, καὶ ἄρχοντος τῆς φρουρᾶς τῆς πόλεως τοῦ τῶν ὅλων Θεοῦ. ὥσπερ οὖν εἰ λέγομεν, οὐ τοῦ οἰκοδομοῦντος, ἀλλὰ τοῦ Θεοῦ ἐστιν ἔργον, τόδε τὸ οἰκοδόμημα· καὶ οὐ τοῦ φυλάξαντος κατόρθωμα, ἀλλὰ τοῦ ἐπὶ πάντων Θεοῦ, τὸ μηδὲν πεπονθέναι ὑπὸ πολεμίων τήνδε τὴν πόλιν, οὐκ ἂν πταίοιμεν. ὑπακουομένου μὲν, τοῦ καὶ κατὰ τὸν ἄνθρωπον γεγονέναι. τοῦ δὲ ἀνδραγαθήματος εὐχαρίστως ἐπὶ τὸν τελειωτὴν Θεὸν ἀναφερομένου. οὕτως ἐπεὶ

οὐκ ἀρκεῖ τὸ ἀνθρώπινον θέλειν πρὸς τὸ τυχεῖν τοῦ τέλους, οὐδὲ τὸ τῶν οἱονεὶ ἀθλητῶν τρέχειν, πρὸς τὸ καταλαβεῖν τὸ βραβεῖον τῆς ἄνω κλήσεως τοῦ Θεοῦ, ἐν Χριστῷ Ἰησοῦ. Θεοῦ γὰρ συμπαριστταμένου, ταῦτα ἀνύεται. καλῶς λέγεται "οὐ τοῦ θέλοντος "οὐδὲ τοῦ τρέχοντος ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ." ὡς εἰ καὶ ἐπὶ γεωργίας, ὅπερ καὶ γέγραπται, ἐλέγετο, "ἐγὼ ἐφύτευσα. Ἀπολ-"λῶς ἐπότισεν. ἀλλ' ὁ Θεὸς ηὔξησεν. ὥστε οὔτε ὁ φυτεύων ἔστι "τι, οὔτε ὁ ποτίζων. ἀλλ' ὁ αὐξάνων Θεός." καὶ τὸ τοὺς καρποὺς πλήρεις γεγονέναι, οὐκ ἂν εὐσεβῶς λέγοιμεν ἔργον εἶναι τοῦ γεωργοῦ, ἢ ἔργον τοῦ ποτίσαντος· ἀλλ' ἔργον τοῦ Θεοῦ. οὕτω καὶ ἡ ἡμετέρα τελείωσις, οὐχὶ μηδὲν πραξάντων γίνεται, οὐ μὴν ἀφ' ἡμῶν ἀπαρτίζεται. ἀλλ' ὁ Θεὸς τὸ πολὺ ταύτης ἐνεργεῖ.

Καὶ ἵνα ἐναργέστερον πιστευθῇ τοῦτο εἶναι τὸ λεγόμενον, ἀπὸ τῆς κυβερνητικῆς τὸ παράδειγμα ληψόμεθα. πρὸς γὰρ τὴν τῶν ἀνέμων πνοὴν, καὶ τὴν τῶν ἀέρων εὐκρασίαν, καὶ τὴν τῶν ἀστέρων λαμπρότητα συνεργούντων τῇ τῶν ἐμπλεόντων σωτηρίᾳ, πόστον ἂν ἀριθμὸν ἔχειν λέγοιτο τῆς ἐπὶ τὸν λιμένα καταστάσεως ἡ κυβερνητικὴ τέχνη; οὐδὲ τῶν κυβερνητῶν αὐτῶν δι' εὐλάβειαν πολλάκις τολμώντων ὁμολογεῖν τὸ σεσωκέναι τὴν ναῦν, ἀλλὰ Θεῷ τὸ πᾶν ἀναφερόντων. οὐ τῷ μηδὲν αὐτοὺς ἐνηργηκέναι, ἀλλὰ τῷ εἰς ὑπερβολὴν πολλαπλάσιον εἶναι τὸ ἀπὸ τῆς προνοίας, τοῦ ἀπὸ τῆς τέχνης. καὶ ἐπὶ τῆς ἡμετέρας γοῦν σωτηρίας, πολλαπλάσιον ἐστὶν εἰς ὑπερβολὴν τὸ ἀπὸ τοῦ Θεοῦ, τοῦ ἀπὸ τοῦ ἐφ' ἡμῖν. διόπερ ἡγοῦμαι λέγεσθαι τὸ, "οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος· ἀλλὰ τοῦ ἐλεοῦν-"τος Θεοῦ." εἰ γὰρ ὡς ἐκεῖνοι ὑπολαμβάνουσι, δεῖ τοῦτο ἐκλαμβάνειν, περισσαὶ αἱ ἐντολαί· καὶ μάτην ὁ Παῦλος αἰτιᾶταί τινας ὡς παραπεπτωκότας, καὶ ἀποδέχεταί τινας ὡς κατωρθωκότας, καὶ νομοθετεῖ ταῖς ἐκκλησίαις. εἰκῇ δὲ ἡμεῖς ἐπιδίδομεν ἑαυτοὺς ἐπὶ τὸ θέλειν τὰ κρείττονα. ἀλλὰ τοῦτο μὲν τοιοῦτον. οἷα δὲ καὶ τὰ περὶ τοῦ Φαραὼ εἰρημένα· ὡς σκληρυνομένου παρὰ Θεοῦ ἵνα μὴ ἀποστείλῃ τὸν λαόν. τί δὲ καὶ τὸ, "ἄρ' οὖν ὃν ἂν θέλῃ ἐλεεῖ· ὃν δὲ "θέλει σκληρύνει;" ἐπεὶ γὰρ χρῶνται τούτοις τινὲς τῶν ἑτεροδόξων, τὸ αὐτεξούσιον ἀναιροῦντες, διὰ τὸ φύσεις εἶναι λέγειν ἀπολλυμένας, ἀνεπιδέκτους τοῦ σώζεσθαι· καὶ ἑτέρας σωζομένας, ἀδυνάτως

ἐχούσας πρὸς τὸ ἀπολέσθαι· τόν τε Φαραὼ φασὶ, φύσεως ὄντα ἀπολλυμένης, διὰ τοῦτο σκληρύνεσθαι ὑπὸ τοῦ Θεοῦ· ἐλεοῦντος μὲν τοὺς πνευματικοὺς, σκληρύνοντος δὲ τοὺς χοϊκοὺς, φέρε ἴδωμεν ὅτί ποτε καὶ λέγουσι.

Πευσόμεθα γὰρ αὐτῶν· εἰ χοϊκῆς φύσεως ὁ Φαραὼ ἦν, ἀποκρινομένοις δὲ, ἐροῦμεν, ὅτι ὁ τῆς χοϊκῆς φύσεως πάντως ἀπειθεῖ τῷ Θεῷ. εἰ δὲ ἀπειθεῖ, τίς χρεία σκληρύνεσθαι αὐτοῦ τὴν καρδίαν; καὶ τοῦτο οὐχ ἅπαξ, ἀλλὰ πολλάκις. εἰ μὴ ἄρα, ἐπεὶ δυνατὸν ἦν πείθεσθαι αὐτὸν, καὶ πάντως ἐπείσθη ἂν, ἅτε οὐκ ὢν χοϊκὸς, ὑπὸ τῶν τεράτων καὶ σημείων δυσωπούμενος. χρήζει δὲ αὐτοῦ ὁ Θεὸς, ὑπὲρ τοῦ ἐνδείξασθαι ἐπὶ σωτηρίᾳ τῶν πολλῶν τὰ μεγαλεῖα, ἐπὶ πλεῖον ἀπειθοῦντος· διὰ τοῦτο αὐτοῦ σκληρύνει τὴν καρδίαν. ταῦτα δὲ λελέξεται πρῶτον πρὸς αὐτοὺς εἰς τὸ ἀνατραπῆναι ὃ ὑπολαμβάνουσιν· ὅτι φύσεως ἦν ἀπολλυμένης ὁ Φαραώ. τὸ δ' αὐτὸ καὶ περὶ τοῦ παρὰ τῷ Ἀποστόλῳ εἰρημένου, λεκτέον πρὸς αὐτούς. τίνας γὰρ σκληρύνει ὁ Θεός; τοὺς ἀπολλυμένους; ὡς τί πεισομένους εἰ σκληρυνθεῖεν; ἢ δηλονότι σωθησομένους, τῷ μὴ εἶναι αὐτοὺς φύσεως ἀπολλυμένης. τίνας δὲ ἐλεεῖ; ἆρα τοὺς σωθησομένους; καὶ πῶς χρεία ἐλέου δευτέρου αὐτοῖς, ἅπαξ κατασκευασθεῖσι σωθησομένοις, καὶ πάντως διὰ τὴν φύσιν μακαρίοις ἐσομένοις; εἰ μὴ ἄρα ἐπεὶ ἐπιδέχονται ἀπώλειαν, εἰ μὴ ἐλεηθεῖεν, ἐλεοῦνται. ἵν' ὅπερ ἐπιδέχονται, μὴ λάβωσι τὸ ἀπολέσθαι. ἀλλὰ γένωνται ἐν χώρᾳ σωζομένων. καὶ ταῦτα μὲν πρὸς ἐκείνους. ἐπαπορητέον δὲ πρὸς τοὺς νομίζοντας νενοηκέναι τὸ, ἐσκλήρυνε. τί δή ποτε λέγουσι τὸν Θεὸν ἐνεργοῦντα σκληρύνειν καρδίαν; καὶ τί προτιθέμενον τοῦτο ποιεῖν; τηρείτωσαν γὰρ καὶ ἐννοίαν Θεοῦ. κατὰ μὲν τὸ ὑγιὲς, δικαίου καὶ ἀγαθοῦ· εἰ δὲ μὴ βούλονται, ἐπὶ τοῦ παρόντος αὐτοῖς συγκεχωρήσθω δικαίου. καὶ παραστησάτωσαν, πῶς ὁ ἀγαθὸς καὶ δίκαιος. ἢ ὁ δίκαιος μόνον, φαίνεται δικαίως σκληρύνων καρδίαν, τοῦ διὰ τὸ σκληρύνεσθαι ἀπολλυμένου· καὶ πῶς ὁ δίκαιος αἴτιος ἀπωλείας γίνεται καὶ ἀπειθείας, τῶν ὑπ' αὐτοῦ διὰ τὸ σκληρύνεσθαι καὶ ἀπειθῆσαι αὐτῷ κολαζομένων; τί δὲ αὐτῷ καὶ μέμφεται λέγων, "σὺ δὲ οὐ βούλει ἐξαποστεῖλαι τὸν λαόν μου. ἰδοὺ πατάσσω πάντα τὰ πρωτότοκα ἐν Αἰγύπτῳ, καὶ

“ τὸν πρωτότοκόν σου,” καὶ ὅσα ἄλλα ἀναγέγραπται, ὡς τοῦ Θεοῦ λέγοντος διὰ Μωϋσέος τῷ Φαραώ;

Ἀναγκαῖον γὰρ τὸν πιστεύοντα ὅτι ἀληθεῖς αἱ γραφαὶ, καὶ ὅτι ὁ Θεὸς δίκαιος, ἐὰν ἀγνώμων ᾖ, ἀγωνίζεσθαι πῶς ἐν ταῖς τοιαύταις λέξεσι δικαίως τρανῶς νοηθῇ. εἰ μὲν γὰρ ἀπογραψάμενός τις γυμνῇ τῇ κεφαλῇ ἵσταται πρὸς τὸ πονηρὸν εἶναι τὸν Θεὸν, ἄλλων ἔδει λόγων πρὸς αὐτόν. ἐπεὶ δὲ φασὶν διακεῖσθαι περὶ αὐτοῦ ὡς περὶ δικαίου, καὶ ἡμεῖς ὡς περὶ ἀγαθοῦ ἅμα καὶ δικαίου, σκοπήσωμεν, πῶς ἂν ὁ ἀγαθὸς καὶ δίκαιος σκληρύνοι τὴν καρδίαν Φαραώ. ὅρα τοίνυν, εἰ διά τινος παραδείγματος ὁ Ἀπόστολος ἐν τῇ πρὸς Ἑβραίους ἐχρήσατο, δυνάμεθα παραστῆσαι πῶς μιᾷ ἐνεργείᾳ ὁ Θεὸς, ὃν μὲν ἐλεεῖ, ὃν δὲ σκληρύνει· οὐ προτιθέμενος σκληρύνειν, ἀλλὰ διὰ προθέσεως χρηστῆς, ᾗ ἐπακολουθεῖ διὰ τὸ τῆς κακίας ὑποκείμενον τοῦ παρ' ἑαυτοῦ τὸ σκληρύνεσθαι· σκληρύνειν λεγόμενος τὸν σκληρυνόμενον. “ γῆ,” φησὶν, “ ἡ πιοῦσα τὸν ἐπ' “ αὐτῆς ἐρχόμενον ὑετὸν, καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις “ δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ὑπὸ τοῦ Θεοῦ. “ ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους, ἀδόκιμος καὶ κατάρας “ ἐγγύς. ἧς τὸ τέλος, εἰς καῦσιν.” οὐκοῦν, μία ἐνέργεια ἡ κατὰ τὸ ὑετόν. μιᾶς δὲ οὔσης αὐτῆς, ἡ μὲν γεωργηθεῖσα γῆ, καρποφορεῖ· ἡ δὲ ἀμεληθεῖσα καὶ χέρσος, ἀκανθοφορεῖ. καὶ δύσφημον μὲν ἂν δόξαι εἶναι τὸ λέγειν τὸν ὕοντα, ἐγὼ τοὺς καρποὺς ἐποίησα, καὶ τὰς ἀκάνθας τὰς ἐν τῇ γῇ. ἀλλ' εἰ καὶ δύσφημον, ἀλλὰ ἀληθές. ὑετοῦ γὰρ μὴ γενομένου, οὔτ' ἂν καρποὶ, οὔτ' ἄκανθαι ἐγεγόνεισαν. τούτου δὲ εὐκαίρως καὶ μεμετρημένως ἐπιρρέοντος, ἀμφότερα γεγένηται. οὐκοῦν τὸ μὲν ἀγαθὸν τοῦ ὑετοῦ, καὶ ἐπὶ τὴν χείρονα γῆν ἐλήλυθε· τὸ δὲ ὑποκείμενον ἠμελημένον καὶ ἀγεώργητον τυγχάνον, ἀκάνθας καὶ τριβόλους ἐβλάστησεν.

Οὕτω τοίνυν καὶ τὰ γινόμενα ὑπὸ τοῦ Θεοῦ τεράστια· οἱονεὶ ὑετός ἐστιν. αἱ δὲ προαιρέσεις αἱ διάφοροι, οἱονεὶ ἡ γεωργημένη γῆ ἐστι καὶ ἡ ἠμελημένη. μία τῇ φύσει ὡς γῆ τυγχάνουσα. ὥσπερ δὲ εἰ καὶ ὁ ἥλιος ἔλεγε, φωνὴν προϊέμενος, ἐγὼ τήκω καὶ ξηραίνω. ἐναντίων ὄντων τοῦ τήκεσθαι καὶ τοῦ ξηραίνεσθαι. οὐκ ἂν ψεῦδος ἔλεγε, παρὰ τὸ ὑποκείμενον· ἀπὸ τῆς μιᾶς θερμότητος

τηκομένου μὲν τοῦ κηροῦ, ξηραινομένου δὲ τοῦ πηλοῦ. οὕτως ἡ μία ἐνέργεια ἡ διὰ Μωσέως γινομένη, σκληρούμενον μὲν ἤλεγχε τὸν Φαραὼ, διὰ τὴν κακίαν αὐτοῦ. πειθὼ δὲ, τὴν τῶν ἐπιμίκτων Αἰγυπτίων συνεξορμησάντων τοῖς Ἑβραίοις· καὶ τὸ κατὰ βραχὺ δὲ ἀναγεγράφθαι οἱονεὶ μαλάσσεσθαι τὴν καρδίαν Φαραὼ λέγοντος, "ἀλλ' οὐ μακρὰν ἀποτενεῖται· τριῶν γὰρ ἡμερῶν πορεύεσθε· "καὶ τὰς γυναῖκας ὑμῶν καταλείψετε·" καὶ ὅσα ἄλλα κατὰ βραχὺ ἐνδιδοὺς πρὸς τὰ τεράστια ἔλεγε, δηλοῖ ὅτι ἐνήργει μέν τι καὶ εἰς αὐτὸν τὰ σημεῖα, οὐ μὴν τὸ πᾶν κατειργάζετο. οὐκ ἂν δὲ οὐδὲ ταῦτα ἐγίνετο, εἰ τὸ νοούμενον ὑπὸ τῶν πολλῶν "σκληρυνῶ "τὴν καρδίαν Φαραὼ," ὑπ' αὐτοῦ ἐνηργεῖτο.

Οὐκ ἄτοπον δὲ καὶ ἀπὸ τῆς συνηθείας τὰ τοιαῦτα παραμυθήσασθαι· πολλάκις τῶν χρηστῶν δεσποτῶν φασκόντων τοῖς διὰ τὴν χρηστότητα καὶ μακροθυμίαν ἐπιτριβομένοις οἰκέταις, τὸ, ἐγώ σε πονηρὸν ἐποίησα· καὶ ἐγώ σοι αἴτιος γέγονα τῶν τηλικούτων ἁμαρτημάτων. δεῖ γὰρ τοῦ ἤθους ἀκοῦσαι καὶ τῆς δυνάμεως τοῦ λεγομένου, καὶ μὴ συκοφαντεῖν, μὴ κατακούοντας τοῦ βουλήματος τοῦ λόγου. ὁ γοῦν Παῦλος σαφῶς ταῦτα ἐξετάσας, φησὶν πρὸς τὸν ἁμαρτάνοντα, "ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ καὶ τῆς "μακροθυμίας καταφρονεῖς; ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς "μετάνοιάν σε ἄγει. κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετα-"νόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ "ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ Θεοῦ;" ἃ γὰρ λέγει πρὸς τὸν ἁμαρτάνοντα ὁ Ἀπόστολος, λεγέσθω πρὸς τὸν Φαραὼ, καὶ πάνυ ἁρμοδίως· κατὰ τὴν σκληρότητα καὶ ἀμετανόητον αὐτοῦ καρδίαν, θησαυρίζοντα ἑαυτῷ ὀργὴν τῆς σκληρότητος. οὐκ ἂν οὕτως ἐλεγχθείσης οὐδὲ φανερᾶς γεγενημένης, εἰ μὴ τὰ σημεῖα ἐγεγόνει. ἔτι πρὸς τὸ μὴ εἶναι ἡμᾶς αὐτεξουσίους δόξει τὸ ἀποστολικὸν ῥητὸν περισπᾶν, ἔνθα φησί. "μενοῦνγε, ὦ ἄνθρωπε, σὺ "τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; μὴ ἐρεῖ τὸ πλάσμα τῷ "πλάσαντι, τί με ἐποίησας οὕτως; ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κερα-"μεὺς τοῦ πηλοῦ, ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι, ὃ μὲν, εἰς "τιμὴν σκεῦος· ὃ δὲ, εἰς ἀτιμίαν;" ἐρεῖ γάρ τις. εἰ ὡς ὁ κεραμεὺς ἐκ τοῦ αὐτοῦ φυράματος ποιεῖ. ὃ μὲν, εἰς τιμὴν σκεῦος· ὃ

δὲ, εἰς ἀτιμίαν. οὕτως ὁ Θεός· ἃ μὲν εἰς σωτηρίαν, ἃ δὲ εἰς ἀπώλειαν. οὐ παρ᾽ ἡμᾶς τὸ σώζεσθαι ἢ ἀπόλλυσθαι γίνεται. οὐ γὰρ ἐσμὲν αὐτεξούσιοι.

Λεκτέον δὲ πρὸς τὸν τούτοις οὕτως χρώμενον. εἰ δύναται περὶ τοῦ Ἀποστόλου νοεῖν ὡς μαχόμενα ἑαυτῷ λέγοντος, οὐχ ἡγοῦμαι δὲ ὅτι τολμήσει τίς τοῦτο εἰπεῖν. εἰ τοίνυν μὴ ἑαυτῷ ἐναντία φθέγγεται ὁ Ἀπόστολος, πῶς κατὰ τὸν οὕτως ἐκδεξάμενον εὐλόγως αἰτιᾶται τὸν ἐν Κορίνθῳ πεπορνευκότα; ἢ τοὺς παραπεπτωκότας καὶ μὴ μετανοήσαντας; πῶς δὲ εὐλογεῖ ὡς εὖ πεποιηκότας οὓς ἐπαινεῖ. οὐ γὰρ κατὰ τὸν αὐτόν ἐστι ψέγειν ὡς ἄξιον μέμψεως τὸν ἡμαρτηκότα. καὶ ἀποδέχεσθαι ὡς ἐπαινετὸν τὸν αὖ[x] πεποιηκότα; πάλιν δ᾽ αὖ ὡς μηδενὸς ὄντος ἐφ᾽ ἡμῖν φάσκειν παρὰ τὴν αἰτίαν τοῦ δημιουργοῦ εἶναι, τὸ μὲν, εἰς ἀτιμίαν σκεῦος, τὸ δὲ, εἰς τιμήν; πῶς δὲ καὶ τὸ, πάντας ἡμᾶς παραστῆναι δεῖν ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ· ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, ὑγιές ἐστι; τῶν τὰ φαῦλα πεποιηκότων διὰ τὸ ἐκτίσθαι αὐτοὺς σκεύη ἀτιμίας, ἐπὶ τοῦτο πράξεων ἐληλυθότων· καὶ τῶν κατ᾽ ἀρετὴν βιωσάντων, τῷ ἀρχῆθεν αὐτοὺς ἐπὶ τούτω κατεσκευάσθαι, καὶ σκεύη τιμῆς γεγονέναι, τὸ καλὸν πεποιηκότων; ἔτι δὲ πῶς οὐ μάχεται τῷ ὡς ὑπολαμβάνουσιν ἐξ ὧν παρεθέμεθα ῥητῶν, ἔκτιμον ἢ ἄτιμον σκεῦος γεγονέναι, παρὰ τὴν τοῦ δημιουργοῦ αἰτίαν, τὸ ἀλλαχοῦ λεγόμενον, "ἐν "μεγάλη οἰκίᾳ, οὐκ ἔστι μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ "καὶ ξύλινα καὶ ὀστράκινα. καὶ ἃ μὲν εἰς τιμήν· ἃ δὲ, εἰς ἀτι"μίαν· ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν, ἔσται σκεῦος εἰς τιμὴν ἡγι"ασμένον καὶ εὔχρηστον τῷ δεσπότῃ." εἰ γὰρ ὁ ἐκκαθάρας ἑαυτὸν γίνεται σκεῦος εἰς τιμήν· ὁ δὲ ἀπερικάθαρτον ἑαυτὸν παριδὼν σκεῦος εἰς ἀτιμίαν· ὅσον ἐπὶ ταύταις ταῖς λέξεσιν, οὐδαμῶς αἴτιος ὁ δημιουργός. ποιεῖ μὲν γὰρ ὁ δημιουργὸς σκεύη τιμῆς, καὶ σκεύη ἀτιμίας. ἀλλὰ σκεύη μὲν τιμῆς, τοὺς ἐκκαθάραντας ἑαυτούς· σκεύη δὲ ἀτιμίας, τοὺς ἀπερικαθάρτους ἑαυτοὺς περιϊδόντας.

Ἐπεὶ δὲ ὅπου μὲν, ὁ Ἀπόστολος οὐ προσποιεῖται τὸ ἐπὶ τῷ

[x] I. marg. εὖ.

Θεῷ, εἰς τὸ γενέσθαι σκεῦος εἰς τιμὴν ἢ εἰς ἀτιμίαν, ἀλλὰ τὸ πᾶν ἐφ' ἡμᾶς ἀναφέρει, λέγων, "ἐὰν οὖν τις ἑαυτὸν ἐκκαθάρῃ, "ἔσται σκεῦος εἰς τιμήν·" ὅπου δὲ, οὐ προσποιεῖται τὸ ἐφ' ἡμῖν, ἀλλὰ τὸ πᾶν ἐπὶ τὸν Θεὸν ἀναφέρειν δοκεῖ, φάσκων "ἐξουσίαν "ἔχει ὁ κεραμεὺς τοῦ πηλοῦ, ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι, "ὃ μὲν, εἰς τιμὴν σκεῦος, ὃ δὲ, εἰς ἀτιμίαν·" καὶ οὐκ ἔστιν ἐναντιώματα τὰ εἰρημένα ὑπ' αὐτοῦ, συνακτέον ἀμφότερα, καὶ ἕνα λόγον ἐξ ἀμφοτέρων τέλειον ἀποδοτέον. οὔτε τοῦ ἐφ' ἡμῖν, χωρὶς τῆς ἐπιστήμης τοῦ Θεοῦ, καὶ τῆς καταχρήσεως τοῦ κατ' ἀξίαν τοῦ ἐφ' ἡμῖν, ποιοῦντος εἰς τιμὴν ἢ εἰς ἀτιμίαν γενέσθαι τινά· οὔτε τοῦ ἐπὶ τῷ Θεῷ μόνου κατασκευάζοντος εἰς τιμὴν ἢ εἰς ἀτιμίαν γενέσθαι τινὰ, ἐὰν μὴ ὕλην τινὰ διαφορᾶς σχῇ, τὴν ἡμετέραν προαίρεσιν, κλίνουσαν ἐπὶ τὰ χείρονα ἢ τὰ κρείττονα.

$\overset{\hat{\alpha}}{\Delta}$, (sic). Ὅτι μὲν γὰρ ὁ Θεὸς πάντα τὰ σκεύη ποιεῖ, τά τε ἔντιμα καὶ τὰ ἄτιμα, δῆλον. μόνος γὰρ αὐτός ἐστι τῶν ἁπάντων δημιουργός. οὐκ αὐτὸς δὲ τίμια κατασκευάζει ἢ ἄτιμα· ἀλλ' ἡ οἰκεία ἑκάστου προαίρεσις. καὶ τοῦτο δῆλον ἐξ ὧν ὁ αὐτὸς Ἀπόστολος ἐν τῇ πρὸς Τιμόθεον Ἐπιστολῇ, φησίν. "ἐν μεγάλῃ οἰ-"κίᾳ, οὐκ ἔστι μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα "καὶ ὀστράκινα. καὶ ἃ μὲν εἰς τιμήν· ἃ δὲ, εἰς ἀτιμίαν. ἐὰν οὖν "ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ τούτων, ἔσται σκεῦος εἰς τιμὴν ἡγιασμέ-"νον καὶ εὔχρηστον τῷ δεσπότῃ. εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμα-"σμένον." δῆλον δὲ, ὡς ἑκούσιος ἡ κάθαρσις. "ἐὰν γάρ τις," φησὶν, "ἐκκαθάρῃ ἑαυτόν." ἡ δὲ ἀκόλουθος ἀντιστροφὴ ἀντιφωνεῖ. ἐὰν δὲ μὴ ἐκκαθάρῃ, ἔσται σκεῦος εἰς ἀτιμίαν, ἄχρηστον τῷ δεσπότῃ, συντριβῆς ἄξιον. τὸ οὖν προκείμενον ῥητὸν, καὶ τὸ, "συνέκλεισεν "ὁ Θεὸς πάντας εἰς ἀπείθειαν." καὶ τὸ, "ἔδωκεν αὐτοῖς ὁ Θεὸς "ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, καὶ ὦτα τοῦ μὴ ἀκούειν," καὶ ὅσα τοιαῦτα, οὐχ ὡς ἐνεργήσαντος τοῦ Θεοῦ ἐκληπτέον, ἀλλ' ὡς παραχωρήσαντος διὰ τὸ αὐτεξούσιον, καὶ τὸ ἀβίαστον εἶναι τὸ καλόν. τὴν γὰρ παραχώρησιν αὐτοῦ, ὡς ἐνέργειαν καὶ ποίησιν αὐτοῦ, σύνηθες λέγειν τῇ γραφῇ.

Χρυσοστόμου. Καὶ ὅταν οὖν λέγῃ ὁ Ἀπόστολος, "μὴ, ἐρεῖ

"τὸ πλάσμα τῷ πλάσαντι, τί με ἐποίησας οὕτως," οὐ τὸ αὐτεξούσιον ἀναιρῶν τοῦτο λέγει· ἀλλὰ δείκνυσι πόσου μέχρι δεῖ πείθεσθαι τῷ Θεῷ. εἰς γὰρ τὸ τὸν Θεὸν ἀπαιτεῖν εὐθύνας, οὐδὲν μᾶλλον τοῦ πηλοῦ διακεῖσθαι δεῖ. οὐ γὰρ δὴ μόνον ἀντιλέγειν οὐ χρὴ, οὐδὲ ζητεῖν, ἀλλ' οὐδὲ φθέγγεσθαι ὅλως, οὐδὲ ἐννοεῖν· ἀλλ' ἐοικέναι ἐκείνῳ τῷ ἀψύχῳ, καὶ ταῖς χερσὶν ἑπομένῳ τοῦ κεραμέως, καὶ περιαγομένῳ ὅπου περ ἂν ἐκεῖνος ἐθέλοι. εἰς τοῦτο γὰρ μόνον τὸ ὑπόδειγμα ἔλαβεν· οὐκ εἰς τὴν τῆς πολιτείας ἐπίδειξιν· ἀλλ' εἰς τὴν ἐπιτεταμένην ὑπακοὴν καὶ σιγήν. καὶ τοῦτο πανταχοῦ δεῖ παρατηρεῖν, ὅτι τὰ ὑποδείγματα οὐ πάντα καθόλου δεῖ λαμβάνειν, ἀλλὰ τὸ χρήσιμον αὐτῶν ἐκλεξαμένους, καὶ εἰς ὃ παρήχθησαν, τὸ λοιπὸν ἅπαν ἐᾶν. ὥσπερ οὖν ὅταν λέγῃ "ἀναπεσὼν ἐκοιμήθη ὡς λέων." τὸ ἄμαχον καὶ φοβερὸν ἐκλαμβάνει, οὐ τὸ θηριῶδες, οὐδ' ἄλλό τι τῶν τῷ λέοντι προσόντων. καὶ πάλιν ὅταν λέγῃ, "ἀπαντήσομαι αὐτοὺς ὡς ἄρκτος ἀπορουμένη," τὸ τιμωρητικόν. καὶ ὅταν λέγῃ, "ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον," τὸ δαπανητικὸν τὸ ἐκ τῆς κολάσεως λέγει. οὕτω καὶ ἐνταῦθα τὸν πηλὸν καὶ τὸν κεραμέα καὶ τὰ σκεύη ἐκλαμβάνειν ἀνάγκη. καὶ ὅταν δὲ λέγῃ "ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ, ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι, ὃ μὲν, εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν;" μὴ εἰς δημιουργίας λόγον ταῦτα νόμιζε εἰρῆσθαι τῷ Παύλῳ, μὴ δὲ εἰς γνώμης ἀνάγκην, ἀλλ' εἰς οἰκονομιῶν ἐξουσίαν καὶ διαφοράν.

Εἰ γὰρ μὴ οὕτως ἐκλάβοιμεν, ἀλλὰ περὶ γνώμης τῶν ἀγαθῶν καὶ οὐ τοιούτων, ἔσται ὁ αὐτὸς δημιουργὸς τούτων, καὶ ὁ ἄνθρωπος, πάσης αἰτίας ἐκτός· φανεῖται δὲ καὶ ὁ Παῦλος αὐτὸς ἑαυτῷ μαχόμενος, ὁ πανταχοῦ τὴν προαίρεσιν στεφανῶν. οὐδὲν τοίνυν ἐνταῦθα ἕτερον κατασκευάσαι βούλεται, ἢ ὅτι ὥσπερ ὁ κεραμεὺς ἐκ τοῦ αὐτοῦ φυράματος ἃ βούλεται ποιεῖ, καὶ οὐδεὶς ὁ ἀντιλέγων· οὕτω καὶ τὸν Θεὸν ἐκ τοῦ αὐτοῦ γένους τῶν ἀνθρώπων, τοὺς μὲν, κολάζοντα, τοὺς δὲ, τιμῶντα, μὴ περιεργάζου, ἀλλὰ προσκύνει μόνον, καὶ μιμοῦ τὸν πηλόν. καὶ καθάπερ ἐκεῖνος ἕπεται ταῖς χερσὶ τοῦ κεραμέως, οὕτω καὶ σὺ τῇ γνώμῃ τοῦ οἰκονομοῦντος ταῦτα. καὶ μὴ ἐπειδὴ τὸ αὐτὸ φύραμα τῆς οὐσίας ἡμῶν ἐστι, καὶ τὰς αὐτὰς προαιρέσεις πάντων εἶναι ἀξίου. οὐδὲ γὰρ ἐπὶ τοῦ κερα-

μέως, ἐκ τοῦ φυράματος τὸ ἄτιμον καὶ τὸ ἔντιμον· ἀλλὰ ἀπὸ τῆς χρήσεως τῶν μεταχειριζομένων. ὥσπερ οὖν καὶ ἐνταῦθα ἀπὸ τῆς προαιρέσεως.

Οἰκουμενίου. Ἐν δὲ τῷ, “ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου πᾶσαν,” δύναμιν τοῦ Θεοῦ, τὴν μακροθυμίαν ἀπέδωκέ τις. τί γὰρ οὐκ ἂν ἐκπλαγείη τοσοῦτον μακροθυμήσαντος τοῦ Θεοῦ. φησὶν οὖν, εἰς τοῦτο συγκεχώρηκα βασιλεῦσαι σε, ὅπως δειχθῇ, πῶς εἰμὶ μακρόθυμος.

Γρηγορίου Νύσσης. Τὸ δέ γε ἐσκληρύνθαι παρὰ Θεοῦ τὸν Αἰγύπτιον τύραννον, νοητέον, οὐχ ὡς τὴν ἀντιτυπίαν ἐν τῇ ψυχῇ αὐτοῦ τῆς θείας βουλήσεως ἐντιθείσης, ἀλλ᾽ ὡς τῆς προαιρέσεως, διὰ τῆς πρὸς τὴν κακίαν προσκλίσεως, τὸν ἐκμαλάσσοντα τὴν ἀντιτυπίαν λόγον, οὐ δεχομένης.

Θεοδωρήτου ἐκ τῶν εἰς τὴν Ἔξοδον. Μάλα μὲν γὰρ ῥάδιον ἦν τῷ Θεῷ, μετὰ τὴν πρώτην ἀπείθειαν πανωλεθρίαν ἐπαγαγεῖν. ἀλλὰ ἀφράστῳ κεχρημένος μακροθυμίᾳ, μετρίας αὐτῷ παιδαγωγίας ἐπήγαγε. ταῦτα δὲ ἀντίτυπον ἐποίει τὴν ἐκείνου καρδίαν. οἰόμενος γὰρ μὴ δύνασθαι τὸν Θεὸν μείζοσι χρήσασθαι τιμωρίαις, τῶν μετρίων κατεφρόνει μαστίγων. ὅτι δὲ ἡ ἀντιτυπία τῆς καρδίας καὶ ἡ σκληρότης ἐξ ἡμῶν αὐτῶν γίνεται, μάρτυς ὁ θεῖος Ἀπόστολος λέγων, “τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει. κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς.” κἀκεῖνο δὲ σκοπητέον, ὡς εἰ φύσει πονηρὸς ἦν ὁ Φαραὼ, οὐκ ἂν αὐτοῦ τὴν γνώμην ἐνήλλαξε. νῦν δὲ ὁρῶμεν ὑπὸ μὲν τῆς παιδείας αὐτὸν μαλαττόμενον. ὑπὸ δὲ τῆς μακροθυμίας σκληρυνόμενον. παιδευόμενος γὰρ, ἠντιβόλει τὸν νομοθέτην, “προσεύξασθε,” λέγων, “περὶ ἐμοῦ.” καὶ πάλιν, “ὁ Κύριος δίκαιος· ἐγὼ δὲ καὶ ὁ λαός μου ἀσεβής.” τῆς δὲ τιμωρίας παυομένης, ἐβαρύνετο καὶ ἐσκληρύνετο. ἵνα δὲ καὶ ἔκ τινος εἰκόνος τὸ ἀμφιβαλλόμενον λύσωμεν· ὁ ἥλιος τῇ τῆς θέρμης ἐνεργείᾳ, τὸν μὲν κηρὸν, ὑγραίνει, τὸν δὲ πηλὸν ξηραίνει. καὶ τὸν μὲν, μαλάττει, τὸν δὲ, σκληρύνει. ὥσπερ τοίνυν οὗτος, τῇ ἐνεργείᾳ τῇ μιᾷ τὰ ἐναντία ποιεῖ· οὕτως τῇ τοῦ Θεοῦ τῶν ὅλων μακροθυμίᾳ, οἱ μὲν, ὠφέλειαν, οἱ δὲ, βλάβην καρποῦνται. καὶ οἱ μὲν, μαλάττονται, οἱ δὲ, σκληρύνονται. ὥσπερ δὲ οἱ ἰατροὶ,

τοὺς ἀνηκέστως διακειμένους, πολλῶν παρόντων τέμνουσιν· οὐκ ἐκείνοις ἐπικουροῦντες, ἴσασι γὰρ αὐτῶν τὴν νόσον ἀνίατον· ἀλλὰ τοὺς φοιτητὰς τὸν τῆς ἰατρείας διδάσκοντες τρόπον. οὕτω καὶ τὸν Φαραὼ, ὠμοτάτῃ καὶ θηριώδει χρησάμενον γνώμῃ, ταῖς παντοδαπαῖς τιμωρίαις ὑπέβαλεν ὁ Θεός. πάντας ὡς ἐπίπαν διδάσκων ἀνθρώπους, ὡς αὐτὸς ἰθύνει τὴν κτίσιν· καὶ τοῖς μὲν ἀδικουμένοις ἐπαμύνει δικαίως, κολάζει δὲ τοὺς ἀδικοῦντας ἐνδίκως. τοῦτο γὰρ καὶ πρὸς αὐτὸν ἔφη τὸν Φαραώ. "ἕνεκεν τούτου διετηρήθη· ἵνα "ἐνδείξωμαι ἔν σοι τὴν ἰσχύν μου. καὶ ὅπως διαγγελῇ τὸ ὄνομά "μου ἔν πάσῃ τῇ γῇ."

Βασιλείου ἐκ τοῦ ὅτι οὐκ ἔστιν αἴτιος τῶν κακῶν ὁ Θεός. Ἐσκλήρυνεν οὖν αὐτὸν τῇ μακροθυμίᾳ, καὶ τῃ τῆς τιμωρίας ἀναβολῇ· ἐπιτείνων αὐτοῦ τὴν κακίαν· ἵνα εἰς τὸν ἔσχατον ὅρον αὐξηθείσης αὐτοῦ τῆς πονηρίας, τὸ δίκαιον ἐπ' αὐτῷ τῆς θείας κρίσεως διαφανῇ. διὰ τοῦτο ὑπὸ μικροτέρων πληγῶν ἀεὶ προστιθεὶς, καὶ ἐπιτείνων τὰς μάστιγας, οὐκ ἐμάλαξεν αὐτοῦ τὸ ἀνυπότακτον· ἀλλ' εὕρισκεν αὐτὸν καὶ τῆς ἀνοχῆς καταφρονοῦντα, καὶ τοῖς ἐπαγομένοις αὐτῷ δεινοῖς ὑπὸ τῆς συνηθείας ἐμμελετήσαντα.

Ὠριγένους ἐκ τῶν ἐκλογῶν. Τὸ δὲ "σὺ τίς εἶ ὁ ἀνταποκρι- "νόμενος τῷ Θεῷ," τάχα διδάσκει, ὅτι ὁ μὲν παρρησίαν ἔχων πρὸς τὸν Θεὸν, ὡς πιστὸς καὶ εὖ βιοὺς, οὐκ ἂν ἀκοῦσαι, "σὺ δὲ "τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ;" ὁποῖος ἦν Μωσῆς. Μωσῆς γὰρ ἐλάλει, "ὁ δὲ Θεὸς ἀπεκρίνατο φωνῇ." καὶ ὡς ἀποκρίνεται ὁ Θεὸς πρὸς Μωσέα, οὕτως ἀποκρίνεται καὶ ὁ ἅγιος πρὸς τὸν Θεόν. ὁ δὲ ταύτην μὴ κτησάμενος τὴν παρρησίαν, δηλονότι ἢ ἀπολωλεκὼς, ἢ περὶ τούτων οὐ κατὰ φιλομάθειαν, ἀλλὰ κατὰ φιλονεικίαν ζητῶν, καὶ διὰ τοῦτο λέγων, "τί ἔτι μέμφεται; τῷ γὰρ θελή- "ματι αὐτοῦ τίς ἀνθέστηκεν;" οὗτος ἂν ἄξιος εἴη τῆς ἐπιπλήξεως τῆς λεγούσης, "σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ;

Γενναδίου. Ἕτερος δὲ τοῦτο οὕτως ἑρμήνευσεν. ἐρωτᾷς με, "τίς ἀνθέστηκεν αὐτοῦ τῷ βουλήματι;" ἐγὼ δέ σοι λέγω, ὅτι σὺ πρὸ πάντων, ὁ ἀνταποκρινόμενος τῷ Θεῷ. τίς μὲν γὰρ εἶ που πάντως· καὶ οὐκ ἂν οὐδεὶς εἶναι ποτὲ καταδέξαιο. ἀντιλέγων δὲ Θεῷ, πῶς οὐκ ἀνθέστηκας; οὐκοῦν τοῖς αὐτοῦ λόγοις ἑάλως· καὶ οἷς ἀρνῇ, τούτοις ὁμολογεῖς τὴν ἀντίστασιν. καὶ σαυτοῦ, πρὸ

ἐμοῦ κατήγορος γέγονας. ζητεῖς μὲν γὰρ, τίς ἀνθέστηκε; τίς δὲ ὑπάρχεις αὐτός; εἰ μὲν οὖν ὁμολογεῖς εἶναι μηδεὶς, συγχωρῶ σοι τὸ μέμφεσθαι τοῖς ἀνθρώποις εἰκῇ τὸν Θεόν. εἰ δὲ εἶ τίς, κἂν μυριάκις ἀρνοῖο, δίκαιος ὁ Θεὸς ἀποδέδεικται. καὶ παρὰ σοῦ πρώτου φέρεται τὴν νικῶσαν. ἀλλὰ γὰρ ὃ τινῶν ἐπὶ τοῦ παρόντος τεθαύμακα, τοῦτο καὶ πρὸς σὲ, φίλτατέ μοι Πέτρε, βούλομαι διελθεῖν. ἐπιχειρήσαντες τουτὶ τῆς Ἐπιστολῆς τὸ μέρος ἑρμηνεῦσαι τινές· εἶτα οὐκ ἐξαρκέσαντες, τοῦ ἁγίου Παύλου τὴν οἰκείαν ἀπορίαν οὐκ ὤκνησαν καταψεύσασθαι. οὐ γὰρ ἐπιλυόμενον αὐτὸν τὰ παρὰ τῶν ἐναντίων προβλήματα, τὸ "μενοῦνγε ὦ ἄνθρωπε, σὺ τίς "εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ," ἔφησαν εἰρηκέναι, ἀλλ' ἐπιτιμῶντα καὶ ἐπιπλήττοντα, καὶ μονονοὺ βεβαιοῦντα τὸ τῷ Θεῷ παρ' ἐκείνων ἐπαγόμενον κατηγόρημα. εἰ γὰρ οὐκ ἀποδίδωσι λόγον τοῦ πράγματος, ἀλλὰ τὰ τῆς ἐξουσίας χρηστοῦ τοῦ Θεοῦ προτεινόμενος, ἐπιστομίζει τὸν ἀντιλέγοντα· τῷ ἐκείνου λόγῳ συντρέχων, σαφῶς ἐλέγχεται συνομολογεῖν οὐ δικαίως, ἀλλ' αὐθεντίᾳ τὸν Θεὸν τὰ ἀνθρώπινα πράττειν. τοῖς δὲ, προσήκειν ἡσυχῇ στέργειν ὅπως ἂν ἔχοι τὰ κατ' αὐτούς· ἐοικότας τοῖς ὑπὸ τῶν κεραμέων πλαττομένοις σκεύεσιν· οὐ διαδικάζεσθαι πρὸς τὸν δημιουργήσαντα φαύλους· εἶτα διότι φαῦλοι μεμφόμενον. οὓς εἰ μηδὲν ἄλλο τῶν ὅλων, τοῦτο γοῦν ἐχρῆν συνιδεῖν, ὡς εἴπερ ὁ Ἀπόστολος ἠπίστατο μὴ δυνάμενος, κατὰ τὸν λόγον ἐκείνων, ἀπαντῆσαι ταῖς προτάσεσι ταύταις, οὐκ ἂν αὐτὰς προὔβάλετο τὰς ἀρχάς. οὐ γὰρ καὶ τοῦτο δήπουθεν ἠδύνατο· οὐδ' ἂν αὐτὸς λαβὰς εἰς κατάλυσιν τοῦ ἰδίου κηρύγματος τοῖς ἀντιπάλοις παρείχετο. καθάπερ τὰ ἐκείνων, οὐ τὰ οἰκεῖα προηρημένος συνιστᾶν. τοῦτο γὰρ οὐδ' ἂν ἔπαθεν ὁ πάντων εὐηθέστερος. ἀλλ' οὐχ οὕτως ἔχει. τεθαρρηκὼς δὲ οἶμαι Χριστῷ καὶ τῇ ἀληθείᾳ συνηγορῶν, οὐδεμίαν τοῖς ἐναντίοις ὑπελείπετο πρόφασιν. ἀλλ' ὥσπερ τῶν ἄλλων ἁπασῶν ἀντιθέσεων, οὕτω καὶ ταύτης ἰσχυροτέραν ἐποιήσατο τὴν ἀναίρεσιν. καὶ τῶν βλασφήμων ἀπορράψας τὰ στόματα, προσεπάγει τούτοις καὶ ἕτερον ἐκ παραδείγματος τῷ πράγματι προσφυοῦς. τὸ μὲν ἐκείνων ἐπὶ πλέον ἀνατρέπων φρόνημα, τὸ δὲ εὐσεβὲς συνιστάς. μὴ, ἐρεῖ, φησὶν, τὸ πλάσμα τῷ πλάσαντι, τί με ἐποίησας οὕτως; οὕτω μέν, φησιν, αὐτὸς ὑφ' ἑαυτοῦ διηλέγχθης. ἀνθιστάμενος

δὲ ἐγκαλεῖς Θεῷ, καὶ λέγεις "τί ἔτι μέμφεται;" ταῦτα πρὸς τοῦτο, "τῷ γὰρ βουλήματι αὐτοῦ τις ἀνθέστηκεν," ἀντειπὼν, ἑρμηνεύει λοιπὸν καὶ τῶν προτεθεισῶν ῥήσεων τὸν σκοπόν. ὧν ἐν μὲν τῇ πρὸς τὸν Μωϋσέα δηλοῦται φιλάνθρωπος· ἐν δὲ τῇ πρὸς τὸν Φαραὼ, τιμωρητικὸς ὁ Θεός * * *

22 Θέλων ὁ Θεὸς ἐνδείξασθαι τὴν ὀργὴν, καὶ γνώρισαι
τὸ δυνατὸν αὐτοῦ, ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ σκεύη
23 ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν· καὶ ἵνα γνωρίσῃ τὸν
πλοῦτον τῆς δόξης αὐτοῦ ἐπὶ σκεύη ἐλέους, ἃ προητοί-
24 μασεν εἰς δόξαν αὐτοῦ, οὓς καὶ ἐκάλεσεν ἡμᾶς οὐ μό-
νον ἐξ Ἰουδαίων, ἀλλὰ καὶ ἐξ ἐθνῶν.

Τοῦ Χρυσοστόμου. Ἐπιστομίσας τὴν ἄκαιρον τῶν ἀντιλεγόντων φιλονεικίαν, μετὰ τῆς προσηκούσης ὑπερβολῆς, ἐπάγει λοιπὸν καὶ τὴν λύσιν. τίς οὖν ἡ λύσις; σκεῦος ὀργῆς ἦν Φαραώ· τουτέστιν ἄνθρωπος, τοῦ Θεοῦ τὴν ὀργὴν ἀνάπτων, διὰ τῆς οἰκείας σκληρότητος. πολλῆς γὰρ ἀπολαύσας μακροθυμίας, οὐκ ἐγένετο βελτίων, ἀλλ' ἀδιόρθωτος ἔμενε. διὸ οὐδὲ σκεῦος ὀργῆς αὐτὸν ἐκάλεσε μόνον, ἀλλὰ "κατηρτισμένον εἰς ἀπώλειαν." τουτέστιν, ἀπηρτισμένον· οἴκοθεν μέντοι καὶ παρ' ἑαυτοῦ. οὔτε γὰρ ὁ Θεὸς ἐνέλιπέ τι τῶν εἰς τὴν διόρθωσιν ἡκόντων τὴν ἐκείνου, οὔτε αὐτὸς ἐνέλιπέ τι τῶν ἀπολλύντων αὐτὸν, καὶ πάσης ἀποστερούντων συγγνώμης. ἀλλ' ὅμως καὶ ταῦτα εἰδὼς ὁ Θεὸς, ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ· βουλόμενος αὐτὸν εἰς μετάνοιαν ἀγαγεῖν. ἐπεὶ δὲ οὐκ ἐθέλησεν ἐκεῖνος εἰς μετάνοιαν τῇ μακροθυμίᾳ χρήσασθαι, ἀλλὰ ἀπήρτισεν ἑαυτὸν εἰς ὀργὴν, ἐχρήσατο αὐτῷ εἰς τὴν ἑτέρων διόρθωσιν· διὰ τῆς εἰς ἐκεῖνον κολάσεως, ἑτέρους σπουδαιοτέρους ποιῶν· καὶ τὴν δύναμιν αὐτοῦ, ταύτῃ δεικνύς.

Ὅτι δὲ οὐ βούλεται ὁ Θεὸς οὕτως αὐτοῦ γνωρίσαι τὸ δυνατόν· ἀλλὰ δι' ὧν εὐεργετεῖ, καὶ τοῦτο διὰ πάντων ἐδήλωσεν ἄνωθεν. ἀλλ' ἐπειδὴ ἐμακροθύμησε μὲν, εἰς μετάνοιαν ἵνα ἀγάγῃ· οὐ μετενόησε δὲ ἐκεῖνος, ἤνεγκεν αὐτὸν ἐπὶ πολὺν χρόνον· ὁμοῦ μὲν τὴν αὐτοῦ χρηστότητα ἐπιδεικνύμενος, ὁμοῦ δὲ καὶ τὴν δύναμιν, εἰ μὴ βουληθείη τι κερδᾶναι ἀπὸ τῆς πολλῆς μακροθυμίας. ὥσπερ

οὖν τοῦτον ἀδιόρθωτον μείναντα κολάσας, ἔδειξεν αὐτοῦ τὴν δύναμιν· οὕτω τοὺς πολλὰ ἁμαρτήσαντας καὶ μετανοήσαντας ἐλεήσας, ἐδήλωσεν αὐτοῦ τὴν φιλανθρωπίαν. ἀλλ' οὐκ εἶπε τὴν φιλανθρωπίαν, ἀλλὰ τὴν δόξαν. δεικνὺς ὅτι τοῦτο μάλιστα δόξα Θεοῦ· καὶ τοῦτο πρὸ τῶν ἄλλων ἐσπούδακεν. ὅταν δὲ λέγῃ "ἃ προητοίμασεν "εἰς δόξαν," τοῦ Θεοῦ τὸ πᾶν εἶναι φησί. ἐπεὶ δὲ τοῦτο ἦν, οὐδὲν ἐκώλυεν ἅπαντας σώζεσθαι. ἀλλὰ πάλιν αὐτοῦ τὴν πρόγνωσιν δείκνυσιν· ἀναιρεῖ τὲ τὸ μέσον Ἰουδαίων καὶ ἐθνῶν. καὶ οὐ μικρὰν ἐντεῦθεν τῷ λόγῳ κατασκευάζει πάλιν ἀπολογίαν. οὐδὲ γὰρ μόνον ἐπὶ τῶν Ἰουδαίων, οἱ μὲν, ἀπώλοντο, οἱ δὲ, ἐσώθησαν. ἀλλὰ καὶ ἐπὶ τῶν ἐθνῶν τοῦτο γέγονε. διόπερ οὐ λέγει τὰ ἔθνη πάντα, ἀλλ' "ἐξ ἐθνῶν." οὐδὲ Ἰουδαίους πάντας, ἀλλὰ "τοὺς ἀπὸ Ἰουδαίων. ὥσπερ οὖν ὁ Φαραὼ σκεῦος ὀργῆς γέγονεν, ἀπὸ τῆς οἰκείας παρανομίας, οὕτω καὶ οὗτοι σκεύη ἐλέους, ἀπὸ τῆς οἰκείας εὐγνωμοσύνης. εἰ γὰρ καὶ τὸ πλεῖστον ἐστὶ τοῦ Θεοῦ, ἀλλ' ὅμως καὶ αὐτοὶ[y] συνεισηνέγκαμεν. διὸ οὐδὲ εἶπε σκεύη κατορθωμάτων, οὐδὲ σκεύη παρρησίας, ἀλλὰ "σκεύη ἐλέους." δεικνὺς, ὅτι τὸ πᾶν ἐστὶ τοῦ Θεοῦ. καὶ γὰρ τὸ, "οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος," εἰ καὶ ἐν τάξει ἀντιθέσεως εἴρηται, ἀλλ' ὅμως καὶ παρὰ τοῦ Παύλου λεγόμενον, ἀπορίαν οὐδεμίαν φέρει. ὅταν γὰρ εἴπῃ, "οὐ τοῦ θέλοντος οὐδὲ τοῦ τρέχοντος," οὐ τὴν ἐξουσίαν ἀναιρεῖ· ἀλλὰ δείκνυσιν ὅτι οὐ τὸ πᾶν αὐτοῦ ἐστιν, ἀλλὰ δεῖται τῆς ἄνωθεν χάριτος. ἔδει μὲν γὰρ καὶ θέλειν καὶ τρέχειν· θαρρεῖν δὲ μὴ τοῖς οἰκείοις πόνοις, ἀλλὰ τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ.

Καὶ καλῶς εἶπεν "ἃ προητοίμασεν εἰς δόξαν." ἐπειδὴ γὰρ τοῦτο ὠνείδιζον, ὅτι χάριτι ἐσώθησαν· καὶ καταισχύνειν αὐτοὺς ἐνόμιζον· ἐκ πολλῆς τῆς περιουσίας ταύτην ἀναιρεῖ τὴν ὑπόνοιαν. εἰ γὰρ τῷ Θεῷ δόξαν τὸ πρᾶγμα ἤνεγκε, πολλῷ μᾶλλον ἐκείνοις. δι' ὧν καὶ ὁ Θεὸς ἐδοξάσθη. σκόπει δὲ αὐτοῦ σοφίαν ἄφατον. δυνάμενος γὰρ μὴ τὸν Φαραὼ παρενεγκεῖν εἰς τὸν περὶ τῶν κολαζομένων λόγον, ἀλλ' ἐξ Ἰουδαίων τοὺς ἡμαρτηκότας, καὶ σαφέστερον μᾶλλον ποιῆσαι τὸν λόγον, καὶ δεῖξαι ὅτι ἔνθα οἱ αὐτοὶ πατέρες, ἔνθα τὰ αὐτὰ ἁμαρτήματα, οἱ μὲν, ἀπώλοντο, οἱ δὲ,

y I. marg. a m. r. τὶ μικρόν.

ἐσώθησαν. καὶ πεῖσαι μηκέτι διαπορεῖν. εἰ καὶ ἐξ ἐθνῶν τινὲς ἐσώθησαν, Ἰουδαίων ἀπολομένων. ἵνα μὴ ποιήσῃ τὸν λόγον φορτικὸν, τὴν μὲν τῆς κολάσεως ἐπίδειξιν, ἀπὸ τοῦ βαρβάρου παράγει. ὥστε μὴ ἀναγκασθῆναι αὐτοὺς σκεύη ὀργῆς καλέσαι. τοὺς δὲ ἐλεουμένους, ἀπὸ τοῦ δήμου τῶν Ἰουδαίων παράγει. πόθεν οὖν οἱ μὲν, σκεύη ὀργῆς, οἱ δὲ ἐλέους; ἀπὸ προαιρέσεως οἰκείας. ὁ δὲ Θεὸς σφόδρα ἀγαθὸς ὢν, ἐπ' ἀμφοτέρων τὴν αὐτὴν ἐπιδείκνυται χρηστότητα. καὶ γὰρ οὐχὶ τοὺς σωζομένους ἠλέησε μόνον, ἀλλὰ καὶ τὸν Φαραώ, τόγε αὐτοῖς μέρος. τῆς γὰρ αὐτῆς μακροθυμίας, καὶ ἐκεῖνοι καὶ οὗτος ἀπήλαυσαν· εἰ δὲ μὴ ἐκεῖνος ἐσώθη, παρὰ τὴν αὐτοῦ γνώμην τὸ πᾶν.

Κυρίλλου. Τὸ μὲν οὖν "ἐξήγειρά σε" πρὸς τὸν Φαραὼ εἰρημένον, οὐ τὸ, ἔκτισα σημαίνει· κέκληκα δὲ, εἰς τὸ θελῆσαι ἀντιπράττειν ἐμοί. καὶ οὐκ ἐν ἀρχῇ τῆς γεννήσεως, ἀλλ' ὅτε Μωσῆς ἀπεστέλλετο λυτρωσόμενος τὸν Ἰσραήλ. ἐπὶ ποίοις δέ τισιν, ἢ καὶ ὅτου χάριν, ὁ μέγας ἡμῖν διατρανώσει Παῦλος. "θέλων γὰρ," φησι, "ἐνδείξασθαι τὴν ὀργήν," καὶ τὰ ἑξῆς. πεπλάνηται γὰρ ἡ σύμπασα γῆ, κατάγε τοὺς ἄνωθεν ἔτι καιρούς. οἱ μὲν γὰρ, τῇ κτίσει λελατρεύκασιν, οἱ δὲ, τὸ δοκοῦν ἐποιοῦντο σέβας. κέκληται δὲ μόλις εἰς ἐπίγνωσιν Ἁβραάμ. ἀνέφυ τε οὕτω τὸ ἐξ αὐτοῦ γένος, ταῖς εἰς Θεὸν λατρείαις προσκείμενον. ἐπειδὴ δὲ καὶ αὐτοὶ κατέβησαν εἰς Αἴγυπτον, εἶτα χρόνους ἐν αὐτῇ διατετρίβασι μακροὺς, κατώλισθον εἰς ἀπάτην, καὶ τοῖς ἐγχωρίοις λελατρεύκασι Θεοῖς. ἀλλ' ἐμέμνητο Θεὸς τῶν τοῖς πατράσιν ἐπηγγελμένων· καὶ προκεχείριστο μὲν εἰς ἀποστολὴν ὁ Μωσῆς, ἵνα τῆς δουλείας ἀπολύσῃ τὸν Ἰσραήλ. ἀλλ' ἦν ἀναγκαῖον καὶ τοῖς καλουμένοις εἰς τὴν ὑπ' αὐτὸν λατρείαν καὶ πᾶσι τοῖς ἐπὶ γῆς, τὸ μὴ πυθέσθαι μόνον, ὅτι πεφανέρωται διὰ χρόνων μακρῶν ὁ τῶν Ἑβραίων Θεός· ἀλλὰ γὰρ καὶ ταῖς ἄγαν θαυματουργίαις προσεμπεδοῦσθαι εἰς τὴν ὑπ' αὐτὸν πίστιν καὶ δόξαν· ὅτι μὴ κατὰ τοὺς ἄλλους ἔστι θεοὺς, ἄφωνός τε καὶ ἄναλκις· πηδαλιουχεῖ δὲ μᾶλλον τὸ σύμπαν αὐτός. καὶ ὅτι τοῖς ἀντιπράττουσι τοῖς αὐτοῦ νεύμασι, κατασκήπτουσιν ὀργαί. ἀλλ' ἔδει πάλιν τερατουργεῖν ἐθέλοντα τὸν Θεὸν, εὐαφόρμως ὁρᾶσθαι πρὸς τοῦτο ἰόντα. ἐξεγήγερται τοίνυν ὁ Φαραὼ πρὸς ἀντίστασιν οἰκονομικῶς· καὶ κατε-

σκληρύνετο τῆς θείας δυνάμεως. ταύτῃ τοι, ἐκολάζετο οὐκ ἀδίκως. ἀνόσιός τε γὰρ ἦν καὶ εἰδωλολάτρης· κατῴκιζέ τε τῷ πηλῷ καὶ τῇ πλινθείᾳ τὸν Ἰσραήλ· καὶ μισθὸν αὐτοῖς ἐπήρτισε, πόνον. διὸ καὶ σκεῦος ὀργῆς κεχρημάτικεν ἀναγκαίως, καὶ κατήρτιστο εἰς ἀπώλειαν. τουτέστιν, εἰς τοῦτο φαυλότητος διήλασε τρόπων, ὡς σκεῦος εἶναι λοιπὸν ὀργῆς τὲ καὶ ἀπωλείας. τούτῳ Θεὸς προσεχρήσατο πρὸς ἔνδειξιν τῆς ἐνούσης ἰσχύος αὐτῷ, ἵνα διαγγελῇ τὸ ὄνομα αὐτοῦ ἐν πάσῃ τῇ γῇ, καὶ ἵνα παθὼν αὐτὸς, ὁρῷτο τοῦ παθεῖν ἄξιος· ὧγε τὸ παθεῖν ὠφείλετο διὰ πρώτας ἁμαρτίας, καὶ εἰ μὴ προσκέκρουκε διὰ τῶν δευτέρων. οὐκοῦν λελύσθω πᾶς λόγος καὶ φλυαρία κατὰ τοῦ Θεοῦ. θέλων γὰρ ἐνδείξασθαι τὴν ὀργὴν, καὶ γνωρίσαι τὸ δυνατὸν, ἤνεγκε πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν, ἵνα ὠφελήσῃ σκεύη ἐλέους. τουτέστι, τοὺς ἠλεημένους διὰ πίστεως· κεκλήμεθα γὰρ οὐ μόνον ἐξ Ἰουδαίων, ἀλλὰ καὶ ἐξ ἐθνῶν.

Γεννάδιος. *Βούλεται τοίνυν ὁ Παῦλος εἰπεῖν ἐν τούτοις, ὅτι λίαν εἴρηται κάλλιστα πρός τε τὸν Μωσέα, "ἐλεήσω ὃν ἂν ἐλεῶ, "καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω." καὶ πρὸς τὸν Φαραὼ, τὸ, "εἰς "αὐτὸ τοῦτο ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν "μου." θέλων γάρ, φησι, ὁ Θεὸς γνώριμον ἅπασι τὴν οἰκείαν ἐργάσασθαι δύναμιν. μεθ' ἧς τοὺς μὲν ὀργῆς ἀξίους, κολάσει. τοὺς δὲ οἰκτιρμῶν, ἐλεήσει· τὰ κατὰ τοὺς Αἰγυπτίους καὶ τοὺς Ἰσραηλίτας ἐπραγματεύσατο. διδασκαλίαν τῆς οἰκείας δικαιοκρισίας, ταύτην κοινὴν τῷ κόσμῳ προθείς. παμπονήρων γὰρ καὶ δυσσεβῶν ὄντων τῶν περὶ τὸν Φαραὼ, καὶ τὴν ἐσχάτην δίκην ὑπομεῖναι δικαίων, μακροθυμίᾳ μὲν τὴν κατ' αὐτῶν ἀνεβάλετο τιμωρίαν, καὶ συνεχώρησεν ὑψωθῆναι κατὰ τοῦ ἰδίου λαοῦ. περιβλέπτους δὲ καὶ περιβοήτους ἤδη δι' ὠμότητα καταστάντας, ἐμφανῶς ἀπολώλεκε. καὶ τὸ τῶν Ἰσραηλιτῶν ἐλεήσας, πανδημεὶ διεσώσατο γένος. αὕτη μὲν τῆς ἀποστολικῆς ῥήσεως ἡ διάνοια. ἐνδεῖ δὲ αὐτῇ πρὸς ἀποπλήρωσιν, τὸ τοῦτο μέμφῃ. ἵνα ᾖ τοιοῦτον τὸ πᾶν. εἰ δὲ θέλων ὁ Θεὸς ἐνδείξασθαι τὴν ὀργήν· καὶ γνωρίσαι τὸ δυνατὸν αὐτοῦ, ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν. καὶ ἵνα γνωρίσῃ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ ἐπὶ σκεύη ἐλέους, ἃ προητοίμασεν εἰς δόξαν, τοῦτο κατηγορεῖς; πλη-*

ρώσας μέντοι τὰ πρὸς τὴν παροῦσαν ἀντίθεσιν ἄχρι τούτου, πρὸς τὴν τοῦ ζητήματος ἔρχεται λύσιν. ἀκόλουθον τοῖς προκειμένοις τὴν ἀπὸ τῆς παρενθέσεως ἐπάνοδον πρὸς τὰ πρότερα ποιησάμενος. εἰπὼν γὰρ "ἃ προητοίμασεν εἰς δόξαν," εἰρημένον περὶ τῶν ἐξ Αἰγύπτου, συνῆψεν, "οὓς καὶ ἐκάλεσεν ὑμᾶς, οὐ μόνον ἐξ Ἰου-"δαίων, ἀλλὰ καὶ ἐξ ἐθνῶν." ὥστε καὶ νῦν παραπλησίως φησὶ τῇ αὐτοῦ κρίσει τὲ καὶ προγνώσει δικαία τοὺς ἐξ Ἰουδαίων τὲ ἡμᾶς καὶ ἐθνῶν προσδραμόντας αὐτῷ κέκληκεν ὁ Θεός· καταλελοιπὼς τοὺς οὐ βουληθέντας. καὶ καινὸν οὐδὲν παρὰ τὰ πρόσθεν ἐστὶ τὸ συμβὰν ἐφ' ἡμῶν.

Θεοδωρήτου. Ἔφη δέ τις ὑποστίξαι δεῖν, εἰς τὸ, "εἰ δέ." λέγειν εἰπὼν τὸν Ἀπόστολον. εἰ τοῦτο ποθεῖς μαθεῖν, τίνος ἕνεκα πλειόνων ἁμαρτανόντων, τοὺς μὲν, κολάζει, τοὺς δὲ, δι' ἐκείνων εὐεργετεῖ. καὶ πολλῶν τὴν ἀρετὴν μετιόντων· τοὺς μὲν, περιφανεῖς ἀποφαίνει· τοῖς δὲ, διὰ τούτων ὑποφαίνει τὰς τῶν μελλόντων ἐλπίδας, ἄκουσον τῶν ἑξῆς. "θέλων γάρ," φησι, "ὁ Θεὸς ἐνδεί-"ξασθαι τὴν ὀργὴν," καὶ τὰ ἑξῆς. δι' ὧν τοῦτο ἐμφαίνει, οὐχ ὁ Θεὸς δημιουργὸς τῆς τοῦ Φαραὼ πονηρίας, ἀλλ' αὐτὸς τῇ μακροθυμίᾳ συνήθως ἐχρήσατο· ἐκεῖνος δὲ ὑπέλαβε τὴν μακροθυμίαν ἀσθένειαν· καὶ διὰ ταύτης τὴν οἰκείαν ηὔξησεν ἀπείθειαν. ἀλλ' ὅμως σοφὸς ὢν τῶν ὅλων ὁ πρύτανις, καὶ τούτῳ δικαίαν τὴν τιμωρίαν ἐπήγαγε, καὶ ἐκ τῆς τούτου πονηρίας τοῖς ἄλλοις ἀλεξίκακον κατεσκεύασε φάρμακον. οὕτω καὶ ὁ Θεὸς, οὐκ ἠβούλετο μὲν τὸν Φαραὼ τῆς τιμωρίας μεταλαχεῖν. ἐπειδὴ δὲ εἰς πολλὴν ἐκεῖνος θηριωδίαν ἐξώκειλε, παντοδαπὰς μὲν αὐτῷ τιμωρίας ἐπήγαγε· τὴν δὲ οἰκείαν πᾶσιν ἀνθρώποις ἐπέδειξε δύναμιν. σκεύη δὲ ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν καλεῖ, τοὺς αὐθαιρέτῳ γνώμῃ τοῦτο γεγενημένους. τοῦτο γὰρ καὶ Τιμοθέῳ γέγραφεν· "ἐν οἰκίᾳ "μεγάλῃ οὐκ ἔστι μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ "ξύλινα καὶ ὀστράκινα. καὶ τὰ μὲν, εἰς τιμὴν, τὰ δὲ, εἰς ἀτι-"μίαν." καὶ διδάσκων ὡς ἑκών τις τοῦτο γίνεται ἢ ἐκεῖνο, ἐπήγαγεν, "ἐὰν οὖν τις ἑαυτὸν ἐκκαθάρῃ ἀπὸ τῶν τοιούτων, ἔσται "σκεῦος εἰς τιμὴν ἡγιασμένον καὶ εὔχρηστον τῷ δεσπότῃ· εἰς "πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον." οὕτω καὶ σκεύη ἐλέους ἐκάλεσε, τοὺς τῆς θείας φιλανθρωπίας ἀξίους. τὸ δὲ, "ἃ προητοί-

“ μασεν εἰς δόξαν,” τὴν πρόγνωσιν τὴν θείαν παραδηλοῖ. τοῦτο γὰρ καὶ ἐν τοῖς πρόσθεν εἴρηκεν. “ οὓς προέγνω, καὶ προώ-“ ρισεν.”

Βασιλείου ἐκ τοῦ, ὅτι οὐκ ἔστιν αἴτιος τῶν κακῶν ὁ Θεός. Ὥστε κἂν λέγῃ ὁ Ἀπόστολος “ σκεύη ὀργῆς κατηρτι-“ σμένα εἰς ἀπώλειαν,” μὴ κατασκευήν τινα πονηρὰν οἰηθῶμεν, τοῦ Φαραὼ εἶναι. οὕτω γὰρ ἐπὶ τὸν κατασκευάσαντα δικαιότερον ἡ αἰτία μετενεχθήσεται. ἀλλ᾽ ὅταν ἀκούσῃς “ σκεύη,” νόει, ὅτι ἕκαστος ἡμῶν πρός τι χρήσιμος πεποίηται. καὶ ὥσπερ ἐν τῇ μεγάλῃ οἰκίᾳ, τὸ μέν ἐστι σκεῦος χρυσοῦν· τὸ δὲ, ἀργυροῦν, τὸ δὲ ὀστράκινον· τῆς προαιρέσεως ἑκάστου τὴν πρὸς τὰς ὕλας ὁμοιότητα παρεχομένης. καὶ χρυσοῦν μέν ἐστι σκεῦος, ὁ καθαρὸς τὸν τρόπον καὶ ἄδολος· ἀργυροῦν δὲ, ὁ ὑποδέστερος ἐκείνου κατὰ τὴν ἀξίαν· ὀστράκινον δὲ, ὁ τὰ γήϊνα φρονῶν καὶ πρὸς συντριβὴν ἐπιτήδειος. καὶ ξύλινον, ὁ εὐκόλως διὰ τῆς ἁμαρτίας καταρρυπτούμενος, καὶ ὕλη γινόμενος τῷ αἰωνίῳ πυρί. οὕτω καὶ ὀργῆς σκεῦος ὁ πᾶσαν τὴν τοῦ διαβόλου ἐνέργειαν ὥσπερ ἀγγεῖον χωρήσας, καὶ διὰ τὴν ἐγγενομένην αὐτῷ ἐκ τῆς φθορᾶς δυσωδίαν, οὐκέτι ἀχθῆναι πρὸς χρῆσιν δυνάμενος. ἀλλ᾽ ἀφανισμοῦ μόνου καὶ ἀπωλείας ὢν ἄξιος. διόπερ ἐπειδὴ ἔδει συντριβῆναι αὐτὸν, ὁ φρόνιμος καὶ πιστὸς τῶν ψυχῶν οἰκονόμος, διῳκήσατο αὐτὸν περιφανῆ γενέσθαι καὶ πᾶσιν ἐξάκουστον. ἵνα ἄλλοις γοῦν ὠφέλιμος διὰ τοῦ πάθους γένηται. ἐπειδὴ αὐτὸς ὑπὸ τῆς ἄγαν κακίας ἀνίατος ἦν.

$\overset{\hat{\alpha}}{\Delta}$, (sic). Εἰ δὲ λέγεις, τίνος ἕνεκεν προγινώσκων ὁ Θεὸς τοὺς τοιούτους ἁμαρτάνειν μέλλοντας καὶ μὴ μετανοεῖν, ἔκτισεν, ἄκουσον. ὁ Θεὸς δι᾽ ἀγαθότητα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παράγει τὰ γινόμενα· καὶ τῶν πάντων ἐσομένων προγνώστης ἐστίν. εἰ μὲν οὖν μὴ ἔμελλον ἔσεσθαι, οὐδ᾽ ἂν κακοὶ ἔμελλον ἔσεσθαι. πρῶτον γὰρ τὸ εἶναι, καὶ τότε τὸ, καλὸν ἢ κακὸν εἶναι. εἰ δὲ μέλλοντας ἔσεσθαι διὰ τὴν τοῦ Θεοῦ ἀγαθότητα, τὸ κακοὺς ἐξ οἰκείας προαιρέσεως μέλλειν ἔσεσθαι, ἐκώλυσεν αὐτοὺς γενέσθαι, ἐνίκα ἂν τὴν τοῦ Θεοῦ ἀγαθότητα. ποιεῖ τοιγαροῦν ὡς Θεὸς ἀγαθὰ ἅπαντα, ἃ ποιεῖ. ἕκαστος δὲ ἐξ οἰκείας προαιρέσεως, καλός τε καὶ κακὸς γίνεται. εἰ καὶ τοίνυν ἔφη ὁ Κύριος, “ συνέφερε τῷ

“ἀνθρώπῳ ἐκείνῳ εἰ οὐκ ἐγεννήθη,” οὐ τὴν οἰκείαν κτίσιν κακίζων ἔλεγεν, ἀλλὰ τὴν ἐξ οἰκείας προαιρέσεως καὶ ῥαθυμίας ἐπιγενομένην τῷ κτίσματι αὐτοῦ κακίαν. ἡ γὰρ τῆς οἰκείας γνώμης ῥαθυμία, ἄχρηστον αὐτῷ τὴν τοῦ δημιουργοῦ εὐεργεσίαν ἐποίησεν. ὥσπερ ἂν εἴ τις πλοῦτον καὶ ἀρχὴν παρὰ βασιλέως ἐγχειρισθεὶς, τυραννήσῃ τὸν εὐεργέτην. ὃν ἀξίως χειρωσάμενος τιμωρήσεται, εἰ μέχρι τέλους τῇ τυραννίδι αὐτὸν κατίδοι ἐναπομένοντα.

Οἰκουμενίου. Οὐκ ὀργῆς δὲ πάθει ἥλω ὁ Θεός. ἄπαγε. ἀλλ᾽ ἐπειδὴ ταῦτα ἐποίησεν ἃ ἡμεῖς ὀργιζόμενοι ποιοῦμεν, ὀργὴν τὸ πρᾶγμα ἐκάλεσεν ἐκ τοῦ ἡμῖν γνωρίμου.

Σευηριανοῦ. Τινές γε μὴν ἕτεροι, εἰς τὸ, “εἰ δὲ θέλων ὁ “Θεὸς ἐνδείξασθαι τὴν ὀργὴν,” καὶ τὰ ἑξῆς, τὸ, τί οἶδας; ἀπέδωκαν, ἔξωθεν ἐλλιπῶς νοούμενον. καὶ τὸ, “ἐν πολλῇ μακροθυμίᾳ.” ἀντὶ τοῦ μετὰ πολλὴν μακροθυμίαν, ἐπήνεγκε τὴν ὀργήν.

25 Ὡς καὶ ἐν τῷ Ὠσηὲ λέγει, καλέσω τὸν οὐ λαόν μου,
26 λαόν μου· καὶ τὴν οὐκ ἠγαπημένην, ἠγαπημένην. καὶ
ἔσται ἐν τῷ τόπῳ οὗ ἐρρέθη αὐτοῖς, οὐ λαός μου ὑμεῖς,
ἐκεῖ κληθήσονται υἱοὶ Θεοῦ ζῶντος.

Χρυσοστόμου. Ἀποδοὺς τὴν λύσιν τῷ ζητήματι τὴν διὰ τῶν πραγμάτων. ὥστε καὶ ἑτέρωθεν ἀξιόπιστον ποιῆσαι τὸν λόγον, καὶ τοὺς προφήτας ἐπεισάγει τὰ αὐτὰ προαναφωνοῦντας. ἵνα γὰρ μὴ λέγωσιν, ὅτι παραλογίζῃ ἡμᾶς ταῦτα λέγων, τὸν Ὠσηὲ ἐκάλεσε μάρτυρα βοῶντα καὶ λέγοντα, “καλέσω τὸν οὐ λαόν μου, λαόν “μου.” τίς γὰρ ἦν ὁ οὐ λαός; τὰ ἔθνη δηλονότι. καὶ τίς ἡ οὐκ ἠγαπημένη; τὰ αὐτὰ πάλιν. ἀλλ᾽ ὅμως, ἔφησεν αὐτοὺς καὶ λαοὺς, καὶ ἠγαπημένην, καὶ υἱοὺς Θεοῦ ἔσεσθαι. εἰ δὲ λέγοιεν περὶ τῶν ἐξ Ἰουδαίων πιστευσάντων τοῦτο εἰρῆσθαι, καὶ οὕτως ὁ λόγος ἵσταται. εἰ γὰρ ἐπὶ τῶν ἀγνωμονησάντων τοσαύτη γέγονεν ἡ μεταβολὴ, τί ἐκώλυε καὶ τοὺς οὐ μετὰ τὴν οἰκείωσιν ἀλλοτριωθέντας, ἀλλ᾽ ἐξ ἀρχῆς ἀλλοτρίους ὄντας, κληθῆναι, καὶ ὑπακούσαντας, τῶν αὐτῶν ἀξιωθῆναι;

Θεοδωρήτου. Τέως ταῦτα οὐ περὶ τῶν ἐθνῶν, ἀλλὰ περὶ τῶν Ἰουδαίων εἴρηκεν ὁ Θεός. τῷ γὰρ Ὠσηὲ προστάξας λαβεῖν πόρ-

νην καὶ μοιχαλίδα, οὕτω τὰ γεννηθέντα παιδία προσαγορευθῆναι ἐκέλευσε. τὸν μὲν, οὐ λαόν· τὴν δὲ, οὐκ ἠγαπημένην. καὶ τὰ συμβησόμενα Ἰουδαίοις προλέγων. ἀλλ' ὅμως πάλιν ὑπέσχετο αὐτοῖς χρηστά. ὅτι καὶ ὁ οὐ λαὸν, κληθήσεται λαός· καὶ ἡ οὐκ ἠγαπημένη, ἠγαπημένη. σκοπήσατε τοίνυν καὶ μάθετε, ὅτι καὶ ὑμεῖς οὐκ ἀεὶ τῶν αὐτῶν ἀπελαύσατε. ἀλλὰ ποτὲ μὲν λαὸς, ποτὲ δὲ οὐ λαός· καὶ πάλιν λαὸς ἐχρηματίσατε. καὶ ποτὲ μὲν ἠγαπημένη, εἶτα οὐκ ἠγαπημένη· καὶ πάλιν ἠγαπημένη. οὐδὲν τοίνυν ἀπεικὸς οὐδὲ ἐπὶ τοῦ παρόντος ἐγένετο· συνήθως γὰρ ἀπεβλήθητε. ἀλλὰ κἂν πάλιν θελήσατε λαὸς καὶ ἠγαπημένος κληθῆναι. καὶ γὰρ τὰ ἔθνη οὐ λαὸς ὄντα, νῦν λαὸς χρηματίζει.

Κυρίλλου. Ἀλλὰ καὶ οἱ τῶν εἰδώλων θεραπευταὶ, οὐκ εἰδότες τὸν φύσει καὶ ἀληθῶς Θεὸν, οὐκ ἦμεν αὐτοῦ λαός. ἀλλ' ἠλεήθημεν διὰ πίστεως. καὶ ὑπ' αὐτὸν γεγόναμεν. καὶ κεκλήμεθα διὰ χάριτος, δεδικαιώμεθά τε καὶ ἡγιάσμεθα διὰ Χριστοῦ.

Θεοδώρου. Ἐπὶ γὰρ τῆς τῶν ἐθνῶν κλήσεως τὸν Ὠσηὲ, μαρτυρίαν παράγει. ἐπὶ δὲ τοῦ Ἰσραὴλ, τὸν Ἡσαΐαν. ὅμως κατὰ τὴν ἱστορίαν τὸ, οὐ λαός μου, ἐπὶ τὸν Ἰσραὴλ εἴρηται.

Γενναδίου. Δείκνυσι τοίνυν καὶ ἐκ τῶν προφητῶν προμηνυθὲν, ὡς ἐσόμενον τὸ δικαίως καὶ ἐξ Ἰουδαίων καὶ ἐξ ἐθνῶν τοὺς προδραμόντας κληθῆναι· τοὺς δὲ μὴ βουληθέντας, καταλειφθῆναι. καὶ πρώτην παράγει τὴν τοῦ Ὠσηὲ φωνήν. δι' ἧς Ἰσραηλιτῶν, τῶν μὲν εἰς αἰχμαλωσίαν, ἀποβολὴν, τῶν δὲ πάλιν ἐξ αἰχμαλωσίας, οἰκείωσιν, καὶ ἐθνῶν κλῆσιν προεσήμαινεν. εἶτα τὴν Ἡσαΐου βοῶντος τὸ, παντὸς σχεδὸν τοῦ Ἰσραὴλ πλὴν ὀλίγων, ἔσεσθαι ἀπόπτωσιν.

27 Ἡσαΐας δὲ κράζει ὑπὲρ τοῦ Ἰσραὴλ, ἐὰν ᾖ ὁ ἀριθμὸς
28 τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατά-
λειμμα σωθήσεται· λόγον γὰρ συντελῶν καὶ συντέμνων
ἐν δικαιοσύνῃ· ὅτι λόγον συντετμημένον ποιήσει Κύριος
ἐπὶ τῆς γῆς.

Χρυσοστόμου. Παραγαγὼν τὸν Ὠσηὲ, οὐ τούτῳ ἀρκεῖται μόνῳ· ἀλλὰ καὶ τὸν Ἡσαΐαν μετ' ἐκεῖνον ἄγει, συνῳδὰ τούτῳ

φθεγγόμενον. Ἡσαίας γὰρ κράζει φησί· τουτέστι, μετὰ παρρησίας ἀναφωνεῖ, καὶ οὐχ ὑποστέλλεται. τί τοίνυν ἡμῖν ἐγκαλεῖτε, ὅταν ἐκεῖνοι σάλπιγγος λαμπρότερον ταυτὶ προαναφωνῶσι; τί οὖν κράζει Ἡσαίας; "ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος "τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται." ὁρᾷς ὅτι καὶ ἐκεῖνος οὐ πάντας λέγει σώζεσθαι, ἀλλὰ τοὺς ἀξίους σωθῆναι; οὐ γὰρ αἰδοῦμαι τὸ πλῆθος φησίν· οὐ δυσωπεῖ με τὸ πλῆθος οὕτως ἐκκεχυμένον· ἀλλ' ἐκείνους σώζω μόνους, τοὺς ἀξίους ἑαυτοὺς παρέχοντας. καὶ οὐχ ἁπλῶς ἄμμου θαλάσσης ἐμνημόνευσεν, ἀλλ' ἀναμιμνήσκων αὐτοὺς παλαιᾶς ἐπαγγελίας, ἧς ἀναξίους ἑαυτοὺς κατέστησαν. τί τοίνυν θορυβεῖσθε ὡς τῆς ὑποσχέσεως διαπεσούσης; τῶν προφητῶν ἁπάντων δηλούντων, οὐ πάντας εἶναι τοὺς σωζομένους.

Θεοδωρήτου. Εἰς καιρὸν οὖν μάλιστα, ταύτην τέθεικε τὴν μαρτυρίαν. διδάσκων, ὡς ἄνωθεν προεῖδεν ὁ τῶν ὅλων Θεὸς, καὶ τοὺς ἀπίστους, καὶ τοὺς πιστούς. ἐπειδὴ γὰρ ἔλεγον οἱ Ἰουδαῖοι, ὀλίγους ἐξ αὐτῶν δεδέχθαι τὸ κήρυγμα, τοὺς δὲ ἄλλους ἅπαντας ὡς ἐξαπάτην φυγεῖν, ἔδειξεν ἄνωθεν ταῦτα προειρημένα.

Κυρίλλου. Οὐκοῦν ἂν πολλοὶ εἶεν ὡς ἡ ψάμμος ὁ Ἰσραὴλ, τὸ κατάλειμμα σωθήσεται. τουτέστιν, οἱ διὰ πίστεως τῆς εἰς Χριστὸν δεδικαιωμένοι. τοῦτο δὲ γέγονεν, αὐτοὺς τοῦ Θεοῦ κατελεήσαντος.

Θεοδώρου. Διὰ γὰρ τοῦ εἰπεῖν κατάλειμμα, τὸ εὐαρίθμητον τῶν παρὰ Ἰουδαίοις σωθησομένων ἐδήλωσεν· οὓς κατάλειμμα εἶπεν, ὅτι ἐκ τοῦ πλήθους αὐτῶν ἐκλεξάμενος αὐτοὺς ὡς βελτίους, κατέλιπεν ἑαυτῷ καὶ ἀφώρισεν.

Λόγος γὰρ συντελῶν καὶ συντέμνων ἐν δικαιοσύνῃ ὅτι λόγον συντετμημένον ποιήσει Κύριος ἐπὶ τῆς γῆς.

Χρυσοστόμου. Καὶ τὸν τρόπον λέγει τῆς σωτηρίας. εἶδες ἀκρίβειαν προφητικὴν καὶ σύνεσιν ἀποστολικήν· οἵαν μαρτυρίαν παρήγαγε; πῶς σφόδρα ἐπιτηδείαν; οὐ γὰρ μόνον ὅτι τινὲς εἰσὶν οἱ σωζόμενοι καὶ οὐχὶ πάντες, δείκνυσιν ἡμῖν αὕτη· ἀλλὰ καὶ πῶς σωθήσονται, προστίθησι. πῶς οὖν σωθήσονται; οὐ περιόδων, φησὶν, χρεία, καὶ πόνων καὶ ταλαιπωρίας τῆς ἀπὸ τῶν ἔργων τῶν νομίμων,

ἀλλὰ μετὰ πολλῆς τῆς συντομίας ἔσται ἡ σωτηρία. τοιοῦτον γὰρ ἡ πίστις· ἐν βραχέσι ῥήμασιν ἔχει τὴν σωτηρίαν. "ἐὰν γὰρ "ὁμολογήσῃς," φησὶ, "ἐν τῷ στόματί σου Κύριον Ἰησοῦν, καὶ "πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ "νεκρῶν, σωθήσῃ." εἶδες τί ἐστι, "λόγον συντετμημένον ποιή-"σει Κύριος ἐπὶ τῆς γῆς;" καὶ τὸ δὴ θαυμαστὸν, ὅτι ὁ βραχὺς οὗτος λόγος, οὐ σωτηρίαν μόνον, ἀλλὰ καὶ δικαιοσύνην ἡμῖν ἐκόμισεν.

Κυρίλλου. Ἔσωσε δέ φησιν, "λόγον συντελῶν καὶ συντέ-"μνων." τουτέστιν, εὐφυὲς καὶ σύντομον, καὶ ἵν' οὕτως εἴπω συντετμημένον λόγιον ἡμῖν ἀποφήνας τὸ εὐαγγελικὸν κήρυγμα. ὁ γὰρ νόμος καὶ οἱ προφῆται διὰ πολλοῦ κύκλου λόγων μόλις ἡμῖν τὰς τῶν λεγομένων ἐννοίας διὰ τοῦ γράμματος παριστῶσι. τὸ δὲ κήρυγμα τὸ εὐαγγελικὸν, ἁπλοῦν τέ ἐστι καὶ λόγος συντετμημένος.

Θεοδωρήτου. Ὅπερ διὰ τῶν μακαριῶν Ἀποστόλων εἰς ἔργον προῆλθεν. οἳ τὴν πολλὴν τῆς παλαιᾶς νομοθεσίας περίοδον διαγράψαντες, εἰς σύντομον πολιτείας ὁδὸν ἐνεβίβαζον τὰ ἔθνη. γράφοντες, ὡς ἔδοξε τῷ Ἁγίῳ Πνεύματι, μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος· πλὴν τῶν ἐπάναγκες τούτων ἀπέχεσθαι· εἰδωλοθύτων, καὶ αἵματος, καὶ πνικτοῦ καὶ πορνείας. εἰς ταῦτα γὰρ ἐκ πολλῶν περιστήσαντες τὴν παρατήρησιν, εὐχερῆ τῆς δικαιοσύνης κατεσκεύασαν τὴν πολιτείαν· ὅπερ καὶ ὁ θεῖος Ἀπόστολος διδάσκει λέγων, "τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας." ἐπεὶ οὖν πολλὰ διέστελλεν ὁ νόμος περὶ βρωμάτων, οἱ Ἀπόστολοι μόνον ἐκέλευσαν φυλάττεσθαι ἀπὸ τῶν εἰδωλοθύτων, καὶ αἵματος, καὶ πνικτοῦ· καὶ ἀντὶ τοῦ τηρεῖν τὴν περιτομὴν, ἀντεισήγαγον φυλάττεσθαι ἀπὸ πορνείας· ἡ γὰρ περιτομὴ, εἰς σημεῖον καὶ ὑπόμνημα ἦν, τῆς τοῦ Ἀβραὰμ πίστεως. ἀλλ' ἐδόθη καὶ ὡς σωφροσύνης σύμβολον· ἐμφαῖνον ὡς χρὴ περιτέμνειν τὴν ἀκολασίαν.

Οἰκουμενίου. Ἢ τὸ, συντελῶν δηλοῦ, ὅτι πέρας ἔχουσι πάντες λόγοι γνώσεως καὶ πίστεως Θεοῦ. καὶ οὐκ ἔσται ἕτερος μετὰ τοῦτον τὸν νῦν κηρυττόμενον. ὥσπερ ἦν τὰ Ἰουδαίων, καὶ μετέπεσεν εἰς τὰ νῦν. ἀλλ' ἐπὶ συντελείᾳ πάσης πίστεως, καὶ παντὸς λόγου, δέδοται ὁ νῦν τῆς πίστεως λόγος. ὁ μὲν γὰρ Μωσαϊκὸς

νόμος ἐδόθη, προδιατυποῦντος τοῦ Θεοῦ καὶ προδιαγράφοντος τὸν τῆς χάριτος. τὸν δὲ εὐαγγελικὸν δίδωσι, συντελῶν καὶ συντέμνων. τουτέστιν, ἀπαρτίζων ἅπαντα, καὶ εἰς τέλος ἄριστον ἄγων. τὸ δὲ "λόγον συντελῶν," ὡς αἰτίαν τῶν προειρημένων ἀπέδωκεν. ἐπειδὴ γὰρ εἶπε, "καλέσω τὸν οὐ λαόν μου λαόν μου·" ἵνα μή τις εἴπῃ καὶ τί τοῦτο; ὥσπερ γὰρ ἐγένοντο ἐκ λαοῦ τινὲς οὐ λαός· οὕτω κἂν ἐξ οὐ λαοῦ λαὸς γένηται, οὐδὲν κωλύει καὶ τούτους πάλιν γενέσθαι οὐ λαόν. οὐχ οὕτω φησὶν, λόγον συντελῶν. ἐκεῖνα μὲν γὰρ, μετέπιπτεν ἐπὶ τὸ κρεῖττον· πάντων ὠφειλόντων μεταρρυθμίζεσθαι· νῦν δὲ, οὐκέτι. ὅτι τετελειωμένη ἐστὶν ἡ νῦν κλῆσις, καὶ ἡ πνευματικὴ νομοθεσία. ἄλλως τε ἐπειδὴ εἶπεν, "ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν "υἱῶν Ἰσραήλ," καὶ τὰ ἑξῆς. ἵνα μὴ εἴπωσιν, ὅτι πολλάκις ἐπαγγελιῶν πολλῶν ἀκούσαντες, ἢ οὐδόλως ἐτύχομεν, ἢ μετὰ μικρὸν χρόνον· καὶ γὰρ πολλῶν ἐξέπιπτον διὰ τὴν ἀχαριστίαν καὶ ἀγνωμοσύνην αὐτῶν· οὐχ οὕτω καὶ νῦν φησὶν, ἀλλ' ἐὰν βούλησθε, τελεία καὶ σύντομος ἐπὶ χεῖρας ὑμῶν ἐστιν ἡ σωτηρία.

Χρυσοστόμου. Μὴ οὖν νομίζετε, ὦ Ἰουδαῖοι, ὅτι ἡ εὐαγγελικὴ νομοθεσία ὥσπερ ἡ Μωσαϊκὴ παυθήσεται. ἐκείνη τύπος ἦν. πρὸς ἄλλην ἔβλεπε τελειότητα. ἡ δὲ δεσποτικὴ νομοθεσία, τετελειωμένη ἐστί. πρὸς ταύτην ἔβλεπεν ἡ Μωσαϊκή· ταύτης τύπος ἦν. ἐν αὐτῇ γάρ ἐστιν ἡ ἀληθινὴ καὶ τελεία δικαίωσις ἡμῶν καὶ σωτηρία. καὶ μετὰ ταύτην, οὐκ ἔστιν ἄλλη. αὕτη δὲ, ἀεὶ ἔσται. ταῦτα δὲ δηλονότι φησὶ, προτρέπων εἰς τὴν εἰς Χριστὸν πίστιν καὶ τὴν πολιτείαν τὴν κατὰ τὸ εὐαγγέλιον.

Καὶ καθὼς προείρηκεν Ἡσαίας, εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν.

Χρυσοστόμου. Πάλιν ἐνταῦθα ἄλλό τι δείκνυσιν· ὅτι οὐδὲ αὐτοὶ οἱ ὀλίγοι οἴκοθεν διεσώθησαν. καὶ γὰρ οὗτοι ἀπώλοντο ἂν, καὶ τὰ Σοδόμων ἔπαθον. τουτέστι, πανωλεθρίαν ὑπέμειναν. καὶ γὰρ καὶ ἐκεῖνοι πρόρριζον πάντες ἀπώλοντο, καὶ οὐδὲ τὸ τυχὸν σπέρμα αὐτῶν κατέλιπον. καὶ οὗτοι οὖν φησι, ὡς ἐκεῖνοι ἂν ἐγένοντο, εἰ μὴ πολλῇ ὁ Θεὸς ἐχρήσατο τῇ ἀγαθότητι, καὶ διετήρησε

διὰ τῆς πίστεως αὐτούς. τοῦτο δὲ καὶ ἐπὶ τῆς αἰσθητῆς γέγονεν αἰχμαλωσίας. οἱ μὲν γὰρ πλείους ἀπήχθησαν καὶ ἀπώλοντο, ὀλίγοι δὲ διεσώθησαν.

Θεοδωρήτου. Οὓς τοίνυν ἄνω κατάλειμμα προσηγόρευσε, τούτους ὠνόμασε σπέρμα. δι' οὓς ὁ προφήτης ἔφη τὰ Σοδόμων καὶ Γομόρρων μὴ παθεῖν Ἰουδαίους· ἐκεῖνοι γὰρ πανωλεθρίαν ὑπέμειναν.

Κυρίλλου. Διὰ δὲ τούτων δειδίττεται καὶ ἐπιτιμᾷ αὐτοῖς. ὡς εἰ μὴ πάντως τινὲς πιστεύσουσι τῷ Χριστῷ ἀπ' αὐτῶν, Σοδόμων καὶ Γομόρρας οὐδὲν ἂν διενηνοχότες εἴητε. εἰ καὶ ἐπὶ τῇ συγγενείᾳ τοῦ Ἀβραὰμ ἐναβρύνεσθε. ἢ μᾶλλον πρὸς τὸ, ποιήσει τὸν συντετμημένον λόγον ἐκληπτέον τὴν προφητικὴν ῥῆσιν. εἰ μὴ ἐποίησε, φησὶν, τοῦτο ὁ Κύριος, καὶ ἔδωκεν ἡμῖν τὸν τέλειον τοῦ εὐαγγελίου νόμον, διὰ τοῦ υἱοῦ αὐτοῦ, εἰς δικαίωσιν καὶ σωτηρίαν ἡμῶν, πάντες ἂν ὡς Σόδομα ἐγενήθημεν. τὸ γὰρ σπέρμα, τὸν εὐαγγελικὸν νόμον σημαίνει· ὡς καὶ ὁ Κύριος φησίν· "ἐξῆλθεν "ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ." τὸ δὲ ἐγκατέλιπεν, ὅτι οὐ μόνον φησὶ ἔσπειρεν, ἀλλ' οὐδὲ εἴασεν αὐτὸ ἀναρπασθῆναι ὑπὸ τῶν πετεινῶν ἢ διαφθαρῆναι ὑπὸ ἑτέρων τινῶν ἀκαθάρτων πνευμάτων ἢ λογισμῶν. ἀλλὰ καὶ ἔσπειρε καὶ διετήρησεν, ὥστε ἐγκαταλειφθῆναι ἡμῖν, καὶ εἰς γεωργίαν καὶ καρπὸν προελθεῖν. δύναιο δ' ἂν σπέρμα καὶ τοὺς Ἀποστόλους ἐκλαβεῖν. οἳ ἐκ πάντων τῶν Ἰουδαίων ὡς σπέρμα ἀφαιρεθέντες, τῇ οἰκουμένῃ ἐγκατελείφθησαν. καὶ τὰ ἔθνη πάντα τῆς ἐκκλησίας ἐγεώργησαν. καὶ γὰρ ἐν τῷ εὐαγγελίῳ ἡ τῆς ζύμης παραβολὴ, καὶ αὐτοῖς ἐφαρμόζουσα τοῖς πατράσιν ἡμῶν, οὐκ ὀλίγοις παρείληπται. ὅσον οὖν, φησι, εἰς τὴν Ἰουδαίων ἧκεν ἀπιστίαν, ὡς Σόδομα καὶ ὡς Γόμορρα ἂν ἐγενήθημεν. ἀλλὰ τὸ ἀπὸ Κυρίου Σαβαὼθ ἐγκαταλειφθὲν ἡμῖν σπέρμα οἱ Ἀπόστολοι καὶ τὰ ἔθνη καρποφορήσαντες, καὶ πολύχουν τὸ γεώργιον δείξαντες, τὰς εἰς τὸν Ἀβραὰμ γεγενημένας ἐπαγγελίας ἐπ' αὐτῶν ἀληθευούσας καὶ τελειουμένας δεικνύουσιν.

Τοῦ θεολόγου ἐκ τοῦ περὶ υἱοῦ β' λόγος. Ἐγκατέλιπε δὲ σπέρμα, διά τε τὴν αὐτοῦ χάριν καὶ τὴν τῶν καταλειφθέντων εὐγνωμοσύνην. "Κύριος Σαβαὼθ," τουτέστι, δυνάμεων ἢ στρατιωτῶν ἢ κυριευόντων.

Οἰκουμενίου. *Δύνασαι σπέρμα ἐνταῦθα καλέσαι καὶ τὸν Χριστόν· ὡς καὶ τῷ ἁγίῳ Κυρίλλῳ δοκεῖ.*

30 Τί οὖν ἐροῦμεν; ὅτι τὰ ἔθνη τὰ μὴ διώκοντα δικαι-
οσύνην, κατέλαβε δικαιοσύνην, δικαιοσύνην δὲ, τὴν ἐκ
31 πίστεως· Ἰσραὴλ δὲ διώκων νόμον δικαιοσύνης, εἰς
32 νόμον δικαιοσύνης οὐκ ἔφθασε· διατί; ὅτι οὐκ ἐκ πί-
στεως, ἀλλ' ὡς ἐξ ἔργων νόμου.

Χρυσοστόμου. *Ἡ σαφεστάτη λύσις, ἐνταῦθα λοιπόν. ἐπειδὴ γὰρ καὶ ἀπὸ τῶν πραγμάτων ἔδειξεν· οὐ γὰρ πάντες, φησὶ, οἱ ἐξ Ἰσραὴλ, οὗτοι Ἰσραήλ· καὶ ἀπὸ τῶν προγόνων τοῦ Ἡσαῦ καὶ τοῦ Ἰακὼβ, καὶ ἀπὸ τῶν προφητῶν. καὶ τὴν κυριωτάτην ἐπάγει λύσιν ἐκ τοῦ Ὠσηὲ καὶ τοῦ Ἡσαίου· πρότερον τὴν ἀπορίαν αὐξήσας. καὶ γὰρ δύο ἐστὶ τὰ ζητούμενα. ὅτι καὶ τὰ ἔθνη ἐπέτυχε· καὶ μὴ διώκοντα ἐπέτυχε· τουτέστι, μὴ σπουδάσαντα. καὶ πάλιν ἐπὶ τῶν Ἰουδαίων ὁμοίως τὰ δύο ἄπορα. καὶ Ἰσραὴλ οὐκ ἐπέτυχε, καὶ σπουδάζων οὐκ ἐπέτυχε. διὸ καὶ ταῖς λέξεσιν ἐμφαντικώτερον κέχρηται. οὐδὲ γὰρ εἶπεν ὅτι ἔσχε δικαιοσύνην, ἀλλ' ὅτι κατέλαβε. τὸ γὰρ καινὸν μάλιστα καὶ παράδοξον, τοῦτό ἐστιν. ὅτι ὁ διώκων, οὐ κατέλαβεν· ὁ δὲ μὴ διώκων, κατέλαβε. καὶ δοκεῖ μὲν αὐτοῖς χαρίζεσθαι τῷ λέγειν, διώκων. ὕστερον δὲ καιρίαν ἐπάγει τὴν πληγήν. ἐπειδὴ γὰρ ἔχει ἰσχυρὰν λύσιν ἐπαγαγεῖν, οὐδὲν δέδοικε χαλεπωτέραν ποιῶν τὴν ἀντίθεσιν. διὰ τοῦτο οὐδὲ περὶ πίστεως διαλέγεται, καὶ τῆς ἐντεῦθεν δικαιοσύνης. ἀλλὰ δείκνυσι καὶ πρὸ τῆς πίστεως καὶ ἐν τοῖς οἰκείοις ἡττηθέντας αὐτοὺς καὶ καταδεδικασμένους. σὺ μὲν γὰρ, ὦ Ἰουδαῖε, φησὶν, οὐδὲ τὴν ἐκ τοῦ νόμου δικαιοσύνην εὗρες. παρέβης γὰρ αὐτὸν, καὶ ὑπεύθυνος γέγονας τῇ ἀρᾷ. οὗτοι δὲ οἱ μὴ διὰ τοῦ νόμου ἐλθόντες, ἀλλ' ἑτέραν ὁδὸν, μείζονα πάντες εὗρον δικαιοσύνην, τὴν ἀπὸ τῆς πίστεως. ὅπερ καὶ ἀνωτέρω ἔλεγεν. εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύχημα, ἀλλ' οὐ πρὸς τὸν Θεόν. δεικνὺς ὅτι αὕτη ἡ δικαιοσύνη μείζων ἐκείνης ἐστίν. ἔμπροσθεν μὲν οὖν ἔλεγεν ὅτι δύο ἐστὶ τὰ ἀπορούμενα. νυνὶ δὲ καὶ τρία τὰ ζητούμενα γέγονεν. ὅτι τὰ ἔθνη, καὶ εὗρε δικαιοσύνην, καὶ μὴ διώκοντα εὗρε, καὶ μεί-*

ζονα εὗρε τῆς ἐκ τοῦ νόμου. τὰ αὐτὰ δὴ ταῦτα καὶ ἐπὶ τῶν Ἰουδαίων διαπορεῖται πάλιν ἐξεναντίας. ὅτι Ἰσραὴλ οὐχ εὗρε, καὶ σπουδάζων οὐχ εὗρε, καὶ τὰ ἐλάττονα οὐχ εὗρεν. ἐμβαλὼν τοίνυν εἰς ἀπορίαν τὸν ἀκροατὴν, ἐπάγει λοιπὸν σύντομον τὴν λύσιν, καὶ τὴν αἰτίαν τίθησι τῶν εἰρημένων ἁπάντων. τίς οὖν ἐστιν ἡ αἰτία; ὅτι οὐκ ἐκ πίστεως, ἀλλ' ὡς ἐξ ἔργων νόμου. αὕτη ἡ σαφεστάτη τοῦ χωρίου παντὸς λύσις. ἣν εἰ εὐθέως ἐν προοιμίοις εἶπεν, οὐκ ἂν οὕτως εὐπαράδεκτον ἐγεγόνει. ἐπειδὴ δὲ μετὰ πολλὰς ἀπορίας καὶ κατασκευὰς καὶ ἀποδείξεις αὐτὴν τέθεικε, καὶ προδιορθώσεσι μυρίαις ἐχρήσατο, εὐμαθεστέραν τὲ αὐτὴν λοιπὸν καὶ εὐπαράδεκτον μᾶλλον ἐποίησε. τοῦτο γὰρ αἴτιον, φησὶ, τῆς ἀπωλείας αὐτῶν, ὅτι οὐκ ἐκ πίστεως, ἀλλ' ὡς ἐξ ἔργων ἠθέλησαν δικαιωθῆναι. καὶ οὐκ εἶπεν ἐξ ἔργων, ἀλλ' "ὡς ἐξ ἔργων νόμου." δεικνὺς ὅτι οὐδὲ ταύτην ἔσχον τὴν δικαιοσύνην.

Μαξίμου ἐκ τῶν πρὸς Θαλάσσιον. Ἰσραὴλ οὖν, φησι, διώκων νόμον δικαιοσύνης, τὸν ἐν σκιαῖς δηλονότι καὶ τύποις, εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασε, τὸν ἐν πνεύματι κατὰ Χριστὸν τελειούμενον.

Κυρίλλου. Ἀποδιδοὺς τοίνυν τὰς αἰτίας τοῦ μὴ πάντας σεσῶσθαι Ἰουδαίους, εὐθὺς ἐπιπλέκει τῷ λόγῳ θαῦμα, καὶ φησί· ὢ παραδόξου πράγματος. ἡ τῶν πλανωμένων πληθὺς μὴ ἔχουσα σκοπὸν ὅλως ἀγαθοεργῆσαι, δεδικαίωται. ὁ δὲ Ἰσραὴλ, καίτοι τῷ διὰ Μωσέως νόμῳ πρὸς δικαιοσύνην παιδαγωγούμενος, διήμαρτε τῆς ἐλπίδος, καὶ ἀμέτοχος γέγονε τῆς εἰς τοῦτο δωρεᾶς. τίς οὖν ἡ αἰτία; σαφής. οὐ γὰρ προσήκαντο τὴν διὰ πίστεως σωτηρίαν, καὶ τὴν ἐν Χριστῷ δικαίωσιν. ἐνόμισαν δὲ αὐτοῖς ἀρκεῖν τὰ ὡς ἐν σκιαῖς αὐχήματα. ἀπαιτεῖς, φησι, λόγους. διατί εἰς σπέρμα Ἀβραὰμ οἱ ἐκ περιτομῆς λογίζονται; διατί ὁ οὐ λαὸς ἐγένετο λαός; καὶ οἱ ἐκ περιτομῆς ἐκβάλλονται; εἶπον μὲν πολλά. ὅτι οὐδόλως σε χρὴ ταῦτα λογοθετεῖν. ὅτι καὶ παρὰ σοὶ τῷ Ἰουδαίῳ, πολλὰ γεγόνασιν ὧν ἀγνοεῖς τοὺς λόγους. νῦν δέ σοι καὶ τοῦτο προστίθημι. ὅτι διὰ τοῦτο οἱ μὲν ἐξ ἐθνῶν ἐδικαιώθησαν. σὺ δὲ οὐκέτι. διότι ἐκεῖνοι ἐκ πίστεως κατέλαβον τὴν δικαίωσιν, καὶ τὴν σωτηρίαν τὴν ἐκ πίστεως. σὺ δὲ φυσιούμενος δικαιωθῆναι διὰ

τῶν τοῦ νόμου ἔργων, καὶ τὴν διὰ πίστεως δικαιοσύνην περιορῶν, εἰκότως καὶ τοῦ διὰ πίστεως δικαιωθέντος Ἀβραὰμ ἀλλότριος ὤφθης· καὶ ἀντὶ λαοῦ γέγονας οὐ λαός· καὶ τῆς τῶν πιστῶν σωτηρίας ἐξέπεσες. τί οὖν αἴτιον τοῦ μὴ φθάσαι τὴν δικαιοσύνην; ὅτι ἐξ ἔργων ἐζήτησας δικαιωθῆναι. τίς δὲ ἐξ ἔργων δικαιοῦται ἄνθρωπος ὤν;

Θεοδώρου Μονάχου. Τί γὰρ εἴποιμεν ἄν; ὅτι Ἑλλήνων μὲν οὐκ ὀλίγοι τῆς δικαιώσεως ἔτυχον. καίτοι οὐδέποτε εὐσεβείας ἐπιμεληθέντες. πῶς γάρ, οἵ γε τοῖς εἰδώλοις προσεῖχον; Ἰουδαίων δὲ ἔξω ταύτης ἐγένοντο οἱ πλεῖστοι· ἄνδρες ἀεὶ τῷ νόμῳ προσέχειν ἐπ' ἐλπίδι τῆς δικαιώσεως ὑπισχνούμενοι. τὸ μὲν γὰρ νόμον δικαιοσύνης διώκων, περὶ τοῦ Μωσαϊκοῦ λέγει. βουλόμενος εἰπεῖν ὅτι μετήεσαν νόμον, δικαιοσύνην ὑπισχνούμενον, εἴ τις αὐτὸν φυλάττοι. τὸ δὲ "εἰς νόμον δικαιοσύνης," κατὰ τὸ οἰκεῖον ἰδίωμα νόμον δικαιοσύνης, τὴν δικαιοσύνην καλῶν. ὡς καὶ νόμον πίστεως, τὴν πίστιν.

Θεοδωρήτου. Τινὲς δὲ, οὕτω διελόντες ἀνέγνωσαν. τί οὖν ἐροῦμεν; κατὰ ἐρώτησιν. εἶτα κατὰ ἀπόκρισιν. "ὅτι ἔθνη τὰ "μὴ διώκοντα δικαιοσύνην," καὶ τὰ ἑξῆς. ἴσθι γάρ, φησι, ὡς ἡ πίστις, αἰτία τοῖς ἔθνεσι τῶν ἀγαθῶν. αὕτη γὰρ αὐτοὺς πάλαι πλανωμένους, καὶ τὴν δικαιοσύνην οὔτε ἔχοντας, οὔτε ζητῆσαι βουληθέντας, τῆς κατὰ χάριν δικαιοσύνης ἠξίωσεν. ὁ δέ γε Ἰσραὴλ, καίτοι τὸν νόμον κατέχων, καὶ τὴν δικαιοσύνην τὴν ἐκ τοῦ νόμου μεταδιώκων, διήμαρτε τοῦ σκοποῦ, καὶ τῆς δικαιοσύνης οὐκ ἔτυχεν. εἶτα πάλιν κατ' ἐρώτησιν. διατί; ὅτι ἐνόμισαν ἐξαρκεῖν αὐτοῖς τὴν κατὰ νόμον πολιτείαν, εἰς κτῆσιν δικαιοσύνης, καὶ τῆς πίστεως κατεφρόνησαν. οὗ δὴ χάριν, καὶ τῶν τῆς πίστεως οὐ μετέλαχον δωρεῶν, καὶ τὴν ἐξ ἐκείνης τῆς πολιτείας, οὐκ ἔσχον δικαιοσύνην.

33 Προσέκοψαν γὰρ τῷ λιθῷ τοῦ προσκόμματος, καθὼς γέγραπται, ἰδοὺ, τίθημι ἐν Σιὼν λίθον προσκόμματος, καὶ πέτραν σκανδάλου· καὶ πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ καταισχυνθήσεται.

Θεοδωρήτου. Διδάσκει λοιπὸν διὰ ποίαν αἰτίαν τῶν τῆς

πίστεως ἀγαθῶν οὐκ ἀπέλαυσαν. προσπταίειν δὲ εἰώθασιν, οἱ ἑτέρῳ τὴν διάνοιαν ἔχοντες, καὶ τὴν ὁδὸν προσκοπεῖν οὐκ ἐθέλοντες. ὅπερ πεπόνθασι καὶ οἱ Ἰουδαῖοι. περὶ γὰρ δὴ τὰ περιττὰ τοῦ νόμου κεχηνότες, τὸν ὑπὸ τῶν προφητῶν προαγορευθέντα λόγον, οὐκ ἠδυνήθη ἰδεῖν. καίτοι σαφῶς ἐκείνων προθεσπισάντων, ὡς ὁ τούτῳ πιστεύων, μεγίστων τεύξεται ἀγαθῶν. τοῦτο γὰρ εἶπεν, οὐ καταισχυνθήσεται. ὡς τῶν ἐλπιζόντων μὲν, διαμαρτανόντων δὲ τῆς ἐλπίδος, αἰσχυνομένων.

Χρυσοστόμου. Εἶδες πάλιν πῶς ἀπὸ τῆς πίστεως ἡ παρρησία; καὶ ἡ καθολικὴ δωρεά; οὐ γὰρ περὶ Ἰουδαίων εἴρηται μόνων, ἀλλὰ καὶ περὶ παντὸς τοῦ τῶν ἀνθρώπων γένους. πᾶς γάρ φησι, κἂν Ἰουδαῖος, κἂν Ἕλλην, κἂν Σκύθης, κἂν Θρὰξ, κἂν ὁστισοῦν ἕτερος ᾖ, πιστεύσας, πολλῆς ἀπολαύσεται τῆς παρρησίας. τὸ δὲ θαυμαστὸν τοῦ προφήτου, οὐχ ὅτι πιστεύσουσι μόνον εἶπεν, ἀλλ' ὅτι καὶ ἀπιστήσουσι. τὸ γὰρ προσκόψαι, τὸ ἀπιστῆσαι ἐστίν. ὥσπερ οὖν ἀνωτέρω, τούς τε ἀπολλυμένους τούς τε σωζομένους ἐδήλωσεν εἰπὼν, "ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡσεὶ ἄμμος "τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται. καὶ εἰ μὴ Κύριος "Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, "καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν," "καὶ ἐκάλεσεν οὐ μόνον ἐξ Ἰου-"δαίων ἀλλὰ καὶ ἐξ ἐθνῶν," οὕτω δὴ καὶ ἐνταῦθα λέγει. ὅτι οἱ μὲν, πιστεύσουσιν, οἱ δὲ, προσκόψουσι. τὸ δὲ προσκόπτειν, ἐκ τοῦ μὴ προσέχειν γίνεται· ἐκ τοῦ πρὸς ἕτερα κεχηνέναι. ἐπεὶ οὖν καὶ οὗτοι τῷ νόμῳ οὐ προσεῖχον, προσέκοψαν τῷ λίθῳ τοῦ προσκόμματος. προσκόμματος δὲ λίθον καὶ πέτραν σκανδάλου φησὶ, ἀπὸ τοῦ τέλους καὶ τῆς γνώμης τῶν ἀπιστησάντων.

Κυρίλλου. Οὐ γὰρ δήπου φαμὲν, ὅτι διὰ τοῦτο ἐτέθη Χριστὸς ἐν τῷ Ἰσραήλ. ἀλλ' ἐπειδὴ τοῦτο προέγνωστο τῷ Θεῷ, τὸ ἐσόμενον προαναπεφώνηκεν ἀναγκαίως. ὡς κείσεται μὲν ὄλισθος εἰς τὰ θεμέλια Σιών. μέλλουσι δὲ περιπίπτειν αὐτῷ τῶν ἀσυνέτων τινές. καὶ τοῦτο πάσχειν ἐξ ἀπειθείας. ἐποιεῖτο δὲ τὴν προαγόρευσιν χρησίμως. οὐχ ἵνα προσκόψειαν, ἀλλ' ἵνα προεγνωκότες, ἀμείνους γένοιντο τοῦ κακοῦ. οὐκοῦν τέθειται μὲν ὁ Χριστὸς ὡς λίθος τίμιος· πλὴν τοῖς μὲν ἐξ ἀπιστίας προσκόπτουσιν, ὄλεθρος ἦν ἡ ζημία. τοῖς δὲ πεπιστευκόσι, ζωὴ καὶ δικαίωσις τὸ κέρδος.

Θεοδώρου Μονάχου. Θαυμασιώτατα δὲ ἐπήγαγε, τὸ, προσέκοψαν· δεῖξαι βουλόμενος, ὅτι οὐ τὰ πρότερα αὐτῶν, ἀλλὰ τὰ νῦν αἰτιᾶται. ἔτρεχον γάρ, φησι, πρὸ τοῦ τούτου, τῆς κατὰ νόμον δικαιοσύνης τὸν δρόμον. καὶ ἦν αὐτοῖς οὐδαμῶς μέμψιν τινὰ ἐπαγαγεῖν περὶ τῶν προτέρων. ἀλλ' ὥσπερ λίθῳ τινὶ τῷ Κυρίῳ διὰ τῆς ἀπιστίας προσπταίσαντες, καὶ βαρὺ τὸ κατάπτωμα ὑπομείναντες, μάταιον ἅπαντα τὸν ἐν τοῖς προειληφόσιν ἀπέφηναν δρόμον.

Γενναδίου. Ἰστέον γε μὴν, ὥς ἡ, τοῦ "λίθος προσκόμματος" λέξις διεσπαρμένως, οὐχ ὡς εἴρηται νῦν ἠθροισμένως τῷ Ἀποστόλῳ, ἐν ταῖς τοῦ Ἡσαίου κεῖται προφητείαις. περὶ μὲν γὰρ ἀρχὴν τῆς βίβλου γέγραπται περὶ τοῦ Κυρίου κατὰ τὴν ἔκδοσιν τοῦ Ἀκύλου, ᾗ συμπεφώνηκε καὶ ἡ ἀποστολική· "αὐτὸς φόβημα "ὑμῶν· καὶ αὐτὸς θρόησις ὑμῶν. καὶ ἔσται εἰς ἁγίασμα, καὶ "εἰς λίθον προσκόμματος, καὶ εἰς πέτραν σκανδάλου." μετὰ πολλὰ δὲ, "ἰδοὺ ἐμβάλλω εἰς τὰ θεμέλια Σιὼν λίθον πολυτελῆ, "ἐκλεκτὸν, ἀκρογωνιαῖον, ἔντιμον. καὶ ὁ πιστεύων, οὐ μὴ καται- "σχυνθῇ." καὶ ἔστι γε ἐνιδόντας ἀκριβῶς ἑκατέρῳ μέρει τῆς λέξεως, κατανοῆσαι σαφῶς τὸν ἐν τῷ ἑτέρῳ λίθον ἁπλῶς εἰρημένον, ἐν τῷ ἑτέρῳ τὸν Κύριον ἡρμηνευμένον ἐπὶ τοῦ θεϊκοῦ ἀξιώματος.

1 Ἀδελφοὶ, ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας, καὶ ἡ δέη-
σις ἡ πρὸς τὸν Θεὸν ὑπὲρ τοῦ Ἰσραὴλ ἔστιν εἰς σωτη-
2 ρίαν. μαρτυρῶ γὰρ αὐτοῖς ὅτι ζῆλον Θεοῦ ἔχουσιν,
3 ἀλλ' οὐ κατ' ἐπίγνωσιν. ἀγνοοῦντες γὰρ τὴν τοῦ Θεοῦ
δικαιοσύνην, καὶ τὴν ἰδίαν δικαιοσύνην στῆσαι ζητοῦν-
τες, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν.

Χρυσοστόμου. Μέλλει πάλιν αὐτῶν καθάπτεσθαι σφοδρότερον, ἢ πρότερον· διὸ πάλιν ἀναιρεῖ πάσης ἀπεχθείας ὑπόνοιαν· καὶ πολλῇ κέχρηται τῇ προδιορθώσει. μὴ γὰρ τοῖς λόγοις προσέχετε φησὶ, μὴ δὲ ταῖς κατηγορίαις καὶ ταῖς διαβόλαις. ἀλλ' ὅτι οὐκ ἀπὸ διανοίας ἐχθρᾶς ταῦτα φθέγγομαι. οὐ γάρ ἐστι τοῦ αὐτοῦ σωθῆναι τὲ αὐτοὺς ἐπιθυμεῖν. καὶ οὐ μόνον ἐπιθυμεῖν, ἀλλὰ καὶ εὔχεσθαι· καὶ πάλιν μισεῖν καὶ ἀποστρέφεσθαι. καὶ γὰρ εὐδοκίαν

ἐνταῦθα, τὴν σφοδρὰν ἐπιθυμίαν φησί. καὶ ὅρα καὶ τὴν δέησιν, πῶς ἀπὸ διανοίας ποιεῖται. οὐ γὰρ ὥστε ἀπαλλαγῆναι κολάσεως μόνον, ἀλλ' ὥστε καὶ σωθῆναι αὐτοὺς, πολλὴν καὶ τὴν σπουδὴν ποιεῖται καὶ τὴν εὐχήν. οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἐκ τῶν ἑξῆς, δείκνυσι τὴν εὔνοιαν ἣν ἔχει πρὸς αὐτούς. ἀπὸ γὰρ τῶν ἐγχωρούντων, ὡς οἷόν τε ἦν, βιάζεται καὶ φιλονεικεῖ, ζητῶν σκιὰν γοῦν τινα ἀπολογίας αὐτοῖς εὑρεῖν. καὶ οὐκ ἰσχύει· ὑπὸ τῆς τῶν πραγμάτων νικώμενος φύσεως.

Γενναδίου. Ταῦτα γοῦν, φησὶ, ἔφην περὶ αὐτῶν, οὐκ ὀνειδίζειν βουλόμενος. ἀλλ' ὑπὸ τῆς ἀληθείας ἠναγκασμένος. ἐπεὶ τόγε ἐμὸν οὕτως οὕτως εὐνοίας ἔχω περὶ αὐτοὺς, ὡς συνεύχεσθαι τὴν σωτηρίαν αὐτοῖς. καὶ τὸ εὔλογον τῆς διαθέσεως δεικνὺς, φησί. "μαρτυρῶ γὰρ αὐτοῖς ὅτι ζῆλον Θεοῦ ἔχουσι." σύνοιδα φησὶ καὶ μαρτυρῶ ζήλῳ θείῳ πρὸς τὸ εὐαγγέλιον ἀνειληφέναι μάχην αὐτούς. εἷς γὰρ ἦν ποτὲ τούτων καὶ αὐτός. ζήλῳ μέντοι γνώσεως ἀληθινῆς ἀπεστερημένῳ· οὐ γὰρ συνιέντες τῆς δικαιοσύνης τὸ μέγεθος, ὅτι θείᾳ χάριτι μόνως ἂν αὐτῆς ἄνθρωποι τεύξωνται, φιλονεικοῦσιν εὐήθως τὰ αὐτοῖς δοκοῦντα κυρῶσαι. καὶ τῆς δικαιώσεως δι' οἰκείων ἔργων ἐπιτυχεῖν. ἀντιλέγοντες τῇ ὑπὸ Θεοῦ νῦν ἐν Χριστῷ δοθείσῃ ὑμῖν.

Χρυσοστόμου. Οὐκοῦν συγγνώμης ἀλλ' οὐ κατηγορίας ἄξιοι. εἰ μὴ γὰρ δι' ἄνθρωπον εἰσὶν ἀπεσχοινισμένοι, ἀλλὰ διὰ ζῆλον, ἀλλ' οὖν ἐλεεῖσθαι μᾶλλον αὐτοὺς ἢ κολάζεσθαι ἄξιον. ἀλλ' ὅρα πῶς σοφῶς καὶ ἐχαρίσατο τῷ ῥήματι, καὶ ἔδειξεν αὐτῶν τὴν ἄκαιρον φιλονεικίαν. "ἀγνοοῦντες γάρ," φησι, "τὴν τοῦ Θεοῦ δι-" "καιοσύνην." πάλιν τὸ ῥῆμα συγγνώμης. ἀλλὰ τὸ ἑξῆς, κατηγορίας ἐπιτεταμένης, καὶ πᾶσαν ἀναιρούσης ἀπολογίαν. "καὶ τὴν ἰδίαν "γάρ," φησιν, "δικαιοσύνην στῆσαι ζητοῦντες." ταῦτα δὲ ἔλεγε, δεικνὺς ὅτι ἀπὸ φιλονεικίας καὶ φιλαρχίας μᾶλλον ἢ ἐξ ἀγνοίας ἐπλανήθησαν. καὶ ὅτι οὐδὲ αὐτὴν ταύτην τὴν δικαιοσύνην τὴν ἀπὸ τῶν νομίμων ἔστησαν. τὸ γὰρ εἰπεῖν "ζητοῦντες στῆσαι," τουτέστιν ἐμφαίνοντες. καὶ σαφῶς μὲν αὐτὸ οὐ τέθεικεν. οὐδὲ γὰρ εἶπεν ὅτι ἑκατέρας τῆς δικαιοσύνης ἐξέπεσον. ἠνίξατο δὲ αὐτὸ συνετῶς σφόδρα, καὶ μετὰ τῆς προσηκούσης αὐτοῦ σοφίας. εἰ γὰρ ἐκείνην ἔτι ζητοῦσι στῆσαι, εὔδηλον ὅτι οὐκ ἔστησαν. εἰ δὲ

ταύτῃ οὐχ ὑπετάγησαν, καὶ ταύτης ἐξέπεσον. ἰδίαν δὲ δικαιοσύνην αὐτὴν καλεῖ, ἢ διὰ τὸ μηκέτι τὸν νόμον ἰσχύειν, ἢ διὰ τὸ πόνων εἶναι καὶ ἱδρώτων. ταύτην δὲ τοῦ Θεοῦ δικαιοσύνην τὴν ἐκ πίστεως, διὰ τὸ ὁλόκληρον αὐτὴν ἐκ τῆς ἄνωθεν εἶναι χάριτος· καὶ οὐχὶ πόνοις, ἀλλὰ Θεοῦ δικαιοῦσθαι δωρεᾷ. ἀλλ' οἱ ἀεὶ τῷ Πνεύματι τῷ Ἁγίῳ ἀντιπίπτοντες, καὶ φιλονεικοῦντες διὰ τοῦ νόμου δικαιωθῆναι, οὐ προσῆλθον τῇ πίστει. μὴ προσελθόντες δὲ τῇ πίστει, μὴ δὲ λαβόντες τὴν ἐξ αὐτῆς δικαιοσύνην, καὶ ἀπὸ τοῦ νόμου δικαιωθῆναι μὴ δυνηθέντες, πάντοθεν ἐξέπεσον.

Κυρίλλου. Μαρτυρεῖ τοίνυν αὐτοῖς τὸν εἰς Θεὸν ζῆλον, πλὴν ἐλέγχει πεπλανημένους. ὅτι δέον θαυμάζειν τὸν Χριστὸν ἐξ ὧν ἐποίει ὡς φύσει Θεὸν, οἱ δὲ, ἔλεγον, "ὅτι περὶ καλοῦ ἔργου οὐ "λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας. ὅτι σὺ ἄνθρωπος ὢν, "ποιεῖς σεαυτὸν Θεόν." ἢ οὕτως. ἠγνοήκασι μὲν τὴν ἐκ Θεοῦ δικαιοσύνην, τουτέστι, Χριστόν. ἤτοι, τὴν διὰ πίστεως τῆς εἰς αὐτόν. οἰόμενοι δὲ τῷ διὰ Μώσεως συνασπίζειν νόμῳ, μεμενήκασιν ἀπειθεῖς, οὐ ζητήσαντες τὸν Υἱὸν τὸν ἐλευθεροῦν ἰσχύοντα· τὸν δικαιοῦντα τὸν ἀσεβῆ, καὶ τὴν δυσκατόρθωτον τοῦ νόμου δικαιοσύνην, οἰκονομικῶς συστέλλοντα. ἵνα δυσχερείας ἀπαλλάξῃ καὶ τριβῆς.

Θεοδωρήτου. Καὶ ἄλλως δέ. Οὐκ ἔγνωσάν, φησι, ὅτι διὰ τοῦ νόμου ὁ Θεὸς τὴν πίστιν ἐπηγγείλατο. καὶ ὅτι ἡ πίστις οὐκ ἐναντία ἐστὶ τῷ νόμῳ, ὑπ' αὐτοῦ τοῦ νόμου μαρτυρουμένη.

Κλήμεντος. Καὶ μὴ γνόντες, μὴ δὲ ποιήσαντες τὸ βούλημα τοῦ νόμου, ὃ ὑπέλαβον αὐτοὶ, τοῦτο καὶ βούλεσθαι τὸν νόμον ᾠήθησαν. καὶ οὐδ' ὡς προφητεύοντι τῷ νόμῳ ἐπίστευσαν. λόγῳ δὲ ψίλῳ καὶ φόβῳ, ἀλλ' οὐ διαθέσει καὶ πίστει ἠκολούθησαν.

4 Τέλος γὰρ νόμου Χριστὸς εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι.

Θεοδωρήτου. Οὐ γὰρ ἐναντία τῷ νόμῳ, φησὶ, ἡ εἰς Χριστὸν πίστις, ἀλλὰ καὶ μάλα σύμφωνος. ὁ γὰρ νόμος ἡμᾶς πρὸς τὸν δεσπότην Χριστὸν ἐποδήγησε. τὸν τοῦ νόμου τοίνυν πληρῶν σκοπὸν, ὁ πιστεύων τῷ δεσπότῃ Χριστῷ. καλῶς δὲ πάλιν "παντὶ τῷ "πιστεύοντι" τέθεικε. συμπεριέλαβε γὰρ, πᾶσαν τὴν τῶν ἀνθρώπων

φύσιν. κἂν γὰρ Ἕλλην ᾖ, κἂν βάρβαρος, πιστεύσῃ δὲ, τῆς σωτηρίας μεταλαγχάνει.

Γενναδίου. Τελειοῖ τοίνυν τὸν τοῦ νόμου σκοπὸν ὁ Χριστός· διὰ τῆς ἐπ' αὐτὸν πίστεως τὴν δικαίωσιν τοῖς προσιοῦσιν αὐτῷ πᾶσι δωρούμενος.

Χρυσοστόμου. Καὶ ὅρα πάλιν σύνεσιν. ἐπειδὴ γὰρ εἶπε δικαιοσύνην καὶ δικαιοσύνην. ἵνα μὴ δόξωσιν οἱ πιστεύσαντες ἐξ Ἰουδαίων, τὴν μὲν, ἔχειν, τῆς δὲ, ἀπεστερῆσθαι, καὶ παρανομίας κρίνεσθαι. καὶ γὰρ καὶ τούτους οὐχ ἧττον δεδοικέναι ἐχρῆν, ἔτι νεήλυδας ὄντας· μὴ δὲ Ἰουδαῖοι πάλιν προσδοκήσωσιν αὐτὴν κατορθοῦν· καὶ εἴπωσιν, ὅτι εἰ καὶ μὴ νῦν ἐπληρώσαμεν, ἀλλὰ πάντως πληρώσομεν, ὅρα τί κατασκευάζει· καὶ δείκνυσιν, ὅτι μία πίστις ἐστὶν ἡ δικαιοσύνη· καὶ ἐκείνη, εἰς ταύτην ἀνακεφαλαιοῦται. καὶ ὅτι ὁ μὲν ταύτην ἑλόμενος τὴν διὰ πίστεως, κἀκείνην ἐπλήρωσεν. ὁ δὲ ταύτην ἀτιμάσας, κἀκείνης μετὰ ταύτης ἐξέπεσεν. εἰ γὰρ τοῦ νόμου τέλος ὁ Χριστὸς, ὁ τὸν Χριστὸν οὐκ ἔχων, κἂν ἐκείνην ἔχειν δοκῇ, οὐκ ἔχει. ὁ δὲ τὸν Χριστὸν ἔχων, κἂν μὴ ᾖ κατωρθωκὼς τὸν νόμον, τὸ πᾶν εἴληφε. καὶ γὰρ τέλος ἰατρικῆς, ὑγεία. ὥσπερ οὖν ὁ δυνάμενος ὑγιᾶ ποιεῖν, κἂν μὴ τὴν ἰατρικὴν ἔχῃ, τὸ πᾶν ἔχει. ὁ δὲ μὴ εἰδὼς θεραπεύειν, κἂν μετιέναι δοκῇ τὴν τέχνην, τοῦ παντὸς ἐξέπεσεν· οὕτως ἐπὶ τοῦ νόμου καὶ τῆς πίστεως. ὁ μὲν ταύτην ἔχων, καὶ τὸ ἐκείνου τέλος ἔχει. ὁ δὲ ταύτης ἔξω ὢν, ἀμφοτέρων ἔστιν ἀλλότριος. τί γὰρ ἐβούλετο ὁ νόμος; δίκαιον ποιῆσαι τὸν ἄνθρωπον; ἀλλ' οὐκ ἴσχυσεν. οὐδεὶς γὰρ αὐτὸν ἐπλήρωσε. τοῦτο οὖν τέλος ἦν τοῦ νόμου, καὶ εἰς τοῦτο πάντα ἔβλεπεν. ἀλλὰ τοῦτο τὸ τέλος ἤνυσε μειζόνως ὁ Χριστὸς διὰ τῆς πίστεως· μὴ τοίνυν φοβηθῇς, φησι, ὡς τὸν νόμον παραβαίνων, ἐπειδὴ τῇ πίστει προσῆλθες. τότε γὰρ αὐτὸν παραβαίνεις, ὅταν δι' αὐτὸν τῷ Χριστῷ μὴ πιστεύσῃς. ὡς ἂν πιστεύσῃς αὐτῷ, κἀκεῖνον ἐπλήρωσας, καὶ πολλῷ πλέον ἢ ἐκέλευε. πολλῷ γὰρ μείζονα δικαιοσύνην ἔλαβες.

Κυρίλλου. Προεισκεκόμισται τοίνυν ὁ νόμος, ἐσόμενος τοῖς ἀρχαίοις παιδαγωγὸς, ἐπὶ τὸ τοῦ Χριστοῦ μυστήριον, καὶ δι' αἰνιγμάτων αὐτοῖς ὑποφαίνων τὴν ἀλήθειαν. οὕτω γὰρ εἶναι διοριζόμεθα πλήρωμα νόμου καὶ προφητῶν, τὸν Χριστόν. καὶ μάλα

ὀρθῶς. ἢ οὐχὶ παντὸς αἰνίγματος ἀσαφοῦς νοοῖτ' ἂν εἰκότως πλήρωμα ὑπάρχειν τὸ ἀληθές; καίτοι πῶς ἂν ἐνδοιάσειέ τις; οὔκουν ἀναίρεσιν τῶν διὰ Μωσέως ποιεῖται νόμων ἡ πρός γε τὸ ἀληθὲς τῶν ἐν σκιαῖς μεταφοίτησις. ἀλλ' ἐκφανεστέραν αὐτῶν καθίστησι τὴν διάνοιαν.

Τοῦ αὐτοῦ. Μετερρυηκότων λοιπὸν εἰς ἀλήθειαν τῶν πραγμάτων, καὶ τῶν ἐν τύποις καὶ αἰνίγμασι τὴν εἰς τὰ ἀμείνω λαβόντων μεταβολὴν, οὐ καταλελύσθαι φαμὲν τὸν νόμον· ἐκπεπεράνθαι δὲ μᾶλλον ἐπὶ καιροῦ, καθ' ὃν ἡμῖν ἐπέλαμψεν ἡ ἀλήθεια. τουτέστι, Χριστός. τέλος γὰρ νόμου καὶ προφητῶν, ὁ Χριστός. ὃς οὐκ ἂν διαψεύσαιτο λέγων, "οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι." ὥσπερ γὰρ τὰς ἐν τοῖς πίναξι προανατυπουμένας σκιὰς, τὸ τῶν χρωμάτων πολυειδὲς, ἐν καιρῷ προσενηνεγμένον· ἥκιστα μὲν ἀναιρεῖ, μεθίστησι δὲ μᾶλλον εἰς ὄψιν ἐναργεστέραν· κατὰ τὸν ἶσον τουτωῒ τρόπον, οὐκ ἀνατετράφθαι φαμὲν τὰς τοῦ νόμου σκιὰς, ἐκπεπεράνθαι δὲ μᾶλλον ὡς ἐν προόδῳ τῇ πρὸς ἀλήθειαν.

Σευηριανοῦ. Τέλος γε μὴν νόμου εἴρηται Χριστὸς, οὐχ ὡς μέρος νόμου· ἀλλ' ὡς ἑτέρας ζωῆς ἀρχή. ἢ τέλος νόμου, ὡς τέλος γεγονὼς τοῦ νόμου· τουτέστι, παύσας αὐτόν. διὰ δύο οὖν τέλος νόμου, ὅτι τε ἐχρήσατο αὐτῷ· καὶ ὅτι ἔπαυσεν αὐτόν.

5 Μωϋσῆς γὰρ γράφει τὴν ἐκ τοῦ νόμου δικαιοσύνην, ὅτι ὁ ποιήσας αὐτὰ ἄνθρωπος, ζήσεται ἐν αὐτοῖς.

Χρυσοστόμου. Ἐπειδὴ τὰ εἰρημένα ἀπόφασις ἦν, ἀπὸ τῶν γραφῶν αὐτὰ πάλιν πιστοῦται· ὃ δὲ λέγει, τοῦτό ἐστι. Μωϋσῆς δείκνυσιν ἡμῖν τὴν ἐκ τοῦ νόμου δικαιοσύνην, ὁποία τίς ἐστι. ποία τοίνυν ἐστὶ καὶ πόθεν συνίσταται; ἀπὸ τοῦ πληρωθῆναι τὰς ἐντολάς. "ὁ ποιήσας αὐτά," φησι, "ἐν αὐτοῖς ζήσεται." καὶ ἄλλως οὐκ ἔνι δίκαιον γενέσθαι ἐν νόμῳ, ἀλλ' ἢ πάντα πληρώσαντα. τοῦτο δὲ οὐδενὶ γέγονε δυνατόν. οὐκοῦν διαπέπτωκεν ἡ δικαιοσύνη αὕτη.

Γενναδίου. Ἐκ συγκρίσεως δὲ τῆς πρὸς τὸν νόμον, δεικνὺς τῆς χάριτος τὸ φιλότιμον, λέγει, φησι, ὁ Μωσῆς, μὴ πρότερον ἐν νόμῳ δικαιοῦσθαί τινα, ἕως ἂν πληρώσῃ τὰ τοῦ νόμου ἅπαντα παραγγέλματα.

Θεοδωρήτου. Πρὸς γοῦν τὸ δεῖξαι νόμου καὶ χάριτος τὴν διαφορὰν, καὶ ἀμφοτέρων εἰσάγει Μωσέα τὸν νομοθέτην διδάσκαλον, λέγοντα, ὅτι ὁ τὰ τοῦ νόμου πάντα πεπληρωκὼς, καρπὸν ἔχει τῆς φυλακῆς, τὴν ζωήν. ἡ δὲ τυχοῦσα παράβασις, τὴν τιμωρίαν ἐπάγει.

Κλήμεντος. Ἣ ζωὴν λέγει, τὴν τῶν Ἑβραίων ἐπανόρθωσιν· τήν τε τῶν πέλας δι' ἡμῶν αὐτῶν συνάσκησίν τε καὶ προκοπήν. οἱ γὰρ νεκροὶ τοῖς παραπτώμασι, ζωοποιοῦνται σὺν τῷ Χριστῷ διὰ τῆς ἡμετέρας διακονίας.

Διοδώρου. Ἣ τὸ ζήσεται ἐν αὐτοῖς ἐμφαίνει, ὡς ὁ τὸν νόμον πληρώσας, ἐκείνων μόνων ἀπολαύσειε τῶν διὰ τοῦ νόμου ἐπηγγελμένων ἀγαθῶν· τουτέστι γῆς ῥεούσης μέλι καὶ γάλα.

6 Ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτω λέγει, μὴ εἴπῃς
ἐν τῇ καρδίᾳ σου, τίς ἀναβήσεται εἰς τὸν οὐρανόν;
7 τουτέστι Χριστὸν καταγαγεῖν· ἢ τίς καταβήσεται εἰς
τὴν ἄβυσσον; τουτέστι, Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν·
8 ἀλλὰ τί λέγει; ἐγγύς σου τὸ ῥῆμα ἐστὶν, ἐν τῷ στό-
ματί σου, καὶ ἐν τῇ καρδίᾳ σου· τουτέστι, τὸ ῥῆμα τῆς
9 πίστεως ὃ κηρύσσομεν· ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στό-
ματί σου Κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ
σου, ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ.

Χρυσοστόμου. Ἐπειδὴ ἤλεγξε τὴν ἐκ τοῦ νόμου δικαιοσύνην, μεταβαίνει λοιπὸν ἐπὶ τὴν ἐκ χάριτος. ἵνα γὰρ μὴ λέγωσιν οἱ Ἰουδαῖοι· πῶς εὗρον μείζονα δικαίωσιν οἱ τὴν ἐλάττω μὴ εὑρόντες, λέγει λογισμὸν ἀναντίρρητον. ὅτι κουφοτέρα αὕτη ἡ ὁδὸς ἐκείνης. αὕτη μὲν γὰρ πλήρωσιν ἀπαιτεῖ πάντων. ὅταν γὰρ ποιήσῃς, φησὶ, πάντα, τότε ζήσῃ. ἡ δὲ ἐκ πίστεως δικαιοσύνη, οὐ τοῦτο λέγει. ἀλλὰ τί; "ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου Κύριον Ἰησοῦν, "καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ Θεὸς ἤγειρεν αὐτὸν ἐκ "νεκρῶν, σωθήσῃ." εἶτα ἵνα μὴ δόξῃ πάλιν τὸ εὔκολον εὐκαταφρόνητον αὐτὴν ποιεῖν, καὶ εὐτελῆ δεικνύναι, ὅρα πῶς πλατύνει τὸν λόγον τὸν περὶ αὐτῆς. οὐ γὰρ εὐθέως ἐπὶ τοῦτο ἦλθεν ὅπερ εἰρήκαμεν, ἀλλὰ τί φησι; "ἡ δὲ ἐκ πίστεως δικαιοσύνη, οὕτως "λέγει. μὴ εἴπῃς, τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τουτέστι

" Χριστὸν καταγαγεῖν. ἢ τίς καταβήσεται εἰς τὴν ἄβυσσον; " τουτέστι Χριστὸν ἐκ νεκρῶν ἀγαγεῖν." ὥσπερ γὰρ τῇ ἀρετῇ τῇ διὰ τῶν ἔργων ἀνθίσταται ῥαθυμία, τοὺς τόνους ἐκλύουσα, καὶ δεῖ σφόδρα ἀγρυπνούσης ψυχῆς ὥστε μὴ εἴκειν, οὕτω καὶ ὅταν πιστεῦσαι δέῃ, εἰσὶ λογισμοὶ θορυβοῦντες καὶ λυμαινόμενοι τὴν τῶν πολλῶν διάνοιαν. καὶ δεῖ νεανικωτέρας ψυχῆς, ὥστε αὐτοὺς διακρούσασθαι. διὰ δὴ τοῦτο, καὶ αὐτὸς τούτους εἰς μέσον ἄγει [z], καὶ δείκνυσιν ὅτι φιλοσόφου διανοίας χρεία, καὶ γνώμης οὐρανομήκους τινὸς καὶ μεγάλης. καὶ οὐκ εἶπε μὴ εἴπῃς ἁπλῶς, ἀλλὰ " μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου." τουτέστι, μὴ δὲ ἐννοήσῃς ἀμφιβαλεῖν, καὶ εἰπεῖν κατὰ σεαυτόν· καὶ πῶς τοῦτο δυνατόν;

Ὁρᾷς ὅτι τοῦτο μάλιστα πίστεως ἴδιον, τὸ τὴν κάτω πᾶσαν ἀκολουθίαν ἀφέντα, τὰ ὑπὲρ φύσιν ἐπιζητεῖν; καὶ λογισμῶν ἀσθένειαν ἐκβάλλοντας, ἀπὸ τῆς τοῦ Θεοῦ δυνάμεως ἅπαντα παραδέχεσθαι; καίτοι γε οὐ ταῦτα Ἰουδαῖοι μόνον ἔλεγον, ἀλλ' ὅτι οὐ δυνατὸν ἐκ πίστεως δικαιωθῆναι. ἀλλ' αὐτὸς ἐφ' ἕτερον ἄγει τὸ γεγενημένον. ἵνα ὅταν δείξῃ μέγα οὕτως ὄν, ὡς καὶ μετὰ τὸ γεγενῆσθαι πίστεως αὐτὸ δεῖσθαι, δικαίως δόξῃ τούτοις τὸν στέφανον πλέκειν. καὶ κέχρηται ῥήμασι τοῖς ἐν τῇ παλαιᾷ κειμένοις, σπουδάζων ἀεὶ τὰ τῆς καινοτομίας καὶ τῆς πρὸς ἐκείνην μάχης ἐγκλήματα, διαφεύγειν. τοῦτο γὰρ ὃ περὶ πίστεως ἐνταῦθα φησὶ, περὶ τῆς ἐντολῆς αὐτοῖς λέγει Μωϋσῆς, δεικνὺς ὅτι πολλῆς ἀπέλαυσαν παρὰ Θεῷ τῆς εὐεργεσίας· οὐ γάρ ἐστιν εἰπεῖν, φησιν, ὅτι εἰς τὸν οὐρανὸν ἀναβῆναι δεῖ, καὶ πέλαγος διαβῆναι μέγα, καὶ τότε λαβεῖν τὰς ἐντολάς· ἀλλὰ τὰ οὕτω μεγάλα καὶ ὑπέρογκα, εὔκολα ἡμῖν ἐποίησεν ὁ Θεός. τί δέ ἐστιν, " ἐγγύς σου " τὸ ῥῆμα ἐστί;" τουτέστιν εὔκολόν ἐστιν. ἐν γὰρ τῇ διανοίᾳ σου καὶ τῇ γλώττῃ ἡ σωτηρία, οὐ μακρὰν ὁδὸν βαδίσαντας, οὐδὲ πέλαγος πλεύσαντας, οὐδὲ ὄρη παρελθόντας, οὕτω σωθῆναι δεῖ. ἀλλ' εἰ μὴ δὲ αὐτὸν βουληθείης ὑπερβῆναι τὸν οὐδὸν, ἔξεστί σοι καὶ οἴκοι καθημένῳ σωθῆναι. ἐν γὰρ τῷ στόματί σου, καὶ ἐν τῇ καρδίᾳ σου ἔστι τῆς σωτηρίας ἡ ἀφορμή. εἶτα καὶ ἑτέρωθεν εὔκολον ποιῶν τὸν τῆς πίστεως λόγον, φησὶ, ὅτι ὁ Θεὸς αὐτὸν

[z] I. m. a m. rec. defect.

ἤγειρεν ἐκ νεκρῶν. ἐννόησον γὰρ τὸ ἀξίωμα τοῦ ποιήσαντος· καὶ οὐκέτι ὄψει δυσκολίαν οὐδεμίαν ἐν τῷ πράγματι. οὐκοῦν ὅτι μὲν Κύριος, ἐκ τῆς ἀναστάσεως δῆλον, ὃ καὶ ἀρχόμενος τῆς Ἐπιστολῆς ἔλεγε. "τοῦ ὁρισθέντος Υἱοῦ Θεοῦ ἐν δυνάμει, κατὰ Πνεῦμα "ἁγιωσύνης ἐξ ἀναστάσεως νεκρῶν." ὅτι δὲ καὶ ἡ ἀνάστασις εὔκολον, ἐκ τῆς τοῦ ποιήσαντος ἰσχύος ἀποδέδεικται, καὶ τοῖς σφόδρα διαπιστοῦσιν. ὅταν οὖν καὶ μείζων ᾖ ἡ δικαιοσύνη, καὶ κούφη καὶ εὐπαράδεκτος, καὶ ἄλλως δικαιωθῆναι μὴ ᾖ, οὐκ ἀσχέτου φιλονεικίας τὸ τοῖς ἀδυνάτοις ἐπιχειρεῖν τὰ εὔκολα ἀφέντας καὶ ῥάδια; οὐ γὰρ ἔχοιεν ἂν εἰπεῖν, ὅτι ὡς φορτικὸν τὸ πρᾶγμα παρῃτήσαντο.

Θεοδωρήτου. Τὸ δὲ, "ἡ ἐκ πίστεως δικαιοσύνη οὕτω λέγει," ἀντὶ τοῦ, περὶ δὲ τῆς ἐκ πίστεως δικαιοσύνης, οὕτως λέγει. οὐ γὰρ ἡ δικαιοσύνη ταῦτα λέγει, ἀλλὰ διὰ Μωσέως, ὁ τῶν ὅλων Θεὸς περὶ τοῦ νόμου ταῦτα εἴρηκε· διδάσκων Ἰουδαίους, ὡς δίχα πόνων τὴν τῶν πρακτέων διδασκαλίαν ἐδέξαντο. ὁ μέντοι θεῖος Ἀπόστολος, εἰς τὸν περὶ πίστεως ταῦτα ἐξείληφε λόγον. διδάσκων, ὡς, οὐ δεῖ τὴν δεσποτικὴν οἰκονομίαν περιεργάζεσθαι, ἀλλὰ πίστει καρποῦσθαι τὴν σωτηρίαν. καὶ ἐπάγει, τουτέστι, τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν. ὅπερ Μωϋσῆς φησι περὶ τῶν νομικῶν εἴρηκεν ἐντολῶν, τοῦτο ἡμεῖς περὶ τῆς πίστεως λέγομεν, "ὅτι "ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου Κύριον Ἰησοῦν· καὶ πιστεύ-"σῃς ἐν τῇ καρδίᾳ σου, σωθήσῃ. καρδίᾳ γὰρ πιστεύεται εἰς "δικαιοσύνην· στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν." ἀμφοτέρων γὰρ χρεία. καὶ πίστεως ἀληθοῦς, καὶ βεβαίας ὁμολογίας σὺν παρρησίᾳ γινομένης. ἵνα καὶ ἡ καρδία κοσμῆται τῷ ἀναμφιβόλῳ τῆς πίστεως· καὶ ἡ γλῶττα λαμπρύνηται, ἀδεῶς κηρύττουσα τὴν ἀλήθειαν.

Γενναδίου. Ὅπερ τοίνυν ἐλέγετο περὶ τῆς τοῦ νόμου δόσεως ἐκείνης, τοῦτο καὶ ἡμῖν νῦν ἐπὶ τῆς διὰ Χριστοῦ χάριτος ἐφαρμόζει. οὐ χρὴ οὖν διαπιστεῖν ἡμᾶς, ἢ περὶ τῆς ἐξ οὐρανοῦ τοῦ Σωτῆρος καθόδου, ἢ περὶ τῆς ἐκ νεκρῶν αὐτοῦ πάλιν ἀνόδου. ἀλλὰ τελείᾳ καρδίᾳ πεπιστευκότας, ὁμολογεῖν καὶ διὰ γλώττης τὴν χάριν. περιγενήσεσθαι γὰρ ἡμῖν τοῦτο ποιοῦσι τὴν διὰ τῆς δικαιώσεως σωτηρίαν συμβῇ. τὸ γὰρ εἰς δικαιοσύνην καὶ τὸ εἰς σωτη-

ρίαν, διεῖλε συνήθως. καὶ τὸ μὲν, τῇ πίστει τῆς καρδίας· τὸ δὲ, τῇ ὁμολογίᾳ τοῦ στόματος ἀποδέδωκεν. ἑκατέροις ἁρμόζοντος ἑκατέρου. καρδίᾳ μὲν γάρ, φησι, πιστευόμενος ὁ Χριστὸς δικαιοῖ· στόματι δὲ ὁμολογούμενος, σώζει.

Μαξίμου. Τί λοιπὸν τοῦ πιστεύειν ταχύτερον, καὶ τοῦ διὰ στόματος ὁμολογεῖν τοῦ πιστευθέντος τὴν χάριν, ἔσται εὐκολώτερον; τὸ μὲν γὰρ, δηλοῖ, τὴν ἔμψυχον πρὸς τὸν πεποιηκότα ἀγάπην· τὸ δὲ, τὴν θεοφιλῆ πρὸς τὸν πλησίον διάθεσιν. ἀγάπη δὲ καὶ γνησία διάθεσις, ἤγουν πίστις καὶ ἀγαθὴ συνείδησις, ἔργον προδήλως τοῦ κατὰ καρδίαν ἀφανοῦς ὑπάρχει κινήματος· τῆς ἐκτὸς ὕλης πρὸς γένεσιν παντελῶς οὐ δεομένη.

Κυρίλλου. Ὅθεν ἐπειδὴ κατὰ τὸν Ἀπόστολον "καρδίᾳ πιστεύ-"εται εἰς δικαιοσύνην. στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν." καὶ ἡ ἀμφοτέρων ἐν τούτοις ἐνέργεια ὑποβάλλει τὴν τελειότητα. διὰ τοῦτο καὶ ὁ ψαλμῳδὸς ἀμφότερα ἐν τῷ αὐτῷ συνείληφε, τήν τε τοῦ στόματος ἐνέργειαν, καὶ τὴν τῆς ψυχῆς μελέτην. εἰπὼν, "τὸ "στόμα μου λαλήσει σοφίαν. καὶ ἡ μελέτη τῆς καρδίας μου "σύνεσις." ἐάν τε γὰρ μὴ ᾖ τὸ ἀγαθὸν ἐν τῇ καρδίᾳ προαποκείμενον, πῶς ἐνέγκῃ τὸν θησαυρὸν διὰ στόματος, ὁ μὴ κεκτημένος ἐν τῷ κρυπτῷ; ἐάντε ἔχων τὰ τῆς καρδίας ἀγαθὰ μὴ δημοσιεύσῃ τῷ λόγῳ, αὐτῷ λεχθήσεται σοφία κεκρυμμένη καὶ θησαυρὸς ἀφανὴς, τίς ὠφέλεια ἐν ἀμφοτέροις; διόπερ εἰς μὲν τὸ ἑτέρων ὠφέλιμον, λαλείτω τὸ στόμα σοφίαν. εἰς δὲ τὴν ἡμετέραν προκοπὴν, ἡ καρδία μελετάτω σύνεσιν.

Γρηγορίου τοῦ Θεολόγου. Οὐδὲν οὖν δεῖ σοι, φησὶ, εἰς τὸν οὐρανὸν ἀνελθεῖν, ἵν' ἐκεῖθεν ἑλκύσῃς Χριστόν. οὐδὲ εἰς τὴν ἄβυσσον κατελθεῖν, ἵν' ἐντεῦθεν αὐτὸν ἐκ νεκρῶν ἀναστήσῃς· ἢ τὴν πρώτην πολυπραγμονῶν φύσιν· ἢ τὴν τελειοτάτην οἰκονομίαν. ἐγγύς σου, φησὶν, τὸ ῥῆμα ἐστίν· ἡ διάνοια τοῦτον ἔχει τὸν θησαυρόν. οὐ μὴν ἀλλὰ καὶ ἡ γλῶττα. ἡ μὲν, πιστεύουσα, ἡ δὲ, ὁμολογοῦσα. τί τούτου συντομώτερον τοῦ πλούτου; τί τῆς δωρεᾶς εὐκολώτερον; ὁμολόγησον Χριστὸν Ἰησοῦν, καὶ πίστευσον ὅτι ἐκ νεκρῶν ἐγήγερται, καὶ σωθήσῃ. δικαιοσύνη μὲν γὰρ καὶ τὸ πιστεῦσαι μόνον. σωτηρία δὲ παντελὴς, τὸ καὶ ὁμολογεῖν, καὶ προσθεῖναι

τῇ γνώσει τὴν παρρησίαν. σὺ μεῖζον τί σωτηρίας ζητεῖς· τὴν ἐκεῖθεν δόξαν τὲ καὶ λαμπρότητα, ἐμοὶ καὶ τὸ σωθῆναι μέγιστον. καὶ τὰς ἐκεῖσε φυγεῖν βασάνους.

Κυρίλλου. Σὺ δέ μοι σκόπει. ὅτι ἀλλαχοῦ εἰπὼν ὁ Ἀπόστολος, "ὅτι ἦτε ποτὲ ἀπεξενωμένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας τοῦ "Ἰσραήλ· ἐλπίδα μὴ ἔχοντες, καὶ ἄθεοι ἐν τῷ κόσμῳ. νυνὶ δὲ "ἐπιγνόντες Θεόν." ἐνταῦθα τὸν τρόπον τῆς ἐπιγνώσεως αὐτοῖς ἐξηγούμενος λέγει, "ἐγγύς σου τὸ ῥῆμα ἐστὶ τῆς πίστεως, ὃ "κηρύσσομεν. ὅτι, ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου, ὅτι "Κύριος Ἰησοῦς. καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ Θεὸς "αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ." ὅτε τοίνυν ὁ πιστεύων εἰς Χριστὸν Ἰησοῦν, καὶ ὁμολογῶν ὅτι Κύριός ἐστιν, ὡς Θεὸν ἐπιγνοὺς τὸν ἀληθινὸν δικαιοῦται, πῶς οὐκ ἔστι Θεὸς κατὰ φύσιν ὁ Υἱός; ὁ δὲ τοῦτο ὤν, πῶς ἂν εἴη καὶ ποίημα; λέγει γὰρ ἡ γραφή; "πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ καταισχυνθήσεται. "οὐ γάρ ἐστι διαστολὴ Ἰουδαίου τὲ καὶ Ἕλληνος. ὁ γὰρ αὐ"τὸς Κύριος πάντων, πλουτῶν εἰς πάντας τοὺς ἐπικαλουμένους "αὐτόν. πᾶς γὰρ ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθή"σεται."

Χρυσοστόμου. Ἐπειδὴ μέγα εἴρηκε, πάλιν ἀπὸ τῆς γραφῆς αὐτὸ πιστοῦται· καὶ τῆς πίστεως καὶ τῆς ὁμολογίας παρέχων μάρτυρας. τῷ μὲν γὰρ εἰπεῖν "ὅτι πᾶς ὁ πιστεύων," τὴν πίστιν ἐδήλωσε· τῷ δὲ εἰπεῖν "ὅτι πᾶς ὃς ἂν ἐπικαλέσηται," τὴν ὁμολογίαν ἐνέφηνεν. εἶτα πάλιν τὸ κοινὸν ἀνακηρύττων τῆς χάριτος. "ὁ γὰρ αὐτός," φησι, "Κύριος πάντων, πλουτῶν εἰς πάντας." ὁρᾷς πῶς δείκνυσιν αὐτὸν σφοδρῶς ἐφιέμενον ἡμῶν τῆς σωτηρίας, εἴγε καὶ πλοῦτον οἰκεῖον ἡγεῖται ταύτην; ὥστε μὴ δὲ νῦν αὐτοὺς ἀπογνῶναι, μὴ δὲ νομίσαι, εἴγε βουληθεῖεν μετανοῆσαι, ἀσυγγνώστους εἶναι. ὁ γὰρ πλοῦτον οἰκεῖον ἡγούμενος τὸ σώζειν ἡμᾶς, οὐ παύσεται πλουτῶν. ἐπεὶ καὶ τοῦτο πλοῦτος, τὸ εἰς πάντας ἐκχεῖσθαι τὴν δωρέαν. ἐπειδὴ γὰρ καὶ τοῦτο μάλιστα αὐτοὺς ἐθορύβει τὸ προεδρίας ἀπολαύοντας ὑπὲρ τὴν οἰκουμένην ἅπασαν, νῦν ἐκ τῆς πίστεως ἀπὸ τῶν θρόνων καταβιβάζεσθαι ἐκείνων, καὶ μηδὲν πλέον τῶν λοιπῶν ἔχειν, συνεχῶς τοὺς προφήτας εἰσάγει ταύτην ἐπά-

δοντας αὐτοῖς τὴν ἰσοτομίαν. "πᾶς γάρ," φησι, "ὁ πιστεύων ἐπ' "αὐτῷ οὐ καταισχυνθήσεται." καὶ, "πᾶς ὃς ἂν ἐπικαλέσηται "τὸ ὄνομα Κυρίου σωθήσεται." καὶ πανταχοῦ τὸ πᾶς τέθειται, ἵνα μὴ ἀντιλέγωσι· καὶ τὸ ἐκείνων φύσημα καταστέλλων. ἃ διὰ πολλῶν ἔμπροσθεν ἀπέδειξε, ταῦτα ἐν βραχέσι πάλιν ἀναμιμνήσκει· δεικνὺς, ὅτι οὐδέν τι μέσον Ἰουδαίου καὶ ἀκροβύστου. "οὐ "γάρ ἐστι διαστολή," φησι, "Ἰουδαίου καὶ Ἕλληνος." καὶ ὃ περὶ τοῦ Πατρὸς εἴρηκεν ἐν τῇ περὶ τούτων ἀποδείξει, τοῦτο καὶ περὶ τοῦ Υἱοῦ λέγει ἐνταῦθα. ὥσπερ γὰρ ἔμπροσθεν αὐτὸ κατασκευάζων ἔλεγεν, "ἢ Ἰουδαίων μόνων ὁ Θεὸς, οὐχὶ καὶ ἐθνῶν;" ναὶ καὶ ἐθνῶν. ἐπείπερ εἷς ὁ Θεὸς, οὕτω καὶ ἐνταῦθα φησί. ἀλλ' οὐδὲν κενοδοξίας χεῖρον, αὕτη γὰρ, αὕτη μάλιστα πάντων αὐτοὺς ἀπώλεσε. διὸ καὶ ὁ Χριστὸς αὐτοῖς ἔλεγε, "πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες;

Κυρίλλου. Μὴ τοίνυν ποιείτω ἴδιον ἀγαθὸν τὴν διὰ πίστεως σωτηρίαν ὁ Ἰσραήλ. "πᾶς γὰρ ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα "Κυρίου, σωθήσεται." κἂν Ἰουδαῖος ἢ κἂν Ἕλλην, ἀδιαφόρως σώζει ὁ Θεὸς τῶν ὅλων. αὐτοῦ γὰρ ἅπαντα· οὕτω φαμὲν ἀνακεφαλαιοῦσθαι τὰ πάντα ἐν Χριστῷ.

14 Πῶς οὖν ἐπικαλέσονται εἰς ὃν οὐκ ἐπίστευσαν; πῶς
δὲ πιστεύσουσιν οὗ οὐκ ἤκουσαν; πῶς δὲ ἀκούσουσι
15 χωρὶς κηρύσσοντος; πῶς δὲ κηρύξουσιν, ἐὰν μὴ ἀποσταλῶσι; καθὼς γέγραπται, ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά.

Χρυσοστόμου. Πάλιν ἀναιρεῖ τὴν συγγνώμην αὐτῶν. ἐπειδὴ γὰρ εἶπεν, "ὅτι μαρτυρῶ αὐτοῖς, ὅτι ζῆλον ἔχουσιν ἀλλ' οὐ κατ' "ἐπίγνωσιν." καὶ "ἀγνοοῦντες τὴν τοῦ Θεοῦ δικαιοσύνην, τῇ δικαιο"σύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν," δείκνυσι λοιπὸν ὅτι καὶ αὐτῆς τῆς ἀγνοίας δίκην ὀφείλουσι τῷ Θεῷ. καὶ οὐ λέγει μὲν οὕτως. κατασκευάζει δὲ τοῦτο· κατ' ἐρώτησιν προάγων τὸν λόγον, καὶ σαφέστερον ποιῶν τὸν ἔλεγχον, τῷ κατὰ ἀντίθεσιν καὶ λύσιν, ἅπαν ὑφάναι τουτὶ τὸ χωρίον. σκόπει δε ἄνωθεν. εἶπε, φησὶν, ὁ

προφήτης, "πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου σωθήσε-"ται." ἀλλ' ἴσως ἔχοι τίς ἂν εἰπεῖν, καὶ πῶς ἠδύναντο ἐπικαλέσασθαι τοῦτον, ᾧ οὐκ ἐπίστευσαν; εἶτα, ἐρώτησις παρ' αὐτοῦ μετὰ τὴν ἀντίθεσιν. καὶ διατί οὐκ ἐπίστευσαν; καὶ πάλιν ἀντίθεσις. πάντως ἔχει τίς εἰπεῖν, καὶ πῶς εἶχον πιστεῦσαι, μὴ ἀκούσαντες; καὶ μὴν ἤκουσαν φησί. εἶτα ἕτερα πάλιν ἀντίθεσις. καὶ πῶς ἠδύναντο ἀκοῦσαι χωρὶς κηρύσσοντος; εἶτα πάλιν λύσις. καὶ μὴν ἐκήρυξαν, καὶ ἀπεστάλησαν εἰς αὐτὸ τοῦτο πολλοί. καὶ πόθεν δῆλον; ὅτι οὗτοι εἰσὶν ἐκεῖνοι οἱ ἀποσταλέντες. τότε δὴ λοιπὸν εἰσάγει τὸν προφήτην λέγοντα, "ὡς ὡραῖοι οἱ πόδες." ὁρᾷς πῶς ἀπὸ τοῦ τρόπου τοῦ κηρύγματος, δείκνυσι τοὺς κήρυκας; οὐδὲν γὰρ ἄλλο περιήεσαν οὗτοι πανταχοῦ λέγοντες, ἀλλ' ἢ τὰ ἀπόρρητα ἐκεῖνα ἀγαθὰ, καὶ τὴν τοῦ Θεοῦ πρὸς ἀνθρώπους γενομένην εἰρήνην. ὥστε ἀπιστοῦντες, οὐχ ἡμῖν ἀπιστεῖτε φησί· ἀλλὰ τῷ Ἡσαΐᾳ τῷ πρὸ πολλῶν ἐπῶν εἰπόντι ὅτι καὶ ἀποσταλησόμεθα καὶ κηρύξομεν, καὶ ἐροῦμεν ἅπερ εἰρήκαμεν. εἰ τοίνυν τὸ μὲν σωθῆναι ἐκ τοῦ ἐπικαλέσασθαι· τὸ δὲ ἐπικαλέσασθαι ἐκ τοῦ πιστεῦσαι ἐστί· τὸ δὲ πιστεῦσαι ἐκ τοῦ ἀκοῦσαι· τὸ δὲ ἀκοῦσαι ἐκ τοῦ κηρύξαι· τὸ δὲ κηρύξαι ἐκ τοῦ ἀποσταλῆναι· ἀπεστάλησαν δὲ καὶ ἐκήρυξαν· καὶ μετ' αὐτῶν ὁ προφήτης περιήει, δεικνὺς αὐτοὺς, καὶ ἀνακηρύττων ὅτι οὗτοι εἰσὶν οὓς πρὸ πολλῶν ἄνωθεν ἐδήλουν χρόνων, ὧν καὶ τοὺς πόδας ἐνεγκωμίαζον διὰ τὸν τοῦ κηρύγματος τρόπον, εὔδηλον ὅτι τὸ μὴ πιστεῦσαι, ἐκείνων ἔγκλημα γέγονε μόνων. καὶ γὰρ τὰ παρὰ Θεοῦ πάντα ἀπήρτισται.

Θεοδωρήτου. Προσήκει πρότερον, φησὶ, πιστεῦσαι, εἶτα ἐπικαλέσασθαι. ἀδύνατον δὲ πιστεῦσαι τῆς διδασκαλίας οὐκ ἀκούσαντας. ταύτης δὲ τυχεῖν οἷόν τε οὐδαμῶς, τῶν κηρυττόντων οὐκ ὄντων. καὶ τούτους δὲ πάλιν ἡ χειροτονία ποιεῖ. οὕτω ταῦτα εἰς ἀπολογίαν τεθεικὼς Ἰουδαίων, δι' αὐτῶν αὔξει τὴν κατ' ἐκείνων κατηγορίαν. καὶ τὸ τελευταῖον πρῶτον τέθεικε, τὸ τῆς κηρύκων ἀποστολῆς· δεικνὺς ἄνωθεν ταῦτα προτεθεσπισμένα. καὶ γὰρ ἀκόλουθον ἦν τοῦτο πρὸ τῶν ἄλλων ἐπιδεῖξαι. δεῖ γὰρ πρῶτον χειροτονηθῆναι τοὺς κήρυκας, εἶτα κηρύξαι. ἔπειτα τῶν κηρυγμάτων ἀκοῦσαι, καὶ τηνικαῦτα πιστεῦσαι. φέρει τοίνυν τὴν προφητείαν τοῦ Ἡσαίου, καὶ φησὶ, "ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων

"εἰρήνην." καὶ γὰρ τοῖς Ἀποστόλοις ὁ Κύριος ἐνετείλατο εἰς οἰκίαν εἰσιοῦσι λέγειν, "εἰρήνη τῷ οἴκῳ τούτῳ." κατεμήνυον γὰρ τὰς θείας καταλλαγάς· εὐηγγελίζοντο δὲ καὶ τῶν ἀγαθῶν τὴν ἀπόλαυσιν. τούτων τοὺς πόδας ὡραίους ἀποκαλεῖ, ὡς τὸν καλὸν τρέχοντας δρόμον· ὡς ὑπὸ τῶν δεσποτικῶν ἀπονιφθέντας χειρῶν.

Θεοδώρου Μονάχου. Εἰρῆσθαι δὲ ταῦτα ἔφη τίς οὐ περὶ τῶν Ἀποστόλων τῷ προφήτῃ, ἀλλὰ περὶ τῶν μελλόντων μηνύειν τὰ περὶ Ἰουδαίους ἐσόμενα ἀγαθά. εἰ δὲ οἱ μηνυταὶ ἐκείνων, φησὶ, οὕτω νομίζονται θαύματος ἄξιοι, πολλῷ γε μᾶλλον ἀναγκαῖον πρᾶγμα καὶ λυσιτελέστατον, ἅπαντας δεῖ νομίζειν, τῶν Ἀποστόλων τὴν διδαχήν.

Ἀποστόλου. Ταυτί γε μὴν οὕτω παρὰ τῶν ἑβδομήκοντα εἴρηται. "ὡς ὥρα ἐπὶ τῶν ὀρέων. ὡς πόδες εὐαγγελιζομένων ἀκοὴν "εἰρήνης, ὡς εὐαγγελιζόμενος ἀγαθά." ἀντὶ τοῦ καλήν τινα καὶ ἐξάκουστον ὥσπερ ἐξ ὄρους ἀφιᾶσι φωνὴν οἱ εὐαγγελιζόμενοι, τὴν εἰρήνην καὶ τὰ ἀγαθά· τῇ μὲν καλλονῇ, τέρπουσαν· τῷ δὲ μεγέθει καθικνουμένην τῆς ἀκοῆς.

Χρυσοστόμου. Εἰρηκὼς δὲ ὁ Ἀπόστολος, ἐὰν μὴ ἀποσταλῶ, ἔοικε καὶ περὶ αὐτοῦ λέγειν, ὡς οὐκ ἐξ οἰκείας αὐθεντίας ἦλθεν εἰς τὸ κηρύξαι αὐτοῖς, ἀλλὰ ἀποσταλεὶς παρὰ Χριστοῦ, τούτῳ ἑαυτὸν ἀξιόπιστον ποιῶν. οὐ μόνον δέ φησιν, ὅτι ἀπέσταλμαι, ἀλλὰ καὶ ὅτι πάλαι τὸ δεῖν ἀποστολὴν γενέσθαι προείρηται. ἀξιόπιστος οὖν κατ' ἄμφω. ἔκ τε τοῦ παρὰ Χριστοῦ ἀπεστάλθαι· ἔκ τε τοῦ προωρίσθαι τὴν ἀποστολήν.

16 Ἀλλ' οὐ πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ· Ἡσαΐας
17 γὰρ λέγει, Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; ἄρα ἡ
πίστις ἐξ ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ.

Χρυσοστόμου. Ἐπειδὴ πάλιν ἑτέραν ἐπήγαγον ἀντίθεσιν λέγοντες, καὶ μὴν εἰ ἦσαν οὗτοι οἱ ἀπεσταλμένοι, καὶ παρὰ τοῦ Θεοῦ πεμφθέντες, ἔδει πάντας ὑπακοῦσαι, σκόπει τοῦ Παύλου τὴν σύνεσιν. πῶς αὐτὸ τοῦτο ὃ τὸν θόρυβον ἐποίει, τοῦ θορύβου καὶ τῆς ταραχῆς δείκνυσιν ὂν ἀναιρετικόν. τί γάρ σε σκανδαλίζει, ὦ Ἰουδαῖε, φησὶ, μετὰ τοσαύτην καὶ τηλικαύτην μαρτυρίαν, καὶ πραγμάτων ἀπόδειξιν; ὅτι οὐ πάντες ὑπήκουσαν τῷ

εὐαγγελίῳ; τοῦτο μὲν οὖν αὐτὸ μετὰ τῶν ἄλλων ἱκανόν σε πιστώσασθαι ὑπὲρ τῶν εἰρημένων, τὸ μὴ πάντας ὑπακούειν. καὶ γὰρ καὶ τοῦτο ἄνωθεν προεῖπεν ὁ προφήτης Ἡσαΐας· μᾶλλον δὲ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ πολλῷ τούτου πλέον. ὑμεῖς μὲν γὰρ ἐγκαλεῖτε, διατί μὴ πάντες ὑπήκουσαν· ὁ δὲ Ἡσαΐας, πλέον τούτου λέγει. τί γάρ φησι, "Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν;" εἶτα, ἐπειδὴ τὸν θόρυβον τοῦτον ἐξεῖλε, παρεμβαλὼν τὸν προφήτην, πάλιν ἔχεται τῆς προτέρας ἀκολουθίας. ἐπειδὴ γὰρ εἶπεν ὅτι ἐπικαλέσασθαι ἔδει, τοὺς δὲ ἐπικαλουμένους, πιστεῦσαι· τοὺς δὲ πιστεύοντας ἀκοῦσαι πρῶτον· τοὺς δὲ μέλλοντας ἀκοῦσαι, τοὺς κηρύσσοντας ἔχειν· τοὺς δὲ κηρύσσοντας, ἀπεστάλθαι· καὶ ἔδειξεν ὅτι ἀπεστάλησαν, καὶ ὅτι ἐκήρυξαν. ἑτέραν πάλιν μέλλων εἰσάγειν ἀντίθεσιν, ἀφορμὴν λαβὼν πρότερον ἀπὸ ἑτέρας ἀσφαλοῦς μαρτυρίας τοῦ προφήτου, καθ' ἣν ἔλυσε τὴν μικρῷ πρὸ ταύτης ἀντίθεσιν, οὕτως αὐτὴν πλέκει, καὶ συνείρει τοῖς προτέροις. ἐπειδὴ γὰρ παρήγαγε τὸν προφήτην λέγοντα, "Κύριε, τίς ἐπίστευσε τῇ "ἀκοῇ ἡμῶν;" εὐκαίρως τῆς μαρτυρίας ἐπιλαβόμενος, φησί. "ἄρα ἡ πίστις ἐξ ἀκοῆς." τοῦτο δὲ οὐχ ἁπλῶς τέθεικεν, ἀλλ' ἐπειδὴ καθ' ἕκαστον καιρὸν, σημεῖον ἐζήτουν οἱ Ἰουδαῖοι, καὶ τὴν ὄψιν τῆς ἀναστάσεως· καὶ πολὺ πρὸς τὸ πρᾶγμα κεχηνότες ἦσαν, φησὶ, ὅτι καὶ μὴν ὁ προφήτης, οὐ ταῦτα ἐπηγγείλατο, ἀλλ' ὅτι ἐξ ἀκοῆς ὑμᾶς ἔδει πιστεῦσαι. διὸ πρότερον αὐτὸ κατασκευάζει καὶ φησὶ, "ἄρα ἡ πίστις ἐξ ἀκοῆς." εἶτα ἐπειδὴ ἐδόκει τοῦτο εὐτελὲς εἶναι, ὅρα πῶς αὐτὸ ἀνάγει. οὐ γὰρ ἁπλῶς ἀκοὴν εἶπον φησὶ, οὐδ' ὅτι ἀνθρωπίνων δεῖ ῥημάτων ἀκοῦσαι καὶ πιστεῦσαι, ἀλλὰ ἀκοὴν ῥημάτων Θεοῦ. "ἡ γὰρ ἀκοὴ διὰ ῥήματος Θεοῦ." οὐ γὰρ τὰ αὐτῶν ἔλεγον, ἀλλὰ τὰ παρὰ τοῦ Θεοῦ μανθάνοντες ἀπήγγελλον. ὃ σημεῖον ἐστὶν ὑψηλότερον. τῷ γὰρ Θεῷ καὶ λέγοντι καὶ θαυματουργοῦντι, ὁμοίως καὶ πιστεύειν καὶ πείθεσθαι δεῖ.

Γενναδίου. Τάχα δὲ θεὶς τὴν τοῦ Ἡσαίου φωνὴν, τὸ, "Κύριε "τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν;" ἔοικε συνιστᾶν ἐκ ταύτης, καὶ τὸ εὖ αὐτῷ προειρῆσθαι, τὸ, "πῶς πιστεύσουσιν οὗ οὐκ ἤκουσαν·" λέγει γάρ· "ἄρα ἡ πίστις ἐξ ἀκοῆς." τοῦτο ἐκεῖνο, φησὶν, ὃ μικρῷ πρόσθεν ἐφάσκομεν. ὅτι τὸν πιστεύειν μέλλοντα δεῖ πρότερον τῆς περὶ τοῦ πιστευθησομένου διδασκαλίας ἀκοῦσαι. "ἡ δὲ ἀκοὴ, διὰ

“ῥήματος Θεοῦ.” ἀντὶ τοῦ, ἡ μέντοι διδασκαλία, δι' ἐνεργείας θείας τοῖς διδάσκουσι παραγίνεται.

Θεοδωρήτου. Οὐκοῦν ὁ ἀπιστῶν τοῖς θείοις λόγοις, διαπιστεῖ. καὶ ὁ πιστεύων θεῖα δεχόμενος ῥήματα, καρπὸν προφέρει τῆς ἀκοῆς τὴν πίστιν.

Θεοδώρου Μονάχου. Ἤρτηται μὲν οὖν ἡ πίστις, ἀκοῆς. ἡ δὲ ἀκοὴς ῥήματος. ὅμως θεῖον ἦν τὸ ῥῆμα, καὶ πάντως πιστὸν, καὶ ἐγγυώμενον τῶν λόγων τὴν ἀψεύδειαν. ἀλλ' οὐκ ἐπίστευσαν. τὸ μέντοι “τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν,” καὶ οὕτω νοηθήσεται. οἷς ἠκούσαμεν παρὰ σοῦ, καὶ ἐκηρύξαμεν, τίς ἐπίστευσεν;

18 Ἀλλὰ λέγω, μὴ οὐκ ἤκουσαν; μενοῦνγε εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

Χρυσοστόμου. Δείξας ὅτι δεῖ πιστεῦσαι τοῖς προφήταις, ἀεὶ τὰ τοῦ Θεοῦ λέγουσι, καὶ ἀκροάσεως μηδὲν πλέον ἐπιζητῆσαι, ἐπάγει λοιπὸν ἀντίθεσιν, καὶ φησὶ, “ἀλλὰ λέγω, μὴ, οὐκ ἤκουσαν;” τί γάρ φησιν, εἰ ἀπεστάλησαν οἱ κηρύσσοντες, καὶ ἐκήρυξαν ἅπερ ἐκελεύσθησαν, οὗτοι δὲ οὐκ ἤκουσαν; εἶτα μεθ' ὑπερβολῆς ἁπάσης ἡ λύσις τῆς ἀντιθέσεως. τί λέγεις; οὐκ ἤκουσαν; ἡ οἰκουμένη καὶ τὰ πέρατα τῆς γῆς ἤκουσαν. καὶ ὑμεῖς παρ' οἷς τοσοῦτον οἱ κήρυκες διέτριψαν χρόνον, καὶ ὅθεν ἦσαν, οὐκ ἠκούσατε; καὶ πῶς ἂν ἔχοι λόγον;

Θεοδωρήτου. Πῶς γὰρ οἷόν τε ἦν Ἰουδαίους μὴ ἀκοῦσαι τῶν κατὰ τὴν οἰκουμένην ἀκηκοότων ἐθνῶν; πρώτοις γὰρ αὐτοῖς οἱ κήρυκες τῆς ἀληθείας προσήνεγκαν τὰ κηρύγματα. καὶ γὰρ αὐτὸς ὁ Κύριος πρὸς αὐτοὺς ἔφη, “πορεύεσθε μᾶλλον πρὸς τὰ πρόβατα “τὰ ἀπολωλότα οἴκου Ἰσραήλ.” καὶ ἐν ταῖς Πράξεσιν οἱ Ἀπόστολοι, “ὑμῖν ἦν πρῶτον ἀναγκαῖον λαληθῆναι τὸν λόγον τοῦ “Θεοῦ.” μὴ, τοίνυν, φησὶ, Θεὸς μὲν καὶ προεβίβασεν Ἀποστόλους, καὶ ἀπεκάλυψεν αὐτοῖς ἃ κηρύξουσιν, αὐτοὶ δὲ κατερραθύμησαν. καὶ τοῖς οὐ πιστεύσασι, τὸ μὴ ἀκοῦσαι τοῦ κηρύγματος τῆς ἀπιστίας παραίτιον γέγονεν; οὐκ ἔστιν εἰπεῖν οὐδὲ τοῦτο. μᾶλλον γὰρ ἐπὶ τούτων ἀληθέστερον γένοιτο τὸ τοῦ Δαβὶδ, τὸ, “εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν,” καὶ τὰ ἑξῆς.

τοῦτο δὲ πρόδηλον, ὅτι οὐχ ὡς προφητικῶς περὶ αὐτῶν εἰρημένον τέθεικεν, ἀλλ' ὡς ἁρμόττειν δυνάμενον τοῖς παροῦσι πράγμασιν.

19 Ἀλλὰ λέγω, μὴ οὐκ ἔγνω Ἰσραήλ; μὴ πρῶτος Μωσῆς λέγει, Ἐγὼ παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς.

Χρυσοστόμου. *Πάλιν ἑτέραν ἀντίθεσιν εἰσάγει. τί γὰρ εἰ ἤκουσαν μέν, φησιν, οὐκ ἔγνωσαν δὲ τὰ εἰρημένα, οὐ δὲ συνῆκαν ὅτι οὗτοι ἐκεῖνοι ἦσαν οἱ ἀποσταλέντες; οὐκ ἄξιοι συγγνώμης τῆς ἀγνοίας ἕνεκεν ταύτης; οὐδαμῶς. καὶ γὰρ ὁ Ἡσαίας ἐχαρακτήρισε ταύτην εἰπών, "ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων "εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά." καὶ πρὸ τούτου πάλιν ὁ νομοθέτης αὐτός. ὥστε κἀντεῦθεν ἐχρῆν γνωρίσαι τοὺς κήρυκας, οὐκ ἀφ' ὧν ἠπίστησαν οὗτοι μόνον, οὐκ ἀφ' ὧν εἰρήνην ἐκήρυττον ἐκεῖνοι, οὐκ ἀφ' ὧν τὰ ἀγαθὰ εὐηγγελίζοντο ἐκεῖνα, οὐκ ἀφ' ὧν πανταχοῦ τῆς οἰκουμένης ὁ λόγος ἐσπείρετο, ἀλλὰ καὶ ἀφ' ὧν τοὺς καταδεεστέρους αὐτῶν τοὺς ἐξ ἐθνῶν εἶδον ἐν πλείονι ὄντας τιμῇ. ἃ γὰρ μηδέποτε ἤκουσαν οὗτοι, μὴ δὲ τούτων οἱ πρόγονοι, ταῦτα ἐξαίφνης ἐφιλοσόφουν ἐκεῖνοι. ὅπερ ἐπιτεταμένης ἦν τιμῆς, παρακνιζούσης αὐτούς, καὶ εἰς ζῆλον ἀγούσης· καὶ εἰς μνήμην τῆς προφητείας Μωσέως, τῆς λεγούσης "παραζηλώσω ὑμᾶς ἐπ' οὐκ "ἔθνει." οὐ γὰρ δὴ μόνον τὸ μέγεθος τῆς τιμῆς ἱκανὸν ἦν αὐτοὺς εἰς ζῆλον ἐμβαλεῖν, ἀλλὰ καὶ τὸ οὕτως εὐτελὲς εἶναι τὸ ἔθνος τὸ τοσούτων ἀπολαύσαν, ὡς μὴ δὲ ἔθνος ἄξιον εἶναι λογίζεσθαι. "ἐγὼ "γὰρ παραζηλώσω ὑμᾶς, ἐπ' οὐκ ἔθνει," φησὶ, "ἐπὶ ἔθνει ἀσυνέτῳ "παροργιῶ ὑμᾶς." τί γὰρ Ἑλλήνων ἀσυνετώτερον ἦν; τί δὲ εὐτελέστερον; ὁρᾷς πῶς διὰ πάντων γνωρίσματα καὶ σημεῖα σαφῆ τῶν καιρῶν τούτων ἄνωθεν δέδωκεν ὁ Θεὸς αὐτοῖς, ὥστε διανοῖξαι αὐτῶν τὴν πώρωσιν; ἆρα οὖν Μωσῆς τοῦτο εἶπε μόνος; οὐδαμῶς. ἀλλὰ καὶ Ἡσαίας μετ' ἐκεῖνον. διὸ καὶ Παῦλος ἔλεγε, "πρῶτος "Μωσῆς," δεικνὺς ὅτι καὶ δεύτερος ἥξει, τὰ αὐτὰ λέγων, καὶ τρανότερον καὶ σαφέστερον.*

Θεοδωρήτου. *Ἀσυνέτους δὲ ἡμᾶς προσηγόρευσε, τὴν πρὸ τῆς πίστεως ἡμῶν ἀφροσύνην ἐπιδεικνύς. τοῦτο γὰρ καὶ ὁ θεῖος Ἀπόστολος ἔφη, "ἦμεν γάρ ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλα-*

“νώμενοι, δουλεύοντες ἐπιθυμίᾳ πονηρᾷ.” ταύτῃ διαφερόντως Ἰουδαίους ἠνίασεν ὁ Θεός. οὐδὲ γὰρ οὕτως αὐτοὺς ἀλγύνει ἡ δουλεία, καὶ ἡ διασπορὰ, καὶ ἡ τοῦ ναοῦ ἐρημία, ὡς ἡ τῶν ἐθνῶν εὐσέβειά τε καὶ περιφάνεια. καὶ οὕτω δὲ ἐκλήψῃ τὸ “ἐπ᾽ οὐκ “ἔθνει.” οὐκ ἔθνος ἓν οἱ τῷ Σωτῆρι Χριστῷ πεπιστευκότες, ἀλλὰ μυρία. καὶ ταῦτα ποτὲ ἀσύνετα ἦν καὶ ἀνόητα. ὥσπερ τοίνυν ὑμεῖς φησὶν, τὸν ἕνα καταλιπόντες Θεὸν, πολλοὺς ψευδωνύμους προτετιμήκατε, οὕτως ἐγὼ τὸν ἕνα λαὸν ἀπορρίψας, πᾶσι τοῖς ἔθνεσι παρέξω τὴν γνῶσιν. ἀλλ᾽ ὑμεῖς μὲν τοὺς οὐκ ὄντας τετιμήκατε θεοὺς, καὶ ἀπεφήνατε θεούς. ἐγὼ δὲ τὰ ἀσύνετα ἔθνη θείας ἐμπλήσω σοφίας. ὑμεῖς δὲ ὁρῶντες, τῷ φθόνῳ τακήσεσθε.

20 Ἠσαΐας δὲ ἀποτολμᾷ καὶ λέγει, εὑρέθην τοῖς ἐμὲ μὴ
ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι.
21 πρὸς δὲ τὸν Ἰσραὴλ λέγει, ὅλην τὴν ἡμέραν ἐξεπέτασα
τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα.

Χρυσοστόμου. Οὐ μόνος Μωσῆς, φησὶν, περὶ τῆς τῶν ἐθνῶν εἰσαγωγῆς εἶπεν, ἀλλὰ καὶ Ἡσαίας μετ᾽ ἐκεῖνον. ὥσπερ δὲ ἀνωτέρω εἶπε “κράζει Ἡσαίας,” οὕτως καὶ ἐνταῦθα, “Ἡσαίας δὲ,” φησι, “ἀποτολμᾷ καὶ λέγει·” τουτέστιν, ἐβιάσατο καὶ ἐφιλονείκησε μηδὲν συνεσκιασμένον εἰπεῖν, ἀλλὰ καὶ γυμνὰ πρὸ τῶν ὀφθαλμῶν ὑμῶν θεῖναι τὰ πράγματα. μᾶλλον ἑλόμενος κινδυνεύειν ἐκ τοῦ φανερῶς εἰπεῖν, ἢ τὴν οἰκείαν ὑφορώμενος σωτηρίαν, σκιὰν γοῦν ὑμῖν καταλιπεῖν ἀγνωμοσύνης. καίτοιγε προφητείας οὐκ ἦν τοῦτο σαφῶς οὕτως εἰπεῖν. ἀλλ᾽ ὅμως ὥστε ἐκ περιουσίας ὑμῖν ἐμφράξαι τὸ στόμα, σαφῶς πάνυ καὶ διαρρήδην ἅπαντα προλέγει. καὶ τὴν ὑμῶν ἔκπτωσιν, καὶ τὴν ἐκείνων εἰσαγωγὴν οὕτω λέγων, “εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν. ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ “ἐπερωτῶσι.” τίνες οὖν οἱ μὴ ζητοῦντες; καὶ τίνες οἱ μὴ ἐπερωτῶντες; οὐκ εὔδηλον ὅτι οὐκ Ἰουδαῖοι. ἀλλ᾽ οἱ ἐξ ἐθνῶν, οἱ μηδέποτε αὐτὸν ἐπιγνόντες. ὥσπερ οὖν Μωϋσῆς ἐχαρακτήρισεν αὐτοὺς εἰπὼν, “ἐπ᾽ οὐκ ἔθνει,” καὶ “ἐπὶ ἔθνει ἀσυνέτῳ,” οὕτω καὶ ἐνταῦθα. ἀπὸ τῆς αὐτῆς ὑποθέσεως αὐτοὺς δηλοῖ τῆς ἀγνοίας τῆς ἐπιτεταμένης, ὃ μεγίστη κατηγορία Ἰουδαίων ἦν. ὅτι οἱ μὴ ζητοῦντες εὗρον, καὶ οἱ θητοῦντες, ἀπώλεσαν. πρὸς δὲ τὸν Ἰσραὴλ

φησὶ λέγει, "ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς "λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα."

Εἶδες πῶς τὸ ἄπορον ἐκεῖνο, καὶ παρὰ πολλῶν ζητούμενον, εὑρίσκεται ἄνωθεν καὶ ἐν τοῖς προφητικοῖς κείμενον ῥήμασι, καὶ σαφῶς λυόμενον; τί δὲ τοῦτό ἐστιν, ἤκουσας ἔμπροσθεν Παύλου λέγοντος, "τί οὖν ἐροῦμεν; ὅτι ἔθνη, τὰ μὴ διώκοντα νόμον δι- "καιοσύνης, κατέλαβε δικαιοσύνην. Ἰσραὴλ δὲ διώκων νόμον δι- "καιοσύνης, εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασε." τοῦτο καὶ Ἡσαίας ἐνταῦθα φησίν. τὸ γὰρ "εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν. "ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι," ταυτόν ἐστι τῷ εἰπεῖν, ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνην. εἶτα δεικνὺς ὅτι οὐχὶ τῆς τοῦ Θεοῦ χάριτος μόνον ἦν τὸ γινόμενον, ἀλλὰ καὶ τῆς γνώμης τῶν προσελθόντων· ὥσπερ οὖν καὶ ἡ ἐκείνων ἔκπτωσις τῆς φιλονεικίας τῶν ἀπειθησάντων, ἄκουσον τί ἐπήγαγε. "πρὸς δὲ τὸν Ἰσραὴλ λέγει· ὅλην τὴν ἡμέραν ἐξε- "πέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα." ἡμέραν ἐνταῦθα, τὸν πάντα χρόνον λέγων τὸν ἔμπροσθεν. τὸ δὲ ἐκπετάσαι τὰς χεῖρας, τὸ καλέσαι καὶ ἐπισπάσασθαι καὶ παρακαλέσαι δηλοῖ. εἶτα δεικνὺς τὸ ἔγκλημα ἅπαν ἐκείνων ὂν, φησὶ, "πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀναλέγοντα." εἶδες πόση ἡ κατηγορία; οὗτοι μὲν γὰρ οὐδὲ παρακαλοῦντι ἐπείσθησαν. οὐ μόνον δὲ οὐκ ἐπείσθησαν, ἀλλὰ καὶ ἀντεῖπον. καὶ ταῦτα οὐχ ἅπαξ, οὐ δὶς, οὐ τρὶς, ἀλλὰ διὰ παντὸς τοῦ χρόνου ταῦτα ποιοῦντα ὁρῶντες. ἕτεροι δὲ οἱ μηδέποτε αὐτὸν ἐγνωκότες, ἴσχυσαν αὐτὸν ἐπισπάσασθαι. ἀλλ' οὐ λέγει ὅτι αὐτοὶ ἴσχυσαν αὐτὸν ἐπισπάσασθαι. ἀλλὰ καθαιρῶν καὶ τῶν ἐξ ἐθνῶν τὰ φρονήματα, καὶ δεικνὺς τὴν αὐτοῦ χάριν τὸ πᾶν ἐργασαμένην, φησὶν, "ὅτι ἐγὼ ἐμφανὴς ἐγε- "νόμην," καὶ "ἐγὼ εὑρέθην." οὐκοῦν κενοὺς πάντων ἐκεῖνοι, φησί; οὐδαμῶς. ἀλλὰ τὸ εὑρεθέντα λαβεῖν καὶ φανέντα ἐπιγνῶναι, τοῦτο παρ' ἑαυτῶν εἰσήνεγκαν. εἶτα, ἵνα μὴ λέγωσιν οὗτοι, διατί οὖν καὶ ἡμῖν ἀφανὴς ἐγένου; τὸ πλέον τούτου τίθησιν· ὅτι οὐ μόνον ἐμφανὴς ἐγενόμην, ἀλλὰ καὶ παρέμεινα τὰς χεῖρας ἀναπεταννὺς, καὶ παρακαλῶν, πατρὸς φιλοστόργου, καὶ μητρὸς φιλόπαιδος κηδεμονίαν ἐπιδεικνύμενος.

Θεοδωρήτου. Ἔδειξε τοίνυν κατὰ ταυτὸν καὶ τῆς τῶν ἐθνῶν

θεογνωσίας τὴν πρόρρησιν. καὶ τὴν Ἰουδαίων μιαιφονίαν. τὸ γὰρ ἀποτολμᾷ, τοῦτο δηλοῖ. οὐκ ἔδεισε φησὶν φονῶντας Ἰουδαίους καὶ μεμηνότας, ἀλλὰ σὺν παρρησίᾳ πολλῇ τὴν τῶν ἐθνῶν προεκήρυξε σωτηρίαν. προεθέσπισε δὲ καὶ τῶν Ἰουδαίων τὴν ἀπιστίαν. τὸ δὲ "ὅλην τὴν ἡμέραν," τὸ διηνεκὲς λέγει. τοῦτο γὰρ καὶ ὁ Ἀκύλας καὶ ὁ Σύμμαχος ἡρμήνευσαν.

Καὶ διὰ τῆς ἐκπετάσεως τῶν χειρῶν, δοκεῖ μὲν τὸν λαὸν πρὸς ἑαυτὸν καλεῖν. διὰ δὲ τοῦ αὐτοῦ, καὶ τὸ σχῆμα τοῦ σταυροῦ ἐπιδείκνυται. ἀλλ' ὅρα πῶς σαφεστάτως ὁ θεῖος Ἀπόστολος τῶν ἔμπροσθεν διαπορηθέντων πάντων τὴν λύσιν ἐπήγαγε. δείξας τὴν γνώμην αὐτῶν αἰτίαν γενομένην τῆς ἀπωλείας, καὶ ὡς πάντοθεν ἀνάξιοι τῆς συγγνώμης εἰσί· καὶ ἀκούσαντες καὶ νοήσαντες τὰ λεγόμενα, καὶ οὐδὲ οὕτω βουληθέντας προσελθεῖν. καὶ τὸ πολὺ πλεῖον, ὅτι οὐ μόνον ἀκοῦσαι αὐτοὺς ταῦτα ἐποίησεν, οὐ μόνον δὲ νοῆσαι, ἀλλὰ καὶ ὃ μείζονα ἰσχὺν ἔχει πρὸς τὸ διεγεῖραι καὶ φιλονεικοῦντας καὶ ἀντιλέγοντας ἐπισπάσασθαι, καὶ τοῦτο προσέθηκε· τὸ παρακνίσαι αὐτοὺς καὶ παραζηλῶσαι. ἴστε γὰρ τοῦ πάθους τὴν τυραννίδα, καὶ ὅσην ἔχει τὴν ἰσχὺν τῆς ζηλοτυπίας ἡ φύσις, πρὸς τὸ λῦσαι φιλονεικίαν ἅπασαν, καὶ τοὺς ἀναπεπτωκότας διαναστῆσαι. καὶ τί δεῖ λέγειν ἐπ' ἀνθρώπων τοῦτο; ὅπου καὶ ἐπὶ ἀλόγων, καὶ ἐπὶ τῆς ἡλικίας τῆς ἀώρου τῶν παιδίων πολλὴν τὴν δύναμιν ἐπιδείκνυται. καὶ γὰρ παιδίον πολλάκις παρακαλούμενον, οὐκ εἶξε τῷ πατρὶ, ἀλλ' ἔμεινε φιλονεικοῦν. ἑτέρου δὲ θεραπευθέντος παιδίου καὶ μὴ καλούμενον ἐπανῆλθε πρὸς τοὺς κόλπους τοὺς πατρικούς. καὶ ὅπερ οὐκ ἴσχυσεν ἡ παράκλησις, τοῦτο ἐποίησεν ἡ παραζήλωσις. τοῦτο τοίνυν καὶ ὁ Θεὸς ἐποίησεν. οὐ γὰρ παρεκάλεσε μόνον καὶ τὰς χεῖρας ἐξεπέτασεν, ἀλλὰ καὶ τὸ τῆς ζηλοτυπίας ἐν αὐτοῖς διήγειρε πάθος τοὺς πολλῷ καταδεεστέρους αὐτῶν. ὃ μάλιστα ποιεῖ παραζήλωσιν· εἰσάγων οὐκ εἰς τὰ ἐκείνων ἀγαθὰ, ἀλλ' ὃ πολλῷ μεῖζον ἦν, καὶ τυραννικώτερον ποιεῖ τὸ πάθος, εἰς τὰ πολλῷ μείζονα ἐκείνων καὶ ἀναγκαιότερα, καὶ ἃ μὴ δὲ ὄναρ αὐτοί ποτε ἐφαντάσθησαν. ἀλλ' οὐδὲ οὕτως εἶξαν. οὐδεμιᾶς οὖν εἶεν ἄξιοι συγγνώμης. ἀλλὰ τοῦτο αὐτὸς μὲν οὐ λέγει. καταλιμπάνει δὲ ἐκ τοῦ συμπεράσματος τῶν εἰρημένων αὐτὸ συλλογίζεσθαι.

1 Λέγω οὖν, μὴ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ; μὴ
γένοιτο· καὶ γὰρ ἐγὼ Ἰσραηλίτης εἰμὶ, ἐκ σπέρματος
2 Ἀβραὰμ, φυλῆς Βενϊαμίν. οὐκ ἀπώσατο ὁ Θεὸς τὸν
λαὸν αὐτοῦ, ὃν προέγνω.

Χρυσοστόμου. Τοῦτο καὶ ἐνταῦθα κατασκευάζει, ὃ διὰ τῶν ἔμπροσθεν ἁπάντων ἐσπούδασε δεῖξαι. ὅτι κἂν ὀλίγοι ὦσιν οἱ διασεσωσμένοι, τὰ τῆς ἐπαγγελίας ἕστηκε. διὰ τοῦτο οὐδὲ ἁπλῶς εἶπε τὸν λαόν· ἀλλὰ προσέθηκεν "ὃν προέγνω." εἶτα ἐπάγων ἀπόδειξιν τοῦ μὴ ἀπῶσθαι τὸν λαὸν, φησὶν, "καὶ γὰρ ἐγὼ Ἰσραηλίτης, ἐκσπέρματος Ἀβραὰμ, φυλῆς Βενϊαμίν." ἐγὼ φησὶ ὁ διδάσκαλος, ὁ κήρυξ. ἐπεὶ οὖν ἐδόκει ἐναντίον εἶναι τοῖς ἔμπροσθεν εἰρημένοις, τοῖς λέγουσι, "τίς ἐπίστευσε τῇ ἀκοῇ;" καὶ "ὅλην "τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα "καὶ ἀντιλέγοντα." καὶ "παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει·" οὐκ ἠρκέσθη τῇ ἀπαγορεύσει, οὐδὲ τῷ εἰπεῖν "μὴ γένοιτο·" ἀλλὰ καὶ κατασκευάζει αὐτὸ, πάλιν ἀναλαμβάνων καὶ λέγων, "οὐκ ἀπώσατο "ὁ Θεὸς τὸν λαὸν αὐτοῦ." ἀλλὰ τοῦτο οὐκ ἔστι κατασκευὴ φησὶν, ἀλλ' ἀπόφασις· ὅρα οὖν τὴν κατασκευὴν, τήν τε προτέραν καὶ τὴν μετ' ἐκείνην. προτέρα μὲν γάρ ἐστι τὸ δεῖξαι, ὅτι αὐτὸς ἐκεῖθεν ἦν. οὐκ ἂν δὲ, εἰ ἀπωθεῖσθαι αὐτὸν ἔμελλεν, ᾧ τὲ κήρυγμα ἅπαν, καὶ τὰ πράγματα τῆς οἰκουμένης ἐνεπίστευσε, καὶ τὰ μυστήρια πάντα, καὶ τὴν οἰκονομίαν ὅλην, τοῦτον ἐκεῖθεν ἐξελέξατο. αὕτη μὲν οὖν μία κατασκευή. δευτέρα δὲ μετ' ἐκείνην, τὸ εἰπεῖν "τὸν "λαὸν ὃν προέγνω," τουτέστιν, ὃν ᾔδει σαφῶς ἐπιτήδειον ὄντα, καὶ τὴν πίστιν δεξάμενον. καὶ γὰρ τρισχίλιοι καὶ πεντακισχίλιοι, καὶ μυρίοι ἐξ ἐκείνων ἦσαν πιστεύσαντες. ἵνα γὰρ μὴ λέγῃ τις, σὺ οὖν ὁ λαὸς εἶ. καὶ ἐπειδὴ σὺ ἐκλήθης, τὸ ἔθνος ἐκλήθη, ἐπήγαγεν, "οὐκ ἀπώσατο τὸν λαὸν ὃν προέγνω·" ὡς ἂν εἰ ἔλεγεν, ἔχω μετ' ἐμοῦ τρισχιλίους, ἔχω πεντακισχιλίους, ἔχω μυρίους.

Θεοδωρήτου. Ἠδύνατο μὲν οὖν τὴν ἀπόδειξιν τοῦ μὴ ἀπωσθῆναι τὸν λαὸν καὶ ἐξ ἑτέρων πολλῶν παρασχεῖν, καὶ ἀγαγεῖν εἰς μέσον, τούς τε ἐν Ἱεροσολύμοις πεπιστευκότας τρισχιλίους. καὶ τὰς πολλὰς μυριάδας, περὶ ὧν ὁ μέγας Ἰάκωβος ἔφη, "καὶ "τοὺς κατὰ τὴν οἰκουμένην τῶν Ἰουδαίων δεξαμένους τὸ κήρυγμα."

ἀλλ' ἀντὶ τούτων πάντων ἑαυτὸν ἐπιδείκνυσιν. εἰ ἀπώσατο, λέγων, ὁ Θεὸς τὸν λαὸν, εἷς ἂν ἦν τῶν κατηγορουμένων κἀγώ. ἐξ ἐκείνης γὰρ κἀγὼ τῆς ῥίζης ἐβλάστησα, καὶ τὸν Ἀβραὰμ αὐχῶ πρόγονον, καὶ τὸν Βενϊαμὶν φύλαρχον· καὶ τῇ τοῦ Ἰσραὴλ προσηγορίᾳ σεμνύνομαι. καλῶς δὲ "καὶ ὃν προέγνω," προσέθηκε. τουτέστι, τοὺς τῆς θεογνωσίας ἀξίους, τοὺς τῆς πίστεως δεξαμένους τὴν αἴγλην.

Γεννάδιου. Διὰ τῆς προσθήκης ταύτης ἐμφήνας, οὐδὲ λαὸν εἶναι τοὺς ἄλλους, Θεοῦ, κἂν τὸν αὐτὸν τούτοις ἐπιγράφοιντο κατὰ σάρκα προπάτορα.

Θεοδώρου Μονάχου. Τέως δείκνυσιν ὅτι ἐστὶν ἐν τῷ ἔθνει αὐτῶν τινὲς, ἄξιοι σωτηρίας. διὸ φησὶν "ὃν προέγνω." τουτέστιν ὃν ᾔδει εὐσεβῆ ἐσόμενον. καὶ ἰσχυρῶς τοῦτο ἐφ' ἑαυτοῦ πιστοῦται, ἐν ᾧ καὶ ἑαυτὸν Ἰσραηλίτην φησίν. εἰ γὰρ πάντα λέγων τὸν Ἰσραὴλ ἀπώσατο, πῶς ἐγὼ ἐσωζόμην, καὶ γέγονα Ἀπόστολος, Ἰσραηλίτης ὤν;

Κυρίλλου. Ἐμφρόνως τοίνυν ὁ Παῦλος, καίτοι παθόντα τὸν σκοτισμὸν, οὐκ ἐᾷ μειζόνως κατασκληρύνεσθαι τὸν Ἰσραὴλ ταῖς εἰσάπαν ἀπογνώσεσι. μέτεισι δὲ ὥσπερ εὐτέχνως ταῖς χρηστοεπείαις. ἄρτι μὲν γὰρ ὡς ἀπειθῆ κατητιᾶτο τὸν Ἰσραήλ. ἐλπίδος γε μὴν τῆς ἄνωθεν οὐκ ἀπογυμνοῖ, οὔτε μὴν ὁλοτρόπως τῆς πρὸς Θεὸν οἰκειότητος, ἐξωσθῆναι φησίν. καὶ σαφῶς τοῦ πράγματος ποιεῖται ἀπόδειξιν· ἑαυτὸν παραθεὶς ὄντα Ἰσραηλίτην, ἐκ σπέρματος Ἀβραὰμ, εὐφυέστατα, καὶ Θεοῦ λαὸν ἀποκαλῶν ἔτι, καὶ προστιθεὶς τὸ, "μὴ γένοιτο," τοῖς περὶ τοῦ ἀπῶσθαι λόγοις. ταῦτα δὲ ἦν, οἱονεὶ περισαίνοντος τοὺς ἀπειθεῖν ἑλομένους, καὶ θωπικῶς ὑποτρέχοντος, καὶ εἰς ἕξιν αὐτοὺς ἀποφέροντος τὴν εὐσεβῆ καὶ εὐήνιον. εἴπερ οὖν ἐστιν ἐναργὲς, ὡς κέκληται πρὸς ἀποστολὴν αὐτός· τέθειται δὲ καὶ τῶν τοῦ Σωτῆρος μυστηρίων ἱερουργὸς εἰς τὰ ἔθνη, κήρυξ καὶ Ἀπόστολος. καίτοι ὑπάρχων ἐξ Ἰσραὴλ, πρόδηλον, ὡς οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ.

Ἢ οὐκ οἴδατε ἐν Ἠλίᾳ τί λέγει ἡ γραφή; ὡς ἐν-
3 τυγχάνει κατὰ τοῦ Ἰσραὴλ, λέγων, Κύριε, τοὺς προφή-
τας σου ἀπέκτειναν, καὶ τὰ θυσιαστήριά σου κατέ-

σκαψαν· κἀγὼ ὑπελείφθην μόνος, καὶ ζητοῦσι τὴν ψυ-
4 *χήν μου. ἀλλὰ τί λέγει αὐτῷ ὁ χρηματισμός; κατέλι-*
πον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν
γόνυ τῇ Βάαλ.

Χρυσοστόμου. *Ἵνα μὴ λέγωσι· τί οὖν ὁ λαὸς, εἰς σέ; καὶ εἰς τρισχιλίους καὶ πεντακισχιλίους, καὶ μυρίους περιέστη, τὸ σπέρμα ἐκεῖνο τὸ μιμούμενον τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει, καὶ τὴν ἄμμον τὴν θαλαττίαν. καὶ οὕτως ἡμᾶς ἀπατᾷς, τὸν λαὸν ἅπαντα σαυτῷ τιθείς. καὶ τοὺς ὀλίγους τοὺς μετὰ σοῦ, καὶ κεναῖς ἡμᾶς ἐφύσησας ἐλπίσι, τὴν ἐπαγγελίαν πεπληρῶσθαι λέγων, πάντων ἀπελειμμένων, καὶ εἰς ὀλίγους τῆς σωτηρίας περιστάσης; ἵν᾽ οὖν μὴ ταῦτα λέγωσιν, ὅρα πῶς διὰ τῶν ἑξῆς τὴν λύσιν ἐπάγει. τὴν μὲν ἀντίθεσιν τιθείς· πρὸ δὲ τῆς ἀντιθέσεως τὴν λύσιν αὐτῆς ἀπὸ παλαιᾶς ἱστορίας κατασκευάζων. τίς οὖν ἡ λύσις; "οὐκ ἀπώ-" σατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ." εἰ γὰρ ἀπώσατο, οὐδένα ἂν ἐδέξατο. εἰ δὲ ἐδέξατο τινὰς, οὐκ ἀπώσατο. καὶ μὴν φησὶ, εἰ μὴ ἀπώσατο, ἅπαντας ἂν ἐδέξατο. οὐδαμῶς. καὶ γὰρ ἐπὶ Ἠλίᾳ ἐν ἑπτακισχιλίοις περιέστη τὰ τῆς σωτηρίας. καὶ νῦν δὲ εἰκὸς πολλοὺς εἶναι τοὺς πεπιστευκότας. εἰ δὲ ἀγνοεῖτε ὑμεῖς, θαυμαστὸν οὐδέν. ἐπεὶ καὶ ὁ προφήτης ἐκεῖνος, ὁ τοσοῦτος καὶ τηλικοῦτος ἀνὴρ, ἠγνόει. ἀλλ᾽ ὁ Θεὸς ᾠκονόμει τὰ ἑαυτοῦ, καὶ τοῦ προφήτου ἀγνοοῦντος.*

Σκόπει δὲ αὐτοῦ τὴν σύνεσιν. πῶς ἐν τῷ κατασκευάζειν τὸ προκείμενον, λανθανόντως τὴν κατηγορίαν αὐτῶν αὔξει. διὰ γὰρ τοῦτο καὶ πάσης ἐμνήσθη τῆς μαρτυρίας, ἵνα αὐτῶν ἐκπομπεύσῃ τὴν ἀσχημοσύνην, καὶ δείξῃ ἄνωθεν ὄντας ἀγνώμονας. εἰ γὰρ μὴ τοῦτο ἤθελεν, ἀλλ᾽ ἓν δεῖξαι μόνον ἐσπούδαζεν· ὅτι ἐν τοῖς ὀλίγοις ὁ λαὸς, εἶπεν ἂν ὅτι καὶ ἐπὶ Ἠλίᾳ, ἑπτακισχιλίους ὑπελείφθησαν. νυνὶ δὲ ἄνωθεν ἀναγινώσκει τὴν μαρτυρίαν ἅπασαν. πανταχοῦ γὰρ ἐσπούδακε δεῖξαι, οὐδὲν ξένον ποιήσαντας ἐπὶ τοῦ Χριστοῦ καὶ τῶν Ἀποστόλων, ἀλλὰ τὰ συνήθη καὶ μεμελετημένα. ἵνα γὰρ μὴ λέγωσιν ὅτι ὡς πλάνον ἀνείλομεν τὸν Χριστὸν, καὶ ὡς ἀπατεῶνας διώκομεν τοὺς Ἀποστόλους, παράγει τὴν μαρτυρίαν τὴν λέγουσαν, "Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, καὶ τὰ θυσιαστήριά σου" κατέσκαψαν." εἶτα ὥστε μὴ ποιῆσαι τὸν λόγον ἐπαχθῆ, ἑτέραν

τῇ τῆς μαρτυρίας ἐπαγωγῇ, περιτίθησιν αἰτίαν. οὐ γὰρ ὡς προηγουμένως αὐτῶν κατηγορῆσαι βουλόμενος παράγει, ἀλλ' ὡς ἕτερά τινα ἀποδεῖξαι σπουδάζων. καὶ ἀποστερεῖ πάσης αὐτοὺς συγγνώμης, καὶ ἀπὸ τῶν ἔμπροσθεν γεγενημένων. ὅρα γὰρ πῶς ἐπιτεταμένη ἡ κατηγορία, καὶ ἀπὸ τοῦ προσώπου γίνεται. οὐδὲ γὰρ Παῦλος ἐστὶν ὁ κατηγορῶν, οὐδὲ Πέτρος καὶ Ἰάκωβος, καὶ Ἰωάννης, ἀλλ' ὁ μάλιστα πάντων παρ' αὐτοῖς θαυμαζόμενος τῶν προφητῶν. τί οὖν οὗτος φησί; "Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν," καὶ τὰ ἑξῆς. τί τῆς θηριωδίας ταύτης γένοιτ' ἂν[a]. δέον γὰρ παρακαλεῖν ὑπὲρ τῶν ἤδη πλημμεληθέντων. οἱ δὲ, καὶ αὐτὸν ἐβούλοντο ἀνελεῖν. ἅπερ ἅπαντα πάσης ἀπεστέρει συγγνώμης αὐτούς. οὐδὲ γὰρ τοῦ λιμοῦ κρατοῦντος, ἀλλὰ τῆς εὐετηρίας γενομένης, καὶ τῆς αἰσχύνης λυθείσης, καὶ τῶν δαιμόνων καταισχυνθέντων, καὶ τῆς τοῦ Θεοῦ δειχθείσης δυνάμεως, καὶ τοῦ βασιλέως ὑποκύψαντος, ἐτόλμων ταῦτα ἐκεῖνοι, ἀπὸ φόνων εἰς φόνους μεταβαίνοντες, καὶ τοὺς διδασκάλους, τοὺς διορθοῦντας αὐτῶν τὴν γνώμην, ἀναιροῦντας.

Τί γὰρ ἂν ἔχοιεν εἰπεῖν; μὴ καὶ ἐκεῖνοι πλάνοι; μὴ καὶ ἐκείνους οὐκ ᾔδεσαν πόθεν ἦσαν; ἀλλὰ ἐλύπουν ὑμᾶς, ἀλλὰ καὶ χρηστὰ ἔλεγον. τί δὲ τὰ θυσιαστήρια; μὴ καὶ αὐτὰ ἐλύπουν; ὁρᾷς πόσης φιλονεικίας, πόσης ὕβρεως ἐξήνεγκον ἀεὶ δείγματα;

Θεοδωρήτου. Καὶ κατ' ἐκεῖνον οὖν, φησι, τὸν καιρὸν πολλαὶ μυριάδες ἦσαν τοῦ Ἰσραήλ. καὶ πάντες Ἰσραὴλ ὠνομάζοντο. ἀλλ' ὁ τῶν ὅλων Θεὸς, τῶν ἑπτακισχιλίων ἑαυτὸν Θεὸν προσηγόρευσε. τοὺς δὲ ἄλλους ἀπεδοκίμασεν ἅπαντας. κατέλιπον γὰρ ἐμαυτῷ ἔφη, ἑπτακισχιλίους ἄνδρας. ὁ μέντοι προφήτης καὶ τοῦτο ἠγνόει. καὶ ἐν αὐτῷ μόνῳ τὰ λείψανα σεσῶσθαι τῆς εὐσεβείας ἐνόμιζεν. οὐδὲν οὖν καινὸν, εἰ καὶ ὑμεῖς ἀγνοεῖτε τοὺς ἐξ ὑμῶν τῷ Σωτῆρι πεπιστευκότας· οὓς λαὸν τῶν ἁπάντων ὁ Κύριος προσαγορεύει καὶ Θεός.

Γενναδίου. Καὶ ἅμα ἐκ τῆς γραφῆς ταύτης παρίστησι τὸ, κἂν τοῖς ἔμπροσθεν χρόνοις πολλοὺς ἐξ αὐτῶν ἀποδοκιμασθῆναι· τὸ μέντοι "ἐν τῷ Ἡλίᾳ," ἀντὶ τοῦ διὰ τοῦ Ἡλίου εἴρηται.

[a] I. marg. a m. r. ὠμότερον.

Κυρίλλου. Ὡς ἁρμοδιώτατα τοιγαροῦν, καθάπερ εἰρηκότα τινὰ τοῦ συμβεβηκότος τῷ Ἰσραὴλ, παρακομίζει τὴν ἱστορίαν τὴν ἐπὶ Ἠλίου. ἔστι γὰρ ὡς ἐξ ὁμοιότητος τῶν τὸ τηνικάδε πραγμάτων κατιδεῖν εὐκόλως, ὡς αὐτὸς ἐφ' ἑαυτῷ πεπαρώνηκεν ὁ Ἰσραήλ. βασιλεύοντος μὲν γὰρ Ἀχαὰβ τῆς Σαμαρείας, εὐκόλως ἐθρησκεύετο τὰ χειρότμητα παρὰ τοῦ Ἰσραήλ. θυσίαι τε ἦσαν, καὶ τεμένη πανταχοῦ. ἐδεδίεσαν δὲ πάντως οἱ Θεῷ προσκείμενοι, καὶ δύσοιστον οὕτω τὴν δόξαν ὑπομεμενήκασιν, ὡς καὶ ἐν σπηλαίοις, καὶ πετρῶν καταδύσεσι κρύπτεσθαι προφήτας. ὅτε καὶ αὐτὸς Ἠλίας, ἀνέθει μὲν εἰς βαθεῖαν ἔρημον, προσέπιπτε δὲ τῷ Θεῷ λέγων, "τὰ θυσιαστήριά σου κατέσκαψαν, καὶ τοὺς προφή-"τας σου ἀπέκτειναν. κἀγὼ κατελείφθην μόνος, καὶ ζητοῦσι τὴν "ψυχήν μου ἀπ' ἐμοῦ." ἀντήκουε δὲ πρὸς τοῦτο εὐθὺς, "κατέλι-"πον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ "τῇ Βάαλ." ἀλλ' ὥσπερ τότε, Θεὸς μὲν οὐκ ἦν, ὁ ταῖς οὕτω δειναῖς ἀνοσιουργίαις ἐνιεὶς τὸ Ἰσραὴλ, ἰδίαις δὲ μᾶλλον ἀπονοίαις χρώμενοι κατώλισθον αὐτοί. οὕτω δὴ πάλιν προθέντος ἅπασι τοῦ Θεοῦ καὶ Πατρὸς τὴν διὰ Χριστοῦ σωτηρίαν, διωθουμένου τὲ παντελῶς οὐδένα, κατώλισθον ἐθελοντὶ πρὸς ἀπόστασιν, προσαπωσάμενοι τὸν λυτρωτήν. οὐκοῦν οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ. προσέθηκε γὰρ, ὡς ἔφην, τὸ, εἴπερ ἕλοιντο μεταλαχεῖν τῆς διὰ Χριστοῦ σωτηρίας. χρηματισμὸς δέ ἐστιν ὁ τοῦ Θεοῦ λόγος.

5 Οὕτω καὶ ἐν τῷ νῦν καιρῷ λεῖμμα κατ' ἐκλογὴν χάριτος γέγονεν.

Χρυσοστόμου. Δείκνυται ἐντεῦθεν ὅτι τοὺς ἀξίους ὁ Θεὸς ἀεὶ σώζειν εἴωθεν· κἂν πρὸς ἅπαν τὸ ἔθνος ἡ ἐπαγγελία κειμένη ᾖ. ὃ καὶ ἄνωθεν ἔδειξε, δι' ὧν ἔλεγεν, "ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν "Ἰσραὴλ, ὡς ἡ ἄμμος τῆς θαλάσσης." καὶ "εἰ μὴ Κύριος Σαβαὼθ "ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν." ὅρα δὲ ἑκάστην λέξιν τὴν οἰκείαν εὐγένειαν διασώζουσαν, καὶ τὴν τοῦ Θεοῦ χάριν, καὶ τὴν τῶν σωζομένων εὐγνωμοσύνην ἐμφαίνουσαν. τῷ μὲν γὰρ εἰπεῖν "ἐκλογὴν," ἔδειξεν ἐκείνων τὴν δοκιμήν. τῷ δὲ εἰπεῖν "χάριτος," ἔδειξε τὴν τοῦ Θεοῦ δωρεάν.

Θεοδωρήτου. Ὥσπερ γάρ, φησιν, τότε ἀπὸ μυριάδων ἀπείρων

ἑπτακισχίλιοι κατελείφθησαν μόνοι τῆς ἀσεβείας ἐλεύθεροι· οὕτω καὶ νῦν πλείους μὲν οἱ ἀπιστήσαντες, ἐλάττους δὲ οἱ πιστεύσαντες, καὶ τῆς θείας χάριτος ἀπολαύσαντες.

Γενναδίου. Οὐδὲν οὖν ὡς ἔοικε καινὸν οὐδὲ ἐν τῷ παρόντι γεγένηται. λειψάνου τινὸς κατὰ χάριν ἐκλεγέντος καὶ νῦν, ἐκ τοῦ παντὸς γένους ὑμῶν. ὥσπερ γὰρ τότε κατὰ τὸν γραφικὸν λόγον, οὐδ᾽ ἂν εἷς σέσωστο, μὴ ἑαυτῷ τοὺς ἑπτακισχιλίους ὑπολειπομένου Θεοῦ, τουτέστι, μὴ θείας χάριτος αὐτοὺς ἐπὶ τῆς γνώμης τῆς εὐσεβοῦς φυλαττούσης, οὕτως οἶμαι καὶ νῦν.

6 Εἰ δὲ χάριτι, οὐκέτι ἐξ ἔργων· ἐπεὶ ἡ χάρις οὐκέτι ἐστὶ χάρις. ἐπεὶ τὸ ἔργον οὐκέτι ἐστὶν ἔργον. εἰ δὲ ἐξ ἔργων, οὐκέτι ἐστὶ χάρις.

Χρυσοστόμου. Πάλιν ἐπιπηδᾷ τῇ φιλονεικίᾳ τῶν Ἰουδαίων μετὰ τῶν εἰρημένων· καὶ ἐντεῦθεν αὐτοὺς ἀποστερῶν συγγνώμης. οὐδὲ γὰρ ἔχετε, φησὶ, εἰπεῖν, ὅτι προφῆται μὲν ἐκάλουν, καὶ ὁ Θεὸς παρεκάλει, καὶ τὰ πράγματα ἐβόα, καὶ ἡ παραζήλωσις ἱκανὴ ἡμᾶς ἐπισπάσασθαι ἦν. φορτικὰ δὲ τὰ ἐπιταττόμενα, καὶ διὰ τοῦτο οὐκ ἐδυνήθημεν προσελθεῖν. ἐπειδὴ ἔργων ἐπίδειξιν ἀπητούμεθα, καὶ κατορθώματα ἐπίπονα. πῶς γὰρ ἂν ταῦτα ἀπήτησεν ὁ Θεὸς παρ᾽ ὑμῶν, ὁπότε καὶ τὴν χάριν αὐτοῦ τοῦτο ἐπισκιάζειν ἔμελλε; ταῦτα δὲ εἶπε, βουλόμενος ἐνδείξασθαι ὅτι σφόδρα ἐβούλετο αὐτοὺς σωθῆναι. οὐ γὰρ ἡ σωτηρία αὐτοῖς προεχώρει μόνον εὐκόλως, ἀλλὰ καὶ τῷ Θεῷ δόξα μεγίστη ἦν, τὸ τὴν φιλανθρωπίαν ἐπιδείξασθαι τὴν ἑαυτοῦ. τί τοίνυν ἐφοβήθης προσελθεῖν, οὐκ ἀπαιτούμενος ἔργα; τί δὲ στασιάζεις καὶ φιλονεικεῖς, χάριτος προκειμένης; καὶ νόμον μοι προβάλλῃ εἰκῇ καὶ μάτην; οὔτε γὰρ ἐκεῖθεν σωθήσῃ. καὶ ταύτην λυμήνῃ τὴν δωρεάν. εἰ γὰρ φιλονεικεῖς ἐκεῖθεν σώζεσθαι, ἀναιρεῖς τοῦ Θεοῦ τὴν χάριν ταύτην. εἶτα ἵνα μὴ νομίσωσι τοῦτο ξένον εἶναι, προλαβὼν καὶ τοὺς ἑπτακισχιλίους ἐκείνους, ἀπὸ χάριτος ἔφη σεσῶσθαι. ὅταν γὰρ εἴπῃ ὅτι οὕτω καὶ ἐν τῷ νῦν καιρῷ λεῖμμα κατ᾽ ἐκλογὴν χάριτος γέγονε, δείκνυσιν, ὅτι καὶ ἐκεῖνοι χάριτι ἐσώθησαν. καὶ οὐ τούτῳ μόνον, ἀλλὰ καὶ τῷ εἰπεῖν "κατέλιπον ἐμαυτῷ." τοῦτο γὰρ ἐμφαίνοντός ἐστιν ὅτι τὸ πλέον αὐτὸς εἰσήνεγκε. καὶ εἰ χάριτι, φησὶν, διατί μὴ πάντες

ἐσωζόμεθα; ὅτι μὴ βούλεσθε. ἡ γὰρ χάρις, κἂν χάρις ᾖ, τοὺς ἐθέλοντας σώζει· οὐ τοὺς ἀποστρεφομένους αὐτὴν, καὶ πολεμοῦντας αὐτῇ διηνεκῶς καὶ ἐναντιουμένους.

Γεννάδιου. Οὐ τηνάλλως δὲ ἀδολεσχῆσαι βουλόμενος, οὕτω ταῦτα ἔθηκεν ὁ Ἀπόστολος, ἀλλὰ δεῖξαι σπουδάζων, ἀσύμβατον ὄντα παντελῶς τὸν νόμον τῇ χάριτι· καὶ οὐ δυνάμενα κατὰ ταυτὸν ἀμφότερα ταῦτα, ἀλλὰ ἀναγκαίως ἔχον θατέρῳ θάτερον ὑπεξίστασθαι. ὥστε εἰ χάριτι ἐκλεγόμεθα, ῥᾴδιον τὸ προσελθεῖν καὶ πιστεῦσαι Χριστῷ. οὐδὲ γὰρ ἔργων δεόμεθα εἰς τὸ προσδραμεῖν αὐτῷ καὶ πιστεῦσαι Χριστῷ. ἀλλὰ μόνη γνώμη καὶ προαίρεσις ἀρκεῖ. κατὰ χάριν γὰρ, οὐ δι' ἔργα προσδέχεται. ὥστε εἰ χάριτι καλεῖ καὶ προσδέχεται, οὐκ ἔχομεν εἰς τοῦτο χρείαν ἔργων. ἐπεὶ εἰ χρείαν σχοίημεν ἔργων, οὐκέτι ἡ χάρις, χάρις μένει. οὐ μόνον δὲ τοῦτο ἀκολουθήσει τὸ ἄτοπον, ἐὰν νομίσωμεν ὅτι δεῖ ἡμῖν ἔργων εἰς τὸ προσελθεῖν, καὶ πιστεῦσαι Χριστῷ, ἀλλὰ καὶ ἕτερον ὅμοιον. εἰ γὰρ ἐξ ἔργων προσιέναι δεῖν ἡμᾶς νομίσομεν, δῆλον ὡς ἀνήρηται ἡ χάρις. ἐπεὶ εἰ μὴ ἀνήρηται, οὐκέτι οὐδὲ τὸ ἔργον μένει ἔργον· τῆς χάριτος οὐκ ἐώσης ὅλως ἔργον ὑποστῆναι· ἀλλὰ προῖκα τὴν ἐκλογὴν ἐπιδεικνυμένης. κεχώρισται μὲν γὰρ ἀπ' ἀλλήλων τῇ φύσει χάρις καὶ ἔργον. καὶ τῷ μὲν ἔργῳ ἕπεται μισθὸς καὶ οὐ χάρις. ἡ δὲ χάρις δίδοται, οὐχ ὡς ἀντιμισθία, ἀλλὰ δῶρον καὶ φιλοτιμία. δῆλον οὖν, ὅτι τὴν εὐεργεσίαν τῆς χάριτος παρεχομένης· εἴ τις οἴεται διὰ τῶν ἔργων ταύτης ἀπολαύειν, ἀναιρεῖ τὴν χάριν τὸ ὅσον ἐφ' ἑαυτῷ, καὶ οὐ μένει ἡ χάρις ἔτι χάρις. πάλιν οὐδὲ τὰ ἔργα μένει ἔργα. τὴν γὰρ οἰκείαν οὐ σώζει φύσιν. ἐπεὶ τοῖς ἔργοις μισθὸς, ἀλλ' οὐ χάρις ἀκολουθεῖ. τῆς χάριτος οὖν χορηγούσης τὴν εὐεργεσίαν, κἂν τις δι' ἔργων ταύτης τυχεῖν πειρασθείη, εἰς μάτην ἔσται ἡ πεῖρα. μήτε τῶν ἔργων, ἔργων ἔτι δυναμένων μεῖναι. οὐ γὰρ ἔσται τούτοις μισθὸς, τῆς χάριτος προλαβούσης. καὶ ματαιοπονοῦντος λαβεῖν δι' ἔργων, ὃ προῖκα παρέσχεν ἡ χάρις. εἰ γοῦν χάριτι φησὶ, οὐκέτι ἐξ ἔργων· ἐπεὶ εἰ συγχωρηθῇ τὸ ἐξ ἔργων, ἀνήρηται ἡ χάρις, χάρις εἶναι. πάλιν εἰ ἐξ ἔργων, οὐκέτι ἐστὶ χάρις. ἐπεὶ εἰ συγχωρηθῇ ἡ χάρις, οὐκέτι μένει τὸ ἔργον, ἔργον.

Θεοδώρου Μονάχου. Εἰ δὲ λέγει τις, διατί οὖν οὐ πᾶσιν

ἐχαρίσατο; λεκτέον, ὅτι ἡ χάρις, ἐν τῇ πίστει καὶ τῷ βαπτίσματι δίδοται. ᾧπερ ἀπιστήσαντες, πῶς ἔμελλον τυχεῖν τῆς χάριτος καὶ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν;

Χρυσοστόμου. Δι' ὅλου τοιγαροῦν ἐκεῖνο κατασκευάζει ὁ θεῖος Ἀπόστολος τὸ, "οὐχ οἷον δὲ ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ Θεοῦ." δεικνὺς ὅτι εἰς τοὺς ἀξίους ἦλθεν ἡ ἐπαγγελία· καὶ ὅτι οὗτοι, εἰ καὶ ὀλίγοι εἰσι, δύνανται εἶναι λαὸς τοῦ Θεοῦ. καί τοι γε ἐν προοιμίοις τῆς Ἐπιστολῆς μετὰ πλείονος αὐτὸ ὑπερβολῆς τέθεικεν, εἰπὼν, "τί γὰρ εἰ ἠπίστησάν τινες;" καὶ μὴ δὲ μέχρι τούτου στὰς, ἀλλ' ἐπαγὼν, "γινέσθω δὲ ὁ Θεὸς ἀληθὴς, πᾶς δὲ ἄνθρωπος "ψεύστης." καὶ νῦν δὲ πάλιν ἑτέρως αὐτὸ κατασκευάζει, καὶ τῆς χάριτος δείκνυσι τὴν ἰσχύν· καὶ ἀεὶ τοὺς μὲν, σωζομένους, τοὺς δὲ, ἀπολλυμένους.

7 Τί οὖν; ὃ ἐπιζητεῖ Ἰσραὴλ, τοῦτο οὐκ ἐπέτυχεν, ἡ δὲ ἐκλογὴ ἐπέτυχεν· οἱ δὲ λοιποὶ ἐπωρώθησαν.

Κυρίλλου. Ἔφη μὲν ὅτι οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ. ἐπειδὴ δὲ ἦν εἰκὸς ἀνταναστῆναι τινὰς ἐκεῖνό που πάντως προϊσχομένους καὶ λέγοντας, καίτοι πῶς οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ, εἴπερ ἀπώλισθεν Ἰσραὴλ εἰ καὶ μὴ εἰσάπαν ὁλοτελῶς, ἀλλ' οὖν ὡς ἐν μοίρᾳ; λεῖμμα γὰρ σέσωσται· καὶ τοῦτο κατ' ἐκλογήν. ὑπ' αὐτοῦ δὴ καὶ μάλα ἐμφρόνως. καὶ φησὶν, "τί οὖν;" τουτέστι, τί οὖν περὶ τούτου φημί; "ὃ ἐπιζητεῖ Ἰσραὴλ, τούτου "οὐκ ἐπέτυχεν. ἡ δὲ ἐκλογὴ ἐπέτυχεν· οἱ δὲ λοιποὶ ἐπωρώθησαν." ἐπιζητεῖ μὲν γὰρ ὁ Ἰσραὴλ τὴν ἐκ νόμου δικαίωσιν. εἶτα πῶς ἦν αὐτὸν δικαιοῦσθαι φησὶν, τετελειωκότος οὐδένα τοῦ νόμου· οὐκοῦν τὴν διὰ τύπου δικαίωσιν ἐπιζητεῖ μὲν ὁ Ἰσραήλ· οὐκ ἐπέτυχε δέ. ἀλλ' οἵ γε ἀπολογάδην καὶ τῶν ἄλλων ἐξῃρημένοι, διὰ τὸ εὐπειθὲς ἐπέτυχον. δεδικαίωνται γὰρ διὰ πίπτεως. πεπώρωνται δὲ οἱ λοιποί. τουτέστιν οἱ σκληροί τε καὶ ἀνουθέτητοι.

Θεοδωρήτου. Εἰς μὲν οὖν τὸ, "τί οὖν;" ὑποστικτέον. κατ' ἐρώτησιν γὰρ κεῖται. ἀντὶ τοῦ, τί τοίνυν ἔστιν εἰπεῖν; εἶτα, κατὰ ἀπόκρισιν τὰ λοιπά. ἐκλογὴν δὲ, τοὺς ἐξ αὐτῶν πεπιστευκότας καλεῖ. λέγων ὅτι ὁ Ἰσραὴλ τῷ νόμῳ προστετηκὼς, διήμαρτε τοῦ σκοποῦ. παρανόμως γὰρ νῦν φυλάττει τὸν νόμον, καὶ δικαιοσύνην

3 E

οὐδεμίαν καρποῦται. οἱ δὲ ἐξ αὐτῶν πεπιστευκότες, ἐπέτυχον. οἱ δὲ λοιποὶ ἐπωρώθησαν. ἀντὶ τοῦ, σκληροτέραν ἡ ἀπιστία τὴν καρδίαν αὐτῶν εἰργάσατο.

Χρυσοστόμου. Τὸ τοίνυν ὃ ἐπιζητεῖ Ἰσραὴλ, τούτου οὐκ ἐπέτυχεν, οὐκ ἐρωτῶντος μᾶλλον ἐστὶν ἢ ἐγκαλοῦντος. ἑαυτῷ γὰρ μάχεται, φησὶν, ὁ Ἰουδαῖος, ζητῶν δικαιοσύνην ἣν οὐ[b] βούλεται λαβεῖν. εἶτα ἀποστερῶν αὐτοὺς πάλιν συγγνώμης, ἀπὸ τῶν εἰληφότων δείκνυσιν αὐτῶν τὴν ἀγνωμοσύνην. ἡ γὰρ ἐκλογὴ, φησὶ, ἐπέτυχε. κἀκεῖνοι τούτους κατακρινοῦσιν. ὅπερ οὖν καὶ ὁ Χριστὸς ἔλεγεν, "εἰ δὲ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια. οἱ υἱοὶ "ὑμῶν ἐν τίνι ἐκβαλοῦσι; διὰ τοῦτο κριταὶ αὐτοὶ ὑμῶν ἔσονται." ἵνα γὰρ μηδεὶς τῇ τοῦ πράγματος ἐγκαλῇ φύσει, ἀλλὰ τῇ ἐκείνων γνώμῃ, δείκνυσι καὶ τοὺς ἐπιτυχόντας. διὸ καὶ σφόδρα ἐμφαντικῶς τῇ λέξει κέχρηται· καὶ τὴν ἄνωθεν χάριν καὶ τὴν αὐτῶν σπουδὴν ἐνδεικνύμενος. οὐδὲ γὰρ ἵνα ἀνέλῃ τὸ αὐτεξούσιον, φησὶν, ὅτι ἐπέτυχον. ἀλλ' ἵνα δηλώσῃ τῶν ἀγαθῶν τὸ μέγεθος. καὶ ὅτι πλέον τῆς χάριτος ἦν, οὐ τὸ πᾶν. καὶ γὰρ καὶ ἡμῖν ἔθος λέγειν, ὁ δεῖνα ἐπέτυχεν· ὁ δεῖνα εὗρεν. ὅταν πολὺ κέρδος ᾖ τὸ γινόμενον. οὐ γὰρ ἀνθρωπίνοις νόμοις[c] ἀλλὰ θείᾳ δωρεᾷ τὸ πλέον γέγονεν. "οἱ δὲ λοιποὶ," φησὶν, "ἐπωρώθησαν." ὅρα πότε ἐθάρρησεν εἰπεῖν οἰκείᾳ φωνῇ τὴν τῶν λοιπῶν ἐκβολήν· εἶπε μὲν γὰρ αὐτὴν καὶ ἤδη· ἀλλὰ τοὺς προφήτας εἰσάγων κατηγοροῦντας. ἐνταῦθα δὲ καὶ ὁ αὐτὸς λοιπὸν ἀποφαίνεται.

Θεοδώρου Μονάχου. Τί οὖν φησίν; ἀντὶ τοῦ, τί οὖν ἐκ τῶν προειρημένων ἡμῖν τὸ συναγόμενον; ἐν οἷς τῶν τε ἠπιστηκότων κατηγορήσαμεν, καὶ τοὺς πεπιστευκότας δικαιότατα τὴν τῶν δογμάτων ἀλήθειαν προτετιμηκότας ἐδείξαμεν; "ὃ ἐπιζητεῖ Ἰσραὴλ, "τούτου οὐκ ἐπέτυχεν." ὅτι τοῖς Ἰσραηλίταις τυχεῖν οὐκ ἐγένετο τούτου, ὃ δὴ ζητεῖν δοκοῦσιν. ἵνα εἴπῃ τῆς δικαιοσύνης. ὅμοιον γάρ ἐστι τῷ "Ἰσραὴλ δὲ διώκων νόμον δικαιοσύνης, εἰς νόμον "δικαιοσύνης οὐκ ἔφθασε." λείπει δὲ τὸ, πάντες. ἵνα ᾖ, τούτου πάντες οὐκ ἐπέτυχον. ἐπάγει γὰρ, "ἡ δὲ ἐκλογὴ ἐπέτυχεν. οἱ δὲ "λοιποὶ ἐπωρώθησαν." ἵνα εἴπῃ, ἔτυχον μὲν τῆς δικαιώσεως οἱ

[b] A recent. m. suprascriptum. [c] I. m. a m. r. πόνοις.

τῆς ἐκλογῆς, ἀπὸ τοῦ ἰδίου τρόπου νομισθέντες ἄξιοι. οἱ δὲ λοιποὶ πάντες ἀπεβλήθησαν διὰ τὴν αὐτῶν κακίαν.

8 Καθὼς γέγραπται, Ἔδωκεν αὐτοῖς ὁ Θεὸς πνεῦμα κατανύξεως, ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, καὶ ὦτα τοῦ μὴ ἀκούειν, ἕως τῆς σήμερον ἡμέρας.

Χρυσοστόμου. *Ἀποφηνάμενος ὅτι ἐπωρώθησαν, οὐδὲ ἐνταῦθα ἀρκεῖται τῇ οἰκείᾳ ἀποφάσει, ἀλλὰ πάλιν τὸν προφήτην Ἡσαίαν ἐπήγαγε. πόθεν δὲ ἡ πώρωσις αὕτη; εἶπε μὲν καὶ ἔμπροσθεν τὰς αἰτίας. καὶ τὸ πᾶν εἰς τὴν αὐτῶν περιέτρεψε κεφαλήν· δεικνὺς ὅτι ἐξ ἀκαίρου φιλονεικίας ὑπέμειναν. λέγει δὲ καὶ νῦν. ὅταν γὰρ εἴπῃ "ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, καὶ ὦτα τοῦ μὴ ἀκούειν," οὐδὲν ἕτερον ἢ τὴν γνώμην αὐτῶν τὴν φιλόνεικον διαβάλλει. καὶ γὰρ ὀφθαλμοὺς ἔχοντες ὥστε ἰδεῖν τὰ θαύματα, καὶ ὦτα κεκτημένοι ὥστε ἀκοῦσαι τῆς θαυμαστῆς ἐκείνης διδασκαλίας, οὐδενὶ τούτων εἰς δέον ἐχρήσατο. τὸ δὲ "ἔδωκεν" ἐνταῦθα μὴ ἐνέργειαν εἶναι νόμιζε, ἀλλὰ συγχώρησιν. κατάνυξιν δὲ ἐνταῦθα, τὴν ἐπὶ τὸ χεῖρον ἕξιν τῆς ψυχῆς φησι, τὴν ἀνιάτως ἔχουσαν καὶ ἀμεταθέτως. ἐπεὶ καὶ ἀλλαχοῦ φησὶ ὁ Δαβὶδ, "ὅπως ἂν ψάλλῃ σοι ἡ "δόξα μου, καὶ οὐ μὴ κατανυγῶ." τουτέστιν, οὐ μὴ μεταστῶ, οὐ μὴ μεταβληθῶ. ὥσπερ γὰρ ὁ ἐν εὐλαβείᾳ κατανενυγμένος οὐκ ἂν εὐκόλως μεταστῇ, οὕτω καὶ ὁ ἐν πονηρίᾳ κατανυγεὶς πάλιν, οὐκ ἂν ῥᾳδίως μεταβάλοιτο. κατανυγῆναι γὰρ οὐδὲν ἕτερόν ἐστιν, ἢ τὸ ἐμπαγῆναί που καὶ προσηλῶσθαι. τὸ τοίνυν ἀνίατον αὐτῶν καὶ δυσμετάθετον τῆς γνώμης δηλῶν, "πνεῦμα κατανύξεως" εἶπεν.*

Γενναδίου. *Ἢ "πνεῦμα κατανύξεως," ἀντὶ τοῦ προαίρεσιν βαρυτάτην, δεομένην μετανοίας καὶ διορθώσεως.*

Θεοδώρου Μονάχου. *Ἢ "ἔδωκεν αὐτοῖς ὁ Θεὸς πνεῦμα "κατανύξεως," ὥστε κατανύσσεσθαι πρὸς εὐσέβειαν, ἀλλ' ὅμως οὐδὲν ὠφελήθησαν ἐκ τούτου. οὔτε γὰρ αὐτοὶ ὁρῶσιν, οὔτε ἄλλοι ἀκούσουσιν, ἀλλὰ μόνον κατανύσσονται, οὐκ ἐπιστρέφουσι δέ. διὸ καὶ ἄνω εἶπε, "μαρτυρῶ γὰρ αὐτοῖς ὅτι ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ' "οὐ κατ' ἐπίγνωσιν."*

Ἰσιδώρου. Τὸ οὖν, "*ἔδωκε*," *καὶ τὸ* "*παρέδωκε*," *κατὰ τοὺς τῆς ἱερᾶς γραφῆς νόμους καὶ τὰ ἰδιώματα, ἀφῆκεν ἐστὶ, καὶ*

συνεχώρησεν. εἰ δ' οὐ καταδέχῃ, δι' ἀποδείξεως ὁ λόγος βαδιεῖται. φησὶν ὁ Παῦλος περὶ τῶν τὸ θεῖον σέβας εἰδώλοις ἐπιφημισάντων, "παρέδωκεν αὐτοὺς εἰς πάθη ἀτιμίας," τουτέστιν, ἀφῆκεν, ἐγκατέλιπε. πῶς γὰρ οὐκ ἔμελλον καὶ τὴν φύσιν ἀγνοεῖν, καὶ ὑπερορίοις ἐγκαλινδεῖσθαι πταίσμασιν, οἱ τὴν κτίσιν παρὰ τὸν κτίσαντα προσκυνήσαντες; καὶ πάλιν, "παρέδωκεν αὐτοὺς ὁ Θεὸς "εἰς νοῦν ἀδόκιμον, ποιεῖν τὰ μὴ καθήκοντα." εἶτα αὐτὸ ἑρμηνεύων ἔφη, "πεπληρωμένους πάσης ἀδικίας," πλεονεξίας, κακίας. εἰ τοίνυν πεπληρωμένοι ἦσαν, πῶς παρέδωκε; θέα τὴν ἀκρίβειαν. οὐκ εἶπε παρέδωκε πληρωθησομένους, ἀλλ' ὅτι πεπληρωμένους ἀφῆκεν. ὥσπερ ἂν εἴ τις ποιμὴν ἀγαθὸς πρόβατα λοιμικῇ νόσῳ ἑαλωκότα, ἔξω τῆς ἀγέλης ἀπελάσειε, καὶ τρόπον τινὰ τοῖς λύκοις παραδοίη. οὐ τῷ εἰς τὰ τῶν λύκων ἐμβαλεῖν στόματα, ἀλλὰ τῷ γυμνῶσαι τῆς οἰκείας ἐπιμελείας καὶ προστασίας.

Τὸ μὲν οὖν "ἔδωκε," τοιαύτην ἔχει τὴν ἔννοιαν. τὸ δὲ "πνεῦμα κατανύξεως," καταγνώσεως ἔσται καὶ καταπλήξεως. τὸ γὰρ νύττειν, τιτρώσκειν ἐστὶ καὶ πλήττειν. κατὰ τό, "ἔνυξαν τὴν πλευρὰν "τοῦ Ἰησοῦ λόγχῃ." ἐπεὶ οὖν πλῆξαι ἐστὶ τὸ νύξαι, τὸ κατατρωθῆναι, κατανυγῆναι εἰκότως εἴρηται. εἶτα ἑρμηνεύων αὐτὸς τὸ κατένυξεν, ὅτι κατέπληξεν ἐστὶν, ἔφη, "ὀφθαλμοὺς τοῦ μὴ βλέπειν καὶ "ὦτα τοῦ μὴ ἀκούειν." τοῦτο γὰρ συμβαίνειν εἴωθε τοῖς καταπληττομένοις. ἅτε γὰρ τοῦ νοῦ ταραχθέντος, αἱ αἰσθήσεις τὰς ἐνεργείας ἀρνοῦνται. ὅτι δὲ τοῦτο μηνύει, ἄκουε λεγούσης τῆς γραφῆς, "μακάριος ὃς οὐ κατενύγη ἐν λύπῃ ἁμαρτίας." καὶ μὴν ἡ κατὰ Θεὸν λύπη, μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται. τί οὖν ἐστιν ὅ φησιν; εἰ μὲν εἴποιμεν ὡς οἴονται τινὲς τὸν μηδόλως ἁμαρτήσαντα μακαρίζεσθαι ἐνταῦθα, τάχα οὐδεὶς τοῦ μακαρισμοῦ τούτου ἀπολαύσειε. πάντες γὰρ ἐσμὲν ἐν ἐπιτιμίοις. τίς γὰρ καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν; ἢ τίς παρρησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτιῶν; εἰ δὴ φαίημεν ὅτι μακαρίζει οὐ τὸν μὴ λυπηθέντα, ἀλλὰ τὸν μὴ καταπλαγέντα ὑπὸ τῆς λύπης, καὶ προδεδωκότα τὴν ἑαυτῶν σωτηρίαν, οἷον ἔπαθεν Ἰούδας, ἀγχόνῃ ἑαυτὸν ἀνελὼν, ὃ καὶ δεδιὼς ὁ θεσπέσιος Παῦλος, μὴ καὶ ὁ πεπορνευκὼς παρὰ Κορινθίοις πάθοι, ἔλεγε προσέσθαι αὐτὸν μετανοήσαντα, μή πως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος,

τάχα πως τῆς ἀληθείας ἀψόμεθα τοῦ ῥητοῦ. εἰ δὲ ἐπὶ καλοῦ λέγεται ἡ κατάνυξις, θαυμαζέτω μηδείς. κακεῖ γὰρ τὸ τρωθῆναι τοῖς καλοῖς ἑρμηνεύει. ὡς καὶ ἡ τὸν θεῖον ἔρωτα ἔρωσα ψυχὴ ἐβόα, "ὅτι τετρωμένη ἀγάπη ἐγώ." χρὴ γὰρ εἰδέναι ὅτι οὐ πάντως τὰ αὐτὰ ὀνόματα καὶ ῥήματα τὸ αὐτὸ παρίστησι νόημα. ἐπεὶ καὶ ὁ Δαβὶδ ἔλεγεν, "ὅπως ἂν ψάλῃ σοι ἡ δόξα μου, καὶ οὐ "μὴ κατανυγῶ." ὅπερ οἶμαι δηλοῦν, τὸ, οὐ μὴ καταπλαγῶ, οὐδὲ μεταστῶ εἰς τὸ μηκέτι ὑμνεῖν. ἐπήγαγε γὰρ, "Κύριε, ὁ Θεός "μου, εἰς τὸν αἰῶνα ἐξομολογήσομαι." καὶ οἱ περὶ Συμεῶνα δὲ καὶ Λευῒ μετὰ τὸ ὑβρισθῆναι αὐτῶν τὴν ἀδελφὴν, κατενύγησαν· τουτέστι, κατεπλάγησαν, καὶ κατετρώθησαν ὑπὸ τοῦ ζήλου· καὶ οὕτως εἰς ἀμετάθετον ἐξέπεσον ὀργὴν, ὡς καὶ δόλῳ οὐ μόνον τὸν ὑβριστὴν, ἀλλὰ καὶ πᾶσαν αὐτοῦ τὴν πόλιν ἡβηδὸν κατασφάξαι.

9 *Καὶ ὁ Δαβὶδ λέγει, γενηθήτω ἡ τράπεζα αὐτῶν εἰς*
παγίδα καὶ εἰς θήραν, εἰς σκάνδαλον καὶ εἰς ἀνταπό-
10 *δομα αὐτῶν· σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ*
μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγ-
καμψον.

Κυρίλλου. *Παρακομίζει πρὸς ἀπόδειξιν ὧν εἶπε καὶ γράμμα προφητικὸν, οὐχ ἑνὸς ἀλλὰ δύο προφητῶν, πρὸς σύστασιν, "ἵνα "ἐπὶ στόματος δύο καὶ τριῶν μαρτύρων σταθῇ πᾶν ῥῆμα." ἐπάρατος δὲ μάλα ὀρθῶς γέγονεν αὐτῶν ἡ τράπεζα. τουτέστιν, ἡ κακοξενία καὶ ἡ ὠμότης, ἣν ἐπὶ Χριστῷ πεποίηνται, κατὰ τὸν τοῦ σταυροῦσθαι καιρόν. δεδιψηκότι γὰρ αὐτῷ προσεκόμισαν ὄξος, χολῇ συμμιγές. διὰ τοῦτο καὶ ἐσκοτώθησαν τὸν νοῦν, καὶ κάτω κεκύφασι, μόνα φανταζόμενοι τὰ ἐπὶ γῆς.*

Θεοδώρου Μονάχου. *Ἐκ δὲ τῶν εἰρημένων τῷ Δαβὶδ, μόνον, τὸ, "σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν," ἁρμόζει εἰς τὸ προκείμενον. εἰ καὶ ὁλόκληρον παρήγαγε περικοπήν. τοῦτο γὰρ πωρώσεως ἴδιον.*

Οἰκουμενίου. *Πλὴν σκόπει, ὅτι τὸ αὐθαιρέτως μέλλον παρ' αὐτῶν γίνεσθαι, ὡς ἐν κατάρας λέγει μέρει· ἐπειδὴ γὰρ οὐκ ἠβουλήθησαν, φησὶν, τὸν ἥλιον τῆς δικαιοσύνης ἰδεῖν, μὴ ἴδοιεν. τὸ*

μέντοι συγκαμφθῆναι δηλοῖ, τὸ μέλλειν αὐτοὺς ὑπὸ Ῥωμαίους γενέσθαι. τὸ δὲ διὰ παντὸς, ὡς οὐδέ ποτε ἐλευθερωθεῖεν.

Χρυσοστόμου. *Δεικνὺς γὰρ ὅτι τῆς ἀποστασίας ταύτης δώσουσι δίκας, ἐπήγαγε τὸν προφήτην ταῦτα ἀπειλοῦντα, ἅπερ ἐξέβη καὶ τέλος ἔλαβε. "γενηθήτω," γάρ φησιν, "εἰς παγίδα ἡ "τράπεζα αὐτῶν." τουτέστιν, ἡ τρυφὴ, τὰ ἀγαθὰ πάντα μεταβαλλέσθω, καὶ ἀπολλύσθωσαν, καὶ γενέσθωσαν εὐχείρωτοι τοῖς πᾶσι. καὶ δηλῶν ὅτι ἁμαρτημάτων τίνουσι δίκην ταῦτα πάσχοντες, ἐπήγαγε, "καὶ εἰς ἀνταπόδομα αὐτοῖς, σκοτισθήτωσαν οἱ "ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν," καὶ τὰ ἑξῆς. ταῦτα οὖν ἔτι ἑρμηνείας δεῖται τινός; οὐχὶ καὶ τοῖς σφόδρα ἀνοήτοις δῆλα; καὶ πρὸ τῶν ἡμετέρων λόγων, αὐτὴ τῶν πραγμάτων ἡ ἔκβασις προλαβοῦσα μαρτυρεῖ τοῖς εἰρημένοις. πότε γὰρ οὕτως εὐχείρωτοι γεγόνασι; πότε οὕτω τὸν νῶτον αὐτῶν συνέκαμψαν; πότε τοιαύτην δουλείαν ὑπέστησαν; καὶ τὸ δὴ μεῖζον, ὅτι οὐδὲ λύσις ἔσται τῶν δεινῶν τούτων. ὃ καὶ αὐτὸς ὁ πορφήτης ἠνίξατο. οὐ δὲ γὰρ ἁπλῶς εἶπε, τὸν νῶτον αὐτῶν σύγκαμψον, ἀλλὰ διὰ παντός. εἰ δὲ φιλονεικεῖς, ὦ Ἰουδαῖε, περὶ τοῦ τέλους, ἀπὸ τῶν φθασάντων μάνθανε καὶ τὰ παρόντα. κατέβης εἰς Αἴγυπτον. ἀλλ' ἐγένετο τετρακόσια ἔτη. καὶ ταχέως σε τῆς δουλείας ἐκείνης ἀπήλλαξεν ὁ Θεός. καὶ ταῦτα, ἀσεβοῦντα καὶ πορνεύοντα τὴν χαλεπωτάτην πορνείαν. ἀπηλλάγης Αἰγύπτου· προσεκύνησας μόσχον. ἔθυσας τοὺς υἱούς σου τῷ Βεελφεγώρ. τὸν ναὸν ἐμόλυνας. πᾶν εἶδος ἐπῆλθες κακίας καὶ ἀσεβείας. ἀλλ' ὅμως ἑβδομήκοντα ἔτεσι παραδοὺς Βαβυλωνίοις, πάλιν ἐπὶ τὴν προτέραν ἐπανήγαγεν ἐλευθερίαν. καὶ τὸν ναὸν καὶ τὴν πατρίδα ἀπέδωκε, καὶ τὸ παλαιὸν τῆς προφητείας σχῆμα. καὶ προφῆται πάλιν, καὶ Πνεύματος χάρις. μᾶλλον δὲ οὐδὲ ἐν τῷ καιρῷ τῆς αἰχμαλωσίας ἐγκατελείφθης. ἀλλὰ καὶ ἐκεῖ Δανιὴλ καὶ Ἰεζεκιὴλ, καὶ ἐν Αἰγύπτῳ Ἱερεμίας, καὶ ἐν ἐρήμῳ Μωϋσῆς. μετ' ἐκεῖνα πάλιν ἐπὶ τὴν προτέραν ἐπανῆλθες κακίαν. καὶ ἐξεβακχεύθης, καὶ πρὸς τὴν Ἑλληνικὴν μετετάξω πολιτείαν, ἐπ' Ἀντιόχου τοῦ ἀσεβοῦς. ἀλλὰ καὶ τότε, ἔτη τρία μόνον καὶ μικρόν τι πρὸς Ἀντιόχῳ παραδοθέντες, διὰ τῶν Μακκαβαίων τὰ λαμπρὰ πάλιν ἐστήσατε τρόπαια. ἀλλὰ*

νῦν, τοιοῦτον οὐδέν. ἀλλὰ τοὐναντίον ἅπαν γέγονεν. ὃ καὶ μάλιστα ἐστὶ θαυμάσαι. ὅτι τὰ μὲν τῆς κακίας ἔληξε· τὰ δὲ τῆς τιμωρίας, ἐπιτέταται. καὶ οὐδὲ ἐλπίδα τινὰ ἔχει μεταβολῆς. οὐδὲ γὰρ ἑβδομήκοντα ἔτη παρῆλθε μόνον, οὐδὲ ἑκατὸν, οὐδὲ δὶς τοσαῦτα, ἀλλὰ καὶ τριακόσια, καὶ πολλῷ πλείω. καὶ οὔτε σκιὰν ἐλπίδος τοιαύτης ἔστιν εὑρεῖν· καὶ ταῦτα οὔτε εἰδωλολατρούντων ὑμῶν καθάπερ τότε, οὔτε τὰ ἄλλα ποιούντων, ἅπερ ἔμπροσθεν ἐτολμᾶτο. τί ποτ' οὖν ἐστι τὸ αἴτιον; διεδέξατο τὸν τύπον ἡ ἀλήθεια, καὶ τὸν νόμον ἐξέκλεισεν ἡ χάρις. ἅπερ ἄνωθεν προαναφωνῶν ὁ προφήτης ἔλεγε, "καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον." εἶδες προφητείας ἀκρίβειαν; πῶς καὶ τὴν ἀπιστίαν προανεφώνησε; καὶ τὴν φιλονεικίαν ἔδειξε, καὶ τὴν ἑψομένην δίκην ἐδήλωσε, καὶ τὸ ἀπέραντον τῆς κολάσεως ἐνεδείξατο;

11 Λέγω οὖν, μὴ ἔπταισαν, ἵνα πέσωσι; μὴ γένοιτο· ἀλλὰ τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία τοῖς ἔθνεσιν, εἰς τὸ παραζηλῶσαι αὐτούς.

Χρυσοστόμου. Καθαψάμενος αὐτῶν σφοδρῶς, καὶ ἀφ' ὧν ἠπίστησαν, καὶ ἀφ' ὧν ἔπαθόν τε καὶ ἔμελλον πείσεσθαι· καὶ δείξας μυρίων κακῶν ὄντας ὑπευθύνους, τότε παραμυθίαν ἐπινοεῖ. καὶ σκόπει τὴν σύνεσιν τοῦ Παύλου. τὴν μὲν κατηγορίαν, ἀπὸ τῶν προφητῶν εἰσήγαγε· τὴν δὲ παραμυθίαν, παρ' ἑαυτοῦ τίθησιν. ὅτι μὲν γὰρ αὐτοῖς ἡμάρτηται μεγάλα φησὶν, οὐδεὶς ἀντερεῖ. ἴδωμεν δὲ εἰ τοιοῦτον τὸ πτῶμα ὡς καὶ ἀνίατον εἶναι, καὶ μηδεμίαν ἔχειν διόρθωσιν. ἀλλ' οὐκ ἔστι τοιοῦτον. εἶδες πῶς αὐτῶν πάλιν καθάπτεται· καὶ ἐν προσδοκίᾳ παραμυθίας ὑπευθύνους ποιεῖ ἁμαρτημάτων ὡμολογημένων; ἴδωμεν δὲ τίνα αὐτοῖς καὶ παραμυθίαν ἐπινοεῖ. ὅταν τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, φησὶ, τότε πᾶς Ἰσραὴλ σωθήσεται, κατὰ τὸν καιρὸν τῆς συντελείας. ἀλλ' εὐθέως μὲν τοῦτο οὐ λέγει. ἐπειδὴ δὲ σφοδρῶς αὐτῶν κατέδραμε, καὶ κατηγορίαις συνῆψε κατηγορίας. προφήτας ἐπὶ προφήταις εἰσάγων καταβοῶντας αὐτῶν· ἵνα μὴ ταύτῃ καὶ τούτῳ εἰς ἀπόγνωσιν ἐμβαλὼν ἀποτειχίσῃ τὴν πρὸς τὴν πίστιν ἐπάνοδον, καὶ τοὺς ἐξ ἐθνῶν πάλιν πιστεύσαντας εἰς ἀπόνοιαν ἐπάρῃ. καὶ φυσηθέντες καὶ αὐτοὶ βλαβῶσιν εἰς τὸν τῆς πίστεως λόγον, πάλιν παραμυθεῖται αὐτοὺς,

λέγων, "ἀλλὰ τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία ἐν τοῖς ἔθνεσι."

Δεῖ δὲ ἡμᾶς οὐχ ἁπλῶς ἀκούειν τῶν λεγομένων, ἀλλὰ τὴν γνώμην εἰδέναι, καὶ τὸν σκοπὸν τοῦ λέγοντος· καὶ τί κατορθῶσαι ἐσπούδακεν. ὅπερ ἀεὶ παρακαλῶ τὴν ὑμετέραν ἀγάπην. ἂν γὰρ μετὰ τῆς διανοίας ταύτης δεξώμεθα τὰ εἰρημένα, ἐν οὐδενὶ τούτων ὀψόμεθα δυσκολίαν οὖσαν. τὸ γὰρ σπουδαζόμενον αὐτῷ νῦν, τὴν ἐκ τῶν εἰρημένων ἐγγινομένην ἀπόνοιαν τοῖς ἐξ ἐθνῶν, καθελεῖν. οὕτω γὰρ καὶ οὗτοι ἀσφαλέστερον μένειν ἔμελλον ἐν τῇ πίστει, μετριάζειν μαθόντες. καὶ οἱ ἐξ Ἰουδαίων τῆς ἀπογνώσεως ἀπαλλαγέντες, τῇ χάριτι προθυμότεροι προσιέναι. πρὸς τοῦτον τοίνυν τὸν σκοπὸν ὁρῶντες, πάντων ἀκούωμεν τῶν ἐν τῷ χωρίῳ τούτῳ λεγομένων. τί οὖν φησι; καὶ πόθεν δείκνυσιν, ὅτι οὐκ ἀνίατα ἔπταισαν, οὐδὲ εἰς τέλος ἐξεβλήθησαν ἀπὸ τῶν ἐθνῶν; οὕτω λέγων, "τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία ἐν τοῖς ἔθνεσιν, εἰς τὸ παραζηλῶσαι αὐτούς."

Οὗτος δὲ οὐκ αὐτοῦ μόνως ὁ λόγος, ἀλλὰ καὶ ἐν τοῖς εὐαγγελίοις τοῦτο βούλονται αἱ παραβολαί. καὶ γὰρ ὁ τοὺς γάμους ποιήσας τῷ υἱῷ, ἐπειδὴ οἱ κεκλημένοι οὐκ ἠθέλησαν εἰσελθεῖν, τότε τοὺς ἐν ταῖς τριόδοις ἐκάλεσε. καὶ ὁ τὸν ἀμπελῶνα δὲ καταφυτεύσας, ἐπειδὴ ἔσφαξαν οἱ γεωργοὶ τὸν κληρονόμον, τότε ἐξέδωκεν ἑτέροις τὸν ἀμπελῶνα. καὶ χωρὶς δὲ παραβολῆς ἔλεγεν αὐτοῖς ὁ Χριστὸς, "οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλοκότα οἴκου Ἰσραήλ." καὶ τῇ Συροφοινικίσσῃ δὲ ἐπιμενούσῃ πλέον τί, πάλιν ἔλεγεν, "οὐ γάρ ἐστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ δοῦναι τοῖς κυναρίοις." καὶ ὁ Παῦλος δὲ πρὸς τοὺς στασιάζοντας τῶν Ἰουδαίων, "ὑμῖν ἦν πρῶτον," φησὶ, "ἀναγκαῖον, λαληθῆναι τὸν λόγον τοῦ Θεοῦ· ἐπειδὴ δὲ ἀναξίους ἐκρίνατε ἑαυτοὺς, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη." καὶ διὰ πάντων δηλοῦται, ὅτι ἡ μὲν ἀκολουθία τῶν πραγμάτων αὕτη ἦν· ἐκείνους προσελθεῖν πρώτους, καὶ τότε τοὺς ἐξ ἐθνῶν. ἐπειδὴ δὲ ἠπίστησαν, ἀντεστράφη ἡ τάξις. καὶ ἡ ἀπιστία αὐτῶν καὶ τὸ παράπτωμα, πρώτους ἐποίησεν εἰσενεχθῆναι τούτους. διὸ φησὶ, "τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία ἐν τοῖς ἔθνεσιν, εἰς τὸ παραζηλῶσαι αὐτούς." εἰ δὲ τὸ ἐξ ἀκολουθίας ἐκβὰν ὡς προηγουμένως γεγε-

νημένον λέγει, μὴ θαυμάσῃς. βούλεται γὰρ αὐτῶν παραμυθήσασθαι τὰς ψυχὰς πεπληγμένας.

Ὁ δὲ λέγει, τοιοῦτόν ἐστιν. ἦλθε πρὸς αὐτοὺς ὁ Ἰησοῦς. οὐκ ἐδέξαντο αὐτὸν, μυρία θαυματουργοῦντα, ἀλλ' ἐσταυρώσαν. ἐπεσπάσατο λοιπὸν τὰ ἔθνη, ἵνα ἡ ἐκείνων τιμὴ δάκνουσα αὐτῶν τὴν ἀναισθησίαν, κἂν ἐκ τῆς πρὸς ἑτέρους φιλονεικίας αὐτοὺς πείσῃ προσελθεῖν. ἔδει μὲν γὰρ δεχθῆναι πρῶτον ἐκείνους, καὶ τότε ἡμᾶς. διὸ καὶ ἔλεγε, "δύναμις γὰρ Θεοῦ ἐστιν εἰς σωτηρίαν παντὶ τῷ "πιστεύοντι, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι." ἐπειδὴ δὲ ἀπεσκίρτησαν, οἱ ὕστεροι πρῶτοι γεγόναμεν. εἶδες τοίνυν, πόσην αὐτοῖς κἀντεῦθεν συνάγει τιμήν; μίαν μὲν ὅτι τότε, φησὶν, ἡμᾶς κληθῆναι, ὅτε αὐτοὶ οὐκ ἠθέλησαν. δευτέραν δὲ, ὅτι διὰ τοῦτο φησὶ κληθῆναι, οὐχ ἵνα ἡμεῖς σωθῶμεν μόνον, ἀλλ' ἵνα καὶ ἐκεῖνοι διὰ τῆς ἡμετέρας σωτηρίας ζηλώσαντες, βελτίους γένωνται. τί οὖν φησίν; εἰ μὴ διὰ τοὺς Ἰουδαίους, οὐκ ἂν ἐκλήθημεν καὶ ἐσώθημεν, οὐκ ἂν πρὸ ἐκείνων, ἀλλ' ἐν τῇ προσηκούσῃ τάξει. διὸ καὶ ὅτε τοῖς μαθηταῖς ἔλεγεν, οὐκ εἶπεν ἁπλῶς, "πορεύεσθε πρὸς τὰ "πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ," ἀλλὰ "πορεύεσθε μᾶλλον "πρὸς τὰ πρόβατα." δεικνὺς ὅτι καὶ πρὸς ἐκεῖνα δεῖ μετὰ ταῦτα ἀπελθεῖν.

Γενναδίου. Καταγωνισάμενος οὖν ἱκανῶς τὴν τῶν Ἰουδαίων μερίδα, τετυφωμένων εἰκῇ διὰ τὸν νόμον, καὶ αὐτῶν σφάλμα διόλου τὴν αὐτῶν δείξας ἀποβολὴν, καὶ οὐ τοῦ κηρύγματος. ἵνα μὴ ἢ αὐτοὶ περὶ ἑαυτῶν, ἢ καὶ οἱ πεπιστευκότες περὶ αὐτῶν, ὡς περὶ παντάπασιν ἀπολωλότων ἔχοντες τέλεον ἀπογνῶσιν, ἐπήγαγε, "λέγω οὖν, μὴ, ἀπώσατο ὁ Θεός; μὴ, ἔπταισαν ἵνα πέσωσιν;" ἆρ' οὖν τὴν ἁμαρτίαν αὐτῶν ἀνίατον εἰς τὸ παντελὲς εἶναι φημί; τὸ γὰρ "ἵνα," κἀνταῦθα, κατὰ τὸ σύνηθες λέγει. "μὴ γένοιτο." τοὐναντίον γὰρ τούτων πταισάντων προσεκλήθη. ὡς ἂν εἰς τὸν πρὸς αὐτοὺς ζῆλον ταύτῃ ἐρεθισθέντες, μὴ ἐναπομείνοιεν εἰς τὸ διηνεκὲς ἐν τῷ πτώματι.

Θεοδωρήτου. Τοῖς Ἰουδαίοις γὰρ πρώτοις οἱ ἐξ αὐτῶν πεπιστευκότες, προσήνεγκαν τὸ σωτήριον κήρυγμα. ἀντειπόντων δὲ τούτων, καὶ τὴν διδασκαλίαν οὐ δεξαμένων, τοῖς ἔθνεσι τὸ θεῖον προσήνεγκαν εὐαγγέλιον. οἱ δὲ, πιστεύσαντες, τῆς σωτηρίας ἀπή-

λαυσαν. ἱκανὸν δὲ τοῦτο παρακνίσαι τῶν Ἰουδαίων τοὺς ἀντιλέγοντας, καὶ εἰς ζῆλον ἐρεθίσαι καὶ προξενῆσαι τῆς σωτηρίας τὴν μετουσίαν. ὁρῶσι γὰρ τοὺς ἐσχάτους πρώτους γεγενημένους.

Φωτίου. Ἐπειδὴ δὲ τῶν προσπταιόντων, οἱ μὲν πταίοντες ὑποσκελίζονται μόνον, οἱ δὲ καὶ καταπίπτουσι, θέλων τοὺς Ἰουδαίους, ἅμα μὲν εἰς τὴν πίστιν προτρέψαι, ἅμα δὲ καὶ παραμυθήσασθαι, φησὶ, ὅτι τὸ πταῖσμα αὐτῶν οὐκ εἰς κατάπτωσιν τέλειαν γέγονεν, ἀλλὰ μόνον οἷον ὑπεσκελίσθησαν. καὶ τοῦτο δι' οἰκονομίαν τινὰ συνεχωρήθη. ἵνα τῷ ἐκείνων παραπτώματι γένηται μὲν ἡ σωτηρία τοῖς ἔθνεσι, γένηται δὲ καὶ αὐτῶν ἐκείνων διόρθωσις, παραζηλούντων καὶ μιμουμένων τοὺς ἐξ ἐθνῶν. ὥστε τὸ προσπταῖσαι αὐτοὺς τρόπον τινὰ εἰς ἀνόρθωσιν συντελεῖ τὴν αὐτῶν. εἴπερ ἐν μὲν τῷ παραπτώματι αὐτῶν ἡ σωτηρία τοῖς ἔθνεσιν· ἐν δὲ τῇ σωτηρίᾳ ἐκείνων ἡ τούτων παραζήλωσις· διὰ δὲ τῆς παραζηλώσεως ἡ τῶν πεπτωκότων ἐπανόρθωσις. τοιαύτη γὰρ ἡ τοῦ Θεοῦ πρόνοια. ἐξ ἀπόρων πόρους παρέχει, καὶ ἐκ τῶν ἐναντίων τὰ χρηστότερα. οἱ μὲν γὰρ Ἰουδαῖοι, ἔπταισαν, ὥστε πεσεῖν καὶ κεῖσθαι, καὶ μήτε ἑαυτοῖς μήτε ἑτέροις χρηστοῦ τινὸς γενέσθαι αἴτιοι. ὁ δὲ Χριστὸς τῷ αὐτῶν παραπτώματι, καὶ εἰς τὴν τῶν ἐθνῶν σωτηρίαν, καὶ εἰς τὴν αὐτῶν ἐκείνων ἐχρήσατο ἐπανόρθωσιν.

Κυρίλλου. Ὡς ἄγαμαί σε τῆς ἐπιεικείας, ὦ θεσπέσιε Παῦλε. μεταχειρίζῃ γὰρ εὐτέχνως τῆς οἰκονομίας τοὺς λόγους. οὐχὶ ταύτης ἕνεκα τῆς αἰτίας κεκλῆσθαι τὰ ἔθνη διατεινόμενος· ἵνα εἰσάπαν ἀποπέσοι τῆς πρὸς Θεὸν ἐλπίδος ὁ Ἰσραὴλ, οἷά τινι λίθῳ περιπταίσας Χριστῷ. ἀλλ' ἵνα μᾶλλον τοὺς ἀδοκήτως εἰσδεδεγμένους παραζηλοῦντες, μεταμαθεῖν ἕλοιντο τὰ αἰσχίω[d]. καὶ φρονεῖν ἄμεινον ἢ πρίν· παραδέξαιντό τε οὕτω τὸν λυτρωτήν. παραστήσεται δὲ ὁ λόγος ὡς ἐν βραχεῖ παραδείγματι. παῖδες μὲν γὰρ ἔσθ' ὅτε μικροὶ τὲ καὶ ἄνηβοι, τὰς τοῖς ἔτι νηπίοις πρεπούσας εἰσδέχονται λύπας. εἶτα πατέρες ἢ μητέρες ἀποδραμόντες βραχὺ, ἀπροφάσιστον μὲν τῶν ὀμμάτων καταχέουσι δάκρυον. λυποῦσι δὲ οὐ μετρίως τοὺς γεγεννηκότας. φέρει γὰρ εἰς τοῦτο, τῆς φυσικῆς φιλοστοργίας ὁ νόμος. καὶ δὴ τῆς μικροψυχίας καὶ εἰ-

[d] A m. rec. superscript. βελτίω.

καιότητος νηπιοπρεποῦς ἀφιστάντες εὐτέχνως, παιδίον ἁπλῶς τὸ παρατυχὸν ἁρπάζουσι. καὶ τούτῳ προσάγουσι τὰς παρὰ σφῶν τιμάς. παραζηλοῦντες ἐκεῖνο καὶ οἷον κατερεθίζοντες εἰς ὑποστροφὰς, καὶ ἀγάπησιν τὴν ἐφ᾽ ἑαυτοῖς. τοιοῦτόν τι πεπράχθαι καθάπερ ἐγῷμαι, καὶ ὁ θεσπέσιος ἔφη Παῦλος, ἀπογινώσκειν οὐκ ἐφιεὶς, καίτοι προσκεκρουκότα τὸν Ἰσραήλ.

12 Εἰ δὲ τὸ παράπτωμα αὐτῶν πλοῦτος κόσμου, καὶ τὸ ἥττημα αὐτῶν πλοῦτος ἐθνῶν, πόσῳ μᾶλλον τὸ πλήρωμα αὐτῶν;

Χρυσοστόμου. Ἐνταῦθα πρὸς χάριν αὐτοῖς διαλέγεται. καὶ γὰρ εἰ μυριάκις οὗτοι παρέπεσον, οὐκ ἂν ἐσώθησαν τὰ ἔθνη, εἰ μὴ πίστιν ἐπεδείξαντο. ὥσπερ οὖν οὐδ᾽ ἂν Ἰουδαῖοι ἀπώλοντο, εἰ μὴ ἠπίστησαν καὶ ἐφιλονείκησαν. ἀλλ᾽, ὥσπερ ἔφην, παραμυθεῖται αὐτοὺς κειμένους. ἐκ περιουσίας παρασκευάζων θαρρεῖν ὑπὲρ τῆς σωτηρίας αὐτῶν, εἰ μετάθοιντο. εἰ γὰρ ὅτε, φησὶ, προσέκρουσαν, τοσοῦτοι σωτηρίας ἀπέλαυσαν, καὶ ἐν τῷ ἐκβληθῆναι ἐκείνους τοσοῦτοι ἐκλήθησαν, ἐννόησον τί ἔσται ὅταν ἐπιστρέψωσιν. οὐ γὰρ εἶπε, πόσῳ μᾶλλον ἡ ἐπιστροφὴ αὐτῶν, οὐδὲ ἡ μεταβολὴ αὐτῶν, οὐδὲ τὸ κατόρθωμα αὐτῶν, ἀλλὰ "πόσῳ μᾶλλον τὸ πλήρωμα "αὐτῶν;" τουτέστιν ὅταν πάντες εἰσιέναι μέλλουσι. τοῦτο δὲ εἶπε, δεικνὺς καὶ τότε τὸ πλέον τῆς χάριτος ἐσόμενον, καὶ τῆς δωρεᾶς τοῦ Θεοῦ. καὶ σχεδὸν τὸ πᾶν.

Κυρίλλου. Εἰ γὰρ πεπλούτηκεν ὁ κόσμος τὴν πρὸς Θεὸν οἰκειότητα, διὰ τὸ προσκροῦσαι τὸν Ἰσραὴλ, καὶ διὰ τὴν Ἰουδαίων εὐήθειαν προσελήφθη τὰ ἔθνη, τίς ἂν εἴη ἡ πρόσληψις αὐτῶν; ἢ μονονουχὶ θανάτου λύσις, καὶ οἷον, ζωὴ ἐκ νεκρῶν; καὶ ὅτι μέλλουσιν ἐπιστρέφειν, ἐκ πολλῶν ἐστι θείων καταμαθεῖν λογίων.

Θεοδωρήτου. Ἢ καὶ οὕτως. εἰ γὰρ τῶν πλειόνων ἀπιστησάντων οἱ ἐξ αὐτῶν πεπιστευκότες, τοῖς ἔθνεσι τῆς θεογνωσίας τὸν πλοῦτον προσήνεγκαν, δηλονότι πάντες πιστεύσαντες, μειζόνων ἀγαθῶν πᾶσιν ἀνθρώποις ἐγένοντο ἂν πρόξενοι. ῥᾷον γὰρ ἐπίστευον πάντες, οὐκέτι τούτων ἀντιλεγόντων, ἀλλὰ μεθ᾽ ἡμῶν τὴν ἀλήθειαν κηρυττόντων.

Διοδώρου. Εἰ οὖν ἐν ὀλίγοις καὶ ἄγαν εὐαριθμήτοις τοσαύτης

ἐγένετο τοῖς κατὰ τὴν οἰκουμένην ἀνθρώποις τυχεῖν ἀφθονίας ἀγαθῶν, τί ποτε ἄρα δεῖ νομίζειν ἔσεσθαι εἰ πάντας αὐτοὺς ὑποδέξασθαι συμφώνως τὸν Χριστὸν συνέβη;

Ἐνθυμεῖσθε τοίνυν, φησὶν, οἷοί τινες ποτέ εἰσι, καὶ πόσον τί τῷ κοινῷ πρὸς κέρδος ἡ τῶν πάντων προσθήκη· ὧν τὸ παράπτωμά τε καὶ ἥττημα πλούτου παραίτιον τοῖς ἐν κόσμῳ πᾶσιν ἔθνεσι γέγονεν. εἰς τοσοῦτον αὐτοὺς οἶμαι πεφιληκότος Θεοῦ, ὥστε δι' αὐτοὺς χαρίσασθαι τὴν σωτηρίαν τοῖς ἔθνεσιν. ἵνα ταύτῃ γοῦν παρερεθισθέντες, εἰς τὴν τῆς ἀληθείας ἐπίγνωσιν ἐπανέλθοιεν.

Θεοδώρου Μονάχου. Ἢ πλήρωμα αὐτῶν λέγει, τὸ συναπαρτισθῆναι καὶ αὐτοὺς τοῖς σωζομένοις. εἰ γὰρ καὶ τούτων ἐλλειπόντων, φησὶν, πλοῦτος κόσμου γέγονε, καὶ πλοῦτος ἐθνῶν, πόσῳ μᾶλλον τὸ συναπαρτισθῆναι καὶ αὐτοὺς ἔσται πλοῦτος κόσμου καὶ πλοῦτος ἐθνῶν;

Σευηριανοῦ. Ἢ πλοῦτον κόσμου τὸ παράπτωμα αὐτῶν εἰπὼν, δείκνυσιν ὅτι καὶ ἡ τῶν Ἰουδαίων παρανομία σωτηρίας πρόφασις γέγονε τῷ κόσμῳ. Ἰουδαίων γὰρ μὴ φυλαξάντων τὸν νόμον, ἀναγκαία ἦν ἡ τοῦ Χριστοῦ ἐπιδημία διὰ τὴν χάριν. ἧκεν οὖν ὁ Κύριος χάριτι τὰ παραπτώματα συγχωρῶν. καὶ ἐπειδὴ οὐ πάντες Ἰουδαῖοι ἐδέξαντο τὸν Χριστὸν, εἰ μὴ μόνον τὸ καταλείμμα, ἡ ἀπιστία αὐτῶν τὴν χάριν παρεσκεύασεν ἐλθεῖν ἐπὶ τὰ ἔθνη. καὶ τὸ παράπτωμα αὐτῶν, πλοῦτον ἐδωρήσατο τῷ κόσμῳ. τουτέστι, πλῆθος σωζομένων. εἰ δὲ διὰ τὰ ἐπιστρέψαντα ἔθνη ἐπλούτησεν ὁ κόσμος, πῶς οὐκ ἂν εἴη μεῖζον τί ἀγαθὸν καὶ πλοῦτος τελειότατος τῷ κόσμῳ, εἰ μεταγνόντων τῶν Ἰουδαίων, τὸ ἐλλεῖπον αὐτῷ προστεθείη πλήρωμα. ὥστε τὰ ἔθνη καὶ τοὺς Ἰουδαίους πρὸς μίαν τελείαν εὐσέβειαν συνδραμεῖν; πλήρωμα δὲ ἔθος τῷ Ἀποστόλῳ λέγειν, τὸ σύστημα τὸ πεπληρωμένον Πνεύματος Ἁγίου. ἤτοι ἐπειδὴ ἡ ἄνω λογικὴ φύσις ἐδοξολόγει τὸν Θεὸν, ἐνέλειπε δὲ ἡ ἀνθρωπότης ἀποστᾶσα, ὥστε κατὰ τοῦτο ἀπλήρωτον εἶναι τὴν δοξολογίαν, ἦλθεν ὁ Κύριος, ἵνα πιστεύσωσιν οἱ ἄνθρωποι. καὶ τὸ ἐλλεῖπον πληρωθῇ, καὶ εἰρηνεύσῃ τοῖς ἐπουρανίοις τὰ ἐπίγεια. πᾶν οὖν σύστημα ἅγιον ὡς ἀναπληροῦν τὸ ἐλλεῖπον, πλήρωμα λέγεται. πλήρωμα δέ ἐστι τὸ ὅλον ὡς πρὸς τὸ ὄλιγον.

13 Ὑμῖν γὰρ λέγω τοῖς ἔθνεσιν· ἐφ' ὅσον εἰμὶ ἐγὼ

14 *ἐθνῶν Ἀπόστολος, τὴν διακονίαν μου δοξάζω. εἴ πως παραζηλώσω μου τὴν σάρκα, καὶ σώσω τινὰς ἐξ αὐτῶν.*

Χρυσοστόμου. Πάλιν ὑποψίας πονηρᾶς ἑαυτὸν ἀπαλλάξαι ἐσπούδακε. καὶ δοκεῖ μὲν ἐπιπλήττειν τοὺς ἐξ ἐθνῶν, καὶ ταπεινοῦν αὐτῶν τὰ φρονήματα. ἠρέμα δὲ παρακνίζει τὸν Ἰουδαῖον. καὶ περιέρχεται μὲν ἐπιζητῶν περιστεῖλαι καὶ παραμυθήσασθαι τὴν τοσαύτην ἡμῶν ἀπώλειαν. οὐδὲν δὲ εὑρίσκει διὰ τὴν τῶν πραγμάτων φύσιν. καὶ γὰρ ἐξ ὧν εἴρηκε, μείζονος ἦσαν κατηγορίας ἄξιοι· ὅταν τὰ αὐτοῖς ηὐτρεπισμένα, ἕτεροι σφόδρα αὐτῶν ἀποδέοντες, εἰληφότες ὦσι. διὰ δὴ τοῦτο, ἀπὸ τῶν Ἰουδαίων ἐπὶ τοὺς ἐξ ἐθνῶν μεταβαίνει, καὶ μέσον παρεντίθησι τὸν περὶ τούτων λόγον· ἐνδείξασθαι βουλόμενος ὅτι πάντα ταῦτα λέγει, ἵνα αὐτοὺς μετριάζειν παιδεύσῃ. ἐπαινῶ γὰρ ὑμᾶς, φησι, διὰ δύο ταῦτα. δι' ἓν μὲν, ὅτι ἀνάγκην ἔχω τὴν διακονίαν ὑμῶν ἐγκεχειρισμένος. δι' ἕτερον δὲ, ἵνα δι' ὑμῶν ἑτέρους σώσω. καὶ οὐ λέγει τοὺς ἀδελφούς μου, ἢ τοὺς συγγενεῖς μου, ἀλλὰ "τὴν σάρκα." εἶτα τὴν φιλονεικίαν αὐτῶν ἐνδεικνύμενος, οὐ λέγει, εἴ πως πείσω, ἀλλὰ "παραζηλώσω." καὶ οὐδὲ ἐνταῦθα ἅπαντας, ἀλλὰ "τινὰς, ἐξ αὐτῶν." οὕτως ἦσαν σκληροί. καὶ ἐν αὐτῇ δὲ τῇ ἐπιτιμήσει λαμπρὰ δείκνυσι πάλιν τὰ τῶν ἐθνῶν. εἰ γὰρ καὶ αἴτιοι γίνονται σωτηρίας αὐτοῖς, οὐ διὰ τῶν αὐτῶν εἰσιν. οἱ μὲν γὰρ, τούτοις ἐξ ἀπιστίας. οὗτοι δὲ ἐκείνοις ἀπὸ πίστεως πρόξενοι γίνονται τῶν ἀγαθῶν. ὅθεν δοκεῖ καὶ ἰσάζειν καὶ πλεονεκτεῖν τὰ τῶν ἐθνῶν. τί γὰρ ἂν εἴποις, ὦ Ἰουδαῖε, εἰ μὴ ἐξεβλήθημεν ἡμεῖς, οὐκ ἂν ἐκλήθητε εὐθέως ὑμεῖς. τὸ αὐτὸ λέγει καὶ ὁ ἐξ ἐθνῶν· εἰ μὴ ἐσώθην ἐγὼ, οὐκ ἂν ἐζήλωσας σύ. εἰ δὲ ᾧ πλεονεκτοῦμεν βούλει μαθεῖν, ἐγὼ μὲν ἐκ τοῦ πιστεῦσαί σε σώζω. σὺ δὲ προσκεκρουκὼς, πάροδον ἡμῖν ἔδωκας σοῦ προτέραν.

Κυρίλλου. Εἰς ὁμοψυχίαν οὖν καὶ εἰρήνην τοὺς ἐξ ἐθνῶν πιστοὺς καὶ Ἰουδαίων ἐφέλκεται. ἵνα μὴ ἐπαίρωνται, ἀλλὰ τῷ Θεῷ τὰ χαριστήρια ἀναθῶσιν, ὡς ἀμνησικάκως χαρισαμένῳ τὴν τῶν παραπτωμάτων ἄφεσιν. δοξάζειν δέ φησιν τὴν ἑαυτοῦ διακονίαν, οὐ δόξης εἰκείας ἐπιθυμῶν, ἀλλ' ἵνα, φησὶ, παραζηλώσωμεν τὴν

σάρκα. σάρκα δὲ ὀνομάζει τὸν Ἰσραήλ· ἤτοι τὸ κατὰ σάρκα γένος. ὅμοιον οὖν ὡς εἰ λέγοι. εὐκλεᾶ καὶ φιλαιτάτην Θεῷ τὴν ἀποστολὴν τὴν ἐμὴν εἶναι λέγω, καὶ πᾶσιν ἀνθρώποις χρειωδεστάτην. οὐχ ἵνα ταῖς διακένοις τιμαῖς καὶ ἐκτόποις φιλοκομπίαις τὴν ἐμαυτοῦ φαίνοιμι στεφανῶν κεφαλήν. ἀλλ᾽ ἵνα σώσω τὸ κατὰ σάρκα μου γένος. διανύττων οἷά τινι κέντρῳ τῷ ζήλῳ, εἰς τὸ ἐλέσθαι τὴν διὰ Χριστοῦ δικαιοῦσαν χάριν. οὓς συγγενεῖς καὶ ἀδελφοὺς ἀνωτέρω εἰπὼν, ἐνταῦθα "σάρκα" καλεῖ, πλέον αὐτοὺς οἰκειούμενος.

Θεοδωρήτου. Ἡ σάρκα αὐτοῦ τοὺς Ἰουδαίους λέγει, ὡς κατὰ μὲν τὸ φρόνημα ἀλλοτρίους ὄντας, μόνης δὲ αὐτῷ κοινωνοῦντας τῆς συγγενείας. τοῖς δὲ ἐξ ἐθνῶν πεπιστευκόσιν, ἐντεῦθεν προσφέρει παραίνεσιν, μετρίῳ κεχρῆσθαι φρονήματι. δύο κατὰ ταυτὸν μηχανώμενος. καὶ τούτων τὴν ὀφρῦν καταστέλλων, καὶ δεδιέναι παρασκευάζων· καὶ Ἰουδαίους εἰς τὴν τῆς πατρῴας κληρονομίας κοινωνίαν προτρέπων. ἐπειδή με γάρ, φησι, τῶν ἐθνῶν ὁ Θεὸς προὔβαλε κήρυκα, ἀναγκαίως τὴν σωτηρίαν τῶν ἐθνῶν πραγματεύομαι, καὶ τοὺς ὑπὲρ τούτων ποιοῦμαι λόγους. καὶ τοὺς θείους προφήτας ἄνωθεν ταῦτα δείκνυμι προθεσπίσαντας· ἵνα ταύτῃ γοῦν Ἰουδαίους εἰς ζῆλον ἐρεθίσω, καί τινας ἐξ αὐτῶν μεταλαχεῖν παρασκευάσω τῆς σωτηρίας.

15 Εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν, καταλλαγὴ κόσμου, τίς ἡ πρόσληψις, εἰ μὴ ζωὴ ἐκ νεκρῶν;

Χρυσοστόμου. Αἰσθόμενος ὅτι καθήψατο αὐτῶν, τὸ πρότερον ἀναλαμβάνει. ἀλλὰ καὶ τοῦτο αὐτοὺς καταδικάζει πάλιν. εἴγε ἄλλοι μὲν ἐκ τῶν ἁμαρτημάτων αὐτῶν ἐκέρδανον, οὗτοι δὲ, ἐκ κατορθωμάτων ἑτέρων ὠφελήθησαν. εἰ δὲ τὸ ἐξ ἀνάγκης συμβὰν τοῦτο ἐκείνων εἶναι λέγει, μὴ θαυμάσῃς. ἵνα γὰρ καὶ τούτους, ὃ πολλάκις εἶπον, καταστείλῃ, κακείνους προτρέψηται, οὕτω σχηματίζει τὸν λόγον· ὅπερ γὰρ ἔφθην εἰπὼν, εἰ καὶ μυριάκις ἀπεβλήθησαν Ἰουδαῖοι, πίστιν δὲ μὴ ἐπεδείξαντο τὰ ἔθνη, οὐκ ἂν ἐσώθησάν ποτε. ἀλλὰ τῷ ἠσθενηκότι παρίσταται μέρει, καὶ βοηθεῖ τῷ πεπονηκότι. ὅρα δὲ καὶ ἐν οἷς χαρίζεται διὰ ῥημάτων αὐτὸν παραμυθούμενον μόνων. εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν, φησὶν, καταλ-

λαγὴ κόσμου. καὶ τί τοῦτο πρὸς Ἰουδαίους; "τίς ἡ πρόσληψις, "εἰ μὴ ζωὴ ἐκ νεκρῶν; ἀλλ' οὐδὲ τοῦτο τί πρὸς ἐκείνους," εἰ μὴ προσελήφθησαν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. εἰ ὁ ὀργιζόμενος αὐτοῖς τοσαῦτα ἐχαρίσατο ἑτέροις, ὅταν αὐτοῖς καταλλαγῇ, τί οὐ χαριεῖται; ἀλλ' ὥσπερ ἡ ἀνάστασις τῶν νεκρῶν, οὐ διὰ τὴν πρόσληψιν αὐτῶν· οὕτως οὐδὲ ἡ σωτηρία νῦν ἡ ἡμετέρα δι' αὐτούς. ἀλλ' ἐξεβλήθησαν μὲν ἐκ τῆς ἀνοίας αὐτῶν ἐκεῖνοι. ἐσώθημεν δὲ ἀπὸ τῆς πίστεως ἡμεῖς, καὶ τῆς ἄνωθεν χάριτος. τούτων δὲ οὐδὲν ἐκείνους ὠφελῆσαι δυνήσεται, εἰ μὴ πρoσήκουσαν ἐπεδείξαντο πίστιν.

Θεοδωρήτου. Ἀλλ' ὁ θεῖος Ἀπόστολος, οἰκονομικῶς κατασκευάζων τὸν λόγον, καὶ τούς τε ἐξ ἐθνῶν πεπιστευκότας μετριοφρονεῖν ἐκπαιδεύων, καὶ τοῖς ἀπιστοῦσι τῶν Ἰουδαίων χεῖρα ὀρέγων, καὶ τὴν ἐκ τῆς μεταμελείας ὑποδεικνὺς σωτηρίαν, οὕτω φησὶ, ὡς εἰ τούτων ἀπιστησάντων προσελήφθη τὰ ἔθνη, καὶ τῆς πρότερας ἀγνοίας ἠλευθερώθη, δῆλον ὡς εἰ πάντες οὗτοι πιστεῦσαι θελήσαιεν, οὐδὲν ἕτερον ὑπολείπεται, ἢ τὸ γενέσθαι τῶν νεκρῶν τὴν ἀνάστασιν. τοῦτο δὲ καὶ ὁ Κύριος ἔφη, "κηρυχθήσεται τὸ "εὐαγγέλιον τοῦτο τῆς βασιλείας εἰς πάντα τὰ ἔθνη, εἰς μαρτύριον "αὐτοῖς. καὶ τότε ἥξει τὸ τέλος."

Κυρίλλου. Ἐπειδὴ οὖν ἐκ πίστεως ἢ τρόπων οὐκ ἦν ἐπαινέσαι τὸν Ἰσραὴλ, ἐπὶ τοὺς τῆς οἰκονομίας κεχώρηκε λόγους. καὶ τὴν ἐκείνων ἀπιστίαν πρόξενον τῷ κόσμῳ γεγενῆσθαι φησὶν τῆς πρὸς Θεὸν οἰκειότητος· καὶ πειρᾶται λέγειν ὅτι δι' ὧν προσκεκρούκασι, τάχα που καὶ εὐεργέται τοῦ κόσμου γεγόνασι. καὶ οἱονεὶ πεσόντας καὶ χαμαὶ κειμένους τοὺς Ἰουδαίους στεφανοῖ. ζωὴν γὰρ εἶναι φησὶ ἐκ νεκρῶν τὴν πρόσληψιν αὐτῶν. εἴγε ἐστὶν ἀψευδὲς, ὡς γέγονεν ἡ ἀποβολὴ αὐτῶν, κόσμου καταλλαγή.

Οἰκουμενίου. Ἢ τοῦτο φησὶ, τις ἔσται ἡ πρόσληψις αὐτῶν· εἰ μὴ ἵνα εἴπωμεν ὅτι ἀποθανόντας αὐτοὺς ταῖς ἁμαρτίαις, ζωοποιεῖ ὁ προσλαμβάνων Θεός;

Φωτίου. Ἰστέον γε μὴν, ὅτι τὸ, "εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν," ἡ ἐπανάληψις ἐστὶ, τοῦ, εἰ δὲ τὸ παράπτωμα αὐτῶν. ὡς καὶ προείρηται, ἡ αἰτία τῆς σπουδῆς Παύλου τῆς περὶ τὸ σωθῆναι αὐτούς. ὡς ἂν εἴ τις ἔλεγε, τί σπεύδεις, Παῦλε, ὑπὲρ τῶν Ἰου-

δαίων, λέγων, "εἴπως παραζηλώσω μου τὴν σάρκα, καὶ σώσω τινὰς "ἐξ αὐτῶν." τίς ἐστιν ὁ τοσοῦτός σου ἀγών; ναί φησι, προσήκει μοι σπεύδειν καὶ ἀγωνίζεσθαι. εἰ γὰρ καὶ τούτων ἐκλειπόντων, ὅμως κατηλλάγη ὁ Θεὸς τῷ κόσμῳ, καὶ τὸ μεσότοιχον ἤρθη τῆς παλαιᾶς ἔχθρας, τί ἂν οὐ γένοιτο χρηστὸν καὶ ὑπερθαύμαστον, καὶ τούτων σωθέντων καὶ προστεθέντων; τίς οὖν ἔσται αὐτῶν ἡ πρόσληψις καὶ ἡ προσθήκη, εἰ μὴ τελεία καὶ ὁλόκληρος χαρὰ, ὡς ἐπὶ τελείᾳ καὶ κοινῇ ζωῇ καὶ ἀναβιώσει ἐκ νεκρῶν, πάντων, οὐ μόνον τῶν προσπταισάντων, ἀλλὰ καὶ τῶν μέχρι θανάτου καὶ νεκρώσεως καταπεσόντων; καὶ ὅρα· ἀρχόμενος μὲν, πταῖσμα τὴν ἀπείθειαν ἐκάλεσε τῶν Ἰουδαίων· εἶτα παράπτωμα. ἐπειδὴ δὲ ἔδειξεν αὐτοῖς, ἐὰν βούλωνται μόνον πεισθῆναι, τὸ μέγεθος τῶν ἀγαθῶν, καὶ ἐπῆρεν αὐτοὺς, πλοῦτον ἐθνῶν καλῶν, καὶ καταλλαγὴν κόσμου, καὶ σάρκα οἰκείαν· τότε καὶ τῆς ἀπειθείας τὸ ἄτοπον ἡλίκον ἐστὶ δεικνύει. νεκροὺς αὐτῆς διὰ ταύτης γενέσθαι ἀποφαινόμενος. ἀλλὰ καὶ τοῦτο λίαν θαυμασίως ποιεῖ καὶ σοφῶς. ἐπειδὴ γὰρ τὸ νεκροὺς αὐτοὺς ὀνομασθῆναι, λίαν πικρὸν ἦν καὶ καταφορικόν· καὶ εἰς ὕβριν μᾶλλον ἢ παραίνεσιν συντελοῦν· οὐχ οὕτως αὐτὸ τίθησι ξηρῶς, ἀλλὰ μίγνυσιν αὐτὸ, καὶ ἐν τάξει ἐπαίνου προάγει, λέγων, "τίς ἡ πρόσληψις αὐτῶν, εἰ μὴ ζωὴ ἐκ "νεκρῶν;" διὰ μὲν τοῦ, "ζωὴ," τὸ εὐφραῖνον τιθείς· διὰ δὲ τοῦ, "ἐκ νεκρῶν," ὑποσημαίνων, ὅτι ἡ ἀπείθεια αὐτῶν, νέκρωσις ἦν.

16 Εἰ δὲ ἡ ἀπαρχὴ ἁγία, καὶ τὸ φύραμα· καὶ εἰ ἡ ῥίζα
17 ἁγία, καὶ οἱ κλάδοι. εἰ δέ τινες τῶν κλάδων ἐξεκλά-
σθησαν, σὺ δὲ ἀγριέλαιος ὢν, ἐνεκεντρίσθης ἐν αὐτοῖς,
καὶ συγκοινωνὸς τῆς ῥίζης καὶ τῆς πιότητος τῆς ἐλαίας
18 ἐγένου, μὴ κατακαυχῶ τῶν κλάδων· εἰ δὲ κατακαυχᾶσαι,
οὐ σὺ τὴν ῥίζαν βαστάζεις, ἀλλ' ἡ ῥίζα σέ.

Χρυσοστόμου. Πάλιν προάγει τὸν λόγον εἰς ἕτερον ἐγκώμιον. οὐκ ὂν ἐγκώμιον, ἀλλὰ δοκοῦν εἶναι μόνον. τοὺς ἀρίστους τῶν ἰατρῶν μιμούμενος, οἳ τοσαῦτα παραμυθοῦνται τοὺς κάμνοντας, ὅσα ἡ τῆς ἀρρωστίας ἐνδίδωσι φύσις. ἀπαρχὴν δὲ ἐνταῦθα καλεῖ, τοὺς περὶ τὸν Ἀβραάμ· τοὺς προφήτας, τοὺς πατριάρχας, τοὺς ἐπὶ τῆς παλαιᾶς εὐδοκιμηκότας ἅπαντας· κλάδους δὲ, τοὺς ἐξ

αὐτῶν πιστεύσαντας. εἶτα, ἐπειδὴ ἀντέπιπτεν αὐτῷ τὸ πολλοὺς ἠπιστηκέναι, ὅρα πῶς πάλιν ὑποτέμνεται αὐτὸ καὶ φησὶ, "εἰ δέ "τινες τῶν κλάδων ἐξεκλάσθησαν·" καὶ μὴν ἄνω ἔλεγες, ὅτι οἱ πλείους ἀπώλοντο, καὶ ὀλίγοι διεσώθησαν· πῶς ἐνταῦθα ἐπὶ τῶν ἀπολλυμένων τὸ, "τινὲς" τέθεικας, ὅπερ ὀλιγότητός ἐστιν ἐμφαντικόν; οὐκ ἐμαυτῷ φησὶ, περιπίπτων, ἀλλὰ θεραπεῦσαι θέλων, καὶ ἀνακτήσασθαι τοὺς πεπονηκότας. εἶδες, πῶς διὰ παντὸς τοῦ χωρίου τοῦτο δείκνυται κατασκευάζων, τὸ βούλεσθαι παραμυθήσασθαι αὐτούς; κἂν ἀνέλῃς αὐτὸ, πολλὰ ἕπεται τὰ ἐναντιώματα. σὺ δέ μοι σκόπει αὐτοῦ τὴν σοφίαν, πῶς δοκῶν ὑπὲρ αὐτῶν λέγειν, πλήττει λανθανόντως, καὶ πάσης ἀπολογίας δείκνυσιν ἀπεστερημένους. ἐννόησον γὰρ πονηρίαν τῶν κλάδων. ὅταν καὶ ῥίζαν ἔχοντες γλυκεῖαν, μὴ μιμῶνται αὐτήν. καὶ τὴν κακίαν τοῦ φυράματος, ὅταν μὴ δὲ ἀπὸ τῆς ἀπαρχῆς μεταβάλληται. ἀλλ' ὅπερ ἔφην, βούλεται αὐτοὺς παραμυθήσασθαι. διὰ τοῦτο οὐδὲ παρ' ἑαυτοῦ ἀλλὰ παρ' ἐκείνων εἰσάγει τὸν λόγον. καὶ ἐν ταύτῳ λανθανόντως αὐτῶν καθικνούμενος, καὶ δεικνὺς τῆς τοῦ Ἀβραὰμ συγγενείας ἐκπεπτωκότας. τοῦτο γὰρ ἦν ὃ ἔσπευδεν εἰπεῖν, ὅτι οὐδὲν κοινὸν πρὸς ἐκείνους ἔχουσιν. εἰ γὰρ ἁγία ἡ ῥίζα, οὗτοι δὲ οὐχ ἅγιοι, ἄρα πόρρω τῆς ῥίζης οὗτοι. εἶτα δοκῶν παραμυθεῖσθαι τὸν Ἰουδαῖον, πάλιν πλήττει διὰ τῆς κατηγορίας τοὺς ἐξ ἐθνῶν. εἰπὼν γὰρ, "εἰ δέ τινες τῶν κλάδων ἐξεκλάσθησαν," ἐπήγαγε, "σὺ δὲ "ἀγριέλαιος ὢν, ἐνεκεντρίσθης." ὅσῳ γὰρ ἂν εὐτελὴς ᾖ ὁ ἐξ ἐθνῶν, τοσούτῳ μᾶλλον ὁ Ἰουδαῖος ἀλγεῖ, τοῖς αὐτοῦ τοῦτο ἐντρυφῶντα ὁρῶν. κἀκείνῳ δὲ οὐ τοσαύτη ἀπὸ τῆς εὐτελείας ἡ αἰσχύνη, ὅση ἀπὸ τῆς μεταβολῆς ἡ τιμή.

Καὶ σκόπει σοφίαν. οὐκ εἶπεν ἐνεφυτεύθης, ἀλλ' "ἐνεκεν-"τρίσθης." ἐν τούτῳ πάλιν δάκνων τὸν Ἰουδαῖον· καὶ δεικνὺς ἐν τῷ δένδρῳ τῷ αὐτοῦ τὸν ἐξ ἐθνῶν ἑστηκότα, καὶ τοῦτον κείμενον χαμαί. διόπερ οὐδὲ μέχρι τούτου ἔστη, οὐδὲ εἰπὼν "ἐνεκεντρί-"σθης," ἀπηλλάγη. καίτοι τὸ πᾶν ἐδήλωσεν ἐν τούτῳ. ἀλλ' ὅμως ἐνδιατρίβει τῇ εὐημερίᾳ τούτου, καὶ εὐρύνει τὴν εὐδοκίμησιν. λέγων, "καὶ συγκοινωνὸς τῆς ῥίζης, καὶ τῆς πιότητος τῆς ἐλαίας "ἐγένου." καὶ δοκεῖ μὲν αὐτὸ ἐν τάξει προσθήκης τεθεικέναι. δείκνυσι δὲ οὐδὲν ταύτῃ παραβλαπτόμενον, ἀλλὰ τὸ πᾶν ἔχοντα

ὅσον εἶχεν ὁ κλάδος, ὁ ἐκ τῆς ῥίζης ἀναβάς. ἵνα γὰρ μὴ ἀκούσας, σὺ δὲ ἐνεκεντρίσθης, ἠλαττῶσθαι αὐτὸν νομίζῃς, πρὸς τὸν ἔμφυτον κλάδον συγκρίνων, ὅρα πῶς αὐτὸν ἐξισοῖ λέγων, "κοινωνὸς τῆς "ῥίζης καὶ τῆς πιότητος τῆς ἐλαίας ἐγένου." τουτέστιν, εἰς τὴν αὐτὴν κατέστης εὐγένειαν, εἰς τὴν αὐτὴν φύσιν. εἶτα ἐπιπλήξας, καὶ εἰπὼν, "μὴ κατακαυχῶ τῶν κλάδων," δοκεῖ μὲν παραμυθεῖσθαι τὸν Ἰουδαῖον, δείκνυσι δὲ αὐτοῦ τὸ εὐτελὲς καὶ τὴν πολλὴν ἀτιμίαν. διὰ τοῦτο οὐδὲ εἶπε μὴ καυχῶ, ἀλλὰ "μὴ κατα-"καυχῶ." μὴ κατ' ἐκείνων καυχῶ, ὥστε αὐτοὺς ἀπορρῆξαι· καὶ γὰρ εἰς τὰ ἐκείνων ἕστηκας, τῶν ἐκείνων ἀπολαύεις. ὁρᾷς πῶς δοκεῖ μὲν ἐπιπλήττειν τούτους, δάκνει δὲ ἐκείνους; "εἰ δὲ κατακαυχᾶ-"σαι," φησὶν, "οὐ σὺ τὴν ῥίζαν βαστάζεις, ἀλλ' ἡ ῥίζα, σέ." τί οὖν πρὸς τοὺς κλάδους τοῦτο τοὺς ἐκκοπέντας; οὐδέν. ὅπερ γὰρ ἔφην, σκιάν τινα παραμυθίας ἀσθενῆ δοκῶν ἐπινοεῖν, καὶ ἐν αὐτῷ τῷ πρὸς τὸν ἐξ ἐθνῶν ἀποτείνεσθαι, καιρίαν αὐτοῖς δίδωσι πληγήν. εἰπὼν γὰρ, "μὴ κατακαυχῶ," καὶ ὅτι, "εἰ κατακαυχᾶσαι, οὐ σὺ τὴν "ῥίζαν βαστάζεις," ἔδειξε τῷ Ἰουδαίῳ ὅτι καυχήσεως ἄξια τὰ γεγενημένα, εἰ καὶ μὴ κατακαυχᾶσθαι δεῖ· καὶ διεγείρων αὐτὸν καὶ παροξύνων εἰς πίστιν, καὶ δεικνὺς αὐτῷ τὴν ζημίαν ἣν ὑπέμεινε, καὶ ὅτι τὰ ἐκείνου κατέχουσιν ἕτεροι.

Γενναδίου. Σὺ δέ μοι καὶ ἀπαρχὴν μὲν νοήσεις, τὸν δεσπότην Χριστὸν, ὡς ἐξ αὐτῶν τὸ κατὰ σάρκα γενόμενον, καὶ διὰ τῆς ἀναστάσεως, τῆς υἱοθεσίας κατάρξαντα· ῥίζαν δὲ, τὸν Ἀβραάμ, ὡς πρῶτον τοῦ γένους παντός· φύραμα δὲ καὶ κλάδους, σύμπαντα τὸν λαόν.

Θεοδωρήτου. Κλάδοι δέ εἰσιν ὁ τῶν Ἰουδαίων λαὸς, ὡς ἐκ τῆς ῥίζης τοῦ Ἀβραὰμ βλαστήσας· πιότης δὲ ἐλαίας, ἡ τῆς εὐσεβείας διδασκαλία. παρακελεύεται τοίνυν τοῖς ἐξ ἐθνῶν πεπιστευκόσι, τῶν ἀπιστησάντων Ἰουδαίων μὴ κατεπαίρεσθαι. τούτους γὰρ ὀνομάζει κλάδους ἀποκλασθέντας. σκοπήσατε δέ, φησιν, ὅτι ὑμεῖς ἐξ ἑτέρας συγγενείας ὁρμώμενοι, εἰς ταύτην ἐνεκεντρίσθητε, καὶ τῆς εὐσεβοῦς ῥίζης ἐδέξασθε τὴν πιότητα. λογίζου δὲ ὁ ἐξ ἐθνῶν καὶ τοῦτο, ὅτι σὲ ἡ ῥίζα φέρει, οὐ σὺ τὴν ῥίζαν. καὶ σὺ ἐκείνης δέῃ.

Κυρίλλου. Σὺ μὲν γὰρ ἀγριέλαιος ἦς, τεθραμμένος ἐν

ἀκαρπίᾳ, ἐνεκεντρίσθης δὲ εἰς καλλιέλαιον, εἰς τὸν τῶν κατὰ φύσιν κλάδων ἐμβιβασθεὶς τόπον. διὸ μὴ ὑψηλὰ φρόνει κατὰ τῶν ὠλισθηκότων· μὴ δὲ κατακαυχῶ ἐπ' ἀλλοτρίοις ἀγαθοῖς. οὐ γὰρ δύνασαι καυχᾶσθαι ἐπὶ σοῖς πατράσιν· οὐ γὰρ σὸς προπάτωρ ὁ Ἀβραὰμ, ᾧ γέγονας υἱὸς διὰ πίστεως.

Οἰκουμενίου. Ἁγίους γε μὴν αὐτοὺς καλεῖ ὁ Ἀπόστολος, εἰς τὴν πίστιν προτρέπων. ὡς εἰ εἶπεν, ἐπιτήδειοι ἐστὲ καὶ πρέποντες. τὸ θέλειν ὑμῖν λείπει μόνον.

Σευηριανοῦ. Ἀλλὰ καὶ καλλιελαίου καὶ ἀγριελαίου μνησθεὶς, παρέστησεν ὅτι μία μὲν φύσις ἁπάντων, ὥσπερ καὶ τῆς ἐλαίας. οὐ μία δὲ προαίρεσις, ὥσπερ ἐπὶ τοῦ ἀγρίου καὶ ἡμέρου. ἄγριον καλῶν, τὸ ἀπηλλοτριωμένον καὶ ἄχρηστον τῷ δεσπότῃ· ἥμερον δὲ, τὸ καρποφόρον. ἐγκεντρισμὸν δὲ, τὸ ἐγκεντρισθῆναι ἐν τῇ πίστει τοῦ Ἀβραὰμ, ὃν ῥίζαν ὀνομάζει. τὸν δὲ ἐγκεντρισμὸν φησὶ παρέχειν ζωήν.

Θεοδώρου Μονάχου. Πλὴν ἰστέον ὡς ἔστι διαφορὰ ῥίζης καὶ ἀπαρχῆς. ἡ μὲν γὰρ ἀπαρχὴ, μετὰ τὴν τοῦ παντὸς ἐκλέγεται συλλογήν. ἡ δὲ ῥίζα, ἀρχή τις νενόμισται πράγματος. ὅθεν κἀνταῦθα ἀκολούθως, ἀπαρχὴν μὲν ἐκάλεσε τὸν Χριστόν· ὡς ἐκ παντὸς εἰλημμένον τοῦ τῶν Ἰουδαίων συλλόγου. ῥίζαν δὲ, τὸν Ἀβραάμ· ἐξ οὗπερ ὅλον ἔφυ τὸ γένος. καλῶς ἐξ ἑκατέρου τὸ πρὸς τὴν εὐσέβειαν αὐτῶν ἐπιτήδειον εἰπεῖν προθέμενος. γελοῖον γὰρ, τὴν μὲν ἀπαρχὴν αὐτῶν ἁπάσης ἀξίαν ἡγεῖσθαι τιμῆς, τούτους δὲ προσιέναι βουλομένους τῇ εὐσεβείᾳ, ἀπωθεῖσθαι ὡς οὐκ ἀξίους τοῦ πράγματος.

19 Ἐρεῖς οὖν μοι, ἐξεκλάσθησαν κλάδοι, ἵνα ἐγὼ ἐγκεν-
20 τρισθῶ. καλῶς· τῇ ἀπιστίᾳ ἐξεκλάσθησαν, σὺ δὲ τῇ
21 πίστει ἕστηκας. μὴ ὑψηλοφρόνει, ἀλλὰ φοβοῦ· εἰ γὰρ
ὁ Θεὸς τῶν κατὰ φύσιν κλάδων οὐκ ἐφείσατο, μήπως
οὐδὲ σοῦ φείσεται.

Χρυσοστόμου. Πάλιν ἐν τάξει ἀντιθέσεως, τὰ ἐναντίον τῷ προτέρῳ κατασκευάζει. δεικνὺς ὅτι καὶ τὰ μικρῷ πρόσθεν εἰρημένα, οὐχὶ προηγουμένως ἔλεγεν, ἀλλ' ἐφελκόμενος αὐτούς. καὶ

δείκνυσι προηγουμένην καὶ τὴν εἰς τὰ ἔθνη πρόνοιαν. εἰ καὶ δοκεῖ ἑτέρως σχηματίζειν τὰ εἰρημένα. καὶ ὅλον τὸ χωρίον δι' ἀντιθέσεως ὑφαίνει, ἑαυτὸν ἀπαλλάττων τῆς κατὰ τὴν ἀπέχθειαν, ὑπονοίας, καὶ εὐπαράδεκτον ποιῶν τὸν λόγον, "καλῶς" φησὶ, ἐπήνεσε τὸ εἰρημένον. εἶτα καὶ φοβεῖ πάλιν, "τῇ ἀπιστίᾳ ἐξεκλάσθησαν. "σὺ δὲ τῇ πίστει ἕστηκας." ἰδοὺ πάλιν ἕτερον ἐγκώμιον, καὶ ἐκείνων κατηγορία· ἀλλὰ πάλιν αὐτῶν καταστέλλει τὸ φρόνημα, ἐπάγων καὶ λέγων, "μὴ ὑψηλοφρόνει· ἀλλὰ φόβου·" οὐ γὰρ φύσεως τὸ πρᾶγμα ἐστὶν, ἀλλὰ πίστεως καὶ ἀπιστίας. καὶ δοκεῖ μὲν πάλιν ἐπιστομίζειν τὸν ἐξ ἐθνῶν. διδάσκει δὲ τὸν Ἰουδαῖον ὅτι οὐ δεῖ τῇ τῆς φύσεως συγγενείᾳ προσέχειν. διὸ καὶ ἐπάγει, "μὴ ὑψηλο-"φρόνει, ἀλλὰ φοβοῦ." καὶ οὐκ εἶπε ταπεινοῦ. ἡ γὰρ ἀπόνοια, καταφρόνησιν ἐμποιεῖ καὶ ῥαθυμίαν. εἶτα ἐκτραγῳδεῖν μέλλων αὐτῶν τὴν συμφορὰν, ὥστε ἀνεπαχθέστερον ποιῆσαι τὸν λόγον, ἐν τάξει τῆς πρὸς ἐκεῖνον ἐπιτιμήσεως αὐτὸ τίθησιν, οὕτω λέγων, "εἰ "γὰρ ὁ Θεὸς τῶν κατὰ φύσιν κλάδων οὐκ ἐφείσατο," καὶ οὐκ εἶπεν, οὐδὲ σοῦ φείσεται. ἀλλὰ "μήπως οὐδὲ σοῦ φείσηται." ὑποτεμνόμενος τοῦ λόγου τὸ φορτικὸν τῇ ἀμφιβολίᾳ, καὶ ποιῶν ἐναγώνιον εἶναι τὸν πιστόν. κἀκείνους ἐφελκόμενος, καὶ τοῦτον καταστέλλων.

Ἐσχημάτισται οὖν ὁ λόγος, ὡς τῶν ἐθνῶν λεγόντων, καὶ διὰ τί μὴ καυχήσομαι, τοιούτων μοι ὑπαρξάντων χρηστῶν; οὗτοι ἐξεκλάσθησαν, καὶ ἐγὼ ἐνεκεντρίσθην, καὶ κληρονόμος γέγονα τῆς τῶν πατέρων αὐτῶν δόξης, καὶ τῶν ἐκείνοις δοθεισῶν ἐπαγγελιῶν. ὁ ξένος ἐγὼ καὶ κατ' οὐδὲν προσήκων, ἀπολαύω. ἐκ δὲ τοῦ εἰπεῖν καλῶς, συναινεῖ τοῖς ἔθνεσιν ὡς ἀληθῆ εἰρηκόσιν.

Κυρίλλου. Εὐτέχνως ἄρα ὁ λόγος κατεσκευάσθη τῷ Ἀποστόλῳ. ἐπανορθοῖ μὲν γὰρ τοῦ πρέποντος ἡμαρτηκότα τὸν Ἰσραήλ. καὶ ἐπὶ τὰ λυσιτελῆ προτρέπεται, καὶ τῆς ἰδίας ἀντιποιεῖσθαι ῥίζης διὰ πίστεως τῆς ἐν Χριστῷ. λέγει δὲ τοὺς ἐξ ἐθνῶν τετιμῆσθαι παρὰ Θεοῦ. καὶ προτρέπεται εἰς τὸ ἑδραῖον ἐν πίστει καὶ εὐσεβείᾳ. ἐὰν γὰρ οὕτω μείνῃς, κλάδος εὐγενὴς τῆς ἁγίας ἀπομένεις ῥίζης. εἰ δὲ ἀπειθήσεις, ἔξω καὶ αὐτὸς γενήσῃ τῆς ῥίζης.

Θεοδωρήτου. Κἀκείνους γὰρ ἡ ἀπιστία τῆς ῥίζης ἀλλοτρίους ἀπέφηνε. καὶ σὲ ἡ πίστις συνῆψε τῇ ῥίζῃ, καὶ τῆς ταύτης πιότητος μεταλαχεῖν παρεσκεύασε· προσήκει σε τοίνυν μὴ μεγαφρονεῖν, ἀλλὰ δεδιέναι καὶ τρέμειν. διατί; εἰ γὰρ ἐκείνους οὐδὲν ὤνησεν ἡ τῆς φύσεως οἰκειότης, ἐπειδὴ τοιαύτην ἔσχον προαίρεσιν, πολλῷ μᾶλλον σὺ μὴ φυλάξας τὴν χάριν, γενήσῃ τῆς ῥίζης ἀλλότριος.

Γενναδίου. Κἀνταῦθα δὲ τὸ "ἵνα" συνήθως σημαίνει τὸ ἀποβάν. ἐρεῖς γὰρ μεγαλαυχούμενος, ὅτι ἐκκοπέντων ἐκείνων ἐνεκεντρίσθην ἐγώ. οὐκοῦν προσκατανοῶν καὶ τὸ αἴτιον τῆστε ἐκείνων ἐκτρίψεως, καὶ τῆς σῆς ἀναστάσεως, σωφρονίζων δέδιθι.

22 Ἴδε οὖν χρηστότητα καὶ ἀποτομίαν Θεοῦ· ἐπὶ μὲν
τοὺς πεσόντας, ἀποτομίαν· ἐπὶ δέ σε, χρηστότητα, ἐὰν
μὴ[e] ἐπιμείνῃς τῇ χρηστότητι· ἐπεὶ καὶ σὺ ἐκκοπήσῃ.
23 καὶ ἐκεῖνοι δὲ ἐὰν μὴ ἐπιμείνωσι τῇ ἀπιστίᾳ, ἐγκεντρι-
σθήσονται.

Χρυσοστόμου. Οὐκ εἶπεν, ἴδε οὖν κατόρθωμα σὸν, ἴδε οὖν πόνους σοὺς, ἀλλὰ Θεοῦ φιλανθρωπίαν. δεικνὺς ὅτι πᾶν τῆς χάριτος τῆς ἄνωθεν γέγονε, καὶ παρασκευάζων τρέμειν· ἡ γὰρ ὑπόθεσις τῆς καυχήσεως, αὕτη σε ποιείτω δεδοικέναι καὶ τρέμειν. ἐπειδὴ γὰρ χρηστὸς περὶ σὲ γέγονεν ὁ δεσπότης, διὰ τοῦτο φοβοῦ. οὐ γὰρ ἀκίνητά σοι μένει τὰ ἀγαθὰ, ἐὰν ῥαθυμῇς. ὥσπερ οὖν οὐ δὲ ἐκείνοις τὰ κακὰ, ἐὰν μεταβάλωνται. καὶ γὰρ σύ, φησιν, ἐὰν μὴ ἐπιμείνῃς τῇ πίστει, ἐκκοπήσῃ. καὶ ἐκεῖνοι δὲ, ἐὰν μὴ ἐπιμείνωσι τῇ ἀπιστίᾳ, ἐγκεντρισθήσονται. οὐ γὰρ ὁ Θεὸς αὐτοὺς ἐξέκοψεν, ἀλλ᾽ αὐτοὶ ἐξεκλάσθησαν καὶ κατέπεσον. καὶ καλῶς εἶπεν "ἐξεκλάσθησαν." οὐδέ ποτε γὰρ οὗτος αὐτοὺς ἐξέβαλε, καίτοι πολλὰ πολλάκις ἡμαρτηκότας. εἶδες πόσον τῆς προαιρέσεως τὸ κῦρος; πόση τῆς γνώμης ἡ ἐξουσία; οὐδὲν γὰρ τούτων ἀκίνητον· οὔτε τὸ σὸν καλὸν, οὔτε τὸ ἐκείνου κακόν. εἶδες πῶς καὶ ἐκεῖνον ἀπογινώσκοντα ἀνέστησε, καὶ τοῦτον θαρροῦντα κατέστειλε; μήτε

[e] A m. rec. suprascriptum.

γὰρ σὺ ἀποτομίαν ἀκούων, ἀπαγορεύσῃς. μήτε σὺ χρηστότητα, θαρρήσῃς. διὰ τοῦτό σε ἀποτόμως ἐξέκοψεν, ἵνα ποθήσῃς ἐπανελθεῖν. διὰ τοῦτό περὶ σὲ χρηστότητα ἐπεδείξατο, ἵνα ἐπιμείνῃς. καὶ οὐκ εἶπε τῇ πίστει, ἀλλὰ τῇ χρηστότητι. τουτέστιν, ἐὰν ἄξια τῆς τοῦ Θεοῦ φιλανθρωπίας πράττῃς. οὐ γὰρ πίστεως δεῖ μόνον.

Ὁρᾷς πῶς οὔτε ἐκείνους ἀφῆκε κεῖσθαι, οὔτε τούτους μέγα φρονεῖν; ἀλλὰ καὶ παρεζήλωσε τούτους πάλιν δι' ἐκείνων, δοὺς τῷ Ἰουδαίῳ στῆναι εἰς τὸν τόπον τούτου· καθάπερ ἐκεῖνος προκατέλαβε τὸ τούτου χωρίον. καὶ τὸ μὲν ἐξ ἐθνῶν, ἀπὸ τῶν Ἰουδαίων φοβεῖ, καὶ τῶν ἐκείνοις συμβεβηκότων, ἵνα μὴ ἐπαίρωνται κατ' αὐτῶν. τὸν δὲ Ἰουδαῖον, ἀπὸ τῶν τῷ Ἕλληνι παρασχεθέντων, θαρρεῖν παρασκευάζει. καὶ γὰρ καὶ σὺ ἐκκοπήσῃ, φησὶν, ἐὰν ῥαθυμῇς. καὶ γὰρ ὁ Ἰουδαῖος ἐξεκόπη· καὶ ἐκεῖνος ἐγκεντρισθήσεται, ἐὰν ζηλώσῃ. καὶ γὰρ σὺ ἐνεκεντρίσθης. πάνυ δὲ συνετῶς ὅλον τὸν λόγον πρὸς τὸν ἐξ ἐθνῶν τρέπει. ὅπερ ἀεὶ ποιεῖν εἴωθε, ἐν τῇ τῶν ἰσχυροτέρων ἐπιπλήξει τοὺς ἀσθενεῖς διορθούμενος.

Ὅρα οὖν φησὶν, ὅπως μὲν ἐκείνους ἀπέτεμεν ὁ Θεὸς, τὴν τῶν προγόνων οὐ ζηλώσαντας πίστιν. ὅπως δὲ σὲ φιλανθρωπίας ἠξίωσε, καὶ ῥίζης ἀλλοτρίας ἀπέφηνε κοινωνόν· ἧς ἀλλοτριώσει σε πάντως, τὴν δοθεῖσαν οὐ φυλάξαντα δωρεάν· καὶ τούτους τῆς ἀπιστίας ἀπαλλαγέντας, αὖθις ἐκείνῃ συνάψει. καλῶς δὲ καὶ ἐπὶ τούτων τὸ, "ἐγκεντρισθήσεται" τέθεικεν· ὡς τῆς ἀπιστίας αὐτοὺς παντελῶς χωρισάσης· καὶ τῆς πίστεως παραπλησίως τοῖς ἔθνεσι συναπτούσης τῇ ῥίζῃ.

Θεοδώρου Μονάχου. Ἀποτομίαν τοίνυν λέγει, τὸ, κλάδους ὄντας ἀποκλασθῆναι τῆς ἐλαίας. καὶ πεσόντας καλεῖ, τοὺς ἀμετανόητον γνώμην ἐσχηκότας ἐν τῇ εἰς τὸν Θεὸν ἀπιστίᾳ· χρηστότητα δέ φησιν, τὸ ἐγκεντρισθῆναι τῇ ἐλαίᾳ ἀγριέλαιον ὄντα.

Βασιλείου. Τίνι δὲ διαφέρει χρηστότης ἀγαθωσύνης; τοῦ Δαβὶδ εἰπόντος, ποτὲ μὲν, ὅτι, "χρηστὸς Κύριος τοῖς σύμπασι." καὶ "χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν." ποτὲ δὲ, "ἀγάθυνον, "Κύριε, τοῖς ἀγαθοῖς." καὶ τοῦ Ἱερεμίου." ἀγαθὸς Κύριος τοῖς "ὑπομένουσιν αὐτόν." πλατυτέραν οἶμαι εἶναι τὴν χρηστότητα εἰς εὐεργεσίαν τῶν ὁπωσδηποτοῦν ἐπιδεομένων ταύτης. συνηγμένην

δὲ μᾶλλον τὴν ἀγαθωσύνην, καὶ τοῖς τῆς δικαιοσύνης λόγοις ἐν ταῖς εὐεργεσίαις συγχρωμένην.

Δυνατὸς γάρ ἐστιν ὁ Θεὸς πάλιν ἐγκεντρίσαι αὐτούς.
24 εἰ γὰρ σὺ ἐκ τῆς κατὰ φύσιν ἐξεκόπης ἀγριελαίου, καὶ
παρὰ φύσιν ἐνεκεντρίσθης εἰς καλλιέλαιον, πόσῳ μᾶλ-
λον οὗτοι οἱ κατὰ φύσιν, ἐγκεντρισθήσονται τῇ ἰδίᾳ
ἐλαίᾳ;

Χρυσοστόμου. Καὶ ἐκ τῶν παρελθόντων κατασκευάζει τὸ εἰρημένον· οὐκ ἀπὸ τῶν μελλόντων μόνων· ὅπερ μᾶλλον ἔπειθε τὸν ἀκροατήν. καὶ μέλλων λογισμῶν κινεῖν ἀναντίρρησιν, προτέραν ἀπὸ τῆς τοῦ Θεοῦ δυνάμεως τὴν ἀπόδειξιν ἀκολουθίαν τίθησιν. εἰ γὰρ ἀπεκόπησαν καὶ ἀπερρίφησαν, καὶ ἄλλοι τὰ αὐτῶν προκατελάβοντο, μὴ δὲ οὕτως ἀπογνῷς. δυνατὸς γάρ ἐστι, φησὶ, ὁ Θεὸς πάλιν ἐγκεντρίσαι αὐτούς. ὁ καὶ τὰ ὑπὲρ ἐλπίδα ποιῶν. εἰ δὲ πραγμάτων τάξιν ἐπιζητεῖς, καὶ λογισμῶν ἀκολουθίαν, ἔχεις οἴκοθεν τὸ ὑπόδειγμα, μετὰ πλείονος τῆς περιουσίας. εἰ γὰρ ἐπὶ σοῦ, φησι, τὸ παρὰ φύσιν ἴσχυσεν ἡ πίστις, πολλῷ μᾶλλον τὸ κατὰ φύσιν. εἰ γὰρ οὗτος, τῶν κατὰ φύσιν αὐτοῦ πατέρων ἐκκοπεὶς, ἦλθε παρὰ φύσιν πρὸς Ἀβραὰμ, πολλῷ μᾶλλον τὸ οἰκεῖον ἀπολαβεῖν δυνήσῃ σύ. τοῦ μὲν γὰρ ἐθνικοῦ, τὸ μὲν κακὸν κατὰ φύσιν, ἀγριέλαιος γὰρ κατὰ φύσιν ἦν. τὸ δὲ καλὸν, παρὰ φύσιν. παρὰ φύσιν γὰρ ἐνεκεντρίσθη τῷ Ἀβραάμ. σοῦ δὲ τοὐναντίον, τὸ καλὸν, κατὰ φύσιν. οὐ γὰρ ἐν ἀλλοτρίᾳ ῥίζῃ ὥσπερ ὁ ἐθνικὸς, ἀλλ' ἐν οἰκείᾳ παγήσῃ, ἐὰν βουληθῇς ἐπανελθεῖν. τίνος οὖν ἂν εἴης ἄξιος, ὅταν τοῦ ἐθνικοῦ τὸ παρὰ φύσιν δυνηθέντος, σὺ τὸ κατὰ φύσιν μὴ ἰσχύσῃς, ἀλλὰ καὶ τοῦτο προδῷς; εἶτα ἐπειδὴ εἶπε, "παρὰ "φύσιν," καὶ "ἐνεκεντρίσθη," ἵνα μὴ πλέον τί τὸν Ἰουδαῖον ἔχειν νομίζῃς, πάλιν αὐτὸ διορθοῦται, λέγων "αὐτὸν ἐγκεντρίζε-"σθαι." πολλῷ γὰρ μᾶλλον οὗτοι, φησὶ, οἱ κατὰ φύσιν, ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ. καὶ πάλιν "δυνατὸς ὁ Θεὸς ἐγκεν-"τρίσαι αὐτούς." καὶ πρὸ τούτου δὲ φησὶν, "ὅτι ἐὰν μὴ ἐπιμεί-"νωσι τῇ ἀπιστίᾳ, ἐγκεντρισθήσονται·" παρὰ φύσιν δὲ καὶ κατὰ φύσιν ὅταν ἀκούσῃς αὐτοῦ συνεχῶς λέγοντος, μὴ τὴν ἀκίνητον ταύτην φύσιν νόμιζε λέγειν αὐτὸν, ἀλλὰ τὸ εἰκὸς καὶ τὸ ἀκόλου-

θον καὶ τὸ ἀπεικὸς πάλιν τούτοις δηλοῦν τοῖς ὀνόμασιν. οὐ γὰρ φυσικὰ τὰ καλὰ καὶ τὰ μὴ τοιαῦτα, ἀλλὰ γνώμης καὶ προαιρέσεως μόνης.

Θεοδώρου Μονάχου. *Εἰ σὺ οὖν φησιν, ἀγριέλαιος ὢν, οὐ γὰρ ἔσχες γεωργοῦντα τὸν νόμον, οὐδὲ τοὺς προφήτας ἄρδοντας, καὶ καθαίροντας, καὶ τὴν προσήκουσάν σου ἐπιμέλειαν ποιουμένους, τῶν μὲν δυσσεβῶν ἐχωρίσθης προγόνων τὲ καὶ συγγενῶν, τῆς δὲ τοῦ Ἀβραὰμ πίστεως κοινωνὸς ἀπεφάνθης· καὶ τοῦτον αὐχεῖς, ῥίζαν καὶ πατέρα καὶ πρόγονον, οὐ κατὰ φύσεως νόμον, ἀλλὰ διὰ τὴν θείαν φιλοτιμίαν, πολλῷ δήπουθεν εὐλογώτερόν τε καὶ φυσικώτερον οὗτοι πιστεύσαντες, τῇ οἰκείᾳ συναφθήσονται ῥίζῃ. ταῦτα δὲ, ὡς ἔφην, λέγει, καὶ τοὺς ἐξ ἐθνῶν πεπιστευκότας μετριάζειν διδάσκων, καὶ τοὺς ἀπιστήσαντας τῶν Ἰουδαίων, εἰς σωτηρίαν προτρέπων.*

25 Οὐ γὰρ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, τὸ μυστήριον
τοῦτο, ἵνα μὴ ἦτε παρ' ἑαυτοῖς φρόνιμοι, ὅτι πώρωσις
ἀπὸ μέρους τῷ Ἰσραὴλ γέγονεν, ἄχρις οὗ τὸ πλήρωμα
26 τῶν ἐθνῶν εἰσέλθῃ· καὶ οὕτω πᾶς Ἰσραὴλ σωθήσεται.

Χρυσοστόμου. *Σκόπει τὸ τοῦ Παύλου ἀνέπαχθες. εἰπὼν γὰρ ὅτι "καὶ σὺ ἐκκοπήσῃ, ἐὰν μὴ ἐπιμείνῃς τῇ πίστει." καὶ, "οὗτοι "ἐγκεντρισθήσονται, ἐὰν μὴ ἐπιμείνωσι τῇ ἀπιστίᾳ," τὸ σκυθρωπότερον ἀφεὶς, τὸ χρηστότερον κατασκευάζει, καὶ εἰς αὐτὸ τελευτᾷ. μεγάλας τοῖς Ἰουδαίοις ὑποφαίνων ἐλπίδας, εἰ βουληθεῖεν. "μυστήριον" δὲ ἐνταῦθα, τὸ ἀγνοούμενον λέγει, τὸ ἀπόρρητον. καὶ πολὺ μὲν τὸ θαῦμα, πολὺ δὲ τὸ παράδοξον ἔχον. τί οὖν ἐστι τὸ μυστήριον τοῦτο; "ὅτι πώρωσις ἀπὸ μέρους τῷ Ἰσραὴλ "γέγονεν." ἐνταῦθα πάλιν πλήττειν τὸν Ἰουδαῖον δοκῶν, καταστέλλει τὸν ἐξ ἐθνῶν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὅπερ καὶ ἔμπροσθεν ἔλεγεν, ὅτι οὐκ ἐξ ὁλοκλήρου ἡ ἀπιστία, ἀλλ' ἐκ μέρους.*

Θεοδωρήτου. *"Μυστήριον" μὲν οὖν ἐστι τὸ μὴ πᾶσι γνώριμον, ἀλλὰ μόνοις τοῖς θαρρουμένοις. λέγει δὲ ὅτι βούλομαι ὑμᾶς μαθεῖν, ὅπερ οἴδαμεν περὶ τῶν προκειμένων μυστήριον. ἵνα μὴ σφόδρα ἡγούμενοι ἑαυτοὺς συνετοὺς, ὑψηλὸν ἐντεῦθεν δέξησθε φρόνημα. τὸ δὲ μυστήριον ἐστὶν, "ὅτι πώρωσις ἀπὸ μέρους γέγονε*

τῷ Ἰσραὴλ, ἀπὸ μέρους· οὐ γὰρ πάντες ἠπίστησαν, ἀλλὰ πολλοὶ καὶ ἐξ ἐκείνων ἐπίστευσαν. παρεγγυᾷ δὲ μὴ δὲ τῶν ἄλλων ἀπαγορεῦσαι τὴν σωτηρίαν. τῶν γὰρ ἐθνῶν δεξαμένων τὸ κήρυγμα, πιστεύσουσι κἀκεῖνοι, Ἠλία τοῦ πάνυ παραγινομένου, καὶ τῆς πίστεως αὐτοῖς τὴν διδασκαλίαν προσφέροντος· τοῦτο γὰρ καὶ ὁ Κύριος ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ἔφη, "Ἠλίας ἔρχεται, καὶ "ἀποκαταστήσει πάντα." πάντα δὲ, Ἰσραὴλ κακεῖ, τοὺς πιστεύοντας, εἴτε ἐξ Ἰουδαίων εἶεν, τὴν φυσικὴν συγγένειαν πρὸς τὸν Ἰσραὴλ ἔχοντες, εἴτε ἐξ ἐθνῶν κατὰ τὴν τῆς πίστεως συγγένειαν αὐτῷ συναπτόμενοι.

Θεοδώρου Μονάχου. Ταῦτά γε μὴν λέγω φησὶν, ἵνα μὴ τῇ ἑαυτῶν γνώμῃ ἔπησθε ὥσπερ φρόνιμοι. ἄλλως γὰρ ὑμεῖς νομίζετε, καὶ ἄλλως ἔχει τὰ πράγματα. οὐ γὰρ ὡς οἴεσθε εἰς τὸ παντελὲς ἐξεβλήθη ὁ Ἰσραὴλ, ὡς ἀπαγορευθεὶς ἀπὸ τοῦ Θεοῦ, ἀλλὰ πώρωσις γέγονε μέχρι τινὸς καιροῦ, ἕως οὗ εἰσέλθῃ τὸ πλήρωμα τῶν ἐθνῶν. ὧν εἰσελθόντων, καὶ ὁ Ἰσραὴλ σωθήσεται, Ἠλία παραγεγονότος πρὸς αὐτούς. πλήρωμα δὲ ἐθνῶν λέγει, τὸ σύστημα τὸ πεπληρωμένον Πνεύματος Ἁγίου. ἢ καὶ πᾶν γένος ἐθνῶν, ὡς μηδὲν ἐλλείπειν, ἀλλὰ πλῆρες εἶναι καὶ τέλειον. ὥσπερ δὲ πάντα τὰ ἔθνη σώζεσθαι φαμὲν τῷ πανταχόθεν καὶ ἐκ πάντων τῶν ἐθνῶν εἶναι τοὺς προσιόντας τῇ πίστει, οὕτω καὶ τὸ, "πᾶς Ἰσραὴλ," οὐ πανδημεὶ τοὺς πάντας σωθῆναι σημαίνει· ἀλλ' ἤτοι τοὺς ὑπὸ τοῦ Ἠλία καταλαμβανομένους, ἢ τῶν ἁπανταχῆ καὶ ἐν ὅλῳ τῷ κόσμῳ διεσπαρμένων, τοὺς μέλλοντας προσιέναι τῇ πίστει.

Ἔφη δέ τις περὶ τούτων, καὶ οὕτως.

Γενναδίου. Ὡς ἂν φησι, μὴ μέγά τι καὶ θαυμαστὸν ὑπονοῆτε περὶ αὐτῶν ἀπατώμενοι, ὡς ὑπὲρ τοὺς ἄλλους ὄντες ὑμεῖς συνετοὶ, μάθετε συντόμως ἄλλο μυστήριον φρικωδέστερον, ἄφατον τοῦ Θεοῦ τὴν περὶ πάντας πρόνοιαν ὑποφαῖνον, τῶν Ἰσραηλιτῶν, πλὴν τῆς ἐκλέξεως· τὸ γὰρ ἀπὸ μέρους, τοῦτο φησὶ, πωρωθέντων καὶ τὴν σωτηρίαν ἀπωθουμένων, ἐφ' ὑμᾶς μετήνεγκε ταύτην ὁ Θεός. εἰσποιηθέντων μέντοι πάντων ὑμῶν, κἀκείνους αὖθις ἅπαντας περιλήψεται ἡ χάρις.

Κυρίλλου. Ἀλλὰ γὰρ ἐκεῖνο πάλιν ἄθρει, καὶ κατασκέπτου· ἔφη μὲν γὰρ ὅτι τὸ πλήρωμα τῶν ἐθνῶν εἰσελεύσεται· καὶ πᾶς

Ἰσραὴλ σωθήσεται· ἀλλ' εἴ τις ἕλοιτο πρὸς τοῦτο εἰπεῖν. καίτοι πολλοὶ τῶν ἐθνῶν ἐν ἀπιστίᾳ τεθνήκασι. πῶς οὖν εἰσβέβηκε τὸ πλήρωμα τῶν ἐθνῶν; ἀλλ' οὐδὲ πᾶς Ἰσραὴλ σωθήσεται, εἴπερ ἐστιν ἀληθὲς, ὅτι τὸν τῆς ἀνομίας υἱὸν παραδέξονται Ἰουδαῖοι, τῆς εἰς Χριστὸν ἀγάπης ἠφειδηκότες. τοῦτο γὰρ αὐτὸς ἔφασκεν. "ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ Πατρός μου, καὶ οὐ λαμβά-" "νετέ με. ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ οἰκείῳ ὀνόματι, ἐκεῖνον λήψεσθε." καὶ ὁ σοφώτατος Παῦλος, "ἀνθ' ὧν τὴν ἀγάπην τῆς ἀληθείας "οὐκ ἐδέξαντο, εἰς τὸ σωθῆναι αὐτοὺς, διὰ τοῦτο πέμψει αὐτοῖς ὁ "Θεὸς ἐνέργειαν πλάνης, εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει." τί ἐροῦμεν πρὸς τοῦτο; φαμὲν, ὅτι Θεοῦ προθέντος ἀφθονήτως ἅπασι τὴν διὰ πίστεως χάριν, ἐξείργοντος δὲ παντελῶς οὐδένα, πῶς οὐκ εἰσβέβηκε τὸ πλήρωμα τῶν ἐθνῶν, τό γε ἧκον, εἰς νοῦν καὶ σκοπὸν τοῦ κεκληκότος; οὐ γὰρ εἴ τινες ἐθελοντὶ παρώλισθον, καὶ τῆς δωρεᾶς διημαρτήκασι, ταύτητοι κατεψευσμένον τὸν τῆς γραφῆς εὑρήσουσι λόγον. ἐξὸν γὰρ αὐτοῖς τῶν ἅπαξ δεδωρημένων μεταλαχεῖν, ἐθελούσιον ἀνθ' ὅτου πεποίηνται τὴν ἀπόστασιν. οὐκοῦν ὅσον ἧκεν εἰς ἡμερότητα καὶ φιλανθρωπίαν τοῦ κεκληκότος, καὶ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσβέβηκε· σέσωσται δὲ καὶ ἅπας ὁ Ἰσραήλ. ἐπειδὴ δὲ ἀκαμπεῖς γεγόνασι, ταύτῃ τοι καὶ πώρωσιν αὐτοῖς ἀπὸ μέρους γενέσθαι φησί.

Διονυσίου Ἀλεξανδρίνου. Τὸ δὲ "πᾶς Ἰσραὴλ," ἀντὶ τοῦ, οἱ πλειόνες, κεῖται.

Καθὼς γέγραπται, ἥξει ἐκ Σιὼν ὁ ῥυόμενος, καὶ ἀπο-
27 στρέψει ἀσεβείας ἀπὸ Ἰακώβ· καὶ αὕτη αὐτῶν ἡ παρ'
ἐμοῦ διαθήκη, ὅταν ἀφέλωμαι τὰς ἁμαρτίας αὐτῶν.
28 κατὰ μὲν τὸ εὐαγγέλιον, ἐχθροὶ δι' ὑμᾶς· κατὰ δὲ τὴν
29 ἐκλογὴν, ἀγαπητοὶ διὰ τοὺς πατέρας. ἀμεταμέλητα γὰρ
τὰ χαρίσματα καὶ ἡ κλῆσις τοῦ Θεοῦ.

Χρυσοστόμου. Ἐπειδὴ μέγα ἐπηγγείλατο, φέρει καὶ μάρτυρα τὸν προφήτην. καὶ ὅτι μὲν πώρωσις γέγονεν, οὐ παράγει μαρτυρίαν. καὶ γὰρ δῆλον ἅπασιν ἦν. ὅτι δὲ πιστεύσουσι καὶ σωθήσονται, τὸν Ἡσαίαν πάλιν εἰσάγει βοῶντα. εἶτα τὸ παράσημον τῆς σωτηρίας τιθεὶς, ἵνα μή τις εἰς τοὺς ἔμπροσθεν

χρόνους αὐτὸ ἑλκύσῃ, φησὶ, "καὶ αὕτη αὐτῶν ἡ παρ' ἐμοῦ δια-"θήκη· ὅταν ἀφέλωμαι τὰς ἁμαρτίας αὐτῶν." οὐχ ὅταν περιτμηθῶσιν, οὐχ ὅταν θύσωσιν, οὐχ ὅταν τὰ ἄλλα νόμιμα ποιῶσιν, ἀλλ' ὅταν ἁμαρτημάτων ἀφέσεως τύχωσιν. εἰ τοίνυν τοῦτο ἐπήγγελται, γέγονε δὲ ἐπ' αὐτῶν οὐδέπω, οὐδὲ ἀπήλαυσαν τῆς διὰ τοῦ βαπτίσματος ἀφέσεως, πάντως ἔσται. διὸ καὶ ἐπήγαγεν, "ἀμεταμέλητα γὰρ τὰ χαρίσματα, καὶ ἡ κλῆσις τοῦ Θεοῦ." καὶ οὐδὲ τούτῳ μόνον αὐτοὺς παραμυθεῖται, ἀλλὰ καὶ τῷ ἤδη συμβεβηκότι. καὶ ὅπερ ἐξ ἀκολουθίας συνέβη, τοῦτο ὡς προηγούμενον τίθησιν, οὕτω λέγων, "κατὰ μὲν τὸ εὐαγγέλιον, ἐχθροὶ δι' "ὑμᾶς. κατὰ δὲ τὴν ἐκλογὴν, ἀγαπητοὶ διὰ τοὺς πατέρας." ἵνα γὰρ μὴ φυσῆται ὁ ἐξ ἐθνῶν λέγων, ἐγὼ ἕστηκα, μή μοι λέγε, τί ἂν ἐγένετο· ἀλλὰ τί γέγονε· καὶ ἐντεῦθεν αὐτὸν καταστέλλει, λέγων, "κατὰ μὲν τὸ εὐαγγέλιον ἐχθροὶ δι' ὑμᾶς." ἐπειδὴ γὰρ ὑμεῖς ἐκλήθητε, φιλονεικότεροι γεγόνασιν ἐκεῖνοι. ἀλλ' ὅμως ὁ Θεὸς οὐδὲ οὕτως ἀνέκοψεν ὑμῶν τὴν κλῆσιν, ἀλλὰ μένει πάντας τοὺς ἐξ ἐθνῶν μέλλοντας πιστεύειν, εἰσελθεῖν· καὶ τότε ἐκεῖνοι ἥξουσιν. εἶτα χαρίζεται τινὰ αὐτοῖς καὶ ἑτέραν χάριν, λέγων, "κατὰ δὲ τὴν ἐκλογὴν, ἀγαπητοὶ διὰ τοὺς πατέρας." καὶ τί τοῦτο; ἔνθα μὲν οἱ ἐχθροὶ, ἡ κόλασις αὐτῶν· ἔνθα δὲ ἀγαπητοὶ, οὐδὲν πρὸς αὐτοὺς ἡ τῶν προγόνων ἀρετὴ, ἐὰν μὴ πιστεύσωσιν. ἀλλ' ὅμως, ὅπερ ἔφην, οὐ παύεται ῥήμασιν αὐτοὺς παραμυθούμενος, ἵνα ἐφελκύσηται.

ΘΕΟΔΩΡΗΤΟΥ. "Καὶ αὕτη," φησὶν, "αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη. ὅταν ἀφέλωμαι τὰς ἁμαρτίας αὐτῶν·" εἰ ἡ κατὰ νόμον πολιτεία δωρεῖται τῶν ἁμαρτημάτων τὴν ἄφεσιν, αὐτὴν ὁ προφητικὸς προεθέσπισε λόγος. εἰ δὲ κολάζει μὲν ὁ νόμος τοὺς παραβαίνοντας· ἀεὶ δὲ παρανομίαν ἐνεκλήθησαν οἱ Ἰουδαῖοι, εὔδηλον ὡς τὴν διὰ τοῦ βαπτίσματος χορηγουμένην ἄφεσιν ὁ λόγος δηλοῖ· τὸ δὲ "ἐχθροὶ δι' ὑμᾶς," τοῦτό ἐστιν, ὅταν εἰς ὑμᾶς ἀποβλέψω, ὧν τὴν διδασκαλίαν ἐνεχειρίσθην, ἐχθροὺς ἐκείνους ὑπολαμβάνω καὶ δυσμενεῖς, πάντα εἰς ὑμετέραν βλάβην ἐργαζομένους. ὅταν δέ γε εἰς τοὺς προγόνους ἀπίδω, καὶ λογίσωμαι ὡς ἐκείνους ἐξ ἁπάσης τῆς οἰκονομίας ἐξελέξατο, στέργω δι' ἐκείνους καὶ τούτους· καὶ τοῦτο δὲ, καὶ τὸ, "ἀμεταμέλητα τὰ χαρίσματα καὶ

" ἡ κλῆσις τοῦ Θεοῦ," εἰς προτροπὴν λέγει τῶν Ἰουδαίων. ὅτι γὰρ ἃ δίδωσιν ὁ Θεὸς ἀγαθὰ πάλιν λαμβάνει, ὅταν ἴδῃ τοὺς εἰληφότας ἀχαριστήσαντας, μάρτυς ὁ Σαοὺλ, πνευματικῆς χάριτος ἀπολαύσας, εἶτα ταύτης ἔρημος μετὰ ταῦτα γεγενημένος. καὶ Σολομῶν δὲ ὡσαύτως εἰρήνης ἀπολαύσας διὰ τὴν θείαν φιλοτιμίαν, μετὰ τὴν παράβασιν ἐγυμνώθη τῆς χάριτος. καὶ αὐτοὶ δὲ οἱ Ἰουδαῖοι προφητικῆς ἐπιμελείας διηνεκῶς ἀπολαύσαντες, ἐπὶ τοῦ παρόντος τῆς κηδεμονίας ταύτης ἐστέρηνται. τοῦτο καὶ τοῖς ἐξ ἐθνῶν πεπιστευκόσι πρὸ βραχέος ἠπείλησεν, " ἐὰν ἐπιμείνῃς," γάρ φησι, " τῇ χρηστότητι. ἐπεὶ καὶ σὺ ἐκκοπήσῃ."

Γενναδίου. Ἢ ταῦτα χαρίσματα ἀμεταμέλητα εἶναι λέγει, ἃ διὰ τοῦ προφήτου ἐπηγγείλατο ὁ Θεὸς τῷ Ἰσραὴλ, εἰπὼν, " ἥξει ἐκ Σιὼν ὁ ῥυόμενος," καὶ τὰ ἑξῆς. καὶ κλῆσιν τὴν διὰ τοῦ Κυρίου.

Κυρίλλου. Ὅσον μὲν οὖν ἧκεν εἰς τὸ κήρυγμα τὸ εὐαγγελικὸν, γεγόνασιν ἐχθροί. προσκεκρούκασι γὰρ διὰ τὴν εἰς Χριστὸν ἀσέβειαν. διὰ δὲ τὴν τῶν πατέρων εὐγένειαν, οἳ ἐτιμήθησαν ὡς ἅγιοι καὶ θεοφιλεῖς, λογισθεῖεν ἂν εἶναι δι' ἐκείνους ἀγαπητοί. ὅμως ἐχθροὶ γεγόνασιν, ἵνα τεθῇ εἰς παραζήλωσιν τοῖς ἀπιστήσασιν.

Θεοδώρου Μονάχου. Ἢ καὶ οὕτως. ἐγὼ μὲν τοῦ εὐαγγελίου ἕνεκεν, ὅταν αὐτὸ διασύρειν βούλωνται, τὴν ὑμετέραν αἰτιώμενοι πρόσοδον, καὶ ταύτην ὡς οἴονται ἀφορμὴν εὔλογον προϊσχόμενοι, τοῦ μὴ πείθεσθαι τοῖς ἡμετέροις διδάγμασιν, ἐχθροὺς αὐτοὺς εἶναι νενόμικα· ἅτε δὴ πολεμίους τῆς πίστεως· τότε γὰρ οὐδενὸς ἀφίσταμαι τῶν, ὅσα πρὸς ἔλεγχον τῆς αὐτῶν κακίας εἰπεῖν προσήκει. διὰ δὲ τὴν πρὸς τοὺς πατέρας οἰκειότητα, οὕτως αὐτοὺς περὶ πολλοῦ ποιεῖσθαι ἐσπούδακα, ὡς μὴ δὲ πάσχειν ἥν τι δέῃ ὑπὲρ τῆς αὐτῶν σωτηρίας παραιτεῖσθαι. οἶδα γὰρ ἀκριβῶς ὅτι ὁ Θεὸς οὐ μεταβληθεὶς ἐπὶ τῇ τῶν προγόνων ἐκλογῇ τούτους ἀπεποιήσατο· αὐτοὶ δὲ γνώμης μοχθηρίᾳ τῆς ἀπὸ τοῦ Θεοῦ ἀλλοτριώσεως, αὐτοῖς γεγόνασι πρόξενοι.

Οἰκουμενίου. Ἐπειδὴ γὰρ ἐναπομεμενήκασι τῇ ἀπιστίᾳ, καὶ διὰ τοῦτο οὐκ εἰσὶν ἀγαπητοὶ, ἀσφαλῶς λαλῶν φησὶ, διὰ τοὺς πατέρας· ὡσεὶ εἶπεν, εἰ καὶ αὐτοὶ διὰ τὴν ἀπιστίαν οὐκ ἀγαπητοὶ,

διὰ μέντοι τοὺς πατέρας ἔτι ἀγαπῶνται. ὅθεν καὶ σωτηρίαν ἐκδέχονται. κλῆσιν δέ φησι, τὴν περὶ τὸ ἔθνος γεγενημένην.

Σετηριανοτ. Πλὴν ἐλλιπῶς εἴρηται. διὸ καὶ ἀσύνδετόν ἐστιν. οὕτως οὖν θέλει, ὥστε ἐκ τῆς πρὸς ὑμᾶς συγκρίσεως ἐχθροὶ τοῦ Θεοῦ ἐλέγχονται εἶναι οἱ ἐξ ἐθνῶν ἐπιστεύσατε. οἱ δὲ ὀφείλοντες πρὸ πάντων πιστεῦσαι, ἐπωρώθησαν τὴν καρδίαν. καὶ κατὰ μὲν τοῦτον τὸν λόγον, ἐχθροὶ εἰσὶ τοῦ Θεοῦ· ἀγαπητοὶ δὲ διὰ τοὺς πατέρας· ὧν εἰς τιμὴν φιλανθρωπεύσεται πρὸς τοὺς ἀπογόνους αὐτῶν. καὶ ἀγαπητοὺς ἡγήσεται, πιστεύσαντας, καὶ πολιτείαν ἐνδειξαμένους δυναμένην σῶσαι.

Φωτίοτ. Ζητήσειε δ' ἄν τις, εἰ ἐχθροὶ γεγόνασιν Ἰουδαῖοι, διὰ τοὺς ἐξ ἐθνῶν πεπιστευκότας, πῶς ἀνωτέρω ἔλεγεν, "ἐφ' ὅσον "εἰμὶ ἐγὼ ἐθνῶν Ἀπόστολος, τὴν διακονίαν μου δοξάζω." διατί; "εἴπως παραζηλώσω μου τὴν σάρκα." εἰ γὰρ διὰ τῆς πίστεως τῶν ἐθνῶν παραζηλοῦσι, καὶ μιμοῦνται οἱ Ἰουδαῖοι, καὶ πιστοὶ γίνονται, πῶς δι' αὐτοὺς ἐχθροὶ γίνονται πάλιν τῆς πίστεως καὶ τοῦ εὐαγγελίου; ἀλλὰ πρῶτον φαμὲν, ὅτι οὐκ ἔφη διὰ τῆς πίστεως τῶν ἐθνῶν παραζηλοῦν καὶ μιμεῖσθαι τοὺς Ἰουδαίους. ἀλλὰ διὰ τοῦ δοξάζεσθαι αὐτοὺς διὰ τοῦ ἐπαινεῖσθαι. ἡ γὰρ δόξα καὶ ὁ ἔπαινος ὁ εἰς τοὺς ἐξ ἐθνῶν ἀνατρέχων, ἐρεθίσει αὐτοὺς καὶ εἰς ζῆλον καὶ μίμησιν. ὥστε οὐκ ἐναντία ἐστὶν ἀλλήλων τὰ εἰρημένα. δεύτερον δὲ, ὅτι οὐ κατὰ ἀπόφασιν ἔφη παραζηλώσουσιν οἱ Ἰουδαῖοι, ἀλλ' ἀμφιβόλως καὶ διστάζων. "εἴ πως," γάρ φησι, "παραζηλώσω μου τὴν σάρκα." οἷον, ἴσως, τάχα, ὥστε εἰ καὶ διὰ τῆς αὐτῶν πίστεως, οὐχὶ δὲ διὰ τῆς δόξης καὶ τῶν ἐπαίνων. ἔλεγε παραζηλοῦν τοὺς Ἰουδαίους, οὐδ' οὕτως ἐμάχετο ἑαυτῷ. διὰ μὲν γὰρ τοῦ εἰπεῖν, ἐχθροὶ δι' ὑμᾶς, τῶν Ἰουδαίων τὴν ἀπιστίαν λέγει, καὶ τὴν αἰτίαν δι' ἣν σφοδρότερον ἀπεχθάνονται τῇ πίστει. διὰ δὲ τοῦ, "εἴ πως παραζηλώσω τὴν σάρκα," τὴν ἰδίαν ἐνδείκνυται σπουδὴν, ἣν εἶχεν εἰς τὸ σῶσαι τοὺς ἐξ Ἰουδαίων. καὶ χωρὶς δὲ τῶν εἰρημένων, οὐδ' οὕτως ἐμάχετο τὰ λεχθέντα, κἂν ἄμφω ἀποφαντικῶς εἴρητο. καὶ γὰρ οὐδὲν ἐκώλυε τινὰς μὲν τῶν πεπιστευκότων, ἀνερεθισθέντας τῇ πίστει τῶν ἐθνῶν, παραζηλῶσαι καὶ πιστεῦσαι. καὶ τῶν μὴ πεπιστευκότων πάλιν πολλοὺς, μίσει τῷ πρὸς τοὺς ἐξ ἐθνῶν, σκληροτέρους καὶ ἀπιστοτέρους καὶ ἀπειθε-

τέρους τῷ εὐαγγελικῷ κινεῖσθαι κηρύγματι. ὃ καὶ ἐπ' αὐτῶν ἰδεῖν ἐστι τῶν πραγμάτων. οἱ μὲν γὰρ μιμούμενοι τοὺς ἐξ ἐθνῶν, προσέρχονται τῇ πίστει, καὶ σώζονται. οἱ δὲ τούτοις ἀπεχθανόμενοι, σφοδρότεροι ἐχθροὶ τῆς πίστεως καθίστανται.

30 Ὥσπερ γὰρ καὶ ὑμεῖς ποτὲ ἠπειθήσατε τῷ Θεῷ, νυνὶ
31 δὲ ἠλεήθητε τῇ τούτων ἀπειθείᾳ, οὕτω καὶ οὗτοι νῦν
ἠπείθησαν τῷ ὑμετέρῳ ἐλέει, ἵνα καὶ αὐτοὶ δῆτα ἐλεη-
32 θῶσι. συνέκλεισε γὰρ ὁ Θεὸς τοὺς πάντας εἰς ἀπείθειαν,
ἵνα τοὺς πάντας ἐλεήσῃ.

Χρυσοστόμου. *Δείκνυσιν ἐνταῦθα τοὺς ἐξ ἐθνῶν πρότερον κεκλημένους. εἶτα ἐπειδὴ οὐκ ἠθέλησαν ἐπακοῦσαι, τοὺς Ἰουδαίους ἐκλεγέντας, καὶ τὸ αὐτὸ πάλιν συμβὰν μετὰ ταῦτα. ἐπειδὴ γὰρ οὐκ ἠθέλησαν οἱ Ἰουδαῖοι πιστεῦσαι, πάλιν προσήχθη τὰ ἔθνη. ἀλλ' οὐ μέχρι τούτου ἵσταται, οὐδὲ εἰς τὴν ἐκβολὴν αὐτῶν καταστρέφει τὸ πᾶν, ἀλλ' εἰς τὸ καὶ αὐτοὺς ἐλεηθῆναι πάλιν. ὅρα πόσον δίδωσι τοῖς ἐξ ἐθνῶν, ὅσον ἔμπροσθεν Ἰουδαίοις. ἐπειδὴ γὰρ ὑμεῖς ἠπειθήσατε, φησὶ, οἱ ἐξ ἐθνῶν τότε, προσῆλθον οἱ Ἰουδαῖοι. πάλιν ἐπειδὴ οὗτοι ἠπείθησαν, προσήλθετε ὑμεῖς. "συνέκλεισε γὰρ ὁ Θεὸς τοὺς πάντας εἰς ἀπείθειαν." τουτέστιν, ἤλεγξεν, ἐπέδειξεν ἀπειθοῦντας. οὐχ ἵνα μείνωσιν ἀπειθοῦντες, ἀλλ' ἵνα τοὺς ἑτέρους διὰ τῆς ἑτέρων σώσῃ φιλονεικίας. τούτους, δι' ἐκείνων, καὶ ἐκείνους διὰ τούτων. σκόπει δή. ἠπειθήσατε ὑμεῖς, καὶ οὗτοι ἐσώθησαν. πάλιν οὗτοι ἠπείθησαν, καὶ ὑμεῖς ἐσώθητε. οὐ μὴν οὕτως ἐσώθητε, ὡς πάλιν ἐξελθεῖν καθάπερ οἱ Ἰουδαῖοι· ἀλλ' ὥστε αὐτοὺς ἐπισπάσασθαι τῷ ζήλῳ.*

Κυρίλλου. *Ὥστε ἶσα δείκνυσιν τὰ ἀμφοῖν ἐγκλήματα· καὶ μιᾷ χάριτι τεθεραπευμένους, τούς τε ἐξ ἐθνῶν καὶ τὸν Ἰσραήλ. κέκληται μὲν γὰρ κατὰ καιροὺς, διὰ τοῦ Μωσέως ὁ Ἰσραὴλ, καὶ τῆς ἐν Αἰγύπτῳ ταλαιπωρίας ἐξήρηται. ἀλλ' οἱ τῶν δαιμόνων θεραπευταὶ, τουτέστι τὰ ἔθνη, ὡς διά γε τῶν Αἰγυπτίων νοούμενα, τέως ἠπείθησαν τῷ ἐλέει τῶν ἐξ Ἰσραήλ. οὐ γὰρ πεπιστεύκασι ταῖς θεοσημίαις ταῖς διὰ Μωσέως, οὐκ ἤθελον εἰδέναι τὸν τῶν Ἑβραίων Θεόν. ἀλλ' ἐξεπέμπετο μὲν μόλις ἱερουργήσων κατὰ τὴν ἔρημον τῶν Ἰουδαίων ὁ δῆμος· εἴχοντο δὲ αὐτοὶ τῆς ἀρχαίας*

ἀπάτης. ἀλλὰ νῦν ἠλέηνται προσκεκρουκότος τοῦ Ἰσραὴλ, ὃς ἠπείθησε τῷ ἐλέει τῶν ἐθνῶν, ἵνα καὶ αὐτὸς ἐλεηθείη κατὰ καιρούς. ἴσα τοιγαροῦν, ὡς ἔφην, τὰ ἀμφοῖν ἐγκλήματα, τῆς τοῦ κατοικτείροντος ἐπικουρίας ἐν ἴσῳ τόπῳ δεδεημένα. συγκεκλεῖσθαι δέ φησιν τοὺς πάντας εἰς ἀπείθειαν παρὰ Θεοῦ, ἵνα τοὺς πάντας ἐλεήσῃ. καὶ οὔ τι που τῆς θείας βουλῆς ἔργον γενέσθαι λογιούμεθα τὸ ἀπειθῆσαι τινὰς, ἵνα καὶ κατοικτείροιντο πεσόντες εἰς τοῦτο. συνέκλεισε δὲ μᾶλλον εἰς ἀπείθειαν· ἐνόχους ὄντας ἀποφαίνων τοῖς τῆς ἀπειθείας ἐγκλήμασι, καὶ οἷον ἐξ αὐτῶν τῶν πραγμάτων ἐληλεγμένους. ὡς εἰς τοῦτο λοιπὸν καθίκοιντο δυσπραξίας, ὡς μονονοὺ δεῖσθαι τοῦ κατοικτείρεσθαί τε καὶ ἐλεεῖσθαι.

Θεοδωρήτου. Ἀναμνήσθητε τοιγαροῦν οἱ ἐξ ἐθνῶν, ὡς ἅπαντες ἐπὶ πλεῖστον ἠσεβήσατε χρόνον. καὶ οὐκ ἀπέβλεψεν ὁ φιλάνθρωπος δεσπότης εἰς τὴν μακρὰν ἐκείνην καὶ χαλεπὴν ἀσέβειαν, ἀλλὰ τῆς ἀρρήτου φιλανθρωπίας τοὺς βουληθέντας ἠξίωσε. καὶ τούτων ἀπιστησάντων, ὑμᾶς ἀντὶ τούτων ἐκάλεσεν. οὐδὲν τοίνυν ἀπεικὸς καὶ τοὺς νῦν ἀντιλέγοντας δεχθῆναι παρὰ τοῦ Θεοῦ, πιστεῦσαι θελήσαντας, καὶ τῆς αὐτῆς φιλανθρωπίας τυχεῖν. τὸ δὲ "ἵνα "πάλιν," κατὰ τὸ οἰκεῖον ἰδίωμα τέθεικεν. οὐδὲ γὰρ διὰ τοῦτο ἠπείθησαν, ἵνα ἐλεηθῶσιν, ἀλλ' ἠπείθησαν μὲν, διὰ τὸ τῆς διανοίας ἀντίτυπον· ἐλεηθήσονται δὲ, μεταμελείᾳ χρησάμενοι. καὶ τὸ, "συνέκλεισε δὲ," ἀντὶ τοῦ, ἤλεγξε τέθεικεν. ἤλεγξε δὲ καὶ τὰ ἔθνη, καὶ φυσικὴν εἰληφότα διάγνωσιν, καὶ τὴν κτίσιν ἐσχηκότα θεογνωσίας διδάσκαλον, καὶ μήτε ἐντεῦθεν, μήτε ἐκεῖθεν ὠφέλειαν εἰσδεξάμενα. ἤλεγξε δὲ καὶ Ἰουδαίους· πλείονος μὲν διδασκαλίας τετυχηκότας, πρὸς γὰρ τῇ φύσει καὶ τῇ κτίσει, καὶ νόμον ἐδέξαντο, καὶ προφήτας τὸ δέον παιδεύοντας· καὶ μείζοσι τιμωρίαις ὑπευθύνους γεγενημένους. ἀλλ' ὅμως καὶ τούτους κἀκείνους πανωλεθρίας ὄντας ἀξίους, τῆς σωτηρίας ἠξίωσε, πιστεῦσαι μόνον θελήσαντος.

Γενναδίου. Τὸ τοίνυν "συνέκλεισεν," ἴσον ἐστὶ τῷ, νόμος δὲ παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα. οὔτε γὰρ ὁ Θεὸς ἀπειθεῖς τούτους ἐποίησεν. ἀλλὰ σωτηρία δέδωκε παραγγέλματα. τῶν δὲ, ἀνομησάντων, τοῦτο ἐκβέβηκεν. οὔτε διὰ τοῦτο τὰ προσ-

τάγματα δέδωκεν, ἵνα ἀπειθήσαντας ἑλκύσῃ, ἀλλ' οὕτω τοῦτο διὰ τὴν ἐκείνων ἀποβέβηκεν ἀπείθειαν. τοῦ δὲ αὐτοῦ τύπου καὶ τἄλλα ὅσα τοιαῦτα τῶν προεκτεθέντων ἐστίν. οἷον, τὸ, "πώρωσις "ἀπὸ μέρους τῷ Ἰσραὴλ γέγονεν. ἄχρις οὗ τὸ πλήρωμα τῶν "ἐθνῶν εἰσέλθῃ." οὐ γὰρ ἵνα σωθῶσιν οἱ ἐθνικοὶ, διὰ τοῦτο τοῦ Ἰσραὴλ τινὲς ἐπωρώθησαν· ἀλλὰ πωρωθέντων τούτων, ἐκεῖνο ἐπηκολούθησε. καὶ τὸ, "ἠπείθησαν δὲ τῷ ὑμετέρῳ ἐλέει. ἵνα καὶ "αὐτοὶ ἐλεηθῶσι." καὶ πάντα ὅσα τοιαῦτα, κατὰ τὸν αἰτιατικὸν ἐκδέδοται τρόπον. οὐκ ἔχοντα τὸν νοῦν αἰτιατικόν.

Διοδώρου. Καὶ ὥσπερ ἐπὶ τοῦ, "παρέδωκεν αὐτοὺς ὁ Θεὸς "εἰς πάθη ἀτιμίας." καὶ ἐπὶ τοῦ, "ἐτύφλωσεν ὁ Θεὸς τὰ νοή"ματα τῶν ἀπίστων," οὐχ ὡς τοῦ Θεοῦ κακοποιοῦντος δεχόμεθα τὸν λόγον, ἀλλ' ὡς συγχωροῦντος τοῖς ἀνθρώποις πράττειν ἃ βούλονται, διὰ τὸ αὐτεξούσιον· οὕτω καὶ νῦν τὸ, "συνέκλεισε" νοητέον, ὅτι τοὺς βουληθέντας ἀπειθεῖν, εἴασεν ἀπειθεῖν. καὶ συγχωρῶν διόλου τῷ ἀνθρώπῳ τὸ ἐφ' ἑαυτοῦ ἔχειν, πράττειν ὃ βούλεται. συνεχώρησε δὲ ἀπειθεῖν, οὐχ ἵνα κατακρίνῃ παραμείναντας τοῖς ἁμαρτήμασιν. οὐ γὰρ τοῦτο βούλεται· ἀλλ' ἵνα τῷ χρόνῳ αἰσθομένους ὧν ἁμαρτάνουσι, καὶ μεταγνόντας, ἐλεήσῃ. ἢ καὶ τὸ, "συνέκλεισεν εἰς ἀπείθειαν," ἀντὶ τοῦ, διήλεγξεν ἀπειθοῦντας ἐστί. καὶ οἷον ἀπέκλεισεν αὐτοῖς πᾶσαν ἀπολογίαν. ἵνα αἴσθωνται ὅτι οὐκ ἐξ ἔργων λοιπὸν, ἀλλ' ἐκ φιλανθρωπίας Θεοῦ καὶ ἐλέους σώζονται.

Χρυσοστόμου. Προτρέπει δὲ τοὺς Ἰουδαίους διὰ τούτων, ἐπὶ τὴν εἰς Χριστὸν πίστιν. καὶ ἅμα καὶ χρηστὰς αὐτοῖς ὑποτείνει ἐλπίδας, καὶ πᾶσαν αἰσχύνην ἀναιρεῖ. μὴ αἰσχυνθῇς φησὶ, κἂν ἠπείθησας προσελθεῖν· μὴ δ' ἀπελπίσῃς, ὡς βραδύτερον προσερχόμενος. τεύξῃ προσιὼν καὶ ὀψὲ τοῦ ἐλέους. καὶ γὰρ τὰ ἔθνη κληθέντα ἠπείθησαν πρότερον, ἀλλὰ νῦν ἐπίστευσεν. ἢ οὖν προτροπῆς καὶ παραινέσεως τόπον ἐπέχει τὰ εἰρημένα, ἢ καὶ προφητείας, πιστούμενα τὸ μέλλον ἀπὸ τῆς τῶν ἐκβεβηκότων παραθέσεως καὶ μαρτυρίας. τὸ δὲ, "ἠλεήθητε τῇ τούτων ἀπειθείᾳ," καὶ "ἠπείθησαν τῷ ὑμετέρῳ ἐλέει," φησὶ, οὐχ ὅτι ἡ ἀπείθεια τῶν Ἰουδαίων αἰτία γέγονε τοῦ ἐλεηθῆναι τὰ ἔθνη, οὐδ' ὅτι τὸ ἔλεος

τῶν ἐθνῶν αἴτιον γέγονε τῆς τῶν Ἰουδαίων ἀπειθείας. ἀλλὰ ταῦτα φησὶ, δεικνὺς καὶ διδάσκων ὅτι ὁ Θεὸς οὐδέποτε διέλιπε τὸ αὐτοῦ ποιῶν, καὶ τὸ ἔλεος αὐτοῦ πηγάζων. κἂν πάλαι μὲν γὰρ ἠπείθησαν τὰ ἔθνη, νῦν δὲ ἀπειθοῦσιν Ἰουδαῖοι, αὐτὸς ὅμως εὐεργετῶν καὶ ἐλεῶν, οὐ διαλιμπάνει. καὶ δῆλον, ἐκ τοῦ, καὶ τότε ἐλεεῖσθαι τοὺς Ἰουδαίους, ἀπειθούντων τῶν ἐθνῶν· καὶ νῦν ἐλεεῖσθαι τὰ ἔθνη, τῶν Ἰουδαίων ἀπειθούντων. καὶ τὸ ἔτι σαφέστερον ὅτι τοὺς Ἰουδαίους κἂν ἠπείθησαν, ἐλεήσει ἔτι. ἅμα δὲ καὶ ἔνδειξις ἐστὶ πρὸς τοὺς Ἰουδαίους, ὅτι κἂν αὐτοί, φησι, ἐξέστητε τῆς πίστεως, μὴ νομίσητε ὅτι ἔλαττόν τι ἔσχεν ἡ πίστις. ὥσπερ γὰρ πάλαι τῶν ἐθνῶν ἐξεστηκότων, οὐδὲν ἔλαττον ἔσχε τὰ τῆς εἰς Θεὸν θεραπείας· οὕτω καὶ νῦν ὑμῶν ἀποσχιζομένων τῆς πίστεως, οὐδὲν ἔλαττον τὰ τῆς πίστεως ἕξει. ἐσχημάτισε δὲ πρὸς τοὺς ἐξ ἐθνῶν τὰ εἰρημένα· ἀνεπαχθέστερον τὸν πρὸς τοὺς Ἰουδαίους ἔλεγχον βουλόμενος ποιῆσαι. δυνατὸν δὲ καὶ πρὸς τοὺς ἐξ ἐθνῶν ἐκλαβεῖν εἰρῆσθαι ταῦτα, ὥστε μὴ μέγα φρονεῖν ὅτι ἐπίστευσαν. ἐλέει γὰρ ὑμεῖς τε πεπιστεύκατε· καὶ οἱ ἀπειθήσαντες, φησὶν, ἐλεηθήσονται καὶ πιστεύσουσιν.

33 Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ·
ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι
34 αἱ ὁδοὶ αὐτοῦ. τίς γὰρ ἔγνω νοῦν Κυρίου; ἢ τίς σύμ-
35 βουλος αὐτοῦ ἐγένετο; ἢ τίς προέδωκεν αὐτῷ, καὶ
36 ἀνταποδοθήσεται αὐτῷ; ὅτι ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ
εἰς αὐτὸν τὰ πάντα. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας.
ἀμήν.

Χρυσοστόμου. Ἐνταῦθα ἐπὶ τοὺς προτέρους χρόνους ἐπανελθὼν, καὶ τὴν ἄνωθεν τοῦ Θεοῦ καταμαθὼν οἰκονομίαν, τὴν ἐξ οὗπερ ὁ κόσμος ἐγένετο μέχρι τοῦ παρόντος· καὶ λογισάμενος πῶς ποικίλως ἅπαντα ᾠκονόμησεν, ἐξεπλάγη καὶ ἀνεβόησε· πιστούμενος τοῖς ἀκούουσιν, ἅπερ εἶπεν ὅτι πάντως ἔσται. οὐ γὰρ ἂν ἐβόησε καὶ ἐξεπλάγη, εἰ μὴ πάντως ἔμελλεν ἔσεσθαι τοῦτο. καὶ ὅτι μὲν βάθος ἐστὶν, οἶδε. πόσον δὲ, οὐκ οἶδε. θαυμάζοντος γάρ ἐστιν ἡ ῥῆσις· οὐκ εἰδότος τὸ πᾶν. θαυμάσας δὲ καὶ ἐκπλαγεὶς τὴν χρηστότητα κατὰ τὸ ἐγχωροῦν αὐτῷ, διὰ δύο τῶν ἐπιτατικῶν

ὀνομάτων αὐτὴν ἐνεκήρυξε, τοῦ πλούτου καὶ τοῦ βάθους· καὶ ἐξεπλάγη, ὅτι καὶ ἠθέλησε καὶ ἴσχυσε ταῦτα. καὶ διὰ τῶν ἐναντίων τὰ ἐναντία κατεσκεύασεν, "ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ." οὐ γὰρ μόνον καταλειφθῆναι αὐτὰ ἀδύνατον, ἀλλ' οὐδὲ ἐρευνηθῆναι. "καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ." τουτέστιν, αἱ οἰκονομίαι. καὶ γὰρ αὗται οὐ μόνον γνωσθῆναι, ἀλλ' οὐδὲ ζητηθῆναι δύνανται. οὐδὲ γὰρ ἐγώ, φησιν, ἔγνων ἅπαντα, ἀλλὰ μέρος μικρὸν, οὐ τὸ πᾶν. μόνος γὰρ αὐτὸς οἶδε τὰ αὐτοῦ σαφῶς. διὸ καὶ ἐπήγαγε, "τίς γὰρ ἔγνω νοῦν Κυρίου; ἢ τίς σύμβουλος "αὐτοῦ ἐγένετο; ἢ τίς προέδωκεν αὐτῷ, καὶ ἀνταποδοθήσεται "αὐτῷ;" ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. ὅτι οὕτω σοφὸς ὢν, οὐδὲ παρ' ἑτέρου σοφός ἐστιν, ἀλλ' αὐτός ἐστιν ἡ πηγὴ τῶν ἀγαθῶν. καὶ τοσαῦτα ἐργασάμενος καὶ χαρισάμενος ἡμῖν, οὐ παρ' ἑτέρου δανεισάμενος, ταῦτα ἔδωκεν, ἀλλ' οἴκοθεν ἀναβλύσας. οὐδὲ ἀμοιβὴν ὀφείλων τινὶ, ὡς εἰληφώς τι παρ' αὐτοῦ, ἀλλ' αὐτὸς κατάρχων ἀεὶ τῶν εὐεργεσιῶν. τοῦτο γὰρ μάλιστά ἐστι πλούτου, τὸ καὶ ὑπερχεῖσθαι καὶ μὴ δεῖσθαι ἑτέρου. διὸ καὶ ἐπήγαγεν, "ὅτι ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα." αὐτὸς εὗρεν· αὐτὸς ἐποίησεν· αὐτὸς συγκρατεῖ. καὶ γὰρ καὶ πλούσιός ἐστι, καὶ οὐ δεῖται παρ' ἑτέρου λαβεῖν· καὶ σοφός ἐστι, καὶ οὐ δεῖται συμβούλου. τί λέγω συμβούλου; οὐδὲ εἰδέναι τίς δύναται τὰ αὐτοῦ, ἀλλ' ἢ μόνος αὐτὸς ὁ πλούσιος καὶ σοφός. καὶ γὰρ πολλοῦ πλούτου, τὸ τοὺς ἐξ ἐθνῶν εὐπόρους οὕτω ποιῆσαι· καὶ πολλῆς σοφίας, τὸ τοὺς Ἰουδαίων καταδεεστέρους, Ἰουδαίων κατασκευάσαι διδασκάλους. εἶτα ἐπειδὴ ἐξεπλάγη, καὶ εὐχαριστίαν ἀναφέρει, λέγων, "αὐτῷ ἡ δόξα εἰς αἰῶνας, ἀμήν." ὅταν γάρ τι τοιοῦτον λέγῃ μέγα καὶ ἄπορον, θαυμάζων εἰς δόξαν καταλήγει. τοῦτο καὶ ἐπὶ τοῦ Υἱοῦ ἐποίησε. καὶ γὰρ ἐκεῖ θαυμάσας αὐτὸ δὴ τοῦτο ὅπερ καὶ ἐνταῦθα, ἐπήγαγεν, "ἐξ ὧν ὁ Χριστὸς "τὸ κατὰ σάρκα. ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς "αἰῶνας, ἀμήν."

Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ.

ΘΕΟΔΩΡΗΤΟΥ. Ἄνωθεν γὰρ καὶ ἐξ ἀρχῆς ταῦτα προέγνω. καὶ προγνοὺς, σοφῶς ᾠκονόμησε. καὶ οἰκονομῶν, τῆς φιλανθρωπίας τὸν πλοῦτον ὑπέδειξε. πρὸς τὰ τρία δὲ ταῦτα, τρία τέθεικε. τὸ μὲν

" τίς ἔγνω νοῦν Κυρίου;" πρὸς τὴν γνῶσιν. τὸ δὲ " τίς σύμβου-" λος αὐτοῦ ἐγένετο;" πρὸς τὴν σοφίαν. τὸ δὲ, " τίς προέδωκεν " αὐτῷ;" πρὸς τὸν πλοῦτον. οὕτω γὰρ ἀμέτρητος ὁ τῆς ἀγαθότητος πλοῦτος, ὅτι καὶ τοῖς μὴ οὖσι τὸ εἶναι δέδωκε· καὶ τοῖς γεγονόσι τὸ εὖ εἶναι χαρίζεται. καὶ οὐκ ἀντιδίδωσιν, ἀλλὰ δίδωσι τὰ ἀγαθά. φιλάνθρωπος δὲ ὢν, ἀντίδοσιν τὴν δόσιν καλεῖ. " ὅτι " ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν." αὐτὸς γὰρ τὰ πάντα πεποίηκεν. αὐτὸς τὰ γεγονότα διατελεῖ κυβερνῶν. εἰς αὐτὸν ἀφορᾶν ἅπαντας προσήκει. ὑπὲρ μὲν τῶν ὑπαρξάντων, χάριν ὁμολογοῦντας. αἰτοῦντας δὲ, τὴν ἔπειτα προμήθειαν. αὐτῷ δὲ χρὴ καὶ τὴν προσήκουσαν ἀναπέμπειν δοξολογίαν. ἔδειξε δὲ διὰ τούτων ὁ θεῖος Ἀπόστολος, ὡς οὐκ οἶδε, τῆς ἐξ οὗ προθέσεως καὶ τῆς δι' οὗ, διαφοράν. καὶ τὴν μὲν, ὡς μεῖζον τί σημαίνουσαν, προσήκουσαν τῷ Πατρί· τὴν δὲ, ὡς ἔλαττόν τι διδάσκουσαν, προσήκουσαν τῷ Υἱῷ. ἀμφοτέρας γὰρ, ἐφ' ἑνὸς προσώπου τέθεικεν. ὅπερ εἴτε Πατρὸς εἴποιεν εἶναι οἱ τὰ Ἀρείου φρονοῦντες καὶ Εὐνομίου, εὑρήσουσι τῇ ἐξ οὗ, καὶ τὴν δι' οὗ συζευγνυμένην. εἴτε τῷ Υἱῷ προσαρμόσαιεν, ὄψονται τῇ δι' οὗ, δαὶ τὴν ἐξ οὗ συνημμένην. εἰ δὲ ἡ μὲν ἐξ οὗ, μεῖζον τί σημαίνει, ἡ δὲ δι' οὗ, τὸ ἔλαττον, ἀμφότερα δὲ ἐφ' ἑνὸς κεῖται προσώπου, αὐτὸς ἄρα ἑαυτοῦ μείζων μὲν διὰ τὴν ἐξ οὗ, ἐλάττων δὲ διὰ τὴν δι' οὗ, εἰκότως ἂν νοηθείη.

Βασιλείου ἐκ τῶν ἀντιρρητικῶν. Ὅτι δὲ τὸ ἐξ οὗ καὶ τὸ δι' οὗ ἀλλήλοις οὐκ ἀντιτάσσονται, οὐδ' ὥσπερ ἐν πολέμῳ πρὸς ἀντίπαλον τάξιν ἀποκριθέντα συνεκπολεμοῦσι τὰς φύσεις, αἷς προσεχώρησαν, ἐκεῖθεν δῆλον. συνήγαγεν ἀμφότερα ἐπὶ ἑνὸς καὶ τοῦ αὐτοῦ ὑποκειμένου ὁ μακάριος Παῦλος, εἰπὼν, " ἐξ αὐτοῦ, καὶ δι' " αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα." τοῦτο δὲ προδήλως εἰς τὸν Κύριον φέρειν πᾶς τις ἂν εἴποι, ὁ καὶ μικρὸν τῷ βουλήματι τῆς λέξεως ἐπιστήσας. προτάξας γὰρ ὁ Ἀπόστολος ἐκ τῆς προφητείας τοῦ Ἡσαΐου, ὅτι " τίς ἔγνω νοῦν Κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ " ἐγένετο;" ἐπήγαγε τὸ " ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν " τὰ πάντα." ἅπερ ὅτι περὶ Θεοῦ Λόγου, τοῦ δημιουργοῦ πάσης τῆς κτίσεως εἴρηται τῷ προφήτῃ, ἐκ τῶν κατόπιν ἂν μάθοις. " τίς " ἐμέτρησε τῇ χειρὶ τὸ ὕδωρ καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν

"τὴν γῆν δρακί; τίς ἔστησε τὰς νάπας ζυγῷ, καὶ τὰ ὄρη σταθμῷ; "τίς ἔγνω νοῦν Κυρίου, καὶ τίς σύμβουλος αὐτοῦ ἐγένετο;" τὸ γὰρ "τίς" ἐνταῦθα, οὐ τὸ ἄπορον παντελῶς, ἀλλὰ τὸ σπάνιον δηλοῖ. ὡς ἐπὶ τοῦ, "τίς ἀναστήσεταί μοι ἐπὶ πονηρευομένους;" καὶ, "τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωήν;" καὶ, "τίς ἀναβήσεται εἰς "τὸ ὄρος Κυρίου;" οὕτω δὴ καὶ ἐνταῦθα ἐστὶ, τίς ὁ εἰδὼς τὸν νοῦν τοῦ Κυρίου, καὶ τῆς βουλῆς αὐτοῦ κοινωνός. "ὁ γὰρ Πατὴρ "ἀγαπᾷ τὸν Υἱὸν, καὶ πάντα δείκνυσιν αὐτῷ." οὗτός ἐστιν ὁ συνέχων τὴν γῆν καὶ περιδεδραγμένος αὐτῆς· ὁ εἰς τάξιν πάντα καὶ διακόσμησιν ἀγαγών· καὶ ὄρεσιν ἰσορροπίαν, καὶ ὕδασι μέτρα, καὶ πᾶσι τοῖς ἐν τῷ κόσμῳ τὴν οἰκείαν τάξιν ἀποκληρώσας. ὁ τὸν οὐρανὸν ὅλον μικρῷ μέρει τῆς ὅλης αὐτοῦ δυνάμεως περιέχων· ἣν σπιθαμὴν τροπικῶς ὁ προφήτου λόγος ὠνόμασεν. ὅθεν οἰκείως ἐπήγαγεν ὁ Ἀπόστολος τὸ "ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα." ἐξ αὐτοῦ γὰρ τοῖς οὖσιν ἡ αἰτία τοῦ εἶναι, κατὰ τὸ θέλημα τοῦ Θεοῦ καὶ Πατρός. δι' αὐτοῦ τοῖς πᾶσιν ἡ διαμονὴ καὶ ἡ σύστασις, τοῦ κτίσαντος τὰ πάντα, καὶ τὰ πρὸς σωτηρίαν ἑκάστῳ τῶν γινομένων ἐπιμετροῦντος. διὸ δὴ καὶ εἰς αὐτὸν ἐπέστραπται ἅπαντα· ἀσχέτῳ τινὶ πόθῳ καὶ ἀρρήτῳ στοργῇ πρὸς τὸν ἀρχηγὸν τῆς ζωῆς καὶ χορηγὸν ἀποβλέποντα, κατὰ τὸ γεγραμμένον, "οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσιν.

Εἰ δὲ πρὸς ταύτην ἡμῶν τὴν ἐκδοχὴν ἐνίστανται οἱ τὰ Ἀρείου φρονοῦντες, τίς αὐτοὺς ἐξαιρήσεται λόγος τοῦ μὴ οὐχὶ φανερῶς ἑαυτοῖς περιπίπτειν; εἰ γὰρ μὴ ἐπὶ τοῦ Κυρίου δώσουσι τὰς τρεῖς εἰρῆσθαι φωνὰς, τὴν "ἐξ αὐτοῦ" καὶ "δι' αὐτοῦ καὶ εἰς αὐτὸν," ἀνάγκη πᾶσα προσοικειοῦν τῷ Θεῷ καὶ Πατρί. ἐκ δὲ τούτου, προδήλως αὐτοῖς διαπεσεῖται τὸ παρατήρημα. εὑρίσκεται γὰρ οὐ μόνον τὸ ἐξ οὗ, ἀλλὰ καὶ τὸ δι' οὗ, τῷ Πατρὶ προσαγόμενον. ὅπερ εἰ μὲν οὐδὲν ταπεινὸν ἐμφαίνει, τί δήποτε ὡς ὑποδεέστερον ἀφορίζουσι τῷ Θεῷ καὶ Υἱῷ; εἰ δὲ πάντως ἐστὶ διακονίας δηλωτικὸν, ἀποκρινέσθωσαν ἡμῖν, ὁ Θεὸς τῆς δόξης καὶ Πατὴρ τοῦ Κυρίου, τίνος ἐστὶν ἄρχοντος ὑπηρέτης; ἐκεῖνοι μὲν οὖν οὕτως ὑφ' ἑαυτῶν περιτρέπονται· ἡμῖν δὲ ἑκατέρωθεν τὸ ἰσχυρὸν φυλαχθήσεται. ἐάν τε γὰρ νικήσῃ περὶ τοῦ Υἱοῦ εἶναι τὸν λόγον, εὑρεθήσεται τὸ ἐξ οὗ, τῷ Υἱῷ προσαρμόζον. ἐὰν δέ τις φιλονεικῇ ἐπὶ τὸν Θεὸν ἀνα-

φέρειν τοῦ προφήτου τὴν λέξιν, πάλιν τὴν δι' οὗ φωνὴν, τῷ Θεῷ πρέπειν δώσει. καὶ τὴν ἴσην ἕξει ἀξίαν ἑκάτερα τῷ κατὰ τὸν ἶσον λόγον ἐπὶ Θεοῦ παρειλῆφθαι. καὶ οὕτω κἀκείνως ὁμότιμοι ἀλλήλοις ἀναφανήσονται, ἐφ' ἑνὸς προσώπου καὶ τοῦ αὐτοῦ τεταγμένα.

Γρηγορίου τοῦ θεολόγου ἐκ. * * Κἂν τοίνυν λέγωμεν, εἷς Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα· καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα· καὶ ἓν Πνεῦμα Ἅγιον, ἐν ᾧ τὰ πάντα· τὸ ἐξ οὗ καὶ δι' οὗ καὶ ἐν ᾧ, οὐ φύσεις τέμνουσιν. οὐδὲ γὰρ ἂν μετέπιπτον αἱ προθέσεις ἢ αἱ τάξεις τῶν ὀνομάτων, ἀλλὰ χαρακτηριζόντων μιᾶς καὶ ἀσυγχύτου φύσεως ἰδιότητας. καὶ τοῦτο δῆλον ἐξ ὧν συνάγονται πάλιν, εἴ τῷ μὴ παρέργως ἐκεῖνο ἀναγινώσκεται παρὰ τῷ αὐτῷ Ἀποστόλῳ, τὸ "ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα. "αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν."

1 Παρακαλῶ οὖν ὑμᾶς, ἀδελφοὶ, διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν ταύτην λατρείαν ὑμῶν.

Γενναδίου. Ἄχρι τούτου τὸν περὶ δόγματος διὰ τῶν προαποδεδομένων συμπεράνας λόγον, ἐντεῦθεν λοιπὸν καθαρῶς ἐπὶ τὴν ἠθικὴν διδασκαλίαν μεθίσταται. τοῦτο δὲ διὰ πασῶν αὐτοῦ ποιεῖ τῶν Ἐπιστολῶν. καὶ μάλα εἰκότως. δεῖ γὰρ ὡς οἶμαι τὸν ὡς ἄριστα βιώσεσθαι μέλλοντα, γνῶναί τε καὶ πιστεῦσαι τῷ Θεῷ πρῶτον, ὅτι ἔστιν. εἶθ' ὅτι καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν δι' ἀγαθῆς πολιτείας, μισθαποδότης γίνεται. χωρῶν δὲ ἐπὶ τὴν συμβουλὴν ἐκ τῶν προειρημένων αὐτῷ, καὶ ἐν οἷς ἀπεπαύσατο τῶν δογματικῶν, ἐκ τούτων τὴν ἀρχὴν αὐτῆς ἐποιήσατο.

Θεοδωρήτου. Ὅπερ γάρ ἐστιν ὀφθαλμὸς ἐν σώματι, τοῦτο τῇ ψυχῇ πίστις καὶ τῶν θείων ἡ γνῶσις. δεῖται δὲ ὅμως αὕτη τῆς πρακτικῆς ἀρετῆς, καθάπερ ὁ ὀφθαλμὸς, χειρῶν καὶ ποδῶν καὶ τῶν ἄλλων μορίων τοῦ σώματος. τούτου δὴ χάριν τοῖς δογματικοῖς ὁ θεῖος Ἀπόστολος λόγοις, καὶ τὴν ἠθικὴν διδασκαλίαν προστέθεικε. τὴν τελεωτάτην κατασκευάζων ἐν ἡμῖν ἀρετήν. διὰ γὰρ δὴ Ῥωμαίων, πᾶσιν ἀνθρώποις τὴν ὠφελείαν προσήνεγκε. καὶ νόμους τιθεὶς, κρύπτει τὴν ἐξουσίαν, καὶ μεθ' ἱκετηρίας τὴν διδασκαλίαν

προφέρει. καὶ τῆς θείας φιλανθρωπίας ἀναμιμνήσκει, περὶ ἧς ἐν τοῖς ἔμπροσθεν μακροὺς ἀπέτεινε λόγους.

Χρυσοστόμου. Δείξας οὖν τοῦ Θεοῦ τὴν ἄφατον ἀγαθότητα, καὶ οὐδὲ ἐρευνηθῆναι δυναμένην, λοιπὸν ταύτην προβάλλεται εἰς τὸ πεῖσαι τοὺς εὐεργετηθέντας, ἀξίαν τῆς δωρεᾶς ἐπιδείξασθαι τὴν πολιτείαν. καὶ τοσοῦτος ὢν καὶ τηλικοῦτος, οὐ παραιτεῖται παρακαλεῖν. καὶ ταῦτα, οὐχ ὑπὲρ ὧν ἔμελλεν αὐτὸς ἀπολαύειν, ἀλλ' ὑπὲρ ὧν ἐκεῖνοι κερδαίνειν εἶχον. καὶ τί θαυμάζεις, εἰ αὐτὸς οὐ παραιτεῖται παρακαλεῖν, ὅπου γε, καὶ τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ προβάλλεται; ἐπειδὴ γὰρ τὰ μυρία ἐντεῦθεν ὑμῖν, φησὶ, ἀγαθὰ, ἀπὸ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ αὐτοὺς παρακαλοῦντας αἰδέσθητε· αὐτοὺς δυσωπήθητε. καὶ γὰρ αὐτοὶ τὴν ἱκετηρίαν τιθέασιν, ἵνα μηδὲν ἀνάξιον αὐτῶν ἐπιδείξησθε. δι' αὐτῶν οὖν τούτων, φησὶν, παρακαλῶ, δι' ὧν ἐσώθητε. ὥσπερ ἂν εἴτις τὸν μεγάλα εὐεργετηθέντα ἐντρέψαι βουλόμενος, αὐτὸν τὸν εὐεργετήσαντα, ἱκέτην ἀγάγοι. καὶ τί παρακαλεῖς, εἰπέ μοι; "παραστῆσαι τὰ σώματα "ὑμῶν, θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λα-"τρείαν ὑμῶν." ἐπειδὴ γὰρ εἶπε θυσίαν, ἵνα μή τις νομίσῃ, ὅτι κατασφάξαι κελεύει τὰ σώματα, ταχέως ἐπήγαγε "ζῶσαν." εἶτα διαιρῶν αὐτὴν ἀπὸ τῆς Ἰουδαϊκῆς, φησὶν, "ἁγίαν, εὐάρεστον "τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν." ἐκείνη γὰρ σωματικὴ, καὶ οὐ σφόδρα εὐάρεστος. "τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν "χειρῶν ὑμῶν;" καὶ πολλαχοῦ ἀλλαχοῦ φησὶν, τοιαῦτα· διακρουόμενος αὐτὰς, ἀλλ' οὐχὶ ταύτην. ἀλλὰ καὶ ἐκείνης διδομένης, ταύτην ἐζήτει. διὸ καὶ ἔλεγε, "θυσία αἰνέσεως δοξάσει με." καὶ πάλιν, "αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου, μετ' ᾠδῆς." καὶ "ἀρέσει "τῷ Θεῷ ὑπὲρ μόσχον νέον, κέρατα ἐκφέροντα καὶ ὁπλάς." καὶ ἀλλαχοῦ ἐκβάλλων αὐτὴν καὶ λέγων, "μὴ, φάγωμαι κρέα ταύ-"ρων, ἢ αἷμα ταύρων πίωμαι;" ἐπήγαγε, "θῦσον τῷ Θεῷ θυ-"σίαν αἰνέσεως, καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου." οὕτω καὶ Παῦλος κελεύει ἐνταῦθα "παραστῆσαι τῷ Θεῷ θυσίαν ζῶσαν, "τὰ σώματα."

Καὶ πῶς ἂν γένοιτο φησὶν θυσία τὸ σῶμα; μηδὲν ὁ ὀφθαλμὸς βλεπέτω πονηρόν· καὶ γέγονε θυσία. μηδὲν ἡ γλῶττα λαλείτω αἰσχρόν· καὶ γέγονε προσφορά. μηδὲν ἡ χεὶρ πραττέτω παράνο-

μον· καὶ γέγονεν ὁλοκαύτωμα. μᾶλλον δὲ οὐκ ἀρκεῖ ταῦτα, ἀλλὰ καὶ τῆς τῶν ἀγαθῶν ἡμῖν ἐργασίας δεῖ. ἵνα ἡ μὲν χεὶρ, ἐλεημοσύνην ποιῇ· τὸ δὲ στόμα, εὐλογῇ τοὺς ἐπηρεάζοντας. ἡ δὲ ἀκοὴ, θείαις σχολάζῃ διηνεκῶς ἀκροάσεσιν. ἡ γὰρ θυσία οὐδὲν ἔχει ἀκάθαρτον. ἡ θυσία, ἀπαρχὴ τῶν ἄλλων ἐστί. καὶ ἡμεῖς τοίνυν, καὶ χειρῶν καὶ ποδῶν καὶ στόματος καὶ τῶν ἄλλων ἀπαρχώμεθα τῷ Θεῷ. ἡ τοιαύτη θυσία, εὐάρεστος· ὡς ἥ γε τῶν Ἰουδαίων, ἀκάθαρτος. "αἱ θυσίαι γὰρ αὐτῶν," φησὶ, "ἄρτος πένθους αὐτοῖς." ἐκείνη τὸ τεθυμένον, νεκρὸν ἀπέφαινεν. αὕτη τὸ τεθυμένον ζῶν ἐργάζεται. ὅταν γὰρ νεκρώσωμεν ἡμῶν τὰ μέλη, τότε δυνησόμεθα ζῆν. σκόπει δὲ πῶς καὶ ἑκάστῃ λέξει μετὰ πολλῆς κέχρηται τῆς ἀκριβείας. οὐ γὰρ εἶπε ποιήσατε τὰ σώματα ὑμῶν θυσίαν, ἀλλὰ "παραστήσατε." ὡς ἂν εἰ ἔλεγε, μηδὲν κοινὸν ἔχετε λοιπὸν πρὸς αὐτά. ἑτέρῳ αὐτὰ ἐξεδώκατε. καὶ γὰρ οἱ τοὺς ἵππους τοὺς πολεμιστηρίους παριστῶντες, οὐδὲν κοινὸν λοιπὸν πρὸς αὐτοὺς ἔχουσι. καὶ σὺ τοίνυν παρέστησας τῷ πολέμῳ τῷ κατὰ τοῦ διαβόλου, τὰ μέλη. μὴ κάθελκε αὐτὰ πρὸς ἰδιωτικὰς διακονίας. καὶ ἕτερον δὲ ἐκ τούτου δείκνυσιν· ὅτι καὶ δόκιμα αὐτὰ δεῖ ποιεῖν, εἴ γε παριστᾶν μέλλομεν. οὐ γάρ τινι τῶν ἐπιγείων ἀνθρώπων, ἀλλ' αὐτῷ παριστῶμεν αὐτὰ τῷ βασιλεῖ τῶν ὅλων Θεῷ. οὐχ ἵνα πολεμῇ μόνον, ἀλλ' ἵνα καὶ αὐτὸν ἐπικαθήμενον ἔχῃ τὸν βασιλέα. ἐπεὶ οὖν καὶ παρίστασθαι μέλλει, καὶ θυσία ἐστὶ, πάντα μῶμον περίελε. ὡς ἐὰν ἔχῃ μῶμον, οὐκέτ' ἂν εἴη θυσία.

ΘΕΟΔΩΡΟΥ ΜΟΝΑΧΟΥ. *Θαυμασιώτατα δὲ τὴν συμβουλὴν διὰ πάντων παρέτεινεν. οὐ τῷ παραστῆσαι μόνον εἰπεῖν, ἀλλὰ καὶ τῷ θυσίαν αὐτὸ ὀνομάσαι. ἔδειξε γὰρ ὡς οὐδενὶ προσῆκεν εἰς τὸ ἐναντίον καταχρήσασθαι τῇ τοῦ σώματος ὑπηρεσίᾳ. ἐπείπερ οὐδὲ τὰς προσαγομένας τῷ Θεῷ κατὰ νόμον θυσίας τῶν ἀλόγων, τῇ κοινῇ χρήσει τῶν ἀνθρώπων παραδίδοσθαι θεμιτὸν ἦν ἔτι. εἶτα μὴ ἀρκεσθεὶς τούτῳ, καὶ ἕτερον ἐπάγει, "κατὰ τὴν λογικὴν λατρείαν ὑμῶν," φησι· τουτέστι, κατὰ τοὺς ἐκείνης νόμους. τοῦτο γάρ ἐστιν ἁγίαν καὶ ζῶσαν καὶ εὐάρεστον θυσίαν τὰ σώματα ὑμῶν παραστῆσαι, τὸ μηδὲν ἔξω τῶν κατὰ τὴν λατρείαν ἡμῖν νομοθετηθέντων, πολιτεύεσθαι. δεῖ γὰρ ἄμφω, τὴν πίστιν, τῷ βίῳ, καὶ τὸν βίον συνομολογεῖν τῇ πίστει.*

Βασιλείου ἐκ τῶν ἀσκητικῶν. Λατρεία δέ ἐστιν, ὡς λογίζομαι, ἡ συντεταμένη καὶ διηνεκὴς καὶ ἀμετεώριστος περὶ τὸν λατρευόμενον ἀγάπη. τὴν μέντοι διαφορὰν τῆς λογικῆς λατρείας καὶ τῆς ἀλόγου παρίστησιν ἡμῖν ὁ Ἀπόστολος εἰπὼν, ποτὲ μὲν, "οἴδατε ὅτι ὅτε ἔθνη ἦτε πρὸς τὰ εἴδωλα τὰ ἄφωνα, ὡς ἂν "ἤγεσθε ἀπαγόμενοι." ποτὲ δὲ, "παραστήσατε τὰ σώματα "ὑμῶν, θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λα-"τρείαν ὑμῶν." ὁ μὲν γὰρ, ὡς ἂν ἄγηται ἀπαγόμενος, ἄλογον λατρεύει λατρείαν. ἅτε δὴ μὴ ὑπὸ τοῦ λόγου καθηγουμένου ἰδίᾳ ὁρμῇ καὶ προθέσει κινούμενος. τῇ δὲ τοῦ ἄγοντος ἐξουσίᾳ πρὸς ὅπερ ἂν ἄγηται, ὡς οὐ θέλει φερόμενος. ὁ δὲ μετὰ λόγου ὑγιοῦς, καὶ βουλῆς ἀγαθῆς, σὺν πολλῇ φροντίδι τὸ ἀρέσκον τῷ Θεῷ πάντοτε καὶ πανταχοῦ σκοπούμενος καὶ κατορθῶν, οὗτος πληροῖ τὴν ἐντολὴν τῆς λογικῆς λατρείας, κατὰ τὸν εἰπόντα, "λύχνος τοῖς "ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου." καὶ πάλιν, "καὶ αἱ συμβουλαί μου τὰ δικαιώματά σου."

Ἰσιδώρου. Ἐκείνους οὖν ὁ Παῦλος ὁρίζεται ἱερέας, τοὺς μὴ θύμασι τὴν εὐσέβειαν, ἀλλὰ γυμνῇ πληροῦντας τῇ ψυχῇ· καὶ μόνους καθαρῶς ἐκ τῶν σωμάτων οἴκοθεν σπένδοντας. θῦμα γὰρ κάλλιστον, τὸ τὴν γνώμην ἔχειν εὐαγῆ, καὶ τὴν σάρκα ἁγνήν· διὸ καὶ τὸ, "παραστήσατε τὰ μέλη ὑμῶν θυσίαν εὐάρεστον τῷ Θεῷ, "τὴν λογικὴν λατρείαν ὑμῶν," ἔφησεν. οὐ γὰρ ἱερεῦσι γράφων ἐπέστειλε ταῦτα, ἀλλ' ὁλοκλήρῳ ἐκκλησίᾳ. ἕκαστον γὰρ ἑαυτοῦ ἐν τούτῳ τῷ μέρει ἱερέα εἶναι προσέταξεν. εἰ δὲ τοὺς ὑπηκόους ἡ ἁγνεία ἱερέας χειροτονεῖ, ἡ λαγνεία δηλονότι τοὺς ἱερέας ἀποχειροτονεῖ· καὶ τοῦτο μὲν οἱ θεσμοὶ διαγορεύουσι. γίνεται δὲ τοῦτο οὐ πάνυ. δι' ἃς δὲ αἰτίας, οὐκ ἐμὸν λέγειν. οἱ δὲ τὴν θείαν ἱερωσύνην ἐστεμμένοι, καὶ τῆς προεδρίας ἀξίως τετυχηκότες, εἰ καὶ τὴν τοῦ σώματος ἁγνείαν φυλάξαιεν, ὄντως ἱερῶν εἰσὶν ἱερώτεροι. ὥσπερ γὰρ ἐπὶ τῆς παλαιᾶς διαθήκης ἱερᾶσθαι οὐκ ἐξῆν, εἰ μὴ τοῖς ἱερεῦσι μόνοις· ἐν δὲ τῷ καιρῷ τοῦ Πάσχα, πάντες τρόπον τινὰ ἱερωσύνῃ ἐτιμῶντο· ἕκαστος γὰρ τὸ πρόβατον ἔθυεν. οὕτω καὶ ἐπὶ τῆς καινῆς καὶ ἀδιαδόχου, ἔχουσι μὲν κατ' ἐξαίρετον τὴν ἱερουργίαν τῆς ἀναιμάκτου θυσίας, οἷς ἔξεστι ταύτην προσάγειν· ἕκαστος δὲ τοῦ ἰδίου σώματος ἱερεὺς κεχειροτόνηται· οὐχ ἵνα χει-

ροτόνητος ἐπιτηδοίη τῇ τῶν ἱερέων ἀρχῇ. ἀλλ' ἵνα τῆς κακίας ἄρξας, τὸ σῶμα τέμενος ἱερὸν τῆς ἁγνείας κατασκευάσῃ.

2 Καὶ μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν, εἰς τὸ δοκιμάζειν ὑμᾶς, τί τὸ θέλημα τοῦ Θεοῦ, τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον.

Χρυσοστόμου. Ἐπάρας διὰ τῶν ὀνομάτων τὸν ἀκροατὴν, καὶ ἕκαστον ἱερέα τῆς ἑαυτοῦ σαρκὸς διὰ τῆς πολιτείας ἀποφήνας, λέγει καὶ τὸν τρόπον δι' οὗ δυνατὸν ταῦτα κατορθοῦν. τίς οὖν ὁ τρόπος; "μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορ- "φοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν." καὶ γὰρ χαμαίζηλον τὸ σχῆμα τοῦ αἰῶνος τούτου, καὶ εὐτελὲς καὶ πρόσκαιρον, καὶ οὐδὲν ἔχον ὑψηλὸν, οὐδὲ διηνεκὲς, καὶ εὐθεές· ἀλλὰ πάντα διεστραμμένα. εἰ τοίνυν ὀρθὰ βούλει βαδίζειν, μὴ τυπώσῃς σεαυτὸν κατὰ τὸ σχῆμα τοῦ παρόντος βίου. οὐδὲν γὰρ τῶν ἐν αὐτῷ μένον καὶ βέβαιον ἐστί. διὸ καὶ σχῆμα ἐκάλεσεν αὐτό. καὶ ἀλλαχοῦ πάλιν, "παράγει τὸ σχῆμα τούτου." οὐδὲν γὰρ διαρκὲς οὐδὲ πεπηγὸς ἔχει, ἀλλὰ πάντα πρόσκαιρα. διὸ καὶ τῷ "αἰῶνι τούτῳ" εἶπε. διὰ τούτου μὲν, τὸ ἐπίκηρον δηλῶν· διὰ δὲ τοῦ σχήματος, τὸ ἀνυπόστατον. κἂν γὰρ πλοῦτον εἴπῃς, κἂν ἄλλό τι τῶν δοκούντων εἶναι μεγάλων, σχῆμα μόνον ἐστὶν, οὐ πράγματος ἀλήθεια. ἀλλὰ σὺ μὴ συσχηματίζου τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦ, φησὶν, τῇ ἀνακαινώσει τοῦ νοός. οὐκ εἶπε μετασχηματίζου τῷ νοῒ, ἀλλὰ μεταμορφοῦ. δεικνὺς ὅτι τὰ μὲν τοῦ κόσμου, σχῆμα, τὰ δὲ, τῆς ἀρετῆς, οὐ σχῆμα ἀλλὰ μορφή τις ἀληθείας, φυσικὸν ἔχουσα κάλλος, οὐ δεόμενον τῶν ἔξωθεν ἐπιτριμμάτων τὲ καὶ σχημάτων, τῶν ὁμοῦ τὲ φαινομένων καὶ ἀπολλυμένων. ἂν τοίνυν τὸ σχῆμα ῥίψῃς, ταχέως ἐπὶ τὴν μορφὴν ἥξεις. οὐδὲν γὰρ τῆς κακίας ἀσθενέστερον. εἶτα ἐπειδὴ ἀνθρώπους ὄντας, εἰκὸς καθ' ἑκάστην ἁμαρτάνειν ἡμέραν, παραμυθεῖται τὸν ἀκροατὴν λέγων, ὅτι καθεκάστην ἀνακαίνου σαυτόν. ὅπερ ἐπὶ τῶν οἰκιῶν ποιοῦμεν, παλαιουμένας αὐτὰς ἀεὶ διορθοῦντες, τοῦτο καὶ ἐπὶ σαυτοῦ ποίει. ἥμαρτες σήμερον; ἐπαλαίωσάς σου τὴν ψυχήν; μὴ ἀπογνῷς, ἀλλ' ἀνακαί-

νισον αὐτὴν μετανοίᾳ καὶ δάκρυσι καὶ ἐξομολογήσει, καὶ τῇ τῶν ἀγαθῶν ἐργασίᾳ· καὶ μηδέποτε τοῦτο διαλίπῃς ποιῶν.

Καὶ πῶς δυνησόμεθα τοῦτο ποιεῖν φησιν, "εἰς τὸ δοκιμάζειν "ὑμᾶς τί τὸ θέλημα τοῦ Θεοῦ." ἢ τοῦτο φησίν. ἀνανεώθητε, ἵνα μάθητε τὰ συμφέροντα, καὶ τί ποτε τὸ θέλημα τοῦ Θεοῦ. ἢ οὕτω. δύνασθε ἀνανεωθῆναι, ἐὰν μάθητε τὰ συμφέροντα, καὶ τί ποτε βούλεται ὁ Θεός. ἂν γὰρ εἰδῇς τοῦτο, καὶ τῶν πραγμάτων μάθῃς διαγινώσκειν τὰς φύσεις, ἐπελάβου τῆς ὁδοῦ τῆς κατ' ἀρετὴν ἁπάσης. καὶ τίς ἀγνοεῖ τὰ συμφέροντα φησίν. καὶ τί τὸ θέλημα τοῦ Θεοῦ; οἱ πρὸς τὰ παρόντα ἐπτοημένοι πράγματα, οὗτοι καὶ τὰ συμφέροντα αὐτοῖς, καὶ τὰ θελήματα τοῦ Θεοῦ ἀγνοοῦσι. καὶ γὰρ ἀμφότερα ταῦτα ἕν τί ἐστι. τά τε γὰρ συμφέροντα ἡμῖν ὁ Θεὸς βούλεται. καὶ ἃ βούλεται ὁ Θεὸς, ταῦτα καὶ συμφέροντα ἡμῖν εἰσίν. ἅπερ οὖν ὁ Θεὸς βούλεται, τίνα ἐστίν; ἐν πενίᾳ ζῆν, ἐν θλίψει, ἐν ταπεινοφροσύνῃ, ἐν τοῖς ἄλλοις οἷς ἐνομοθέτησεν ἅπασιν. ἀλλ' οἱ πολλοὶ ταῦτα καὶ οἰωνίζονται. τοσοῦτον ἀπέχουσι νομίζειν εἶναι αὐτὰ συμφέροντα καὶ Θεοῦ θελήματα. διὸ χρὴ πρὸ τῶν ἄλλων ἁπάντων, τὴν κρίσιν ἡμῖν εἶναι τῶν πραγμάτων διηρθρωμένην. διάτοι τοῦτο καὶ αὐτὸς κελεύει ἀνανεοῦσθαι εἰς τὸ δοκιμάζειν τί τὸ θέλημα τοῦ Θεοῦ. ἐνταῦθα δέ μοι καὶ Ἰουδαίων καθάπτεσθαι δοκεῖ τῶν ἐχομένων τοῦ νόμου. θέθημα γὰρ ἦν τοῦ Θεοῦ καὶ ἡ παλαιὰ πολιτεία, ἀλλ' οὐ προηγούμενον. ἀλλὰ διὰ τὴν ἐκείνων ἀσθένειαν συγχωρηθέν. τὸ δὲ τέλειον καὶ εὐάρεστον, ἡ καινὴ πολιτεία. καὶ γὰρ λογικὴν ὅτε ἐκάλεσε λατρείαν, πρὸς ἐκείνην ἀντιδιαστέλλων αὐτὴν οὕτως ὠνόμασεν.

Θεοδωρήτου. Ὁμοῦ δὲ καὶ τὸ τῆς ψυχῆς αὐτεξούσιον ἔδειξε· νεουργεῖν αὐτῇ κελεύσας τὸν λογισμὸν, καὶ διακρίνειν ἀπὸ τῶν χειρόνων τὰ κρείττονα.

Βασιλείου ἐκ τῶν ἀσκητικῶν. Πλὴν πολλά ἐστιν ἃ ὁ Θεὸς θέλει. τὰ μὲν, ἐν μακροθυμίᾳ καὶ χρηστότητι, ἅπερ ἀγαθά ἐστι καὶ λέγεται· τὰ δὲ, κατ' ὀργὴν, διὰ τὰς ἁμαρτίας ἡμῶν, ἅπερ κακὰ ὀνομάζεται. "ἐγὼ γάρ εἰμι," φησὶν, "ὁ ποιῶν εἰρήνην "καὶ κτίζων κακά." κακὰ δὲ οὐχ ὑπὲρ ὧν κολαζόμεθα, ἀλλὰ δι' ὧν παιδευόμεθα. τὰ δὲ παιδεύοντα καὶ διὰ τῆς παιδεύσεως εἰς

ἐπιστροφὴν ἄγοντα, γίνεται εἰς ἀγαθόν. ὅσα μὲν οὖν μακροθυμῶν καὶ χρηστευόμενος θέλει ὁ Θεὸς, ταῦτα καὶ ἡμᾶς καὶ θέλειν καὶ μιμεῖσθαι ἀναγκαῖον. "γίνεσθε γάρ φησι, οἰκτίρμονες, καθὼς "καὶ ὁ Πατὴρ ὑμῶν οἰκτίρμων ἐστίν." ἔτι δὲ καὶ ὁ Ἀπόστολος φησὶν, "γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητά. καὶ "περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς." ὅσα δὲ κατ' ὀργὴν διὰ τὰς ἁμαρτίας ἡμῶν ἐπάγει, ταῦτα κακὰ λεγόμενα, ὡς εἶπον τῷ λόγῳ τῆς κακώσεως, οὐ πάντως καὶ ἡμῖν ἔξεστι ποιεῖν. οὐδὲ γὰρ ἐπειδὴ θέλημα Θεοῦ ἐστι, λιμῷ πολλάκις, ἢ λοιμῷ ἢ πολέμῳ, ἢ ἄλλῳ τινὶ τοιούτῳ διαφθαρῆναι ἀνθρώπους, τῷ θελήματι τούτῳ ἐξυπηρετεῖσθαι ἡμᾶς χρή. πρὸς γὰρ τὰ τοιαῦτα καὶ ὑπηρέταις κακοῖς ὁ Θεὸς κέχρηται, κατὰ τὸ εἰρημένον, ὅτι "ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ." θυμὸν καὶ ὀργὴν καὶ θλίψιν, Ἀπόστολος δι' ἀγγέλων πονηρῶν. οὐκοῦν πρῶτον δεῖ ζητεῖν τί τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθόν. εἶτα ὅταν γνωρίσωμεν τὸ ἀγαθὸν, ἐξετάζειν εἰ τὸ ἀγαθὸν τοῦτο, καὶ εὐάρεστον ἐστὶ τῷ Θεῷ. ἔστι γάρ τι, ὃ τῷ μὲν ἰδίῳ λόγῳ, καὶ θέλημα Θεοῦ ἔστι καὶ ἀγαθόν ἐστιν. ὅταν δὲ ἢ παρὰ καιρὸν, ἢ παρὰ πρόσωπον γένηται, οὐκέτι καὶ εὐάρεστον τῷ Θεῷ ἐστιν. οἷον θέλημα Θεοῦ ἦν, καὶ ἀγαθὸν ἦν, τὸ θυμιᾶν Θεῷ, ἀλλ' οὐκ ἦν εὐάρεστον τῷ Θεῷ τοὺς περὶ Δαθὰν καὶ Ἀβειρὼν τοῦτο ποιεῖν. καὶ πάλιν θέλημα Θεοῦ ἐστι καὶ ἀγαθόν ἐστι, τὸ ἐλεημοσύνην ποιεῖν. ἀλλὰ τὸ ἕνεκεν τοῦ δοξασθῆναι ὑπὸ ἀνθρώπων ποιεῖν, οὐκέτι καὶ εὐάρεστον τῷ Θεῷ. θέλημα Θεοῦ καὶ ἀγαθὸν ἦν, τὸ τοὺς μαθητὰς ὃ πρὸς τὸ οὖς ἤκουσαν, κηρύξαι ἐπὶ τῶν δωμάτων. ἀλλὰ τὸ πρὸ καιροῦ τί εἰπεῖν, οὐκέτι εὐάρεστον τῷ Θεῷ· "μηδενὶ γὰρ εἴπητε," φησὶν, "τὸ "ὅραμα τοῦτο, ἕως οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου, ἐκ νεκρῶν ἀναστῇ." καὶ καθόλου πᾶν θέλημα Θεοῦ, ἀγαθὸν τότε καὶ εὐάρεστόν ἐστιν, ὅταν πληρωθῇ ἐπ' αὐτῷ τὸ ὑπὸ τοῦ Ἀποστόλου εἰρημένον, "πάντα "εἰς δόξαν Θεοῦ ποιεῖτε." καὶ "πάντα εὐσχημόνως καὶ κατὰ "τάξιν γινέσθω." πάλιν δὲ ὅταν καὶ θέλημα τί ᾖ ἀγαθὸν καὶ εὐάρεστον ᾖ, οὐδαμῶς ἀμεριμνεῖν χρή. ἀγωνιᾶν δὲ καὶ φροντίζειν, ὅπως καὶ τέλειον καὶ ἀνελλιπὲς τοῦτο ᾖ. ἐν μέτρῳ ποτὲ μὲν τοῦ γινομένου, εἰ κατὰ τὸ προστεταγμένον γίνεται. ποτὲ δὲ τῆς τοῦ

ποιοῦντος δυνάμεως. "ἀγαπήσεις γάρ," φησιν, "Κύριον τὸν Θεόν "σου ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς δυνάμεώς σου, καὶ "τὸν πλησίον ὡς σεαυτόν." καθὼς καὶ ὁ Κύριος ἐν τῷ κατὰ Ἰωάννου Εὐαγγελίῳ ἐδίδαξε. καὶ πᾶσαν δὲ ἐντολὴν καθὼς γέγραπται.

Οἰκουμενίου. Τὸ δὲ "μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ." ἢ ἀντὶ τοῦ, μὴ συμμεταφέρεσθε τῇ ἀπάτῃ αὐτοῦ ἐστιν, ἢ ἀντὶ τοῦ μὴ μεταβάλλεσθε τοῖς καιροῖς.

Φωτίου. Ἢ ἀντὶ τοῦ, μὴ συμμετατίθεσθε ταῖς διδασκαλίαις τῶν ἐκ τοῦ αἰῶνος τούτου τοῦ ῥέοντος καὶ οὐχ ἱσταμένου τὴν διδασκαλίαν προσαγόντων. τοῦτο δὲ εἰπὼν, ἵνα μή τινες τῶν Ἰουδαίων εἴπωσιν, οὐκοῦν οὐδόλως δεῖ ἡμᾶς μετασχηματίζεσθαι, ἀπὸ τῆς παραδεδομένης ἡμῖν τοῦ νόμου διδασκαλίας, διὰ τοῦτο ἐπάγει, "ἀλλὰ μεταμορφοῦσθε." τουτέστι, δεῖ ἡμᾶς κατὰ τὸ θέλημα τοῦ Θεοῦ μετατίθεσθαι. πολὺ δὲ τὸ μέσον τῆς ἀπὸ τοῦ νόμου διδασκαλίας, καὶ τῆς κατὰ τὸ θέλημα τοῦ Θεοῦ σοφίας. ἡ μὲν γὰρ, καὶ αὐτὸ τὸ σχῆμα τὸ νομικὸν ἀπόλλυσιν, εἰς ἄλλο σχῆμα κακίας καὶ διαφθορᾶς ἄγουσα· ἡ δὲ, οὐ μόνον οὐκ ἀπόλλυσι τὸ τοῦ νόμου σχῆμα, ἐν σχήματι γὰρ καὶ σκιᾷ καὶ τύποις τοῦ νόμου ὑπῆρχεν, ἀλλὰ καὶ τελειοῖ αὐτό· τὴν λειπομένην αὐτῷ μορφὴν καὶ τὸ κάλλος ἀπαρτίζουσα καὶ ἀναπληροῦσα. διὸ δὴ καλῶς φησὶν, "μὴ συσχηματίζεσθε, ἀλλὰ μεταμορφοῦσθε." τὸ μὲν γάρ ἐστιν, ἀπώλεια, τὸ δὲ, σωτηρία καὶ τελειότης.

3 Λέγω γὰρ διὰ τῆς χάριτος τῆς δοθείσης μοι, παντὶ τῷ ὄντι ἐν ὑμῖν, μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε μέτρον πίστεως.

Χρυσοστόμου. Ἀνωτέρω εἰπὼν, "διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ "παρακαλῶ ὑμᾶς," ἐνταῦθα πάλιν λέγει διὰ τῆς χάριτος. ὅρα διδασκάλου ταπεινοφροσύνην· ὅρα γνώμην κατεσταλμένην. οὐδαμοῦ ἑαυτὸν ἀξιόπιστον εἶναι φησὶ, πρὸς τὴν τοσαύτην παραίνεσιν καὶ συμβουλήν. ἀλλὰ ποτὲ μὲν, τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ παραλαμβάνει μεθ' ἑαυτοῦ, ποτὲ δὲ τὴν χάριν. οὐ γὰρ ἐμὸν λόγον

λέγω, φησὶν, ἀλλὰ τὸν ἀπὸ τοῦ Θεοῦ. καὶ οὐκ εἶπε, λέγω γὰρ ὑμῖν διὰ τῆς σοφίας τοῦ Θεοῦ, ἀλλὰ "διὰ τῆς χάριτος." συνεχῶς τῶν εὐεργεσιῶν ἀναμιμνήσκων, ὥστε ἀγνωμονεστέρους ποιῆσαι, καὶ δεῖξαι καὶ ταύτῃ ὑπευθύνους ὄντας τῇ τῶν λεγομένων ὑπακοῇ.

Γενναδίου. Ἢ τὸ διὰ τῆς χάριτος τοῦ Θεοῦ τῆς δοθείσης μοι ἔφη, ἀντὶ τοῦ, ὡς τὴν περὶ τούτων διδάσκειν ἐξουσίαν ἐκ θείας χάριτος εἰληφώς.

Χρυσοστόμου. "Παντὶ τῷ ὄντι ἐν ὑμῖν." οὐ τῷ δεῖνι καὶ τῷ δεῖνι μόνον, ἀλλὰ καὶ ἄρχοντι καὶ ἀρχομένῳ, καὶ δούλῳ καὶ ἐλευθέρῳ, καὶ ἰδιώτῃ καὶ σοφῷ, καὶ γυναικὶ καὶ ἀνδρὶ, καὶ νέῳ καὶ γέροντι. κοινὸς γὰρ οὗτος ὁ νόμος, ἐπειδὴ καὶ δεσποτικός. οὕτω καὶ ἀνεπαχθῆ τὸν λόγον ποιεῖ· πᾶσι προτιθεὶς τὰ διδάγματα, καὶ τοῖς οὐκ οὖσιν ὑπευθύνοις. ἵνα οἱ ὑπεύθυνοι τὴν τοιαύτην ἐπιτίμησιν καὶ διόρθωσιν εὐκολωτέραν δέξωνται. καὶ τί λέγεις εἰπέ μοι; "μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν." τὴν μητέρα τῶν ἀρετῶν ἐνταῦθα εἰσάγει πρώτην, τὴν ταπεινοφροσύνην· τὸν διδάσκαλον αὐτοῦ μιμούμενος. καθάπερ γὰρ ἐκεῖνος εἰς τὸ ὄρος ἀναβὰς, καὶ τὸν ἠθικὸν μέλλων ὑφαίνειν λόγον, ἐντεῦθεν ἤρξατο. λέγων οὕτως, "μακάριοι οἱ πτωχοὶ, τῷ πνεύματι." οὕτω καὶ αὐτὸς ἀπὸ τῶν δογματικῶν ἐπὶ τὰ ἠθικώτερα νῦν ἐκβὰς, ἐδίδαξε μὲν καθόλου τὴν ἀρετὴν, τὴν θαυμαστὴν θυσίαν παρ' ἡμῶν ἀπαιτήσας. μέλλων δὲ καὶ κατὰ μέρος αὐτὴν ὑπογράφειν, ὥσπερ ἀπὸ κεφαλῆς τῆς ταπεινοφροσύνης ἄρχεται. καὶ φησὶν, "μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ "φρονεῖν." τοῦτο γὰρ θέλημα τοῦ Θεοῦ. "ἀλλὰ φρονεῖν εἰς τὸ "σωφρονεῖν." ὃ λέγει, τοῦτό ἐστιν. ἐλάβομεν φρόνησιν, οὐχ ἵνα εἰς ἀπόνοιαν αὐτῇ χρησώμεθα, ἀλλ' ἵνα εἰς σωφροσύνην. καὶ οὐκ εἶπεν εἰς τὸ ταπεινοφρονεῖν, ἀλλ' "εἰς τὸ σωφρονεῖν." σωφροσύνην ἐνταῦθα λέγων, οὐ τὴν ἀντιδιαστελλομένην τῇ ἀσελγείᾳ ἀρετήν· οὐδὲ τὸ ἀπηλλάχθαι ἀκολασίας. ἀλλὰ τὸ νήφειν καὶ ὑγιαίνειν κατὰ διάνοιαν. καὶ γὰρ καὶ τοῦτο σωφροσύνη λέγεται, ἀπὸ τοῦ σώας ἔχειν τὰς φρένας. δεικνὺς τοίνυν, ὅτι τὸν μὴ μετριάζοντα οὐδὲ σωφρονεῖν ἔνι. τουτέστι, καθεστηκέναι καὶ ὑγιαίνειν. ἀλλὰ παραπαίει καὶ ἐξέστηκεν ὁ τοιοῦτος, καὶ παραπλῆγος παντός ἐστι μανικώτερος. σωφροσύνην ἐκάλεσε τὴν ταπεινοφροσύνην.

Φωτίου. Ἢ καὶ οὕτως λέγει. μὴ ὑπερφρονεῖν ὑμᾶς ἐν παντὶ χαρίσματι τῷ ὄντι ἐν ὑμῖν. ταύτην γὰρ τὴν ἄνοιαν καὶ τὰ ἐπαγόμενα δηλῶν, ἐν οἷς φησὶν, "ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε." σοφῶς δὲ λίαν καὶ συνετῶς προέταξε, τὸ διὰ τῆς χάριτος τοῦ Θεοῦ, μέλλων αὐτοὺς νουθετεῖν εἰς τὸ μὴ ὑπερφρονεῖν. ἐπειδὴ γὰρ καὶ τὸ νουθετεῖν καὶ ἐπιτάττειν ἄλλοις ἐνίοτε ἐξ ὑπερφροσύνης γίνεται, προλαβὼν ἰάσατο τοὺς τοιούτους λογισμούς. οὐκ ἔστι γάρ, φησι, ἐξ ἐμῆς ὁρμῆς τὸ νουθετεῖν ὑμᾶς· ἀλλὰ ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ, αὐτοῦ διάταγμα πληρῶ· ἐμέρισε δὲ τὰ χαρίσματα οὐ κατὰ φιλοτιμίαν, ἀλλὰ κατὰ τὸ μέτρον τῆς πίστεως. πίστεως δὲ, οὐ τῆς κατὰ τὴν λατρείαν φησίν. πάντες γὰρ πιστοὶ καὶ τέλειοι ἐν αὐτῇ εἰσὶ δηλονότι, οἱ χαρισμάτων ἀξιωθέντες, ἀλλὰ τῆς κατὰ τὰ χαρίσματα πίστεως. καθὼς καὶ ἐν εὐαγγελίοις εἴρηται, "Κύριε, πρόσθες ἡμῖν πίστιν." καὶ πάλιν, "ἐὰν ἔχητε πίστιν "ὡς κόκκον σινάπεως." καὶ πάλιν, "διὰ τὴν ὀλιγοπιστίαν ὑμῶν." δῆλον γὰρ, ὡς ἕτερον τοῦτο τῆς πίστεως τὸ σημαινόμενον, παρὰ τὸ ἐπὶ τῆς εὐσεβείας λαμβανόμενον.

Χρυσοστόμου. Ἐπειδὴ γὰρ τῶν χαρισμάτων ἡ δόσις, πολλοὺς εἰς ἀπόνοιαν ἐπῆρε, καὶ παρὰ τούτοις καὶ παρὰ Κορινθίοις, ὅρα πῶς καὶ τὴν αἰτίαν τοῦ νοσήματος δήλην ποιεῖ, καὶ κατὰ μικρὸν ὑποσύρει. εἰπὼν γὰρ ὅτι "δεῖ φρονεῖν εἰς τὸ σωφρονεῖν," ἐπήγαγεν, "ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε μέτρον πίστεως." πίστιν ἐνταῦθα τὸ χάρισμα καλῶν. εἰπὼν δὲ ὅτι "ἐμέρισε," καὶ τὸν, ἔλαττον εἰληφότα παρεμυθήσατο· καὶ τὸν μείζονος ἀπολαύσαντα, καταστέλλει. εἰ γὰρ ὁ Θεὸς ἐμέρισε, φησὶν, καὶ μὴ σὸν τὸ κατόρθωμα, τί μέγα φρονεῖς; εἰ δέ τις τὴν πίστιν ἐνταῦθα μὴ τὸ χάρισμα λέγοι καλεῖσθαι, καὶ τούτῳ πάλιν μειζόνως δείκνυσιν αὐτὸν ταπεινοῦντα τοὺς ἀλαζόνας. εἰ γὰρ ὃ τοῦ χαρίσματός ἐστιν αἴτιον ἡ πίστις, καθ' ἣν τὰ θαύματα γίνεται, καὶ τοῦτο παρὰ τοῦ Θεοῦ, πόθεν σὺ μέγα φρονεῖς; καὶ γὰρ εἰ μὴ παρεγένετο, μὴ δὲ ἐσαρκώθη, οὐδ' ἂν τὰ τῆς πίστεως προεχώρησεν. ὥστε πάντα ἐκεῖθεν τὴν ἀρχὴν ἔχει τὰ ἀγαθά. εἰ δὲ αὐτὸς δίδωσιν, οἶδε πῶς μερίζει. πάντα γὰρ αὐτὸς ἐποίησε, καὶ πάντων ὁμοίως κήδεται. καὶ ὥσπερ τὸ δοῦναι ἀπὸ φιλανθρωπίας γέγονεν, οὕτω καὶ τὸ πόσον

δοῦναι. οὐ γὰρ δὴ περὶ τὸ κεφάλαιον ἐπιδειξάμενος τὴν ἀγαθότητα, ὅπέρ ἐστι τὸ δοῦναι τὰ χαρίσματα, ἐν τῷ μετρίῳ σε προδιδόναι ἔμελλεν. εἰ μὲν γὰρ ἀτιμάσαι ἐβούλετο, οὐδ᾽ ἂν ἔδωκε τὴν ἀρχήν. εἰ δὲ σῶσαι καὶ τιμῆσαι ἐβούλετο, διὰ γὰρ τοῦτο καὶ παρεγένετο, καὶ τοσαῦτα διένειμεν ἀγαθὰ, τί θορυβῇ καὶ ταράττῃ, καὶ εἰς μωρίαν ἀποκέχρησαι τῇ φρονήσει;

Κυρίλλου. Ἐνταῦθα μὲν οὖν "ὁ Θεὸς," φησὶν, "ἐμέρισεν "ἑκάστῳ μέτρον πίστεως." ἐν ἄλλοις δὲ τῇ τοῦ πνεύματος ἐξουσίᾳ τὴν τῶν θείων χαρισμάτων διανομὴν ἀνατιθείς. "καὶ ᾧ μὲν "δίδοται, πνεῦμα σοφίας." εἶτα μεθ᾽ ἕτερα, "ἑτέρῳ δὲ πίστις" εἰπὼν, ἐπιλέγει, "ταῦτα δὲ πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ "Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται." οὐκοῦν εἰ πρὸς τοῖς ἄλλοις ἀγαθοῖς καὶ πίστεως φαίνεται τὸ Πνεῦμα παρεκτικὸν, καὶ τὸ ἀρκοῦν ἑκάστῳ μέτρον ὁρίζον ὡς Θεὸς, πῶς οὐ λίαν ἀσεβὲς ἐπαριθμεῖν αὐτὸ τοῖς κτίσμασι, καὶ μὴ μᾶλλον ἐκ Θεοῦ πεφηνέναι;

4 Καθάπερ γὰρ ἐν ἑνὶ σώματι μέλη πολλὰ ἔχομεν, τὰ
5 δὲ μέλη πάντα οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν, οὕτως οἱ πολ-
λοὶ ἓν σῶμα ἐσμὲν ἐν Χριστῷ, ὁ δὲ καθεὶς ἀλλήλων
μέλη.

Χρυσοστόμου. Πάλιν τῷ αὐτῷ ὑποδείγματι κέχρηται, ᾧ καὶ πρὸς Κορινθίους ἐχρήσατο· τὸ αὐτὸ τοῦτο καταστέλλων πάθος. καὶ γὰρ μεγάλη τοῦ φαρμάκου ἡ δύναμις, καὶ τοῦ παραδείγματος τούτου ἡ ἰσχὺς, εἰς τὸ διορθῶσαι τὸ τῆς ἀπονοίας νόσημα. τίνος γὰρ ἕνεκεν σὺ μέγα φρονεῖς φησίν; ἢ διὰ τί πάλιν ἕτερον ἑαυτὸν ἐξευτελίζει; οὐχὶ σῶμα ἐσμὲν ἅπαντες ἓν, καὶ μεγάλοι καὶ μικροί; ὅταν οὖν κατὰ τὸ κεφάλαιον ἓν ὦμεν, καὶ ἀλλήλων μέλη, τί τῇ ἀπονοίᾳ σχίζεις σαυτόν; τί ἐπαισχύνῃ τὸν ἀδελφόν; ὥσπερ γὰρ ἐκεῖνος σοῦ μέλος, οὕτω κἀκείνου, σύ. καὶ πολλὴ κατὰ τοῦτο ἡ ὁμοτιμία. δύο γὰρ ἱκανὰ καθελεῖν αὐτῶν τὴν ἀπόνοιαν τέθεικε. καὶ ὅτι ἀλλήλων ἐσμὲν μέλη, καὶ ὅτι ἓν ἐσμὲν ἅπαντες σῶμα· μᾶλλον δὲ, καὶ τρία. καὶ γὰρ καὶ χάρισμα ἔδειξε τὸ δοθέν. μὴ τοίνυν μέγα φρόνει. ἐδόθη γάρ σοι παρὰ Θεοῦ. οὐχὶ σὺ ἔλαβες, οὐδὲ εὗρες.

Θεοδωρήτου. Πρόσφορος δὲ ἡ εἰκὼν τῇ περὶ τῆς ἀγάπης διδασκαλίᾳ. καὶ γὰρ ἕκαστον τῶν μορίων τοῦ σώματος, οὐχ ἑαυτῷ μόνον χρήσιμον, ἀλλὰ τῷ κοινῷ προσφέρει τὴν ὠφέλειαν. οὕτω τοίνυν προσήκει τὸν χάριτός τινος ἀπολαύσαντα, εἰδέναι σαφῶς, ὡς τῆς κοινῆς χρείας εἵνεκα τὸ δῶρον τοῦτο ἐδέξατο. σῶμα γὰρ ἓν οἱ πιστεύσαντες. μέλους δὲ χρείαν, ἕκαστος ἡμῶν πληροῖ.

Γρηγορίου τοῦ Θεολόγου. Μὴ τοίνυν ἔστω τίς κεφαλή· μόγις που χεὶρ τυγχάνων, ἢ ποὺς ἢ ἄλλό τι τῶν εὐτελεστέρων μερῶν τοῦ σώματος.

6 Ἔχοντες δὲ χαρίσματα διάφορα, κατὰ τὴν χάριν τὴν
δοθεῖσαν ἡμῖν· εἴτε προφητείαν, κατὰ τὴν ἀναλογίαν τῆς
7 πίστεως· εἴτε διακονίαν, ἐν τῇ διακονίᾳ· εἴτε ὁ διδά-
8 σκων, ἐν τῇ διδασκαλίᾳ· εἴτε ὁ παρακαλῶν, ἐν τῇ παρα-
κλησίᾳ· ὁ μεταδιδοὺς, ἐν ἁπλότητι· ὁ προϊστάμενος,
9 ἐν σπουδῇ· ὁ ἐλεῶν, ἐν ἱλαρότητι· ἡ ἀγάπη ἀνυπό-
κριτος.

Χρυσοστόμου. Τῶν χαρισμάτων ἁψάμενος, οὐκ εἶπεν ὅτι ὁ μὲν, μεῖζον, ὁ δὲ ἐλάττον ἔλαβεν, ἀλλὰ διάφορα. ἵνα δείξῃ ὡς αὐτὸ μὲν, μέγα, τὸ δὲ, μικρόν. μεγάλα γὰρ ἅπαντα, ἀλλὰ ποικίλα καὶ διάφορα· καὶ ἀρξάμενος ἀπὸ χαρίσματος, εἰς κατόρθωμα λήγει. εἰπὼν γὰρ προφητείαν καὶ διακονίαν καὶ ὅσα τοιαῦτα, κατέληξεν εἰς ἐλεημοσύνην, καὶ σπουδὴν καὶ ἀντίληψιν. ἐπειδὴ γὰρ εἰκὸς ἦν τινὰς ἐναρέτους μὲν εἶναι, μὴ ἔχειν δὲ προφητείαν, δείκνυσιν ὅτι καὶ τοῦτο χάρισμα· καὶ πολλῷ μεῖζον ἐκείνου· ὥσπερ ἔδειξεν ἐν τῇ πρὸς Κορινθίους. καὶ τοσούτῳ μεῖζον, ὅσῳ τὸ μὲν, ἔχει μισθὸν, τὸ δὲ, ἐστέρηται ἀμοιβῆς. ὅλον γὰρ δωρεὰ καὶ χάρις ἐστίν. ἐπειδὴ δὲ ἱκανῶς αὐτοὺς παρεμυθήσατο, βούλεται καὶ ἐναγωνίους ποιῆσαι καὶ σπουδαιοτέρους· δεικνὺς ὅτι αὐτοὶ τὰς ἀφορμὰς παρέχουσι, τοῦ μεῖζον ἢ ἔλαττον λαβεῖν. λέγει μὲν γὰρ αὐτὰ καὶ παρὰ τοῦ Θεοῦ δίδοσθαι. ὡς ὅταν λέγῃ, "ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε." καὶ πάλιν· "κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν." ἵνα καταστείλῃ τοὺς ὑπερηφάνους. λέγει δὲ καὶ παρ' αὐτῶν τὰς ἀρχὰς γεγενῆσθαι, ἵνα διεγείρῃ τοὺς ῥαθυμοτέρους. "κατὰ τὴν ἀναλογίαν," γάρ φησιν, "τῆς πίστεως." εἰ γὰρ καὶ

χάρις ἐστὶν, οὐχ ἁπλῶς ἐκχεῖται, ἀλλὰ τὰ μέτρα παρὰ τῶν δεχομένων λαμβάνουσα, τοσοῦτον ἐπιρρεῖ, ὅσον ἂν εὕρῃ σκεῦος πίστεως αὐτῇ προσενεχθέν.

Θεοδωρήτου. Τὴν δὲ τοῦ χωρίου τούτου ἀκολουθίαν ὁ μέν τις ἀπέδωκε χωρὶς τοῦ "δὲ" συνδεσμοῦ ἀναγινώσκων, καὶ τοῖς ἀνωτέρω ἐπισυνάπτων· οὕτω γάρ φησιν νοητέον, μέλη ἀλλήλων ἐσμέν· ἔχοντες χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν διάφορα. εἰ γὰρ καὶ διάφορα ταῦτα, ἀλλ' οὖν, εἰς κοινὴν ὠφέλειαν ὑπὸ τῆς θείας κεχορήγηται χάριτος.

Θεοδώρου. Ἕτερος δὲ, ἐλλιπῶς ἔχειν ἔφη. λείπει γὰρ τὸ, δεικνύωμεν τὴν χάριν. ἵνα ᾖ τοιοῦτον. ἔχοντες χαρίσματα διάφορα, εἴτε προφητείαν, εἴτε διακονίαν, εἴτε διδασκαλίαν, οἱ μὲν ἔχοντες προφητείαν, ἐν προφητείᾳ δεικνύωμεν τὴν χάριν. οἱ δὲ διακονίαν, ἐν διακονίᾳ. οἱ δὲ διδασκαλίαν, ἐν διδασκαλίᾳ. καὶ ἕκαστος ἐν ᾗ ἐγκεχείρισται λειτουργίᾳ.

Φωτίου. Ἄλλος δὲ δυσὶ τρόποις ὅλον ἐσχηματίσθαι τὸ χωρίον ἔφη, ἕως τοῦ, "εἴτε ὁ παρακαλῶν ἐν τῇ παρακλήσει." ποίοις τούτοις; τῷ λεγομένῳ ἀπὸ κοινοῦ καὶ τῷ ἐλλειπτικῷ· καὶ γὰρ τὸ ἔχοντες ἀπὸ κοινοῦ καθ' ἕκαστον κῶλον παραλαμβάνεται. οἷον, εἴτε προφητείαν ἔχει τίς· εἴτε διακονίαν ἔχει τις. τοῦτο δὲ τὸ ἀπὸ κοινοῦ, καὶ ζεῦγμα καλεῖται. ὅτι ζευγνύει πληθυντικὸν, ἑνικῷ, καὶ μετοχὴν, ῥήματι. οὕτως οὖν ἀπὸ κοινοῦ τὸ ἔχοντες κατὰ τὸ ζεῦγμα λαμβανόμενον, ἀπηρτισμένην κατὰ τοῦτο τέως τὴν ἔννοιαν καὶ τὰ χωρία ποιεῖ. ἐλλειπτικῶς δὲ πάλιν ἐσχημάτισται, ὅτι λείπει πρὸς αὐτοτέλειαν τοῦ νοήματος. οἷον, τὸ μενέτω ἐν ᾧ ἔλαβεν ἕκαστος χαρίσματι. ἢ ἀρκείσθω, ἢ στοιχείτω, ἢ τί τοιοῦτον. οἷον, εἴτε προφητείαν ἔχει τίς, εἴτε διακονίαν, μενέτω ἕκαστος ἐν ᾧ ἔλαβε. καὶ πολλή ἐστιν ἡ τῶν τοιούτων χρῆσις παρὰ τῷ θαυμασίῳ Παύλῳ. καὶ μὴ θαυμάσῃς εἰ ἀμαθὴς ὢν τούτων, ἐκέχρητο τούτοις. ἡ γὰρ χάρις ἡ τὰ μείζω χορηγοῦσα, καὶ τῶν εὐτελῶν πολλάκις παρέχει τὴν γνῶσιν. οὐχ ὡς μεγάλων τούτων ὑπαρχόντων. τί γὰρ ἂν καὶ εἴη περὶ λέξεις καὶ συλλαβὰς καὶ τὴν τούτων συνθήκην μικρολογουμένων ἀνθρώπων πόνος καὶ ὀνόματα. οὔκουν ὡς μεγάλα τισὶν ἐκέχρητο τούτοις, ἀλλ' εἰς τὸ καταισχύνειν τοὺς ἐπὶ τοῖς τοιούτοις μέγα φρονοῦντας, καὶ κερδῆσαι αὐτοὺς εἰς

ταπεινοφροσύνην καὶ ὑπακοὴν τῆς αὐτοῦ νουθεσίας. ἄοκνα γὰρ ὑπῆρχεν ἅπαντα Παύλῳ ὅσα σωτηρίαν ἀνθρώποις ἔφερεν ἀληθῶς. διὸ καὶ χρήσεις ποιητικῶν στίχων, καὶ ἱστορίας Ἑλληνικὰς, οὐκ ὀκνεῖ προσκομίζειν, ἂν καὶ διὰ τούτων ἐλπίζῃ σωτηρίαν κατορθῶσαι ἀνθρώπῳ.

Ἀποστόλου. Ὁ δέ τις, οὕτως ἔφησε περὶ τούτων, ἔχει τίς προφήτης χάρισμα τιμιώτατον μετὰ τὴν ἀποστολήν. "ἔθετο γάρ "φησιν, ὁ Θεὸς ἐν τῇ ἐκκλησίᾳ, πρῶτον, ἀποστόλους· δεύτερον, "προφήτας," οὕτω φρονείτω κατὰ τὴν προφητείαν. εἰδὼς τὰ τῶν ἀποστόλων πρωτεῖα, καὶ δὴ καὶ ὁ διάκονος ὑπὸ τοῦτον τὸν τῆς διακονίας κανόνα, γινώσκων ἐν τάξει καταδεεστέρα. οἷον αἱ χεῖρες, ὑπὸ τὴν κεφαλήν. πάλιν ὁ διδάσκαλος ὑπὸ τὸν προφήτην, ἐν τοῖς τῆς διδασκαλίας μέτροις μενέτω. λείπει γὰρ τὸ, μενέτω. δεύτερον γὰρ προφήτας, τρίτον διδασκάλους. τῶν γὰρ ἐκ προφητείας λόγων ἐξηγηταὶ καὶ διδάσκαλοι, ὥσπερ ὦτα ἀκούοντες, καὶ συνιέντες τὰ ὀφθαλμοῖς ὁρώμενα καὶ δηλούμενα. καὶ ταῦτα μὲν τὰ πνευματικά. ἐπισυνάπτει δὲ καὶ τὰ περὶ τὸ σῶμα. μεταδόσεις δαψιλεῖς, προτασίας σπουδαίας, ἔλεον φιλάνθρωπον. ἐπήγαγε γὰρ, "ὁ ἐλεῶν, ἐν ἱλαρότητι."

Χρυσοστόμου. "Εἴτε διακονίαν ἐν τῇ διακονίᾳ." καθολικὸν πρᾶγμα ἐνταῦθα τίθησι. καὶ γὰρ ἡ ἀποστολὴ διακονία λέγεται. καὶ πᾶν ἔργον πνευματικὸν, διακονία. ἔστι μὲν γὰρ καὶ ἰδικῆς οἰκονομίας ὄνομα τοῦτο. ἐνταῦθα μέντοι καθολικῶς εἴρηται.

Θεοδωρήτου. Ἢ διακονίαν, τὴν τοῦ κηρύγματος λειτουργίαν λέγει. διδασκαλίαν δὲ, τῶν θείων δογμάτων τὴν μάθησιν. παράκλησιν, τὴν ἐπὶ τὴν ἀρετὴν προτροπήν. καὶ προφητείαν, οὐ μόνον τῶν ἐσομένων τὴν πρόγνωσιν, ἀλλὰ καὶ τῶν κεκρυμμένων τὴν γνῶσιν.

Γενναδίου. Ἢ διακονίαν φησὶν, τὴν πρὸς τὸ διακονεῖσθαι τοῖς δεομένοις προσοῦσαν τισὶν ἐπιτηδειότητα. διδασκαλίαν δὲ, τὴν ἀπόλυτον συμβουλήν. παράκλησιν δὲ, τὴν κατάλληλον διδασκαλίαν. ἁπλότητα, τὸ ἁπλοϊκὸν τὲ καὶ ἄφθονον. ἱλαρότητα, τὴν πρόθυμον εἰς ἔλεον γνώμην, τὴν σὺν χαρᾷ τὸν οἶκτον ἐνδεικνυμένην. τὸ μέντοι κατὰ τὴν ἀναλογίαν τῆς πίστεως, οὐ τῇ προφητείᾳ μόνον προσήκει, κοινὸν δὲ κατὰ πάντων ἐστί. καὶ πρὸς

αὐτὸ τὴν ἀναφορὰν ἔχει πάντα. "εἴτε ὁ διδάσκων ἐν τῇ διδα-"σκαλίᾳ." ὅρα πῶς ἀδιαφόρως τὰ χαρίσματα. τὸ μικρὸν, πρῶτον, καὶ τὸ μέγα, ὕστερον. πάλιν τὸ αὐτὸ τοῦτο παιδεύων, τὸ μὴ φυσᾶσθαι μὴ δὲ ἐπαίρεσθαι.

Εἴτε ὁ παρακαλῶν ἐν τῇ παρακλήσει.

Χρυσοστόμου. Καὶ τοῦτο διδασκαλίας εἶδος. "εἰ γάρ ἐστιν "ἐν ὑμῖν λόγος παρακλήσεως," φησὶ, "πρὸς τὸν λαὸν, λέγετε." εἶτα δεικνὺς ὡς οὐ μέγα ὄφελος ἀρετὴν μετιέναι. εἰ μὴ μετὰ τοῦ προσήκοντος τοῦτο γίνοιτο νόμου, ἐπάγει.

Χρυσοστόμου. "Ὁ μεταδιδοὺς, ἐν ἁπλότητι." οὐ γὰρ ἀρκεῖ τὸ δοῦναι. ἀλλὰ δεῖ καὶ μετὰ δαψιλείας τοῦτο ποιεῖν. ἁπλότητα γὰρ τοῦτο οἶδε πανταχοῦ. ἐπεὶ καὶ αἱ παρθένοι ἔλαιον εἶχον, ἀλλ' ἐπειδὴ τὸ ἀρκοῦν οὐκ εἶχον, τοῦ παντὸς ἐξέπεσον.

Θεοδωρήτου. "Ἐν ἁπλότητι" οὖν φησι. μὴ τὴν τῶν ἀνθρώπων θηρώμενος δόξαν, ἀλλὰ τὴν χρείαν τοῦ δεομένου πληρῶν. μὴ δὲ λογισμοῖς κεχρημένος, εἴτε ἀπόχρη τὰ ὄντα, εἴτε καὶ μή. ἀλλὰ τῷ Θεῷ θαρρῶν, καὶ φιλοτίμως τὴν χορηγίαν ποιούμενος.

Χρυσοστόμου. "Ὁ προϊστάμενος, ἐν σπουδῇ." οὐ γὰρ ἀρκεῖ τὸ προστῆναι. "ὁ ἐλεῶν, ἐν ἱλαρότητι." οὐ γὰρ ἀρκεῖ τὸ ἐλεῆσαι, ἀλλὰ μετὰ δαψιλείας καὶ γνώμης ἀλύπου τοῦτο δεῖ ποιεῖν. μᾶλλον δὲ οὐ μετὰ ἀλύπου μόνον, ἀλλὰ καὶ μετὰ φαιδρᾶς καὶ χαιρούσης. οὐ γάρ ἐστιν ἴσον μὴ λυπεῖσθαι, καὶ χαίρειν. διὰ τοῦτο καὶ ἐν τῇ μεταδόσει τὴν ἁπλότητα ζητεῖ, καὶ ἐν τῷ ἐλέῳ τὴν ἱλαρότητα, καὶ ἐν τῇ προστασίᾳ τὴν σπουδήν. οὐδὲ γὰρ χρήμασι μόνον βούλεται τοῖς δεομένοις ἡμᾶς βοηθεῖν, ἀλλὰ καὶ ῥήμασι, καὶ πράγμασι, καὶ σώματι, καὶ τοῖς ἄλλοις ἅπασι. καὶ εἰπὼν τὴν προηγουμένην προστασίαν, τὴν διὰ τῆς διδασκαλίας, τὴν διὰ τῆς παρακλήσεως· αὕτη γὰρ ἀναγκαιοτέρα, ὅσῳ καὶ ψυχῆς ἐστι τροφὴ, ἦλθεν ἐπὶ τὴν διὰ τῶν χρημάτων, καὶ τὴν διὰ τῶν ἄλλων πραγμάτων. εἶτα δεικνὺς πῶς ἂν ταῦτα κατορθωθείη, τὴν μητέρα αὐτῶν εἰσάγει τὴν ἀγάπην.

Βασιλείου. Ἔστι δὲ ἔλεος, πάθος ἐπὶ τοὺς παρ' ἀξίαν τεταπεινωμένους, καὶ παρὰ τῶν συμπαθῶς διατιθεμένων γινόμενον.

Χρυσοστόμου. "Ἡ ἀγάπη," φησὶν, "ἀνυπόκριτος." ἂν ταύτην

ἔχῃς, οὐ δαπάνης αἰσθήσῃ χρημάτων, οὐ πόνου σωμάτων, ἀλλὰ πάντα οἴσεις γενναίως. ὥσπερ οὖν τὰ ἄλλα μετ' ἐπιτάσεως ἀπήτησεν, οὕτω καὶ ἀγάπην· οὐχ ἁπλῶς, ἀλλὰ τὴν ἀνυπόκριτον. ἐπεὶ καὶ τοῦτο ἀγάπη. κἂν τοῦτο γένηται, πάντα τὰ ἄλλα ἕπεται. καὶ γὰρ ὁ ἐλεῶν, ἱλαρῶς ἐλεεῖ· ἑαυτῷ γὰρ δίδωσι. καὶ ὁ προϊστάμενος, σπουδαίως προΐσταται· ἑαυτοῦ γὰρ προΐσταται. καὶ ὁ μεταδιδοὺς, μετὰ δαψιλείας τοῦτο ποιεῖ· ἑαυτῷ γὰρ παρέχει.

Ἀποστόλου. *Εἰπὼν οὖν ὁ θεῖος Ἀπόστολος τὰ πνευματικὰ, ἐπισυνάπτει καὶ τὰ περὶ σῶμα. ἐν ἁπλότητι μὲν τὴν μετάδοσιν ὁριζόμενος, καὶ ὡς ταυτὸν τῇ μεταδόσει τὴν ἁπλότητα τιθεὶς, "ἐν "ἁπλότητι," γάρ φησιν, "ὁ μεταδιδούς." ὡς εἰ ἔλεγεν, ὁ μεταδιδοὺς, ἐν τῇ μεταδόσει. καθὰ καὶ περὶ τῆς διακονίας, "ὁ διακονῶν, "ἐν τῇ διακονίᾳ." ἁπλότης δὲ, ἡ δαψίλεια παρὰ τῷ Ἀποστόλῳ καλεῖται. ἐκ τῆς ἡπλωμένης χειρός. ὡσαύτως δὲ καὶ τὴν προστασίαν, σπουδὴν εἶναι ὁρίζεται, καὶ τὸν ἔλεον, ἱλαρότητα· διαστήσας αὐτὸν τῆς μεταδόσεως. ἡ μὲν γάρ ἐστι πρὸς ἁγίους, κοινωνίας ἕνεκεν. ἐπὶ τῇ ἁπλότητι γάρ φησιν εἰς τοὺς ἁγίους τῆς κοινωνίας. διὸ καὶ δαψιλὴς ἡ δόσις ὡς Θεῷ προσφορὰ, καὶ Χριστῷ διακονία, καὶ φιλοποιὸς κοινωνία. ὁ δὲ ἔλεος πρὸς τοὺς οἰκτροὺς ἐνδείας ἕνεκα, ὁποῖοι τινὲς ἂν ὦσι. "παντὶ γὰρ τῷ αἰτοῦντί σε δίδου," ἕνεκα φιλανθρωπίας. ἱλαρότητος δὲ τῷ ἐλέῳ δεῖ. ἐπεὶ πρὸς ἐλάττους γίνεται· ὡς μὴ ἐξ ὑπεροψίας διδόντες, λυποίημεν, ἀλλ' ἐκ φιλανθρωπίας, εὐφραίνοιμεν. εἰ δὲ καὶ περὶ σωματικὴν ἀνάπαυσιν αἱ μεταδόσεις καὶ προστασίαι καὶ ἐλεημοσύναι φέρουσιν, ἀλλ' οὖν χαρίσματά εἰσιν, ἐπὶ δυνάμει πνεύματος ἐπιτελούμενα, ἐν τάξει ποδῶν τῷ ἁγίῳ σώματι συνάπτουσα τοὺς τὰ τοιαῦτα διακονοῦντας. καὶ γὰρ οὐ μόνον εἴ τις λαλεῖ, "ὡς λόγια Θεοῦ," φησὶ ὁ Πέτρος, ἀλλὰ καὶ εἴ τις διακονεῖ, ὡς ἐξ ἰσχύος ἧς χορηγεῖ ὁ Θεός. διακονίαν δὲ, τὴν λειτουργίαν τὴν ἀναπληροῦσαν τὰ ὑστερήματα τῶν ἁγίων, φησὶν ὁ Παῦλος. πολυτρόπως τῆς διακονίας λεγομένης.*

Ἀποστυγοῦντες τὸ πονηρὸν, κολλώμενοι τῷ ἀγαθῷ·
10 τῇ φιλαδελφίᾳ, εἰς ἀλλήλους φιλόστοργοι· τῇ τιμῇ,
11 ἀλλήλων προηγούμενοι· τῇ σπουδῇ μὴ ὀκνηροί· τῷ
12 Πνεύματι ζέοντες, τῷ Κυρίῳ δουλεύοντες· τῇ ἐλπίδι

χαίροντες, τῇ θλίψει ὑπομένοντες, τῇ προσευχῇ προσ-
13 καρτεροῦντες· ταῖς χρείαις τῶν ἁγίων κοινωνοῦντες, τὴν
14 φιλοξενίαν διώκοντες· εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς·
εὐλογεῖτε, καὶ μὴ καταρᾶσθε.

Χρυσοστόμου. Εἰπὼν ὡς ἡ ἀγάπη ἀνυπόκριτος. ἐπειδὴ ἔστι καὶ ἀγάπη ἐπὶ πονηροῖς πράγμασι, οἵα ἡ τῶν ἀκολάστων ἐστὶν, ἡ τῶν ἐπὶ χρήμασι καὶ ἁρπαγαῖς ὁμονοούντων, ἡ τῶν ἐπὶ μέθαις καὶ συμποσίοις· ἐκκαθαίρων αὐτὴν ἀπὸ τούτων, φησὶ, "ἀποστυ-"γοῦντες τὸ πονηρόν." καὶ οὐκ εἶπεν ἀπεχόμενοι, ἀλλὰ μισοῦντες. καὶ οὐχ ἁπλῶς μισοῦντες, ἀλλὰ καὶ σφόδρα μισοῦντες. τὸ γὰρ ἀπὸ, τοῦτο ῥῆμα πολλαχοῦ ἐπιτάσεως ἐστὶ παρ' αὐτῷ· ὡς ὅταν λέγῃ "ἀποκαραδοκίαν," καὶ, "ἀπεκδεχόμενοι," καὶ, "ἀπολύ-"τρωσιν." ἐπειδὴ γὰρ πολλοὶ καὶ μὴ πράττοντες τὰ κακὰ, ὅμως τὴν ἐπιθυμίαν αὐτῶν ἔχουσι, διὰ τοῦτο εἶπεν "ἀποστυγοῦντες." αὐτὸς γὰρ καὶ τὴν διάνοιαν καθαρεύειν βούλεται, καὶ πολλὴν ἡμᾶς ἔχθραν ἔχειν πρὸς τὴν κακίαν, καὶ μῖσος, καὶ πόλεμον. καὶ οὐκ ἀρκεῖται τούτῳ μόνῳ, ἀλλὰ καὶ τὴν τῆς ἀρετῆς ἐργασίαν εἰσάγει. οὕτω λέγων, "κολλώμενοι τῷ ἀγαθῷ." οὐκ εἶπε ποιοῦντες μόνον, ἀλλὰ καὶ διακείμενοι. τοῦτο γὰρ τὸ κολλᾶσθαι δηλοῖ. οὕτω καὶ ὁ Θεὸς συνάπτων τὸν ἄνδρα τῇ γυναικὶ ἔλεγε, "προσκολληθήσεται "πρὸς τὴν γυναῖκα αὐτοῦ." εἶτα, καὶ αἰτίας λέγει δι' ἃς ὀφείλομεν ἀλλήλους ἀγαπᾶν. "τῇ φιλαδελφίᾳ, εἰς ἀλλήλους φιλόστοργοι." ἀδελφοὶ φησὶν ἐστέ. οὐκοῦν καὶ διὰ τοῦτο δίκαιοι ἂν ἦτε φιλεῖν ἀλλήλους. τοῦτο δὲ καὶ Μωυσῆς ἂν ἔλεγε πρὸς τοὺς ἐν Αἰγύπτῳ μαχομένους, "ἀδελφοὶ ἐστέ· ἵνα τι ἀδικεῖτε ἀλλήλους;" ὅταν μὲν οὖν περὶ τῶν ἔξω λέγῃ, "εἰ δυνατὸν τὸ ἐξ ὑμῶν μετὰ πάντων "ἀνθρώπων εἰρηνεύετε," φησί. ὅταν δὲ περὶ τῶν οἰκείων διαλέγηται, "τῇ φιλαδελφίᾳ, εἰς ἀλλήλους φιλόστοργοι." ἐκεῖ μὲν γὰρ τὸ μὴ μάχεσθαι ζητεῖ, μὴ δὲ μισεῖν καὶ ἀποστρέφεσθαι. ἐνταῦθα δὲ καὶ τὸ φιλεῖν· καὶ οὐχ ἁπλῶς φιλεῖν, ἀλλὰ καὶ στέργειν. οὐ γὰρ δὴ μόνον φησὶν ἀνυπόκριτον εἶναι τὴν ἀγάπην χρὴ, ἀλλὰ καὶ ἐπιτεταμένην καὶ θερμὴν καὶ διάπυρον. τί γὰρ ὄφελος, ἂν ἀγαπᾷς μὲν ἀδόλως, μὴ θερμῶς δὲ ἀγαπᾷς; διὸ καὶ εἶπεν, "εἰς ἀλλήλους φιλόστοργοι." τουτέστι, καὶ φίλει, καὶ θερμῶς

φίλει. μὴ μένε φιλεῖσθαι παρ' ἑτέρου, ἀλλ' αὐτὸς ἐπιπήδα τούτῳ καὶ κατάρχου.

Ἐκ τῶν ἀσκητικῶν τοῦ Βασιλείου. *Ἡ γὰρ στοργὴ, κατ' ἐπίτασιν τῆς φιλίας γένοιτ' ἄν, ἐν ἐπιθυμίᾳ καὶ διαθέσει διαπύρῳ τοῦ ἀγαπῶντος πρὸς τὸν ἀγαπώμενον. ἵνα οὖν μὴ ἐπιπόλαιος ἡ φιλαδελφία ᾖ, ἀλλ' ἐνδιάθετος καὶ διάπυρος, εἴρηται τὸ, "τῇ " φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστοργοι." ἄοκνοι, σπουδαῖοι.*

Χρυσοστόμου. *"Τῇ τιμῇ ἀλλήλων προηγούμενοι." εἰπὼν τὴν αἰτίαν δι' ἣν ὀφείλομεν ἀλλήλους ἀγαπᾶν, λέγει καὶ πῶς ἂν γένοιτο τὰ τῆς φιλίας ἀκίνητα. οὕτω γὰρ φιλία καὶ γίνεται, καὶ γενομένη μένει. καὶ οὐδὲν οὕτω φίλους ποιεῖ, ὡς τὸ σπουδάζειν τῇ τιμῇ νικᾶν τὸν πλησίον. οὐ φιλία δὲ μόνον, ἀλλὰ καὶ τιμὴ μείζων ἐντεῦθεν γίνεται. τὰ μὲν γὰρ εἰρημένα πρότερον ἀπὸ τῆς ἀγάπης· ἡ δὲ ἀγάπη ἀπὸ τῆς τιμῆς. ὥσπερ οὖν καὶ ἡ τιμὴ ἀπὸ τῆς ἀγάπης.*

Θεοδωρήτου. *Παραχωρείτω δὴ οὖν ἕκαστος τῶν πρωτείων τῷ πέλας. τοῦτο γὰρ τῆς ἀληθοῦς φιλοστοργίας τεκμήριον.*

Χρυσοστόμου. *Εἶτα ἵνα μὴ τιμῶμεν μόνον, καὶ ἕτερόν τι πλέον ἐπιζητεῖ, λέγων, "τῇ σπουδῇ μὴ ὀκνηροί." καὶ γὰρ καὶ τοῦτο ἀγάπην τίκτει. ὅταν μετὰ σπουδῆς καὶ προστασίαν ἐπιδειξώμεθα. οὐδὲν γὰρ οὕτως ὡς τιμὴ καὶ πρόνοια τὸ φιλεῖσθαι ποιεῖ. οὐ γὰρ ἀρκεῖ τὸ φιλεῖν, ἀλλὰ δεῖ καὶ τούτου. μᾶλλον δὲ ἐκ τοῦ φιλεῖν, καὶ τοῦτο γίνεται. ὥσπερ οὖν καὶ τὸ φιλεῖν ἀπὸ τούτου διαθερμαίνεται. καὶ ἀλλήλων εἰσὶ κατασκευαστικά. καὶ γὰρ εἰσὶ πολλοὶ κατὰ διάνοιαν μὲν φιλοῦντες, οὐκ ὀρέγοντες δὲ χεῖρα. διὰ τοῦτο, πάντοθεν οἰκοδομεῖ τὴν ἀγάπην.*

Θεοδωρήτου. *Ἢ ὅτι ἀκραιφνῆ δείκνυτε τὴν περὶ τὰ καλὰ προθυμίαν, ἁπλῶς τὸν ὄκνον παντελῶς ἀπελαύνοντες.*

Χρυσοστόμου. *Καὶ πῶς ἂν γενοίμεθα τῇ σπουδῇ μὴ ὀκνηροί; " τῷ πνεύματι ζέοντες," φησίν. ὁρᾷς πῶς πανταχοῦ τὰς ἐπιτάσεις ζητεῖ; οὐ γὰρ εἶπε μεταδίδοτε μόνον, ἀλλὰ "μετὰ δαψι- " λείας." οὐ δὲ προΐστασθε, ἀλλ' "μετὰ σπουδῆς." οὐδὲ ἐλεεῖτε, ἀλλ' ἱλαρῶς. οὐδὲ τιμᾶτε, ἀλλὰ προηγεῖσθε. οὐδὲ ἀγαπᾶτε, ἀλλὰ ἀνυποκρίτως. οὐδὲ ἀπέχεσθε τῶν κακῶν, ἀλλὰ μισεῖτε. οὐδὲ ἔχεσθε τῶν ἀγαθῶν, ἀλλὰ κολλᾶσθε. οὐδὲ φιλεῖτε, ἀλλὰ φιλο-*

στόργως. οὐδὲ σπουδάζετε, ἀλλὰ μὴ ὀκνηρῶς. οὐδὲ τὸ πνεῦμα ἔχετε, ἀλλὰ ζέον τὸ πνεῦμα. τουτέστιν, ἵνα ἦτε θερμοὶ καὶ διεγηγερμένοι. ἐὰν γὰρ ἐκεῖνα ἔχῃς τὰ προειρημένα, ἐπισπάσῃ τὸ Πνεῦμα. ἐὰν μένῃ τοῦτο παρὰ σοι, καὶ πρὸς ἐκεῖνά σε σπουδαῖον ἐργάσεται. καὶ πάντα εὔκολα ἀπὸ τοῦ Πνεύματος καὶ τῆς ἀγάπης ἔσται.

Ἐκ τῶν ἀσκητικῶν. Εἴποι δ' ἄν τις ζέειν τῷ πνεύματι, καὶ τὸν, διαπύρῳ προθυμίᾳ καὶ ἀκορέστῳ ἐπιθυμίᾳ καὶ ἀόκνῳ σπουδῇ, ποιοῦντα τὸ θέλημα τοῦ Θεοῦ, ἐν ἀγάπῃ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, κατὰ τὸ γεγραμμένον, "ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει "σφόδρα."

Θεοδωρήτου. Ἢ Πνεῦμα μὲν ἐνταῦθα τὸ χάρισμα προσηγόρευσεν. ὕλην δὲ τούτῳ προσφέρειν καθάπερ ξύλα πυρὶ, τὴν προθυμίαν ἐκέλευσε. τοῦτο δὲ καὶ ἑτέρωθι λέγει, "τὸ Πνεῦμα μὴ "σβέννυτε." σβέννυται δὲ τὸ Πνεῦμα, τοῖς ἀναξίοις τῆς χάριτος. οὐκ ἔχοντες γὰρ καθαρὸν τῆς διανοίας τὸ ὄμμα, τὴν αἴγλην ἐκείνην οὐ δέχονται.

Χρυσοστόμου. Διὰ γὰρ τούτων ἁπάντων ἔστι δουλεύειν τῷ Θεῷ. ὅσα γὰρ ἂν ποιήσῃς εἰς τὸν ἀδελφὸν, εἰς τὸν δεσπότην σου διαβαίνει. καὶ ὡς αὐτὸς εὖ πεπονθὼς, οὕτως σοι τὸν μισθὸν λογιεῖται. εἶδες ποῦ τὸ φρόνημα ἀνήγαγε τοῦ ταῦτα ἐργαζομένου; εἶτα δεικνὺς πῶς ἂν ἀναφθείη τοῦ πνεύματος ἡ φλὸξ, φησὶν, "τῇ "ἐλπίδι χαίροντες, τῇ θλίψει ὑπομένοντες, τῇ προσευχῇ προσ"καρτεροῦντες." ταῦτα γὰρ πάντα, ὑπεκκαύματά ἐστι τοῦ πυρὸς ἐκείνου. ἐπειδὴ γὰρ καὶ χρημάτων δαπάνην ἀπῄτησε, καὶ σωμάτων πόνον, καὶ προστασίαν, καὶ σπουδὴν καὶ διδασκαλίαν, καὶ τὰ ἄλλα τὰ ἐπίπονα, ἀλείφει πάλιν τὸν ἀθλητὴν μετὰ τῆς ἀγάπης, μετὰ τοῦ Πνεύματος, διὰ τῆς ἐλπίδος. οὐδὲν γὰρ οὕτως ἀνδρείαν καὶ παράβολον πρὸς πάντα ποιεῖ τὴν ψυχὴν, ὡς ἐλπὶς χρηστή. εἶτα καὶ πρὸ τῶν ἐλπιζομένων ἀγαθῶν, ἕτερον πάλιν δίδωσιν ἔπαθλον. ἐπειδὴ γὰρ ἡ ἐλπὶς τῶν μελλόντων ἦν, φησὶ, "τῇ θλίψει "ὑπομένοντες." καὶ γὰρ πρὸ τῶν μελλόντων ἐν τῷ παρόντι, μέγα καρπώσῃ καλὸν ἀπὸ τῆς θλίψεως, τὸ, καρτερικὸς καὶ δόκιμος γίνεσθαι. μετὰ δὲ τούτου, καὶ ἑτέραν παρέχει βοήθειαν, λέγων,

"τῇ προσευχῇ προσκαρτεροῦντες." ὅταν οὖν καὶ ἀγάπη εὔκολον ποιῇ, καὶ Πνεῦμα βοηθῇ, καὶ ἐλπὶς κουφίζῃ, καὶ θλίψις δόκιμον ἐργάζηται καὶ ἐπιτήδειον πρὸς τὸ φέρειν πάντα γενναίως· καὶ ἔχῃς μετὰ τούτων καὶ ἕτερον ὅπλον μέγιστον τὴν προσευχὴν, καὶ τὴν ἀπὸ τῆς δεήσεως βοήθειαν, τί λοιπὸν ἔσται ἐπίπονον τῶν ἐπιταττομένων; οὐδέν.

Θεοδωρήτου. Ὁ τοίνυν τῷ Πνεύματι ζέων, καὶ προθύμως τῷ δεσπότῃ δουλεύει, καὶ προσμένει τῶν ἐλπιζομένων ἀγαθῶν τὴν ἀπόλαυσιν, καὶ τῶν προσπιπτόντων περιγίνεται πειρασμῶν· ταῖς τούτων προσβολαῖς, τὴν ὑπομονὴν ἀντιτάττων, καὶ τὴν θείαν χάριν διηνεκῶς εἰς συμμαχίαν καλῶν. τοῦτο γὰρ εἶπε "τῇ προσευχῇ "προσκαρτεροῦντες." τουτέστι, διηνεκῶς τοῦτο δρῶντες.

Ταῖς χρείαις τῶν ἁγίων κοινωνοῦντες· τὴν φιλοξενίαν διώκοντες.

Χρυσοστόμου. Πάλιν τῆς ἐλεημοσύνης ἐπιλαμβάνεται. μᾶλλον δὲ οὐχ ἁπλῶς ἐλεημοσύνης, ἀλλὰ τῆς εἰς τοὺς ἁγίους. ἄνω μὲν γὰρ εἰπὼν "ὁ ἐλεῶν, ἐν ἱλαρότητι," πᾶσι τὴν χρείαν ἀνέωξεν. ἐνταῦθα μέντοι ὑπὲρ τῶν ἁγίων φησίν. καὶ οὐκ εἶπε παρέχετε αὐτοῖς τὰς χρείας, ἀλλὰ κοινωνεῖτε αὐτῶν ταῖς χρείαις. δεικνὺς, ὅτι μείζονα λαμβάνουσιν, ἢ διδόασι. καὶ ὅτι εὐπορία τὸ πρᾶγμα ἐστίν. εἰσφέρεις σὺ χρήματα, εἰσφέρουσί σοι παρρησίαν τὴν πρὸς τὸν Θεὸν ἐκεῖνοι.

Θεοδωρήτου. Τῇ μνήμῃ οὖν τῆς κοινωνίας, εἰς φυλοτιμίαν προτρέπει. τίς γὰρ οὐχ αἱρεῖται μεταδοῦναι χρημάτων, ἵνα κοινωνὸς γένηται κατορθωμάτων; τοῦτο καὶ Κορινθίοις ἐπιστέλλων ἔφη, "τὸ ὑμῶν περίσσευμα εἰς τὸ ἐκείνων ὑστέρημα. ἵνα τὸ ἐκεί-"νων περίσσευμα γένηται, εἰς τὸ ὑμᾶν ὑστέρημα."

Χρυσοστόμου. Οὐκ εἶπεν ἐργαζόμενοι, ἀλλὰ διώκοντες. παιδεύων ἡμᾶς μὴ ἀναμένειν τοὺς δεομένους, πότε πρὸς ἡμᾶς ἔλθωσιν. ἀλλ' αὐτοὺς ἡμᾶς ἐπιτρέχειν καὶ καταδιώκειν. "εὐλογεῖτε τοὺς "διώκοντας ὑμᾶς. εὐλογεῖτε καὶ μὴ καταρᾶσθε." διδάξας αὐτούς. πῶς πρὸς ἀλλήλους διακεῖσθαι χρή. καὶ συγκολλήσας τὰ μέλη μετὰ ἀκριβείας, οὕτως ἐξάγει λοιπὸν πρὸς τὴν ἔξω παράταξιν· εὐκολωτέραν αὐτὴν ἐντεῦθεν ποιῶν. ὥσπερ γὰρ ὁ τὰ πρὸς τοὺς

οἰκείους μὴ κατωρθωκὼς, δυσκολώτερον τὰ πρὸς τοὺς ἀλλοτρίους οἰκονομήσει. οὕτως ὁ καλῶς ἀσκήσας ἑαυτὸν ἐν τούτοις, ῥᾷον καὶ τῶν ἔξωθεν περιέσται. διὰ δὴ τοῦτο καὶ ὁ Παῦλος ὁδῷ προβαίνων, μετ᾽ ἐκεῖνα ταῦτα τίθησι καὶ φησὶ, "εὐλογεῖτε τοὺς διώκοντας "ὑμᾶς." οὐκ εἶπε μὴ μνησικακεῖτε, μὴ δὲ ἀμύνεσθε. ἀλλὰ τὸ πολλῷ πλέον τούτων ἐξήτησεν. ἐκεῖνο μὲν γὰρ ἀνδρὸς φιλοσόφου. τοῦτο δὲ Ἀγγέλου λοιπόν. καὶ εἰπὼν, "εὐλογεῖτε," ἐπήγαγε, "καὶ "μὴ καταρᾶσθε." ἵνα μὴ τοῦτο κἀκεῖνο ποιῶμεν, ἀλλ᾽ ἐκεῖνο μόνον. καὶ οὐχὶ τοὺς ὑβρίζοντας μόνον, ἀλλὰ καὶ τοὺς διώκοντας, καὶ διὰ τῶν πραγμάτων ἐπηρεάζοντας, τοῖς ἐναντίοις ἀμείβεσθαι ἐκέλευσε. καὶ νῦν μὲν αὐτους εὐλογεῖν ἐκέλευσε, προϊὼν δὲ, καὶ ἔργοις εὐεργετεῖν παραινεῖ, "χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν "μετὰ κλαιόντων."

Χρυσοστόμου. Ἐπειδὴ γάρ ἐστιν εὐλογῆσαι μὲν, καὶ μὴ καταρᾶσθαι· μὴ μὴν ἐξ ἀγάπης τοῦτο ποιῆσαι, βούλεται καὶ διαθερμαίνεσθαι ἡμᾶς τῇ φιλίᾳ. διὸ καὶ τοῦτο ἐπήγαγεν ὥστε μὴ μόνον εὐλογεῖν, ἀλλὰ καὶ συναλγεῖν καὶ συμπάσχειν, εἴποτε ἴδοιμεν αὐτοὺς συμφορᾷ περιπεσόντας. φιλοσοφωτέρας δὲ δεῖται ψυχῆς τὸ χαίρειν μετὰ χαιρόντων μᾶλλον, ἢ τὸ κλαίειν μετὰ κλαιόντων. τοῦτο μὲν γὰρ, καὶ ἡ φύσις αὐτὴ κατορθοῖ· καὶ οὐδεὶς οὕτω λίθινος, ὃς οὐ κλαίει τὸν ἐν συμφοραῖς ὄντα. ἐκεῖνο δὲ γενναίας σφόδρα δεῖται ψυχῆς, ὥστε μὴ μόνον τῷ εὐδοκιμοῦντι μὴ φθονεῖν, ἀλλὰ καὶ συνήδεσθαι. διὰ τοῦτο, καὶ πρότερον αὐτὸ τέθεικεν. οὐδὲν γὰρ οὕτως ἀγάπην συνάγει, ὡς ὅταν καὶ χαρᾶς καὶ λύπης κοινωνῶμεν ἀλλήλοις. σκόπει δέ μοι καὶ τὸ ἀνεπαχθὲς τοῦ Παύλου. οὐ γὰρ εἶπε λῦσον τὴν συμφορὰν, ἵνα μὴ λέγῃς πολλάκις, ὅτι ἀδύνατον· ἀλλὰ τὸ κουφότερον ἐπέταξε, καὶ οὗ κύριος εἶ. κἂν γὰρ ἀνελεῖν μὴ δυνηθῇς τὸ δεινὸν, εἴσαγε δάκρυα, καὶ τὸ πλέον ἀνεῖλες. κἂν μὴ δυνηθῇς αὐξῆσαι τὴν εὐημερίαν, εἴσαγε τὴν χαρὰν, καὶ πολλὴν τὴν προσθήκην ἐποίησας. διὰ τοῦτο οὐ μόνον μὴ φθονεῖν, ἀλλὰ καὶ ὃ πλέον ἐστὶ παραινεῖ, τὸ καὶ συνήδεσθαι.

Θεοδωρήτου. Κοινωνεῖτε οὖν φησιν ἀλλήλοις, καὶ τῶν λυπηρῶν καὶ τῶν ἐναντίων. τὸ μὲν γὰρ, συμπαθείας· τὸ δὲ φιλίας, οὐκ ἐχούσης τοῦ φθόνου τὸν μῶμον.

Βασιλείου ἐκ τοῦ περὶ εὐχαριστίας λόγου. Ἴδωμεν δὲ τίσι συγχαίρειν εἰκὸς, καὶ τίσι συναλγεῖν. δικαίοις μὲν συσκιρτᾶν καὶ συναγάλλεσθαι ὁ θεῖος νόμος ἡμῖν ἐπιτρέψει. τοῖς δὲ ἐκ μετανοίας ἀφιεῖσι δάκρυον, συμπενθεῖν καὶ συνοδύρεσθαι. ἢ τοὺς ἀναλγήτως διακειμένους, ἀποκλαίεσθαι· ὅτι οὐδὲ ἴσασι πῶς ἀπολλυνται. οὐχὶ δὲ ἐπὶ θανάτῳ ἀνθρώπων κατακλαύσαντα καὶ συνεκβοήσαντα τοῖς ἀνθρώποις τοῖς πενθοῦσι, πληρωτὴν προσήκει νομίζειν εἶναι τῆς ἐντολῆς. οὐδὲ γὰρ ἰατρὸν ἐπαινῶ, τὸν ἀντὶ τοῦ τοῖς κάμνουσι βοηθεῖν, αὐτὸν τῶν νοσημάτων ἀναπιμπλάμενον. τοιοῦτος δέ ἐστιν ὁ πρὸς τοὺς πενθοῦντας εἰσιὼν, καὶ μὴ τῆς ἐκ τοῦ οἰκείου λόγου ὠφελείας μεταδιδοὺς, ἀλλὰ τῆς ἐκ τῶν ἀλλοτρίων παθῶν ἀσχημοσύνης μεταλαμβάνων. ἐπιστυγνάζειν μὲν οὖν ταῖς συμφοραῖς τῶν πενθούντων ἀκόλουθον. οὕτω γὰρ ἑαυτὸν οἰκειώσει τοῖς πάσχουσι. μὴ καθιλαρευόμενος τῶν συμφορῶν, μὴ δ' ἐναδιαφορῶν τοῖς ἀλλοτρίων ἀλγήμασιν. οὐ μὴν περαιτέρω γε συνεκφέρεσθαι τοῖς λυπουμένοις προσήκει· ὥστε ἢ συνεκβοᾶν ἢ συνθρηνεῖν τῷ πεπτωκότι τινὶ συμφορᾷ, ἢ ἐν τοῖς ἀλλοτρίοις μιμεῖσθαι καὶ ζηλοῦν τὸν ἐσκοτωμένον ὑπὸ τοῦ πάθους. οἷον συγκαθειργνύναι ἑαυτὸν, καὶ συμμελανειμονεῖν, καὶ χαμαὶ συγκαθῆσθαι καὶ κουρᾶς ἀμελεῖν. ἐκ τούτων γὰρ ἐπιτείνειν ἔστι μᾶλλον τὴν συμφορὰν, οὐ πραΰνειν. ἀλλὰ δάκνεσθαι μὲν ὑπὸ τῶν γινομένων, καὶ ἡσυχῇ τοῖς λυπηροῖς ἐπιστυγνάζειν προσήκει· ἐν συννοίᾳ προσώπου καὶ σεμνότητι βάρος ἐχούσῃ, τὸ τῆς ψυχῆς πάθος διασημαίνοντα. φθεγγόμενον δὲ, οὐκ εὐθὺς ἐπιτιμᾶν προσήκει ταῖς ἐπιτιμήσεσιν, ὥσπερ ἐναλλόμενον καὶ ἐπεμβαίνοντα τοῖς κειμένοις. φορτικὸν γὰρ τοῖς ὑπὸ λύπης τὴν ψυχὴν κεκακωμένοις, ἡ ἐπιτίμησις. καὶ ἅμα δυσπαράδεκτοι εἰσὶ τοῖς κάμνουσι, καὶ πρὸς παρηγορίαν ἀπίθανοι τῶν ἀπαθῶς παντάπασι διακειμένων οἱ λόγοι. ἀλλὰ συγχωρήσαντα, κενὰ καὶ ἄπρακτα ἐμβοῆσαι καὶ ὀλοφύρασθαι. ἤδη τοῦ κακοῦ ὑπανέντος τί καὶ χαλάσαντος, τότε ἀμελῶς καὶ πράως τῆς παρακλήσεως ἅπτεσθαι. ὅταν δὲ πάλιν ἴδῃς ἐπὶ μετανοίᾳ τῶν ἡμαρτημένων τὸν ἀδελφὸν ὀδυρόμενον, σύγκλαυσον τῷ τοιούτῳ καὶ συμπάθει. οὕτω γάρ σοι ὑπάρξει ἐν ἀλλοτρίοις πάθεσι τὸ οἰκεῖον ἐπανορθοῦσθαι. ὁ γὰρ ὑπὲρ τῆς τοῦ

πλησίον ἁμαρτίας θερμὸν ἀποστάξας δάκρυον, ἑαυτὸν ἐξιάσατο δι' ὧν τὸν ἀδελφὸν ἀπωδύρατο.

16 Τὸ αὐτὸ εἰς ἀλλήλους φρονοῦντες· μὴ τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς ταπεινοῖς συναπαγόμενοι.

Χρυσοστόμου. Πολλὴν πάλιν περὶ τῆς ταπεινοφροσύνης ποιεῖται τὴν σπουδήν. ὅθεν καὶ ἤρξατο τοῦ λόγου. καὶ γὰρ εἰκὸς ἦν φρονήματος μεστοὺς αὐτοὺς εἶναι καὶ ἀπὸ τῆς πόλεως, καὶ ἑτέρωθεν πολλαχόθεν. διὸ συνεχῶς ὑποσύρει τὸν νόσημα. οὐδὲν γὰρ οὕτως ἀποσχίζει σῶμα ἐκκλησίας, ὡς ἀλαζονεία. τί δέ ἐστι "τὸ "αὐτὸ εἰς ἀλλήλους φρονοῦντες;" παρεγένετό σοι ὁ πένης εἰς τὴν οἰκίαν; γενοῦ κατ' ἐκεῖνον τῷ φρονήματι. μὴ μείζονα λάβῃς ὄγκον διὰ τὸν πλοῦτον. μὴ δὲ ἂν ἴδῃς πενθοῦντα, ἀνάξιον σαυτοῦ νομίσῃς παραβαλέσθαι. μὴ δὲ ἂν ἴδῃς εὐημεροῦντα, ἐρωθριάσῃς κοινωνῆσαι τῆς ἡδονῆς καὶ συνησθῆναι. ἀλλ' ὃ περὶ σεαυτοῦ φρονεῖς, καὶ περὶ ἐκείνου. οἷον μέγαν σαυτὸν εἶναι νομίζεις; οὐκοῦν καὶ ἐκεῖνον νόμιζε. ταπεινὸν καὶ μικρὸν ἐκεῖνον εἶναι ὑποπτεύεις; οὐκοῦν καὶ περὶ σαυτοῦ, τοῦτο ψηφίζου· καὶ πᾶσαν ἀνωμάλιαν ἔκβαλε. πῶς δ' ἂν γένοιτο τοῦτο; εἰ τὴν ἀπόνοιαν ἐκβάλοις. διὸ καὶ ἐπήγαγε, "μὴ τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς ταπεινοῖς "συναπαγόμενοι." τουτέστιν, εἰς τὴν ἐκείνων εὐτέλειαν κατάβηθι, συμπεριφέρου, συμπεριέρχου. μὴ ἁπλῶς τῷ φρονήματι ταπεινοῦ, ἀλλὰ καὶ χεῖρα ὄρεγε. μὴ δι' ἑτέρων, ἀλλὰ διὰ σεαυτοῦ. ταπεινοὺς δὲ ἐνταῦθα οὐχ ἁπλῶς τοὺς ταπεινόφρονας φησὶ, ἀλλὰ τοὺς εὐτελεῖς καὶ εὐκαταφρονήτους.

Χρυσοστόμου. "Μὴ γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς." τουτέστι, μὴ νομίζετε ἀρκεῖν ἑαυτοῖς. καὶ γὰρ ἀλλαχοῦ φησὶν ἡ γραφὴ, "οὐαὶ οἱ συνετοὶ παρ' ἑαυτοῖς, καὶ ἐνώπιον ἑαυτῶν ἐπι-"στήμονες." καὶ διὰ τούτων δὲ πάλιν τὴν ἀπόνοιαν ὑπορύττει, καὶ τὸ φύσημα καταστέλλει. οὐδὲν γὰρ οὕτως ἐπαίρει καὶ ἀποσχίζει τῶν λοιπῶν, ὡς τὸ νομίζειν τινὰ ἀρκεῖν ἑαυτῷ. διὸ καὶ ἐν χρείᾳ ἀλλήλων κατέστησεν ἡμᾶς ὁ Θεός. κἂν γὰρ φρόνιμος εἶ, ἑτέρου δεήσῃ. ἂν δὲ νομίσῃς μὴ δεῖσθαι, ἀνοητότερος πάντων ἐγένου καὶ ἀσθενέστερος. ὁ γὰρ τοιοῦτος, καὶ ἔρημον ἑαυτὸν καταστήσει βοηθείας, καὶ ἐν οἷς ἂν ἁμαρτάνῃ, οὐδεμιᾶς ἀπολαύσεται οὔτε διορθώσεως οὔτε συγγνώμης. καὶ τὸν Θεὸν παροξυνεῖ διὰ τῆς

διὰ τῆς ἀπονοίας. ἔστι γὰρ, ἔστι πολλάκις, καὶ τὸν φρόνιμον μὴ συνιδεῖν τὸ δέον, καὶ τὸν ἀνοητότερον εὑρεῖν τί τῶν προσηκόντων. μὴ τοίνυν νομίσῃς καθαιρεῖσθαι δεόμενος ἑτέρου. τοῦτο γάρ σε μᾶλλον ὑψοῖ.

Ἐκ τῶν Ἀσκητικῶν. Ἆρα δὲ τοῦ Ἀποστόλου λέγοντος, ποτὲ μὲν, "μὴ γίνεσθε ἄφρονες," ποτὲ δὲ, "μὴ γίνεσθε φρόνιμοι παρ' "ἑαυτοῖς." δυνατὸν μὴ εἶναι φρόνιμον παρ' ἑαυτῷ τὸν μὴ ἄφρονα; ἕκαστον πρόσταγμα ἴδιον ἔχει τὸν ὅρον. τὸ γὰρ "μὴ γίνεσθε ἄφρονες," ἐπιφέρει, "ἀλλὰ συνιέντες τί τὸ θέλημα τοῦ Θεοῦ." καὶ τὸ "μὴ ἴσθι φρόνιμος παρὰ σεαυτῷ, φοβοῦ τὲ τὸν Κύριον. "καὶ ἔκκλινον ἀπὸ παντὸς κακοῦ." ὥστε ἄφρων μέν ἐστιν, ὁ μὴ συνιεὶς τὸ θέλημα τοῦ Θεοῦ· φρόνιμος δὲ παρ' ἑαυτῷ, πᾶς ὁ λογισμοῖς ἰδίοις χρώμενος, καὶ μὴ κατὰ πίστιν στοιχῶν τοῖς τοῦ Κυρίου ῥήμασιν. εἰ γοῦν τις βούλεται, μήτε φρόνιμος εἶναι, μήτε ἄφρων παρ' ἑαυτῷ, συνιέναι ὀφείλει τὸ θέλημα τοῦ Κυρίου πίστει τῇ εἰς αὐτόν· καὶ ἐν τῷ φόβῳ τοῦ Θεοῦ μιμεῖσθαι τὸν Ἀπόστολον λέγοντα, "λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ "τῆς γνώσεως τοῦ Θεοῦ. καὶ αἰχμαλωτίζοντες ἅπαν νόημα εἰς "τὴν ὑπακοὴν τοῦ Χριστοῦ."

17 Μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες.

Γενναδίου. Ἐπειδὴ τὸ μὴ τοῖς ὁμοίοις ἀμύνεσθαι τοὺς πονηροὺς, τοῦ θείου διαγορεύοντος νόμου, πολλοὶ τῶν ἀνθρώπων ἐν ταῖς ἀδικίαις ἐρεθιζόμενοι ὑπὸ θύμου μωρίαν τοῦτο δοκοῦσι, καὶ τὸ στέργειν τὴν ἡσυχίαν ἐῶντες ὡς ἄνανδρον, εἰς σπουδὴν μείζονος βλάβης περιάγονται, παραινεῖ μὴ οὕτω ποιεῖν· μὴ δὲ τοῖς ἐξ ὀργῆς οἰκείοις παραχωρεῖν, ὡς κρείττοσι τῆς θείας διατάξεως λογισμοῖς. ἀλλ' ὑπακούειν ἐκείνῃ, χαίρειν φήσαντας τούτοις.

Χρυσοστόμου. Εἰ γὰρ ἕτερον φεύγεις ἐπιβουλεύοντα, τί σαυτὸν ὑπεύθυνον ποιεῖς τῇ κατηγορίᾳ; εἰ κακῶς ἐκεῖνος ἐποίησε, τί μὴ φεύγεις τὸν ζῆλον; καὶ ὅρα πῶς ἐνταῦθα οὐ διέστειλεν, ἀλλὰ κοινὸν τὸν νόμον ἔθηκεν. οὐ γὰρ εἶπε τῷ πιστῷ μὴ ἀποδῷς κακὸν, ἀλλὰ μηδενὶ, κἂν Ἕλλην ᾖ, κἂν μιαρὸς, κἂν ὁστισοῦν.

Προνοούμενοι καλὰ ἐνώπιον πάντων ἀνθρώπων.

Χρυσοστόμου. Ἐπειδὴ ἄνω εἶπε "μηδενὶ κακὸν ἀντὶ κακοῦ

“ ἀποδιδόντες,” προσέθηκε καὶ τὸ, “ προνοούμενοι καλά.” ὡς εἰ ἔλεγεν, οὐκ ἀρκεῖ μόνον τὸ μὴ ἀποδιδόναι κακὸν, ἀλλὰ δεῖ καὶ προνοεῖν τοῦ ποιήσαντος κακῶς ἡμᾶς. καὶ γὰρ ἄνω οὐκ ἠρκέσθη τῷ μὴ καταρᾶσθαι τοὺς διώκοντας, ἀλλὰ καὶ εὐλογεῖν προσέταξεν. ἢ τοίνυν τοῦτο φησί· ἢ ὅτι πρόνοιαν ποιεῖσθε τοῦ καλοὶ φαίνεσθαι ἐν τῷ μηδενὶ διδόναι ψόγου πρόφασιν. καὶ τοῦτό ἐστι τὸ, “ λαμ- “ ψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων.” οὐχ ἵνα πρὸς κενοδοξίαν ζῶμεν, ἀλλ᾽ ἵνα μὴ παρέχωμεν λαβὴν καθ᾽ ἑαυτῶν, τοῖς βουλομένοις. διὸ καὶ ἀλλαχοῦ ἔλεγεν, “ ἀπρόσκοποι γίνεσθε, καὶ “ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ.” καλῶς δὲ τὸ ἑξῆς ἐκόλασεν εἰπὼν,

18 Εἰ δυνατὸν, τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες.

Ἔστι γὰρ ὅπου οὐ δυνατόν. οἷον, ὅταν περὶ εὐσεβείας ὁ λόγος ᾖ· ὅταν περὶ ἀδικουμένων ὁ ἀγών. καὶ τί θαυμάζεις, εἰ ἐπὶ ἀνθρώπων τῶν ἄλλων τοῦτο οὐ πανταχοῦ δυνατόν; ὅπου καὶ ἐπὶ ἀνδρὸς καὶ ἐπὶ γυναικὸς ταύτην ἔλυσε τὴν ἀνάγκην, εἰπὼν, “ εἰ “ δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω.” ὃ δὲ λέγει, τοιοῦτόν ἐστι. τὰ παρὰ σαυτοῦ πάρεχε, καὶ μηδενὶ δίδου πολέμου καὶ μάχης ἀφορμήν· μὴ Ἰουδαίῳ μὴ Ἕλληνι. εἰ δέ που τὴν εὐσέβειαν παραβλαπτομένην ἴδῃς, μὴ προτίμα τὴν ὁμόνοιαν τῆς ἀληθείας. ἀλλ᾽ ἵστασο γενναίως ἕως θανάτου. καὶ μὴ δὲ οὕτω ψυχῇ πολέμει, μὴ δὲ ἀποστρέφου γνώμῃ, ἀλλὰ τοῖς πράγμασι μάχου μόνον. τοῦτο γάρ ἐστι τὸ “ ἐξ ὑμῶν μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες.” κἂν ἐκεῖνος μὴ εἰρηνεύῃ, σὺ μὴ πληρώσῃς χειμῶνος τὴν ψυχήν. ἀλλ᾽ ἔσο φιλόσοφος κατὰ γνώμην. ὅπερ ἔφθην εἰπὼν, τὴν ἀλήθειαν μηδαμῶς προδιδούς.

Ἰσιδώρου. Ὁ γὰρ εὐσεβὴς τῷ ἀσεβεῖ πῶς εἰρηνεύσει; ἢ ὁ δίκαιος τῷ ἀδίκῳ; εἰ δὲ λογισμοὺς οἴει τούτους εἶναι, θέα αὐτὸν τὸν Παῦλον, εἰ μετὰ πάντων εἰρήνευσεν. εἰ δὲ καὶ ἀνωτέρω τὸν λόγον ἀγαγεῖν βούλοιο, θέα τὸν Χριστὸν, εἰ μετὰ πάντων ἐσπείσατο. εἰς τοσαύτην οὖν ἐξεβακχεύθησαν οἱ τῶν Ἰουδαίων ἄρχοντες μανίαν, ὡς καὶ σταυρῷ αὐτὸν προσηλῶσαι. τί οὖν ἐστιν “ εἰ “ δυνατόν σοι;” μὴ δίδου τινὶ λαβὴν ἔχθρας. μὴ δὲ δικαίως καὶ

εὐλόγως ἔχε ἐχθρόν. εἰ δὲ ἀλόγως ἐκεῖνοι ἀπεχθάνονται, σὲ τοῦτο οὐ παραβλάψει. οὐ δὲ γὰρ ὁ Χριστὸς ὁ εἰρηκὼς "ἐμίσησάν με "δωρεὰν," ἐκέλευσε μὴ ἔχειν ἐχθρούς. τούτου γὰρ οὐκ ἐσμὲν κύριοι· ἀλλὰ τοῦ μὴ κατασπείρειν ῥίζαν πολέμου. καὶ μάλιστα ὅταν ἡ εὐσέβεια μηδὲν παραβλάπτηται. εἰ δὲ οἱ πονηροὶ τοὺς ἀγαθοὺς μισοῦσι, μὴ θαυμάζητε. τοῦτο γὰρ καὶ ὁ Παῦλος ἐπιστάμενος ἔφη, "δίωκε δὲ εἰρήνην μετὰ τῶν ἐπικαλουμένων τὸν "Κύριον, ἐκ καθαρᾶς καρδίας." μὴ τοίνυν αἰτιῶ τὸν ἐχθροὺς ἔχοντα· ἀλλὰ τὸν, ἑαυτῷ τοὺς ἐχθροὺς κατασκευάζοντα. εἰ δὲ μὴ συμβαίνει τῷ φωτὶ τὸ σκότος, οὐ γὰρ οἷόν τε, οὐδὲ παρὰ τὸ φῶς.

19 Μὴ ἑαυτοὺς ἐκδικοῦντες, ἀγαπητοὶ, ἀλλὰ δότε τό-
πον τῇ ὀργῇ· γέγραπται γὰρ, ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀντα-
20 ποδώσω, λέγει Κύριος. ἐὰν οὖν πεινᾷ ὁ ἐχθρός σου,
ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐτόν. τοῦτο γὰρ
ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ.

ΧΡΥΣΟΣΤΟΜΟΥ. *Ποίᾳ ὀργῇ διδόναι τόπον λέγει; τῇ τοῦ Θεοῦ. ἐπειδὴ γὰρ τοῦτο μάλιστα ἐπιθυμεῖ ἰδεῖν ὁ ἀδικηθεὶς ἐκδικίας ἑαυτὸν ἀπολαύοντα, τοῦτο αὐτῷ μετὰ πολλῆς δίδωσι τῆς περιουσίας. ἂν γὰρ αὐτὸς μὴ ἀμύνῃ φησὶν, ὁ Θεὸς ἔσται τιμωρός. συγχώρησον οὖν αὐτῷ ἐπεξελθεῖν. τοῦτο γὰρ ἐστὶ, "δότε τόπον τῇ "ὀργῇ." εἶτα παραμυθούμενος ἐπὶ πλέον, καὶ τὴν ἁμαρτίαν εἰσήγαγε. καὶ ταύτῃ μειζόνως αὐτὸν ἀνακτησάμενος, πλείονα αὐτὸν ἀπαιτεῖ τὴν φιλοσοφίαν, λέγων, "ἐὰν οὖν πεινᾷ ὁ ἐχθρός σου." τί γὰρ λέγω φησίν; ὅτι εἰρηνεύειν δεῖ; καὶ γὰρ καὶ εὐεργετεῖν ἐπιτάττω. ψώμιζε γὰρ αὐτὸν, καὶ πότιζε αὐτὸν, φησίν. εἶτα ἐπειδὴ σφόδρα ἐπίπονον ἐπέταξε καὶ μέγα, ἐπήγαγε, "τοῦτο γὰρ ποιῶν, "ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ." ταῦτα δὲ ἔλεγε, κἀκεῖνον καταστέλλων τῷ φόβῳ, καὶ τοῦτον προθυμότερον ποιῶν τῇ ἐλπίδι τῆς ἀντιδόσεως. ὁ γὰρ ἠδικημένος ὅταν ἀσθενὴς ᾖ, οὐχ οὕτω κατέχεται τοῖς οἰκείοις ἀγαθοῖς, ὡς τῇ τιμωρίᾳ τοῦ λελυπηκότος αὐτόν. οὐδὲν γὰρ οὕτως ἡδὺ ὡς ἐχθρὸν κολαζόμενον ἰδεῖν.*

Θεοδωρήτου. Εἰδέναι μέντοι χρὴ ὡς οὐκ ἐπὶ τούτῳ θεραπεύειν προσήκει τοὺς δυσμενεῖς, ἵνα μείζους ἐκεῖνοι τίσωσι δίκας. ὁ γὰρ θεῖος Ἀπόστολος ταῦτα προσέθηκε, σβέσαι τοῦ ἀδικουμένου βουλόμενος τὸν θυμόν· οὐ τῷ ἀγαθῷ τὸ κακὸν αὐξῆσαι πειρώμενος.

Ἐκ τῶν Ἀσκητικῶν. Εἴποι δ' ἄν τις ὅτι τὸ, "δότε τόπον "τῇ ὀργῇ" ἐστὶν, ἤτοι τὸ μὴ ἀντιστῆναι τῷ πονηρῷ, καθὼς γέγραπται, "ἀλλὰ καὶ τῷ τύπτοντί σε ἐπὶ τὴν δεξιὰν σιαγόνα, "στρέψον αὐτῷ καὶ τὴν ἄλλην," καὶ τὰ ἑξῆς. ἢ τὸ, "ὅταν διώ"κωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἄλλην."

Ἐκ τῶν αὐτῶν. Τίς δὲ ὁ ἐχθρὸς ὃν ἀγαπᾶν προσταττόμεθα; καὶ πῶς ἀγαπήσομεν αὐτόν; ἐχθροῦ ἴδιον τὸ βλάπτειν καὶ ἐπιβουλεύειν. πᾶς οὖν ὁ ὁπωσδήποτε βλάπτων τινὰ, ἐχθρὸς ἂν λέγοιτο. ἐξαιρέτως δὲ, ὁ ἁμαρτάνων. τὸ γὰρ ὅσον ἐφ' ἑαυτῷ βλάπτει κατὰ διαφόρους τρόπους, καὶ ἐπιβουλεύει τῷ συνόντι ἢ συντυγχάνοντι. ἐπειδὴ δὲ ἐκ σώματος καὶ ψυχῆς συνέστηκεν ὁ ἄνθρωπος, κατὰ μὲν τὴν ψυχὴν, ἀγαπήσομεν τοὺς τοιούτους, ἐλέγχοντες, νουθετοῦντες, καὶ παντὶ τρόπῳ εἰς ἐπιστροφὴν ἄγοντες. κατὰ δὲ τὸ σῶμα, εὐεργετοῦντες αὐτοὺς, ἐπιδεομένους τῶν πρὸς τὴν ζωὴν ἀναγκαίων.

Μαξίμου. Καὶ ἄλλως δὲ ἐχθρὸν ἔχομεν κατὰ τῆς ψυχῆς, τὸ ἡμέτερον σῶμα, ἀεὶ διὰ τῆς ἐπαναστάσεως τῶν παθῶν πολεμοῦν ἡμῖν. ἐὰν οὖν ἐκ τῆς συνειδήσεως πιεζόμενον τὸ τῆς σαρκὸς φρόνημα πεινᾷ, τουτέστιν ὀρέγηται σωτηρίας, ἢ διψᾷ θείας γνώσεως, δέον τρέφειν αὐτὸ δι' ἐγκρατείας καὶ πόνων, καὶ ποτίζειν τῇ μελέτῃ τῶν θείων λογίων. οὕτω γὰρ σωρεύονται ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, τουτέστι τὸν νοῦν, ἄνθρακες πυρὸς, θεῖοι καὶ πνευματικοὶ λογισμοί.

Ὠριγένους. Ἢ καὶ οὕτως. ἐπειδὴ ἡ πρὸς τὴν ἀρετὴν καὶ θεωρίαν ὄρεξις, δοκεῖ πεῖνα εἶναι καὶ δίψα, ὡς ὑγείας ἐμποιητικὰ ψυχικῆς, ἐὰν τοιαύτην ποτὲ πεῖναν ἢ δίψαν ὁ ἐχθρὸς σχῇ, μετὰ τὸ μετανοῆσαι ἐφ' οἷς ἥμαρτε, δεῖ αὐτῷ τὸν ἅγιον ἄρτον πεινῶντι διδόναι, ἐὰν μὴ ἔστι χοῖρος ἢ κύων, ἀνάξιος τῶν ἁγίων. πολλαχῶς δέ ἐστι πεινῶντα θρέψαι τὸν ἐχθρόν. ποτὲ μὲν λόγῳ διδασκαλικῷ· ποτὲ δὲ, εὐχῇ τῇ περὶ αὐτοῦ. καὶ ἐπειδὴ παντὸς ἀνδρὸς κεφαλὴ ὁ

Χριστός. οὐκοῦν τοῦ ἐχθροῦ ὡς μὴ ὄντος ἀνδρὸς, διὰ τὸ ἀσεβὲς, κεφαλὴ ὁ ἀντίχριστος. ὃν χρὴ ἐξαφανίζεσθαι ὡς ἐναντίον τῷ τοῦ Θεοῦ λόγῳ, ὑπὸ τοῦ λογικοῦ πυρὸς τῶν ἀνθράκων. ὅταν ὁ ἀσεβὴς ὁ ἔχων κεφαλὴν τὸν ἀντίχριστον, πεινήσας, φάγῃ τὸν ἀπὸ τῆς ἁγίας τραπέζης ἄρτον· καὶ διψήσας, ποτισθῇ τῷ ἀπὸ τῆς ἁγίας πηγῆς ὕδατι ζῶντι. διὸ καλόν ἐστι σωρεῦσαι ἄνθρακας, ὅ ἐστι λόγους, ἐπὶ τὴν τοῦ ἐχθροῦ κεφαλήν. "ὃν ὁ Κύριος Ἰησοῦς ἀναλοῖ "τῷ πνεύματι τοῦ στόματος αὐτοῦ." τοῦτο γάρ ἐστι τὸ σωτήριον πῦρ, περὶ οὗ εἶπε, "πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν." ἀντὶ τοῦ, ἀναλῶσαι καὶ ἐξαφανίσαι τὰ σωματικὰ καὶ ὑλικά. πολλῶν δὲ ἀνθράκων χρεία, ἵνα τοῦ ἐχθροῦ ἡ κεφαλὴ ἐξαναλωθῇ. οἵτινές εἰσιν οἱ ἀληθεῖς λόγοι, οἱ ἐξαναφανίζοντες τὸ ψεῦδος. ὅταν οὖν ἀναλωθῇ ἡ τοῦ ἐχθροῦ κεφαλὴ, ὑπὸ τῶν σωρευομένων ἀνθράκων, ἐκ τοῦ τρέφεσθαι πεινῶντα τὸν ἐχθρὸν, γίνεται ὁ ποτὲ ἐχθρὸς, φίλος. καὶ κέχρηται κεφαλῇ τῷ Χριστῷ.

Ἰσιδώρου. Ἁπλῶς δὲ εἰπεῖν τὸ θαυμασθὲν ὑπὸ σοῦ, "ἐὰν πεινᾷ "ὁ ἐχθρός σου, ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐτὸν," οὐ λίαν μέγα καὶ νεανικὸν, ἀλλ' εὐχῆς ἔργον ἐστί. τὸ γὰρ εἰς τοσαύτην ἐμπεσεῖν ἐκεῖνον ἀνάγκην, ὡς τῶν ἀναγκαίων δεηθῆναι, καὶ παρὰ τοῦ ἐχθροῦ ἐλεηθῆναι, πάσης συμφορᾶς ἔγωγε εἶναι ὁρίζομαι, καὶ πάσης τιμωρίας χαλεπώτερον. οὕτω γοῦν οἱ πολλοὶ τοῦθ' ὅρκον μέγιστον νενομίκασι, λέγοντες, μὴ λάβω παρὰ ἐχθρῶν μου ἔρανον. εἰ τοίνυν τοῖς μὲν ποιοῦσι κατ' εὐχὴν, τοῖς δὲ πάσχουσι κατὰ τιμωρίαν γίνεται, τί θαυμάζεις; καὶ μάλιστα ὅταν μήδ' ἁπλῆ εἴη ἡ εὐεργεσία, ἀλλὰ τιμωρίας μείζονος ποιητική; "τοῦτο "γὰρ ποιῶν," φησὶν, "ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφα-"λὴν αὐτοῦ." εἰ τοίνυν αὐτὸ καθ' αὑτὸ τὸ πρᾶγμα ἐν τιμωρίας γίνεται μέρει, καὶ ἡ αἰτία δι' ἣν γίνεται, διὰ κόλασιν ἄλλην γίνεται.

Τοῖς γὰρ λέγουσιν, ὅτι θερμανεῖς αὐτοῦ τὸ ἡγεμονικὸν καὶ ἀνανῆψαι ποιήσεις, οὐ πάνυ προσεκτέον. ἢ γὰρ ἂν οὐ τὴν ἀνάγκην τοῦ λιμοῦ προσέθηκεν, ἀλλ' ἐν παντὶ καιρῷ καλῶς χρῆσθαι προσέταξεν. οὐ θαυμάζω οὖν ἔγωγε τοὺς τοῦτο ποιοῦντας, ἀλλὰ τοὺς ἐν εὐημερίᾳ ὁρῶντας τοὺς ἐχθροὺς, καὶ μὴ μόνον μὴ δυσχεραίνοντας, ἀλλὰ καὶ ἐπαινοῦντας, καὶ εὐχομένους ὑπὲρ αὐτῶν. ὅπερ ἡ

νέα φιλοσοφία προστάττουσα φησὶν, "ἀγαπᾶτε τοὺς ἐχθροὺς "ὑμῶν· καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, καὶ προσεύχεσθε "ὑπὲρ τῶν ἐπηρεαζόντων καὶ διωκόντων ὑμᾶς." ἐκεῖ μὲν γὰρ, ἀνάγκη ἐπικλᾶν οἶδεν. ἐνταῦθα δὲ γυμνή ἐστι τῆς διανοίας ἡ βάσανος. εἰ δὲ καὶ ὁ Ἀπόστολος τῇ παλαιᾷ κατεχρήσατο παραινέσει, ἀλλὰ πᾶσι δῆλον ἐστὶν, ὅτι πρὸς ἀτελεστέρους ἦν ὁ λόγος αὐτῷ.

21 Μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν.

Χρυσοστόμου. Δοὺς πρότερον τῷ ἠδικημένῳ, ὅπερ ἐπεπόθει, λέγω δὴ τὸ ἰδεῖν τὸν ἐχθρὸν κολαζόμενον ὑπὸ τοῦ Θεοῦ, λοιπὸν τὰ ὑψηλότερα παραινεῖ, "μὴ νικῶ," λέγων, "ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα "ἐν τῷ ἀγαθῷ τὸ κακόν." ᾔδει γὰρ ὅτι κἂν θηρίον ᾖ ὁ ἐχθρὸς, οὐ μένει ψωμιζόμενος, ἐχθρός· κἂν μυριάκις μικρόψυχος ᾖ ὁ ἠδικημένος, ψωμίζων αὐτὸν καὶ ποτίζων· οὐδὲ αὐτὸς λοιπὸν τῆς τιμωρίας ἐπιθυμήσειε τῆς ἐκείνου. διὸ τῷ τέλει θαρρῶν τοῦ πράγματος, οὐχ ἁπλῶς ἠπείληται, ἀλλὰ καὶ ἐπιδαψιλεύεται τῇ τιμωρίᾳ. οὐ γὰρ εἶπε τιμωρήσεις, ἀλλὰ "ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν "κεφαλὴν αὐτοῦ." εἶτα, καὶ ἀνεκήρυξεν αὐτὸν εἰπών· "μὴ νικῶ "ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν." καὶ ἠρέμα πως ᾐνίξατο τὸ μὴ ἰδεῖν τοιαύτῃ προαιρέσει ποιεῖν. τὸ γὰρ ἔτι μνησικακεῖν, ἡττᾶσθαι ἐστὶν ὑπὸ τοῦ κακοῦ. ἀλλὰ πρῶτον μὲν αὐτὸ οὐκ εἶπεν. οὐδὲ γὰρ εἶχε καιρόν. ὅτε δὲ ἐκένωσεν αὐτοῦ τὸν θυμὸν, τότε ἐπήγαγε, "νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν." εἰ γοῦν καὶ σοῦ εὐεργετοῦντος τὸν ἐχθρὸν ὁ Θεὸς ἐκδικῶν σε ὀργίζεται αὐτῷ, καὶ πῦρ πειρασμῶν καὶ κακώσεων ὧν κατὰ σοῦ ἐκεῖνος ἐτέκταινεν, ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στρέφει, ἀλλ' οὖν μὴ σὺ διὰ τοῦτο θελήσῃς αὐτὸν εὐεργετεῖν, ἵν' ἐν τοιούτοις αὐτὸν κακοῖς ἴδῃς. ἐπεὶ ἐνικήθης ὑπὸ τοῦ κακοῦ. κακεῖνος μὲν οὐδὲν ἧττον ἃ ἔδει παθεῖν αὐτὸν, πάσχει. σὺ δὲ ἀπώλεσάς σου τὸν μισθὸν, νικηθεὶς ὑπὸ τοῦ κακοῦ.

1 Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω.
οὐ γάρ ἐστιν ἐξουσία εἰ μὴ ἀπὸ Θεοῦ· αἱ δὲ οὖσαι ἐξου-
2 σίαι, ὑπὸ Θεοῦ τεταγμέναι εἰσίν. ὥστε ὁ ἀντιτασσό-

μενος τῇ ἐξουσίᾳ, τῇ τοῦ Θεοῦ διαταγῇ ἀνθέστηκεν· οἱ δὲ ἀνθεστηκότες, κρίμα ἑαυτοῖς λήψονται.

Γενναδίου. Ἐν ἀρχῇ τοῦ κηρύγματος κεκρατημένοις τοῖς ἀνθρώποις ὑπὸ τῶν προτέρων ἐθῶν, δυσπαράδεκτον ἦν τὸ εὐαγγέλιον, ὑπισχνούμενον καὶ τὰ ὑπὲρ ἔννοιαν ἀνθρωπίνην, καὶ παρ᾽ ἰδιωτῶν καὶ πτωχῶν καταγγελλόμενον. οὗ χάριν, πολλή τις ἦν τότε τῶν χαρισμάτων ἡ χορηγία, δυσωποῦσα τούτους μεταμανθάνειν τὰ παρὰ τῶν Ἀποστόλων διδάγματα. κάτοχοι δὲ γινόμενοι τῷ Πνεύματι, καὶ οἷον πρὸ ὀφθαλμῶν ὁρῶντες τὰ κηρυττόμενα διὰ τῆς διδομένης αὐτοῖς ὑπὸ τοῦ Πνεύματος ἐξουσίας εἰς τὴν τῶν σημείων ἐνέργειαν, ἠτίμαζον τὰ παρόντα, πλοῦτον, δόξαν, καὶ βασίλειαν αὐτήν. ἐκ τούτου προβαίνειν ἔμελλεν εἰς στάσεις αὐτοῖς τὸ πρᾶγμα· περιττὸν ἡγουμένοις μετὰ Χριστὸν τῇ πρόσθεν ἐμμένειν καταστάσει· τῆς τοιαύτης γνώμης μάλιστα καὶ ἐξ αὐτῆς αὐτοῖς τῆς Ἐπιστολῆς κυρουμένης. διὰ πάσης γὰρ συνεβούλευε τὸ μὴ κατὰ σάρκα ζῆν ἔτι αὐτοὺς ὡς Χριστῷ μεταστάντας, ἀλλὰ κατὰ Πνεῦμα. τοῦτο οὖν προϋπιδόμενος ὁ Ἀπόστολος, τὴν ἁρμόζουσαν πρὸς αὐτοὺς καὶ περὶ τούτου ποιεῖται διδασκαλίαν, "πᾶσα "ψυχὴ," λέγων, "ἐξουσίαις ὑποτασσέσθω." καὶ οὐκ εἶπεν ἐξουσιάζουσιν, ἀλλ᾽ "ἐξουσίαις." ἵν᾽ ἐκ τοῦ πράγματος τοὺς ἐν τῷ πράγματι διδάξῃ τιμᾶσθαι, καὶ μὴ διὰ τὴν τινῶν κακίαν τὸ πρᾶμα ὑβρίζηται.

Θεοδωρήτου. Ἄλλως τε προήδει, ἅτε δὴ τοῦ Παναγίου Πνεύματος πλουσίως τὴν χάριν δεξάμενος, ὡς τινὲς τύφῳ μᾶλλον ἢ ζήλῳ κεχρημένοι, τῶν βιωτικῶν ἀρχόντων καταφρονήσουσι, μείζους ἑαυτοὺς διὰ τὴν γνῶσιν ὑπολαμβάνοντες. ἅμα δὲ καὶ τὴν καταχεθεῖσαν αὐτῶν δόξαν ἀποτριβόμενος τοῦτο ποιεῖ. διεβάλλοντο γὰρ ὡς τοὺς κοινοὺς ἀνατρέποντες νόμους. καὶ οἱ μὲν, ἔλεγον, "οἱ τὴν οἰκουμένην ἀναστατώσαντες, οὗτοι καὶ ἐνθάδε πάρεισιν." οἱ δὲ, "ὅτι ἕτερα ἔθη εἰσάγουσι." προὔργου τοίνυν ἐνόμισε καὶ περὶ τούτου νομοθετῆσαι. ἵν᾽ εἴτε ἱερεύς τίς ἐστιν, εἴτε ἀρχιερεὺς, εἴτε τὸν μονήρη βίον ἐπαγγελλόμενος, τοῖς τὰς ἀρχὰς πεπιστευμένοις, ὑπείκῃ· πρόδηλον εἰ μετ᾽ εὐσεβείας. οὐ γὰρ ἡ ἐναντίωσις τῶν ἐντολῶν τοῦ Θεοῦ ὑπείκειν συγχωρεῖ τοῖς ἄρχουσι.

Ἀκακίου. Πολλὰ γὰρ ἐν τῇ συνηθείᾳ δοκεῖ μὲν καθολικώτερον

λέγεσθαι. διακρίσεως δὲ δεῖται παρὰ τοῖς ἀκούουσιν. οἷον, ὅταν ὁ Μωσέως νόμος διαγορεύῃ μὴ φονεύειν. δοκεῖ μὲν καθολικῶς ἀποφαίνεσθαι. οὐ μὴν καθόλου ἀφεκτέον τοῦ φονεύειν τοῖς νομοθετουμένοις. καὶ γὰρ οἱ ἀμφὶ τὸν Ἰησοῦν τοῦ Ναυῆ πολλὰ ἐφόνευσαν ἔθνη· καὶ Ἠλίας, τοὺς ἱερεῖς τοῦ Βάαλ· καὶ Δαβὶδ, πάλιν ἑτέρους· καὶ Σαμουὴλ τὸν Ἄγαγ. διὸ τὸ, "οὐ φονεύσεις," οὕτως ἐκδεκτέον. ἀντὶ τοῦ, ἀδίκως οὐ φονεύσεις. οὕτω καὶ ἐνταῦθα, ἐὰν λέγηται, "πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω, οὐχ ἡγητέον ὅτι κἂν ἀρνεῖσθαι προστάττῃ, ἢ ἄλλό τι τῶν ψυχὴν βλαπτόντων. ἀλλ' ὅτε φόρους εἰσπράττονται, καὶ τὰ τοιαῦτα. περὶ ὧν ὁ Σωτὴρ ἔλεγεν, "ἀπόδοτε τὰ Καίσαρος Καίσαρι, καὶ τὰ "τοῦ Θεοῦ τῷ Θεῷ." ὑποκαταβὰς γὰρ καὶ αὐτὸς ὁ Παῦλος φησὶν, "διὰ τοῦτο γὰρ καὶ φόρους τελεῖτε."

ΧΡΥΣΟΣΤΟΜΟΥ. Πολὺν δὲ τοῦ πράγματος τούτου ποιεῖται λόγον καὶ ἐν ἑτέραις ἐπιστολαῖς· καθάπερ τοὺς οἰκέτας τοῖς δεσπόταις, οὕτω καὶ τοὺς ἀρχομένους τοῖς ἄρχουσιν ὑποτάττων. ποιεῖ δὲ τοῦτο, δεικνὺς, ὡς οὐκ ἐπ' ἀνατροπῇ τῆς κοινῆς πολιτείας ὁ Χριστὸς τοὺς παρ' αὐτοῦ νόμους εἰσήγαγεν, ἀλλ' ἐπὶ διορθώσει βελτίονι. καὶ παιδεύων μὴ περιττοὺς ἀναδέχεσθαι πολέμους καὶ ἀνονήτους. ἀρκοῦσι γὰρ αἱ διὰ τὴν ἀλήθειαν ἡμῖν ἐπαγόμεναι ἐπιβουλαί. σκόπει δὲ πῶς καὶ εὐκαίρως εἰς τὸν περὶ τούτων ἐνέβαλε λόγον. ἐπειδὴ γὰρ τὴν πολλὴν ἐκείνην ἀπῄτησε φιλοσοφίαν, καὶ τοῖς φίλοις καὶ τοῖς ἐχθροῖς κατεσκεύασεν ἐπιτηδείους, καὶ τοῖς ἐν εὐημερίᾳ, καὶ τοῖς δυσπραγοῦσι, καὶ τοῖς δεομένοις, καὶ πᾶσιν ἁπλῶς χρησίμους εἰργάσατο. καὶ τὴν ἀγγελίαν[h] πρέπουσαν ἐνεφύτευσε πολιτείαν, καὶ θυμὸν ἐκένωσε, καὶ ἀπόνοιαν κατέστειλε, καὶ διὰ πάντων κατελέανεν αὐτῶν τὴν διάνοιαν, τότε καὶ τὴν περὶ τούτων εἰσάγει παραίνεσιν. δεικνὺς δὲ ὅτι πᾶσι ταῦτα διατάττεται, καὶ ἱερεῦσι καὶ μοναχοῖς, οὐχὶ τοῖς βιωτικοῖς μόνον, ἐκ προοιμίων αὐτὸ δῆλον ἐποίησεν οὕτω λέγων, "πᾶσα ψυχὴ ἐξου-"σίαις ὑπερεχούσαις ὑποτασσέσθω," κἂν ἀπόστολος ἧς, κἂν εὐαγγελιστὴς, κἂν προφήτης, κἂν ὁστισοῦν· οὐδὲ γὰρ ἀνατρέπει τὴν εὐσέβειαν αὕτη ἡ ὑποταγή. καὶ οὐχ ἁπλῶς εἶπε πειθέσθω, ἀλλ'

[h] Fort. Leg. ἀγγέλοις.

“ὑποτασσέσθω·” καὶ πρῶτον δικαίωμα τῆς τοιαύτης νομοθεσίας, καὶ λογισμὸς πρέπων πιστοῖς, τὸ παρὰ Θεοῦ ταῦτα διατετάχθαι. “οὐ γάρ ἐστιν ἐξουσία,” φησὶν, “εἰ μὴ ὑπὸ Θεοῦ.” τί λέγεις; πᾶς οὖν ἄρχων ὑπὸ Θεοῦ κεχειροτόνηται; οὐ τοῦτο λέγω φησίν. οὐδὲ περὶ τῶν καθέκαστον ἀρχόντων ὁ λόγος μοι νῦν, ἀλλὰ περὶ αὐτοῦ τοῦ πράγματος. τὸ γὰρ ἀρχὰς εἶναι· καὶ τοὺς μὲν, ἄρχειν, τοὺς δὲ ἄρχεσθαι, καὶ μὴ ἁπλῶς καὶ ἀνέδην ἅπαντα φέρεσθαι, ὥσπερ κυμάτων, τῶν δήμων τῇδε κἀκεῖσε περιφερομένων, τῆς τοῦ Θεοῦ σοφίας ἔργον εἶναι φημί. διὰ τοῦτο οὐκ εἶπεν, οὐ γάρ ἐστιν ἄρχων εἰ μὴ ὑπὸ τοῦ Θεοῦ, ἀλλὰ περὶ τοῦ πράγματος διαλέγεται. οὕτω καὶ ὅταν λέγῃ τίς σοφὸς ὅτι παρὰ Κυρίου ἁρμόζεται ἀνδρὶ γυνὴ, τοῦτο λέγει, ὅτι ὁ Θεὸς τὸν γάμον ἐποίησεν. οὐχ ὅτι ἕκαστον συνιόντα γυναικὶ αὐτὸς συνάπτει. καὶ γὰρ ὁρῶμεν τινὰς ἐπὶ κακῷ καὶ νόμῳ γάμου συνιόντας ἀλλήλοις. καὶ οὐκ ἂν τῷ Θεῷ τοῦτο λογισαίμεθα. εἰπὼν τοίνυν πόθεν εἰσὶν αἱ ἀρχαὶ, ἐπήγαγεν, “ὥστε ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ, τῇ τοῦ Θεοῦ διαταγῇ ἀνθέ-“στηκεν.” εἶδες ποῦ τὸ πρᾶγμα ἀνήγαγε; καὶ πόθεν ἐφόβησε; καὶ πῶς ἔδειξε τοῦτο κατ’ ὀφειλὴν γινόμενον; ἵνα γὰρ μὴ λέγωσιν οἱ πιστοὶ, ὅτι ἐξευτελίζεις ἡμᾶς, καὶ εὐκαταφρονήτους ποιεῖς, τοὺς τῆς τῶν οὐρανῶν βασιλείας ἀπολαύειν μέλλοντας, ἄρχουσιν ὑποτάττων, δείκνυσιν ὅτι οὐκ ἄρχουσιν, ἀλλὰ τῷ Θεῷ πάλιν ὑποτάττεται, ὁ τοῦτο ποιῶν. ἐκείνῳ γὰρ ὁ ταῖς ἀρχαῖς ὑποτασσόμενος, πείθεται. ἀλλ’ οὐ λέγει οὕτως. οἷον, ὅτι τῷ Θεῷ πείθεται, ὁ τοῖς ἄρχουσιν ὑπακούων. ἀλλ’ ἀπὸ τοῦ ἐναντίου φοβεῖ, καὶ ἀκριβέστερον αὐτὸ κατασκευάζει, λέγων, ὅτι ὁ μὴ ὑπακούων ἐκείνοις, τῷ Θεῷ πολεμεῖ, τῷ ταῦτα νομοθετήσαντι. καὶ τοῦτο σπουδάζει δεῖξαι πανταχοῦ. ὅτι οὐ χαριζόμεθα αὐτοῖς τὴν ὑπακοὴν, ἀλλ’ ὀφείλομεν. οὕτω γὰρ ἂν καὶ τοὺς ἄρχοντας τοῖς ἀπίστοις μᾶλλον ἐπεσπάσατο πρὸς εὐσέβειαν, καὶ τοὺς πιστοὺς πρὸς ὑπακοήν. καὶ γὰρ πολὺς περιεφέρετο λόγος τότε ἐπὶ στάσει καὶ καινοτομίᾳ διαβάλλων τοὺς Ἀποστόλους, ὡς ἐπ’ ἀνατροπῇ τῶν κοινῶν νόμων ἅπαντα καὶ ποιοῦντας καὶ λέγοντας. μὴ τοίνυν αἰσχύνου, φησὶ, τῇ τοιαύτῃ ὑποταγῇ. καὶ γὰρ ὁ Θεὸς τοῦτο ἐνομοθέτησε, καὶ σφοδρός ἐστι μωρὸς καταφρονουμένων τούτων. καὶ οὐδείς σε ἐξαιρήσεται ἀντιλέγοντα, ἀλλὰ καὶ παρὰ ἀνθρώπων

ὑποστήσῃ τιμωρίαν χαλεπωτάτην. καὶ οὐδείς σου προστήσεται. καὶ τὸν Θεὸν παροξυνεῖς μειζόνως. ἅπερ ἅπαντα αἰνιττόμενος ἔλεγεν, "οἱ δὲ ἀνθεστηκότες, ἑαυτοῖς κρίμα λήψονται." ἀντὶ τοῦ, καθ' ἑαυτῶν τὴν κατάκρισιν ἐπισπάσονται.

Ἰσιδώρου. Εἰ δέ τις ἀλιτήριος παρανόμως εἰς τὴν ἀρχὴν εἰσεκώμασεν, οὐ δήπου τοῦτον παρὰ Θεοῦ κεχειροτονῆσθαι φαμὲν, ἀλλὰ συγκεχωρῆσθαι. ἢ πρὸς τὸ πᾶσαν τὴν οἰκείαν πονηρίαν, ὥσπερ ὁ Φαραὼ, ἐξεμέσαι, καὶ οὕτω δίκην δοῦναι τὴν ἐσχάτην· ἢ πρὸς τὸ σωφρονίσαι τοὺς ὠμότητος δεομένους, ὥσπερ ὁ Βαβυλώνιος τοὺς Ἰουδαίους.

3 Οἱ γὰρ ἄρχοντες οὐκ εἰσὶ φόβος τῶν ἀγαθῶν ἔργων, ἀλλὰ τῶν κακῶν. θέλεις δὲ μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς·
4 Θεοῦ γὰρ διάκονός ἐστί σοι εἰς τὸ ἀγαθόν.

Χρυσοστόμου. Ἐπειδὴ βαθεῖαν ἔδωκε τὴν πληγὴν, καὶ κατέπληξεν αὐτοὺς, πάλιν ἀνίησιν ὥσπερ σοφὸς ἰατρὸς, φάρμακα προσηνῆ καὶ θεραπευτικὰ τιθεὶς, καὶ παραμυθούμενος, καὶ λέγων, τί δέδοικας; μὴ γὰρ, ἐπιτιμᾷ καλῶς πράττοντι; μὴ γάρ ἐστι φοβερὸς ἀρετῆς ἐπιμελουμένῳ; διὸ καὶ ἐπάγει, "θέλεις δὲ μὴ "φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει, καὶ ἕξεις ἔπαινον "ἐξ αὐτῆς." εἶδες πῶς αὐτὸν ᾠκείωσε τῷ ἄρχοντι, δείξας αὐτὸν καὶ ἐπαινέτην αὐτοῦ καθήμενον; "Θεοῦ γάρ ἐστι διάκονος εἰς τὸ "ἀγαθόν." τοσοῦτον ἀπέχει τοῦ φοβῆσαι φησὶ, ὅτι καὶ ἐπαινεῖ. τοσοῦτον ἀπέχει τοῦ κωλύειν τὸ ἀγαθὸν ποιεῖν, ὅτι καὶ συμπράττει. ὅταν οὖν καὶ ἐπαινέτην ἔχῃς καὶ βοηθὸν, διατί οὐχ ὑποτάσσῃ; καὶ γὰρ καὶ ἄλλως εὐκολωτέραν σοι ποιεῖ τὴν ἀρετήν· τοὺς μὲν πονηροὺς, κολάζων· τοὺς δὲ ἀγαθοὺς, εὐεργετῶν καὶ τιμῶν, καὶ τῷ βουλήματι τοῦ Θεοῦ συμπράττων. διὸ καὶ διάκονον αὐτὸν ἐκάλεσε. καὶ σοί, φησι, διάκονός ἐστι Θεοῦ· κωλύων τοὺς κακοὺς, καὶ τὴν ἐκ τούτων βλάβην σοι ἀφαιρούμενος, καὶ ἄδειαν παρέχων εἰς τὸ ποιεῖν σε τὸ ἀγαθόν. διακονεῖ δέ σοι εἰς τὸ ἀγαθὸν, καὶ ὅταν ἐπὶ τοῖς κακοῖς φοβῇ, ἀνακόπτων σε ἐκεῖθεν, καὶ προτρεπόμενος εἰς ἀρετήν. ἔτι δὲ καὶ τιμῶν καὶ ἀποδεχόμενος, προτρέπει σε εἰς τοῦτο.

Ἐὰν δὲ τὸ κακὸν ποιεῖς, φοβοῦ· οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ· Θεοῦ γὰρ διάκονός ἐστιν, ἔκδικος εἰς ὀργὴν τῷ κακῶς πράσσοντι.

ΘΕΟΔΩΡΗΤΟΥ. Εἰ τῶν ἀγαθῶν, φησὶν, ἐρᾷς, τίμα τὴν ἐξουσίαν, ὡς ταῦτα νομοθετοῦσαν. εἰ δὲ τἀναντία μετέρχῃ, δείδιθι ταύτην τὴν ψῆφον. ἐπὶ τιμωρίᾳ γὰρ τῶν πονηρῶν, θεόθεν κεχειροτόνηται.

ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἶδες πῶς αὐτὸν ἐπέστησε, καθοπλίσας καθάπερ τινα στρατιώτην φοβερὸν τοῖς ἁμαρτάνουσιν; ἀλλ' ἵνα μὴ πάλιν ἀκούσας κόλασιν καὶ μάχαιραν, ἀποπηδήσῃς, φησὶν ὅτι Θεοῦ νόμον πληροῖ. τί γὰρ εἰ καὶ αὐτὸς ἀγνοεῖ; ἀλλ' ὁ Θεὸς οὕτως ἐτύπωσεν. εἰ τοίνυν ὁ κολάζων διάκονός ἐστιν, ἐκδικῶν ἀρετὴν, ἀπελαύνων κακίαν, ὅπερ ὁ Θεὸς βούλεται, τίνος ἕνεκεν αὐτῷ φιλονεικεῖς, τοιαῦτα εἰσάγοντι ἀγαθά;

5 *Διὸ ἀνάγκη ὑποτάσσεσθαι, οὐ μόνον διὰ τὴν ὀργὴν, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν.*

ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί ἐστιν, "οὐ μόνον διὰ τὴν ὀργήν;" οὐ μόνον, φησὶν, ὅτι ἀνθίστασαι Θεῷ, μὴ ὑποτασσόμενος, οὐδ' ὅτι κακὰ σεαυτῷ προξενεῖς μεγάλα, καὶ παρὰ τοῦ Θεοῦ, καὶ παρὰ τῶν ἀρχόντων, ἀλλ' ὅτι καὶ ἐν τοῖς μεγίστοις, σοῦ εὐεργέτης γίνεται· εἰρήνης ὢν πρόξενος, καὶ εὐνομίας πολιτικῆς. ἐὰν γὰρ ἀνέλῃς τοὺς ἄρχοντας, πάντα οἰχήσεται· τῶν δυνατωτέρων τοὺς ἀσθενεστέρους καταπινόντων· ὥστε κἂν μὴ ὀργή τις εἵπετο παρακούοντι, καὶ οὕτως ὑποτάσσεσθαί σε ἐχρῆν. ἵνα μὴ δόξῃς ἀσυνείδητος εἶναι καὶ ἀγνώμων περὶ τὸν εὐεργέτην.

ΘΕΟΔΩΡΗΤΟΥ. Ἡ ὀργὴν καλεῖ τὴν τιμωρίαν. δι' ἀμφότερα δὲ ὑποτετάχθαι κελεύει, διά τε τὸ δέον τῆς τιμωρίας, καὶ διὰ τὸ πληροῦν τὰ προσήκοντα. τοῦτο γὰρ συνείδησιν προσηγόρευσεν.

ΘΕΟΔΩΡΟΥ ΜΟΝΑΧΟΥ. Δῆλον οὖν ἄρα κἀκεῖνο, ὡς ὑποτάσσεσθαι τοῖς ἄρχουσιν ἐν τούτοις ὁ Παῦλος παραχωρεῖ. οὐχ ἵνα κἂν ἀσεβεῖν ἀναγκάζωσι πειθώμεθα. σαφῶς γὰρ καὶ τὸν σκοπὸν εἶπε τῆς ἀρχῆς, καὶ οὗπερ ἕνεκεν ὁ Θεὸς οὕτως ἔταξε τὰ ἀνθρώπινα. ὅς τε τὸ περὶ τῆς εὐσεβείας νομοθετεῖν ἃ μὴ δεῖ, αὐτοῦ[g]

[g] Leg. αὐ τοῦ.

σκοποῦ τῆς ἀρχῆς εἴη ἂν, ἀλλὰ τῆς γνώμης τῶν οὐκ εἰς δέον τῷ ἄρχειν κεχρημένων.

6 Διὰ τοῦτο γὰρ καὶ φόρους τελεῖτε· λειτουργοὶ γὰρ Θεοῦ εἰσὶν εἰς τοῦτο αὐτὸ προσκαρτεροῦντες.

Χρυσοστόμου. Ἀφεὶς εἰπεῖν κατὰ μέρος τὰς εὐεργεσίας τὰς ἀπὸ τῶν ἀρχόντων ταῖς πόλεσι γινομένας, οἷον, τὴν εὐταξίαν, τὴν εἰρήνην, τὰς ἄλλας διακονίας, τὰς ἐπὶ τῶν στρατιωτῶν, τὰς ἐπὶ τῶν τὰ κοινὰ πραττόντων, ἐξ ἑνὸς τούτου τὸ πᾶν ἐνδείκνυται. ὅτι γὰρ εὐεργετῇ παρ' αὐτοῦ, φησὶν, σὺ μαρτυρεῖς· μισθὸν αὐτῷ τελῶν. καὶ ὅρα σοφίαν τοῦ μακαρίου Παύλου. ὃ γὰρ ἐδόκει φορτικὸν εἶναι καὶ ἐπαχθὲς τὸ τῶν ἀπαιτήσεων, τοῦτο δεῖγμα ποιεῖται τῆς αὐτῶν προνοίας. διατί γάρ, φησιν, φόρους δίδομεν βασιλεῖ; οὐχ ὡς προνοοῦντι; οὐχ ὡς προϊσταμένῳ, μισθὸν τελοῦντες κηδεμονίας; καίτοιγε οὐκ ἂν ἐτελέσαμεν, εἰ μὴ ἐξ ἀρχῆς ἔγνωμεν ὅτι κερδαίνομεν ἐκ τῆς τοιαύτης ἐπιστασίας. ἀλλὰ διὰ τοῦτο ἄνωθεν κοινῇ γνώμῃ πάντων ἔδοξε τοὺς ἄρχοντας τρέφεσθαι παρ' ἡμῶν. ὅτι τῶν οἰκείων ἀμελοῦντες, τῶν κοινῶν κήδονται πραγμάτων. εἶπε τοίνυν τὰ ἀπὸ τῶν ἔξωθεν. πάλιν ἐπὶ τὰ πρότερα τὸν λόγον ἐπανάγει· τὸν γὰρ πιστὸν, οὕτως μᾶλλον ἦν ἐπισπάσασθαι. καὶ δείκνυσι πάλιν ὅτι Θεῷ τοῦτο δοκεῖ. καὶ εἰς αὐτὸ κατακλείει τὴν συμβουλήν· οὕτω λέγων, "Θεοῦ γάρ εἰσι λειτουργοί." εἶτα καὶ τὸν πόνον αὐτῶν δεικνὺς, καὶ τὴν ταλαιπωρίαν, ἐπήγαγεν, "εἰς τοῦτο αὐτὸ "προσκαρτεροῦντες." οὗτος γάρ ἐστιν αὐτοῖς ὁ βίος, αὕτη ἡ σπουδὴ, ὅπως ἀπολαύσεις εἰρήνης.

7 Ἀπόδοτε οὖν πᾶσι τὰς ὀφειλάς· τῷ τὸν φόρον, τὸν φόρον· τῷ τὸ τέλος, τὸ τέλος· τῷ τὸν φόβον, τὸν φόβον· τῷ τὴν τιμὴν, τὴν τιμήν.

Χρυσοστόμου. Ἔτι τῶν αὐτῶν ἔχεται. οὐ χρήματα μόνον κελεύων αὐτοῖς τελεῖν, ἀλλὰ καὶ τιμὴν καὶ φόβον. καὶ πῶς ἀνωτέρω λέγων, "θέλεις μὴ φοβεῖσθαι τὴν ἐξουσίαν· τὸ ἀγαθὸν "ποίει·" ἐνταῦθα λέγει, "ἀπόδοτε τὸν φόβον;" τὴν ἐπιτεταμένην λέγων τιμὴν, οὐ τὸν ἐκ πονηροῦ συνειδότος φόβον, ὃν ἀνωτέρω ᾐνίξατο. καὶ οὐδὲ εἶπε δότε, ἀλλὰ "ἀπόδοτε." οὐδὲ γὰρ χαρίζῃ τοῦτο ποιῶν. ὀφειλὴ γάρ ἐστι τὸ πρᾶγμα. κἂν μὴ πράτ-

της αὐτὸ, ἀγνώμονος ὑποστήσῃ δίκην. μὴ δὴ νομίσῃς ἐξευτελίζεσθαι καὶ παραβλάπτεσθαι, πρὸς τὸ τῆς οἰκείας φιλοσοφίας ἀξίωμα, ἐὰν ἄρχοντος παριόντος ὑπαναστῇς. εἰ γὰρ Ἑλλήνων ὄντων τότε τῶν ἀρχόντων, ταῦτα ἐνομοθέτησε, πολλῷ μᾶλλον νῦν ἐπὶ τῶν πιστῶν τοῦτο γίνεσθαι χρή. εἰ δὲ λέγεις ὅτι σὺ μείζονα ἐμπεπίστευσαι, μάθε ὅτι οὐκ ἔστι σοῦ νῦν ὁ καιρός. ξένος γὰρ εἶ καὶ παρεπίδημος. ἔσται δὲ καιρὸς, ὅτε λαμπρότερος πάντων φανήσῃ.

Γενναδίου. Ἔστι δὲ ὁ φόρος καὶ τὸ τέλος, ταυτόν. ἀμέλει φόρους ἐν τῷ πρὸ τούτου ῥητῷ τελεῖν ἔφησε. "διὰ τοῦτο γὰρ "καὶ φόρους τελεῖτε," νῦν δὲ αὐτὸ διεῖλεν. ἢ τοῦτο βουλόμενος εἰπεῖν, ὅτι εἴτε φόρον, εἴτε τέλος τὸ τοιοῦτον τίς ἐθέλοι καλεῖν, ὑμῖν γε αὐτὸ προσῆκον ἐκτιννύναι. ἢ τὸ μὲν, ἔφησε, δηλῶν τὴν εἰς τὸν δημόσιον τῶν χρημάτων συντέλειαν· τὸ δὲ, τὰς ἰδικὰς τοῖς κεκτημένοις προσόδους. "τῷ τὸν φόβον, τὸν φόβον." οἷον, τοῖς ἐν ἀρχαῖς. "τῷ τὴν τιμὴν, τὴν τιμήν." οἷον, τοῖς φίλοις. καὶ ὅλως τοῖς πλησίον.

Θεοδωρήτου. Ἦ φόρον καλεῖ τὴν ὑπὲρ τῆς γῆς εἰσφοράν· τέλος δὲ, τὴν ὑπὲρ ἐμπορίας συντέλειαν. ὀφλήματα δὲ οὐ μόνον ταῦτα, ἀλλὰ καὶ τὸν φόβον καὶ τὴν τιμὴν ὀνομάζει. ταῦτα γὰρ τοῖς ἄρχουσι παρὰ τῶν ἀρχομένων ὀφείλεται.

Ἰσιδώρου. Ἀποδοτέον οὖν, ὦ ἐλλογιμώτατε, καὶ τῷ τῆς τιμῆς ἀξίῳ, τὴν τιμήν. οὐ θωπείαν δουλοπρεπῆ ἐπιδεικνύμενον, οὐδὲ τὴν ἐκείνων εὐμένειαν θηρώμενον· δέος γὰρ εἰς εὐτέλειαν διὰ ταῦτα ἐκπεσεῖν, καί τινα κολακείαν βωμολόχον ἐξασκήσαντα καταισχύνειν ἑαυτόν. ἀλλὰ σὺν κόσμῳ προσήκοντι τὸ πρέπον ἀπονεμητέον. οἷόν τε γὰρ μετὰ τοῦ προσήκοντος τὸ χρέος ἀποδοθῆναι.

8 Μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀγαπᾶν ἀλλήλους.

Τοῦ Χρυσολόγου. Πάλιν ἐπὶ τὴν μητέρα τῶν ἀγαθῶν καταφεύγει, τὸν διδάσκαλον τῶν εἰρημένων, καὶ ποιητικὴν ἀρετῆς ἁπάσης. καὶ φησὶν, καὶ αὐτὴν ὄφλημα εἶναι. οὐ μὴν τοιοῦτον, οἷον τὸν φόρον, οἷον τὸ τέλος, ἀλλὰ διηνεκές. οὐδέ ποτε γὰρ αὐτὴν βούλεται ἀποδίδοσθαι· μᾶλλον δὲ ἀποδίδοσθαι μὲν ἀεὶ βούλεται, οὐ μὴν πληροῦσθαι, ἀλλ' ἀεὶ ὀφείλεσθαι.

Θεοδωρήτου. Προσήκει μὲν γὰρ πρὸ τῶν ἄλλων ἀποδιδόναι

τῆς ἀγάπης τὸ χρέος. αὔξειν δὲ αὐτὸ τῇ ἐκτίσει. ἡ γὰρ ἀπόδοσις πολυπλασιάζει τὸ χρέος· θερμοτέραν τὴν ἀγάπην ποιοῦσα.

9 Ὁ γὰρ ἀγαπῶν τὸν ἕτερον νόμον πεπλήρωκε. τὸ γὰρ, οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις, καὶ εἴ τις ἑτέρα ἐντολὴ, ἐν τούτῳ τῷ λόγῳ ἀνακεφαλαιοῦται, ἐν τῷ, ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.

Χρυσοστόμου. Μὴ γάρ τοι, φησὶν, μὴ δὲ τοῦτο χάριν εἶναι νόμιζε· καὶ γὰρ τοῦτο ὀφειλή. ὀφείλεις γὰρ τῷ ἀδελφῷ τὴν ἀγάπην, διὰ τὴν συγγένειαν τὴν πνευματικήν. οὐ ταύτῃ δὲ μόνον, ἀλλ᾽ ὅτι καὶ μέλη ἐσμὲν ἀλλήλων. κἂν αὕτη ἡμᾶς ἐπιλίπῃ, τὸ πᾶν διεσπάσθη. φίλει τοίνυν τὸν ἀδελφόν. ἐκ γὰρ τῆς φιλίας αὐτοῦ τοσαῦτα κερδαίνεις, ὡς τὸν νόμον ἅπαντα πληροῦν. οὐκ εἶπε δὲ ἀναπληροῦται ἁπλῶς ἐν τούτῳ, ἀλλ᾽ "ἀνακεφαλαιοῦται." συντόμως δηλονότι καὶ ἐν βραχεῖ τὸ πᾶν ἀπαρτίζεται τῶν ἐντολῶν ἔργον. καὶ γὰρ ἀρχὴ καὶ τέλος τῆς ἀρετῆς, ἡ ἀγάπη. καὶ οὐχ ἁπλῶς ἀγάπην ζητεῖ, ἀλλὰ τὴν ἐπιτεταμένην. οὐ γὰρ ἁπλῶς εἶπεν "ἀγαπήσεις τὸν πλησίον," ἀλλ᾽ "ὡς σεαυτόν."

10 Ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται· πλήρωμα οὖν νόμου ἡ ἀγάπη.

Χρυσοστόμου. Εἶδες πῶς ἑκατέρας ἔχει τὰς ἀρετάς; τήντε τῶν κακῶν ἀποχήν· "κακὸν" γάρ, φησιν, "οὐκ ἐργάζεται," καὶ τὴν τῶν ἀγαθῶν ἐργασίαν; πλήρωμα γὰρ νόμου, φησὶν, ἐστίν. οὐ τὴν διδασκαλίαν ἡμῖν τῶν πρακτέων συντόμως εἰσάγουσα μόνον, ἀλλὰ καὶ τὴν κατόρθωσιν αὐτῶν εὔκολον ποιοῦσα. οὐ γὰρ ὅπως ἂν μάθοιμεν τὰ ὠφελοῦντα μόνον ἐσπούδακεν, ὅπέρ ἐστι τοῦ νόμου, ἀλλὰ καὶ εἰς τὴν ἐργασίαν αὐτῶν πολλὴν εἰσάγει τὴν συμμαχίαν ἡμῖν· ὁλόκληρον ἐν ἡμῖν κατορθοῦσα τὴν ἀρετήν.

11 Καὶ τοῦτο, εἰδότες τὸν καιρὸν, ὅτι ὥρα ἡμᾶς ἤδη ἐξ ὕπνου ἐγερθῆναι· νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία, ἢ ὅτε ἐπιστεύσαμεν.

Χρυσοστόμου. Ἐπειδὴ πάντα ἅπερ ἐχρῆν ἐπέταξεν, ὠθεῖ πάλιν αὐτοὺς εἰς τὴν τῶν ἀγαθῶν ἐργασίαν ἀπὸ τοῦ κατεπείγον-

τος. ἐπὶ θύραις γάρ, φησι, ὁ τῆς κρίσεως ἕστηκε καιρός. ἐγγὺς ἡ ἀνάστασις· ἐγγὺς ἡ ἡμέρα ὡς κλίβανος καιομένη· καὶ δεῖ λοιπὸν ἡμᾶς ἀπαλλαγῆναι τῆς ῥαθυμίας. "νῦν γάρ," φησιν, "ἐγγύτερον ἡμῶν ἡ σωτηρία, ἢ ὅτε ἐπιστεύσαμεν." ὁρᾷς πῶς ἐφίστησιν αὐτοῖς ἤδη τὴν ἀνάστασιν; τοῦ χρόνου γὰρ προϊόντος φησὶν, ὁ μὲν τοῦ παρόντος βίου δαπανᾶται καιρός· ὁ δὲ τοῦ μέλλοντος αἰῶνος, ἐγγύτερος γίνεται. ἂν μὲν οὖν ᾖς παρεσκευασμένος, καὶ πάντα πεποιηκὼς ὅσα ἐπέταξε, σωτηρία σοι γίνεται ἡ ἡμέρα. ἂν δὲ τοὐναντίον, οὐκέτι. ἀλλὰ οὐκ ἀπὸ τῶν λυπηρῶν, ἀλλ' ἀπὸ τῶν χρηστῶν προτρέπει τέως. καὶ ταύτῃ τῆς τῶν παρόντων αὐτοὺς ἀπολύων προσπαθείας. εἶτα, ἐπειδὴ εἰκὸς ἦν αὐτοὺς ἐν μὲν ἀρχῇ καὶ προοιμίῳ, σπουδαιοτέρους εἶναι, ἅτε ἀκμάζοντος αὐτοῖς τοῦ πόθου, τοῦ χρόνου δὲ προϊόντος καταμαρανθῆναι τὴν πᾶσαν σπουδὴν, φησὶν, ὅτι τοὐναντίον μὲν οὖν δεῖ ποιεῖν. οὐκ ἐκλύεσθαι προιόντος τοῦ χρόνου, ἀλλὰ μᾶλλον ἀκμάζειν. ὅσῳ γὰρ ἂν ὁ βασιλεὺς ἐγγίζῃ, τοσούτῳ μᾶλλον δεῖ παρασκευάσασθαι. ὅσῳ μᾶλλον ἐγγὺς τὸ βραβεῖον, τοσούτῳ μᾶλλον διεγείρεσθαι χρὴ εἰς τοὺς ἀγῶνας. διὰ τοῦτο ἔλεγε, "νῦν ἐγγύτερον ἡμῶν ἡ "σωτηρία, ἢ ὅτε ἐπιστεύσαμεν."

Φωτίου. Τοῖς ἄνω δὲ ταῦτα συνήρτηται, καὶ πρὸς ἐκεῖνα ἀποδίδοται. ἐπίτασις μᾶλλον ὄντα, καὶ προτροπὴν τῶν εἰρημένων ἐμφαίνοντα. ποίοις δὲ ἄνω; "πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις "ὑποτασσέσθω." καὶ, "ἀπόδοτε πᾶσι τὰς ὀφειλὰς," καὶ τὰ ἑξῆς. ταῦτα οὖν φησι ποιεῖτε διὰ τὰ προειρημένα, καὶ διὰ τοῦτο μάλιστα. διὰ ποῖον; εἰδότες ὅτι συντέτμηται τῆς ζωῆς ἡμῶν ὁ χρόνος. καὶ δεῖ ἡμᾶς, εἰ καὶ ἐκαθεύδομεν μηδὲν πράττοντες, ὡς ἐξ ὕπνου, κἂν γοῦν νῦν, ἐγερθῆναι. φανερὸν γὰρ ὅτι νῦν μᾶλλον πρὸς τῷ τέλει ἐσμὲν τῆς ζωῆς ἡμῶν, ἢ ὅτε ἐπιστεύσαμεν.

12 Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν. ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός.

Χρυσοστόμου. Οὐκοῦν εἰ αὕτη μὲν τελευτᾷ, ἐκείνη δὲ πλησιάζει, τὰ ἐκείνης πράττωμεν λοιπὸν, μὴ ταύτης. καὶ γὰρ καὶ ἐν τοῖς βιωτικοῖς τοῦτο γίνεται. καὶ ὅταν ἴδωμεν πρὸς ὄρθρον τὴν

νύκτα ἐπειγομένην, καὶ χελιδόνος ἀκούσωμεν ᾀδούσης, τὸν πλησίον ἕκαστος διεγείρομεν. ἀποδυσώμεθα οὖν τὰς φαντασίας. ἀπαλλαγῶμεν τῶν ὀνειράτων τοῦ παρόντος βίου. ἀποθώμεθα τὸν βαθὺν ὕπνον. ἐνδυσώμεθα ἀντὶ ἱματίων τὴν ἀρετήν. ταῦτα γὰρ ἅπαντα δηλῶν ἔλεγεν, "ἀποθώμεθα τὰ ἔργα τοῦ σκότους, καὶ "ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός." καὶ γὰρ πρὸς παράταξιν καὶ μάχην ἡ ἡμέρα ἡμᾶς καλεῖ. ἀλλὰ μὴ δείσῃς παράταξιν καὶ ὅπλα ἀκούσας. ἐπὶ μὲν γὰρ τῆς αἰσθητῆς πανπευχίας, βαρὺ καὶ ἀπευκτὸν τὸ ὁπλίζεσθαι. ἐνταῦθα δὲ, ποθεινὸν καὶ εὐχῆς ἄξιον. φωτὸς γάρ ἐστι τὰ ὅπλα. διὸ καὶ τῆς ἀκτῖνος λαμπρότερόν σε ἀποφαίνει, πολλὴν ἀφιέντα τὴν ἀστραπὴν, καὶ ἐν ἀσφαλείᾳ σε καθίστησιν. ὅπλα γάρ ἐστι, καὶ καταλάμπεσθαι ποιεῖ. φωτὸς γάρ ἐστιν ὅπλα.

Τοῦ αὐτοῦ ἐκ τῶν κατὰ Ἰωάννην. Διατί δὲ ὁ μὲν Χριστὸς, νύκτα τὸν μέλλοντα αἰῶνα ἐκάλεσεν, ἐν οἷς ἔφη, "ἔρχεται "νὺξ, ὅτε οὐκεὶς δύναται ἐργάζεσθαι·" ὁ δὲ Παῦλος ἡμέραν, λέγων· "ἡ νὺξ προέκοψεν. ἡ δὲ ἡμέρα ἤγγικεν;" ὁ μὲν Παῦλος νύκτα τὸν παρόντα καλεῖ καιρὸν, διὰ τοὺς ἐν σκότῳ καθημένους· ἢ διὰ τὸ παραβάλλειν τὴν ἡμέραν ταύτην, ἐκείνῃ. ὁ δὲ Χριστὸς νύκτα τὸν μέλλοντα καλεῖ, διὰ τὸ τῶν ἁμαρτωλῶν ἀνενέργητον. πιστοῖς τοίνυν ὁ Παῦλος διαλεγόμενος, ἔλεγεν, "ἡ νὺξ προέκοψεν. "ἡ δὲ ἡ ἡμέρα ἤγγικεν." ὡς μελλόντων ἀπολαύσεσθαι τοῦ φωτὸς ἐκείνου.

Ἢ νύκτα τὸν παρόντα βίον καλεῖ, ὅτι μηδὲν ὀνειράτων διαφέρει τὰ ἐν αὐτῷ. ἡμέραν δὲ τὸν μέλλοντα διὰ τὸ τὰ κρυπτὰ ἐν αὐτῷ φανεροῦσθαι. πρὸς τοίνυν τὴν μέλλουσαν ἡμέραν, εἰκότως νύκτα καλεῖ τὸν παρόντα βίον. πολλὰ γὰρ τῶν ἐν τούτῳ νῦν ὡς ἐν νυκτὶ κρυπτομένων, ἐκεῖ φανερὰ ὡς ἐν λαμπρᾷ ἡμέρᾳ γενήσεται.

Νύκτα μὲν οὖν καλεῖ τὸν τῆς ἀγνοίας καιρόν. ἡμέρα δὲ, τὸν μετὰ τὴν παρουσίαν τοῦ δεσπότου χρόνον. ἀνατείλας γὰρ τῆς δικαιοσύνης ὁ ἥλιος, ταῖς ἀκτῖσι τῆς θεογνωσίας τὴν οἰκουμένην ἐφώτισε. καὶ σκότος μὲν τὴν ἄγνοιαν, καὶ ἔργα σκότους, τὰς παρανόμους πράξεις· φῶς δὲ, τὴν γνῶσιν· καὶ ὅπλα φωτὸς, τῶν ἀγαθῶν τὴν ἐνέργειαν.

13 Ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν, μὴ κώμοις
καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις, μὴ ἔριδι καὶ
14 ζήλῳ· ἀλλ' ἐνδύσασθε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χρι-
στὸν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖτε εἰς ἐπιθυ-
μίαν.

ΤΟΥ ΧΡΥΣΟΡΗΜΟΝΟΣ. Εἰπὼν ὅτι ἡ ἡμέρα ἤγγικεν, οὐδὲ ἐγγὺς εἶναι αὐτὴν ἀφίησιν, ἀλλ' ἤδη αὐτὴν ἐφίστησι. καὶ ἀφ' ὧν μάλιστα οἱ πολλοὶ προτρέπονται, ἀπὸ τούτων αὐτοὺς ἐφέλκεται, τῆς εὐσχημοσύνης. πολὺς γὰρ αὐτοῖς τῆς παρὰ τῶν πολλῶν δόξης ὁ λόγος. καὶ οὐκ εἶπε περιπατεῖτε, ἀλλὰ "περιπατήσωμεν." ἀνεπαχθῆ ποιῶν τὴν παραίνεσιν, καὶ κούφην τὴν ἐπίπληξιν. εἰπὼν δὲ "μὴ κώμοις καὶ μέθαις," οὐ τὸ πίνειν κωλύει, ἀλλὰ τὸ ἀμέτρως. οὐ τὸ ἀπολαύειν οἴνου, ἀλλὰ τὸ μετὰ ἀμετρίας καὶ παροινίας. ὥσπερ καὶ ἐν τῷ, "μὴ κοίταις καὶ ἀσελγείαις" εἰπεῖν, οὐ τὸ μίγνυσθαι νομίμοις γυναιξὶν ἀναιρεῖ, ἀλλὰ τὸ πορνεύειν.

ΘΕΟΔΩΡΗΤΟΥ. Ἀπὸ γοῦν τῶν σωματικῶν, δείκνυσι τὰ πνευματικά. καὶ γὰρ οἱ παράνομον ἀσπαζόμενοι βίον, ἐκεῖνα ἐν νυκτὶ δρῶντες, μεθ' ἡμέραν τὸ τῆς εὐκοσμίας περιτίθενται σχῆμα. βούλεται τοίνυν ὡς τῆς νυκτὸς διελθούσης, καὶ τῆς ἀγνοίας ληξάσης, τῶν προτέρων ἡμᾶς ἀπηλλάχθαι κακῶν.

ΜΑΞΙΜΟΥ. Ἡ γὰρ ἡμέρα ἔφθασεν· ἤγουν ἡ εὐαγγελικὴ χάρις· ἢ τὸ μυστήριον αὐτὸ τοῦ ταύτην ποιησαμένου τὴν χάριν· ἐν ᾧ βούλεται πάντας ἡμᾶς ὡς ἐν ἡμέρᾳ γνώσεως καὶ ἀληθείας εὐσχημόνως περιπατεῖν. ἡμέρα γὰρ ἀϊδίου φωτός ἐστιν ὁ Χριστός. ἐν ᾧ δεῖ πάντας τοὺς αὐτῷ πεπιστευκότας, διὰ τῆς τῶν ἀρετῶν εὐσχημοσύνης καλῶς πολιτεύεσθαι.

ἸΣΙΔΩΡΟΥ. Κῶμος δέ ἐστι μεθυστικὸς αὐλὸς, καταθέλγων τοὺς δαιτυμόνας τοὺς ἐν οἴνῳ ἐγχρονίζοντας.

Μὴ ἔριδι καὶ ζήλῳ.

ΧΡΥΣΟΣΤΟΜΟΥ. Τὰ καίρια τῶν παθῶν σβέννυσι τὴν ἐπιθυμίαν καὶ τὸν θυμόν. διόπερ οὐκ αὐτὰ μόνον, ἀλλὰ καὶ τὰς πηγὰς αὐτῶν ἀναιρεῖ. οὐδὲν γὰρ οὕτως καὶ ἐπιθυμίαν ἀνάπτει, καὶ ὀργὴν ἐγκαίει, ὡς μέθη καὶ παροινία. διὰ τοῦτο πρότερον εἰπών· "μὴ "κώμοις καὶ μέθαις," τότε ἐπήγαγε, "μὴ κοίταις καὶ ἀσελγείαις·

"μὴ ἔριδι καὶ ζήλῳ." καὶ οὐδὲ ἐνταῦθα ἔστη· ἀλλὰ ἀποδύσας ἡμᾶς τῶν πονηρῶν ἱματίων, ἄκουσον πῶς καλλωπίζει λοιπὸν, λέγων, "ἀλλ' ἐνδύσασθε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν." οὐκέτι εἶπεν ἔργα, ἀλλὰ μειζόνως αὐτοὺς ἀνέστησεν. ὅτε μὲν γὰρ περὶ τῆς κακίας ἔφησεν, "ἔργα" ἔλεγεν. ὅτι δὲ περὶ τῆς ἀρετῆς, οὐκέτι ἔργα ἀλλ' "ὅπλα." δεικνὺς ὅτι ἐν πάσῃ ἀσφαλείᾳ καθίστησιν ἡ ἀρετὴ τὸν ἔχοντα αὐτὴν, καὶ ἐν πάσῃ λαμπρότητι. καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλ' ἐπὶ τὸ μεῖζον ἄγων τὸν λόγον, ὃ πολλῷ φρικωδέστερον ἦν, αὐτὸν τὸν δεσπότην δίδωσιν ἡμῖν ἱμάτιον. ὁ γὰρ περιβεβλημένος τοῦτον, ἅπασαν ἔχει καθόλου τὴν ἀρετήν. ὅταν δὲ εἴπῃ ἐνδύσασθε, πάντοθεν ἡμᾶς αὐτὸν περιβάλλεσθαι κελεύει, καὶ ὡς ἱμάτιον ἡμῖν αὐτὸν περικείμενον ἔχειν.

Βασιλείου. Οὐ κατὰ τὸν ἔξω ἄνθρωπον, ἀλλ' ἵνα τὸν νοῦν ἡμῶν ἡ τοῦ Θεοῦ μνήμη περισκεπάζῃ. οἶμαι δὲ τὸ πνευματικὸν ἱμάτιον ἐξυφαίνεσθαι, ὅταν τῷ διδακτικῷ λόγῳ ἡ ἀκόλουθος ἐπιπλέκηται πρᾶξις. ὥσπερ γὰρ τῷ στήμονι τῆς κρόκης ἐπιπλεκομένης, τὸ σωματικὸν ἱμάτιον ἐξυφαίνεται· οὕτως τοῦ λόγου προϋφεστῶτος, εἰ ἀκολούθως αἱ πράξεις ἐπάγονται, σεμνοτάτη τίς ἂν γένοιτο περιβολὴ τῆς ψυχῆς· λόγῳ καὶ ἔργῳ τὸν κατ' ἀρετὴν βίον συμπεπληρωμένον ἐχούσης.

Θεοδώρου Μονάχου. Ἐνδύσασθε οὖν, φησιν, τὸν Κύριον, οὐχ ἵνα ἕτερον δεξώμεθα βάπτισμα. ἀλλ' ἵνα ὃ περικείμεθα ἱμάτιον ἴδωμεν.

Χρυσοστόμου. Πείθου τοίνυν καὶ ἀναστὰς ἐξ ὕπνου, ἔνδυσαι αὐτόν. καὶ ἐνδυσάμενος, αὐτῷ τὴν σάρκα εὐήνιον πάρεχε. τοῦτο γὰρ ἠνίξατο εἰπὼν, "τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίαν." ὥσπερ γὰρ οὐ τὸ πίνειν ἐκώλυσεν, ἀλλὰ τὸ μεθύειν· οὐδὲ τὸ γαμεῖν, ἀλλὰ τὸ ἀσελγαίνειν· οὕτως οὐδὲ τὸ προνοεῖν τῆς σαρκὸς, ἀλλὰ τὸ μὴ εἰς ἐπιθυμίας, οἷον τὸ τὴν χρείαν ὑπερβαίνειν. ἐπεὶ ὅτι γε προνοεῖν αὐτῆς κελεύει, ἄκουσον Τιμοθέῳ τί φησιν, "οἴνῳ ὀλίγῳ χρῶ, διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας." οὕτω δὴ καὶ ἐνταῦθα, προνόει μὲν, ἀλλὰ πρὸς ὑγείαν, οὐ πρὸς ἀσέλγειαν. οὐδὲ γὰρ ἂν εἴη τοῦτο πρόνοια λοιπὸν, ὅταν τὴν φλόγα ἀνάπτῃς.

Θεοδωρήτου. Ἐνταῦθα δὲ καὶ τῶν τῆς σαρκὸς κατηγορούντων

αἱρετικῶν, ἐμφράττει τὰ στόματα. οὐ γὰρ ἀπηγόρευσε τὴν τοῦ σώματος ἐπιμέλειαν, ἀλλὰ τὴν τρυφὴν καὶ τὴν ἀκρασίαν ἐξέβαλεν. οὐ γὰρ εἶπε μὴ ποιεῖτε τῆς σαρκὸς πρόνοιαν, ἀλλ' εἰς ἐπιθυμίαν μὴ ποιεῖτε. ἀντὶ τοῦ, μὴ σκιρτᾶν αὐτὴν παρασκευάζετε διὰ τῆς τρυφῆς.

1 Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθε, μὴ
2 εἰς διακρίσεις διαλογισμῶν. ὃς μὲν πιστεύει φαγεῖν
πάντα, ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει.

ΧΡΥΣΟΣΤΟΜΟΥ. *Ἀναγκαῖον εἰπεῖν τοῦ χωρίου παντὸς τὴν ὑπόθεσιν. ἦσαν πολλοὶ τῶν ἐξ Ἰουδαίων πεπιστευκότων, οἳ τῇ τοῦ νόμου ἔτι κατεχόμενοι συνειδήσει, καὶ μετὰ τὴν πίστιν, τῶν βρωμάτων ἐφύλαττον ἔτι τὴν παρατήρησιν· οὔπω θαρροῦντες ἀποστῆναι τοῦ νόμου. εἶτα ὥστε μὴ γενέσθαι εὐφώρατοι, τῶν χοιρείων ἀπεχόμενοι μόνων, πάντων ἑξῆς ἀπείχοντο κρεῶν. καὶ λάχανα ἤσθιον μόνα, ἵνα νηστεία μᾶλλον εἶναι δοκῇ τὸ γινόμενον, ἀλλὰ μὴ νόμου παρατήρησις. ἕτεροι πάλιν ἦσαν τελειότεροι, οὐδὲν τοιοῦτον παρατηροῦντες. οἳ τούτοις τοῖς παρατηροῦσιν ἐπαχθεῖς ἐγίνοντο, ὀνειδίζοντες, ἐγκαλοῦντες, εἰς ἀθυμίαν ἐμβάλλοντες. δεδοικὼς τοίνυν ὁ μακάριος Παῦλος, μὴ μικρὸν κατορθῶσαι βουλόμενοι, τὸ πᾶν ἀνατρέψωσι. καὶ θέλοντες εἰς τὴν τῶν βρωμάτων αὐτοὺς ἀδιαφορίαν ἀγαγεῖν, καὶ τῆς πίστεως αὐτοὺς ἐκπεσεῖν παρασκευάσωσιν, ὅρα πόσῃ κέχρηται συνέσει· καὶ πῶς ἑκατέρων ἐπιμελεῖται τῶν μερῶν μετὰ τῆς συνήθους αὐτῷ σοφίας. οὔτε γὰρ ὅτι κακῶς ποιεῖτε τολμᾷ τοῖς ἐπιτιμῶσιν εἰπεῖν, ἵνα μὴ ἐκείνους βεβαιώσῃ ἐν τῇ παρατηρήσει. οὔτε πάλιν ὅτι καλῶς, ἵνα μὴ σφοδροτέρους κατηγόρους ἐργάσηται. ἀλλὰ συμμεμετρημένην ποιεῖται τὴν ἐπιτίμησιν. καὶ δοκεῖ μὲν τοῖς ἰσχυροτέροις ἐπιτιμᾶν. τὸ δὲ πᾶν εἰς ἐκείνους κενοῖ ἐν τῷ πρὸς τούτους λόγῳ. αὕτη γὰρ μάλιστα ἡ διόρθωσις ἀνεπαχθέστερα γίνεται· ὅταν πρὸς ἄλλον τίς τρέψας τὸν λόγον, ἕτερον πλήττῃ. οὔτε γὰρ εἰς θυμὸν ἀφίησιν ἐνενεχθῆναι τὸν ἐπιτιμώμενον, καὶ λανθανόντως τὸ τῆς διορθώσεως ἐνίησι φάρμακον. ὅρα τοίνυν πῶς αὐτὸ ποιεῖ συνετῶς, καὶ πῶς εὐκαίρως. εἰπὼν γάρ, "τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίαν," τότε εἰς τὸν περὶ τούτων ἐκβαίνει λόγον. ἵνα μὴ δόξῃ ὑπὲρ ἐκείνων*

λέγειν τῶν ἐπιτιμάντων καὶ κελευόντων ἐσθίειν ἅπαντα. τὸ γὰρ ἠσθενηκὸς μέρος ἀεὶ πλείονος δεῖται τῆς προνοίας. διὸ καὶ πρὸς τὸν ἰσχυρὸν εὐθέως ἀποτείνεται, λέγων, "τὸν δὲ ἀσθενῆ τῇ πίστει "προσλαμβάνεσθε." εἶδες πληγὴν εὐθέως μίαν ἐκείνῳ δοθεῖσαν; εἰπὼν γὰρ, "τὸν δὲ ἀσθενοῦντα τῇ πίστει," ἔδειξεν αὐτὸν ἄρρωστον. εἶτα, δευτέραν προστίθησι, λέγων, "προσλαμβάνεσθε." δείκνυσι γὰρ πάλιν πολλῆς δεόμενον ἐπιμελείας. ὅπερ σημεῖον ἐσχάτης ἀπονοίας καὶ ἀρρωστίας ἐστί. "μὴ εἰς διακρίσεις διαλογι-"σμῶν." ἰδοὺ καὶ τρίτην ἐπέθηκε πληγήν. ἐντεῦθεν παραδηλοῖ τοιοῦτον αὐτοῦ τὸ ἀρρώστημα, ὡς καὶ τοὺς τὰ αὐτὰ μὴ πλημμελοῦντας, κοινωνοῦντας δὲ ὅμως αὐτῷ τῆς φιλίας, διακρίνεσθαι. εἶδες πῶς δοκεῖ μὲν τούτοις διαλέγεσθαι, ἐκείνοις δὲ ἐπιτιμᾷ λανθανόντως; εἶτα θεὶς ἀμφοτέρους παράλληλα, τὸν μὲν, μετ' ἐγκωμίων, τὸν δὲ, μετ' ἐγκλημάτων τίθησι. ἐπάγει γὰρ, "ὃς μὲν "πιστεύει φαγεῖν πάντα." ἀνακηρύττων αὐτὸν ἀπὸ τῆς πίστεως. "ὁ δὲ ἀσθενῶν, λάχανα ἐσθίει." καὶ τοῦτον πάλιν κακίζων ἀπὸ τῆς ἀσθενείας. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. ὁ μὲν εἰλικρινῶς πιστεύων καὶ μηδεμίαν ἔχων Ἰουδαϊκὴν παρατήρησιν, πάντα ἀβδελύκτως ἐσθίει. ὁ δέ γε περὶ τὴν πίστιν ἀσθενὴς, λάχανα ἐσθίει· οὐ δι' ἐπαινουμένην ἐγκράτειαν, κἂν τοῦτο ὑποκρίνηται, ἀλλὰ δι' ἀσθένειαν πίστεως.

3 Ὁ ἐσθίων, τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω· καὶ ὁ μὴ ἐσθίων, τὸν ἐσθίοντα μὴ κρινέτω· ὁ Θεὸς γὰρ αὐτὸν προσελάβετο.

Χρυσοστόμου. Ἐπειδὴ καιρίαν ἔδωκε τὴν πληγὴν τῷ ἀσθενοῦντα, παραμυθεῖται πάλιν αὐτόν. καὶ οὐκ εἶπεν, ἐάτω ἢ μὴ ἐγκαλείτω, ἢ μὴ διορθούσθω τὸν μὴ ἐσθίοντα, ἀλλὰ μὴ ὀνειδιζέτω. δεικνὺς ὅτι πρᾶγμα πολλοῦ γέλωτος ἄξιον ἐποίουν. ἐπὶ δὲ τούτου οὐχ οὕτως. ἀλλὰ πῶς; "ὁ μὴ ἐσθίων, τὸν ἐσθίοντα μὴ κρινέτω." ὥσπερ γὰρ οἱ τελειότεροι τούτοις ἐξηυτέλιζον, ὡς ὀλιγοπίστους καὶ ὑπούλους καὶ νόθους καὶ Ἰουδαΐζοντας ἔτι, οὕτως ἐκεῖνοι τούτους ἔκρινον ὡς παρανομοῦντας, ἢ ὡς λαιμαργίᾳ προσέχοντας· ὧν πολλοὺς καὶ ἐξ ἐθνῶν εἶναι. διὸ καὶ ἐπήγαγεν, "ὁ Θεὸς γὰρ αὐτὸν προσελά-"βετο." ἐπ' ἐκείνου δὲ οὐκ εἶπε τοῦτο. καίτοι τὸ μὲν ἐξουθενεῖσθαι

τοῦ ἐσθίοντος ἦν ὡς λαιμάργου. τὸ δὲ κρίνεσθαι, τοῦ μὴ ἐσθίοντος ὡς ὀλιγοπίστου. ἀλλ' ἀντήλλαξεν αὐτά· δεικνὺς ὅτι οὐ μόνον τοῦ ἐξουθενεῖσθαι οὐκ ἔστιν ἄξιος, ἀλλὰ καὶ ἐξουθενεῖν δύναται· ἀλλὰ καὶ ἐγὼ κατακρίνω, φησὶν, οὐδαμῶς. διὰ γὰρ τοῦτο ἐπήγαγεν. "ὁ Θεὸς αὐτὸν προσελάβετο." ἐπ' ἐκείνου δὲ οὐκ εἶπε τοῦτο. τί τοίνυν αὐτῷ περὶ νόμου διαλέγῃ ὡς παραβαίνοντι, "ὁ Θεὸς γὰρ "αὐτὸν προσελάβετο;" τουτέστι, τὴν ἄφατον αὐτοῦ περὶ αὐτὸν ἐπεδείξατο χάριν, καὶ πάντων ἀπήλλαξεν ἐγκλημάτων.

Θεοδωρήτου. Καὶ περὶ τῶν ἐξ ἐθνῶν δὲ ταῦτα ἐξακούσεις. διέπτυον γὰρ οὗτοι τοὺς ἐξ Ἰουδαίων, ὡς εἰλικρινῆ πίστιν οὐκ ἔχοντας. καὶ διὰ τοῦτο τῆς τοιᾶσδε τροφῆς μεταλαβεῖν οὐκ ἐθέλοντας. καὶ οἱ ἐξ Ἰουδαίων μέντοι τοὺς ἐξ ἐθνῶν κατέκρινον. παρανομίαν νομίζοντες τὴν ἀδιάφορον τῶν ἐδωδίμων ἀπόλαυσιν. διὸ λέγει, ὅτι ὁ Θεὸς αὐτὸν προσελάβετο· τουτέστι, τὸν ἐθνικόν.

4 Σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; τῷ ἰδίῳ κυρίῳ στήκει, ἢ πίπτει· σταθήσεται δέ· δυνατὸς γάρ ἐστιν ὁ Θεὸς στῆσαι αὐτόν.

Χρυσοστόμου. Πάλιν πρὸς τοὺς ἰσχυροὺς ἀποτείνεται. ὅθεν δῆλον, ὅτι καὶ ἐκεῖνοι ἔκρινον, οὐ μόνον ἐξουθένουν. ἵνα δὲ μὴ ἀπογνῷ, καὶ ἀσθενοῦντα αὐτὸν οἰκέτην καλεῖ. λεληθότως δὲ καὶ ἐνταῦθα αὐτοῦ καθάπτεται. οὐ γὰρ ἐπειδὴ ἄξια τοῦ μὴ κρίνεσθαι ποιεῖ, διὰ τοῦτο κελεύων μὴ κρίνειν. ἀλλ' ἐπειδὴ ἀλλότριος ἐστὶν οἰκέτης, τουτέστιν, οὐ σὸς, ἀλλὰ τοῦ Θεοῦ. τάχα δὲ καὶ ὁ οἰκέτης ὃν προσελάβετο ὁ Χριστὸς, ἀλλότριος ἔστι τοῦ νόμου. τίς οὖν εἶ σὺ, ὁ κρίνων ἀπὸ τοῦ νόμου τὸν τοῦ νόμου ἀλλόριον;

Τῷ ἰδίῳ κυρίῳ στήκει, ἢ πίπτει· σταθήσεται δέ· δυνατὸς γάρ ἐστι στῆσαι αὐτὸν ὁ Θεός.

Θεοδωρήτου. Πᾶς οὖν, φησὶν, οἰκέτης, καὶ ζῶν, τοῦ οἰκείου δεσπότου κέρδος ἐστί. καὶ τελευτήσας, πάλιν αὐτῷ προξενεῖ τὴν ζημίαν. καὶ τοῦτον τοίνυν ὁ τῶν ὅλων ἐπρίατο Κύριος, τὸ οἰκεῖον αἷμα τιμὴν δεδωκώς.

Χρυσοστόμου. Τέως δὲ καὶ τοῦτο ἄλλη πληγή. δοκεῖ μὲν γὰρ ἡ ἀγανάκτησις εἶναι πρὸς τὸν ἰσχυρότερον. καθάπτεται δὲ ἐκείνου. ὅταν γὰρ εἴπῃ "σταθήσεται δὲ," δείκνυσιν ἔτι σαλευό-

μενον, καὶ πολλῆς δεόμενον τῆς προσοχῆς, καὶ τοσαύτης τῆς ἐπιμελείας, ὡς καὶ τὸν Θεὸν καλεῖν ἰατρόν. "δυνατὸς γάρ ἐστι Θεὸς "στῆσαι αὐτόν." ὅπερ, ἐπὶ τῶν σφόδρα ἀπεγνωσμένων λέγομεν. παραμυθούμενος δὲ πάλιν αὐτὸν, οὐκ εἶπεν ὅτι πίπτει, ἀλλὰ τί; "στήκει ἢ πίπτει." ἄν τε δὲ τοῦτο ἄν τε ἐκεῖνο ᾖ, τῷ δεσπότῃ διαφέρει ταῦτα ἀμφότερα. καὶ γὰρ ἡ ζημία ἐκεῖ τείνει πεσόντος· ὥσπερ οὖν καὶ ὁ πλοῦτος ἑστῶτος.

Τοῦ αὐτοῦ ἐκ τοῦ ὕφους. Ταῦτα δὲ εἰ μὴ τὸν σκοπὸν πάλιν κατίδωμεν τοῦ Παύλου, βουλομένου μὴ πρὸ καιροῦ τοῦ προσήκοντος ἐπιτιμᾶσθαι αὐτοῖς, σφόδρα ἀνάξια τῆς Χριστιανοῖς πρεπούσης κηδεμονίας ἐστίν. ἀλλ' ὅπερ ἀεὶ λέγω, τὴν γνώμην ἐξετάζειν δεῖ μεθ' ἧς λέγεται, καὶ τὴν ὑπόθεσιν περὶ ἧς λέγεται· καὶ τί σπουδάζων κατορθῶσαι λέγει. οὐχ ὡς ἔτυχε δὲ ἐνέτρεψε τοῦτο εἰπών. εἰ γὰρ ὁ Θεὸς, φησὶν, ὁ τὴν ζημίαν ὑπομένων, οὐδὲν ποιεῖ τέως, πῶς οὐκ ἂν ᾖς ἄκαιρος σὺ, καὶ πέρα τοῦ μέτρου περίεργος, εἴχων αὐτὸν καὶ ἐνοχλῶν;

5 Ὃς μὲν κρίνει ἡμέραν παρ' ἡμέραν, ὃς δὲ κρίνει πᾶσαν ἡμέραν. ἕκαστος τῷ ἰδίῳ νοΐ πληροφορείσθω.

Θεοδωρήτου. Περὶ τῶν ἐδεσμάτων εἰπὼν, εἰς τὴν ἡμέραν μεταφέρει τὸν λόγον. οἱ μὲν γὰρ διηνεκῶς ἀπείχοντο τῶν ἀπηγορευμένων ὑπὸ τοῦ νόμου βρωμάτων· οἱ δὲ, ἐνίας ἡμέρας.

Χρυσοστόμου. Ἢ καὶ περὶ νηστείας ἐνταῦθα αἰνίττεσθαί μοι δοκεῖ. καὶ γὰρ εἰκὸς τῶν νηστευόντων τινὰς, τοὺς μὴ διηνεκῶς νηστεύοντας, διακρίνειν. ἢ καὶ ἐν ταῖς παρατηρήσεσιν εἰκὸς εἶναί τινας, τὰς ῥητὰς ἡμέρας ἀπεχομένους, καὶ ῥητὰς ἐχομένους. διὸ καὶ ἔλεγεν, "ἕκαστος τῷ ἰδίῳ νοΐ πληροφορείσθω." οὕτω γὰρ καὶ τῷ παρατηροῦντι τὸν φόβον ἐξέβαλεν, ἀδιάφορον τὸ πρᾶγμα εἶναι λέγων. καὶ τῶν ἐπιτιθεμένων αὐτοῖς σφοδρῶς τὴν φιλονεικίαν ἀνῄρει, δεικνὺς ὅτι οὐ σφόδρα περισπούδαστον τὸ περὶ τούτων ἐνοχλεῖν συνεχῶς, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὸν καιρόν· καὶ διὰ τὸ νεήλυδας εἶναι ἐν τῇ πίστει. ἐπεὶ Κολασσαεῦσι γράφων, μετὰ πολλῆς ἀπαγορεύει τοῦτο σπουδῆς, "βλέ"πετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ "κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων· κατὰ τὰ

"στοιχεῖα τοῦ κόσμου, καὶ οὐ κατὰ Χριστόν." καὶ πάλιν, "μὴ "οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει ἢ ἐν πόσει." καὶ "μηδεὶς ὑμᾶς "καταβραβευέτω." ἐνταῦθα δὲ οὐ κέχρηται τούτῳ τῷ τόνῳ, διὰ τὸ νεόφυτον εἶναι παρ' αὐτοῖς τὴν πίστιν. μὴ τοίνυν εἰς πάντα ἕλκωμεν, τὸ, "ἕκαστος τῷ ἰδίῳ νοῒ πληροφορείσθω." ὅταν γὰρ περὶ δογμάτων ὁ λόγος ᾖ, ἄκουσον τί φησιν, "εἴ τις ὑμᾶς εὐαγ-"γελίζεται παρ' ὃ παρελάβετε· κἂν Ἄγγελος ᾖ, ἀνάθεμα ἔστω." καὶ Φιλιππησίοις ἐπιστέλλων ἔλεγε, "βλέπετε τοὺς κύνας, βλέ-"πετε τοὺς κακοὺς ἐργάτας, βλέπετε τὴν κατατομήν." παρὰ δὲ Ῥωμαίοις, ἐπειδὴ τέως οὐκ ἦν καιρὸς τὰ τοιαῦτα διορθοῦν, "ἕκα-"στος," φησὶν, "τῷ ἰδίῳ νοῒ πληροφορείσθω." καὶ γὰρ καὶ περὶ νηστείας ὁ λόγος ἦν αὐτῷ. καὶ τοίνυν τὴν ἐκείνων ἀλαζονείαν καθαιρῶν, καὶ τούτων ἐκβάλλων τὸν φόβον, ταῦτα ἔλεγεν.

Θεοδωρήτου. Οὐκοῦν καθολικῶς τοῦτο τέθεικεν. οὐδὲ γὰρ περὶ τῶν θείων δογμάτων τοῦτο κελεύει φρονεῖν. ἀναθεματίζει γὰρ τοὺς τἀναντία τῇ ἀληθείᾳ διδάσκειν ἀνεχομένους. περὶ μόνων τοίνυν τῶν ἐδεσμάτων τῇ ἑκάστου διανοίᾳ τὴν ἐξουσίαν ἀπένειμε. τοῦτο γάρ τοι καὶ μέχρι τοῦ παρόντος ἐν ταῖς ἐκκλησίαις τὸ ἔθος μεμένηκε. καὶ ὁ μὲν ἀσπάζεται τὴν ἐγκράτειαν· ὁ δὲ μεταλαμβάνει πάντων ἀδεῶς τῶν ἐδεσμάτων. καὶ οὔτε οὗτος ἐκεῖνον κατακρίνει, οὔτε ἐκεῖνος ἐπιμέμφεται τούτῳ· ἀλλὰ τῷ νόμῳ τῆς ὁμονοίας λαμπρύνονται.

Φωτίου. Καὶ εἰ ἄρα ὁ μέν τις ἡμέραν παρ' ἡμέραν ἐσθίει· ὁ δὲ καθ' ἡμέραν, οὐ δεῖ ἐπὶ τούτων κρίνειν καὶ κατακρίνειν ἀλλήλους, οὔτε τὸν ἐσθιόντα. νηστεύει γὰρ ὁ πλησίον καὶ ἀγαθὸν ποιεῖ, ποιῶν αὐτὸ διὰ τὸν Θεόν. οὔτε πάλιν τὸν νηστεύοντα δεῖ κατακρίνειν τὸν μὴ νηστεύοντα παρ' ἡμέραν. οὐ γὰρ νομοθεσίας ἐστὶν, ἵνα ἡ παράβασις προξενῇ κρίμα, ἀλλὰ μόνης προαιρέσεως. ἀλλ' ἕκαστος κατὰ τὸν ἴδιον νοῦν πληροφορείσθω. ἢ ὅτι καλῶς ποιεῖ νηστεύων ἀεί· ἢ ὅτι οὐ καλῶς μὴ νηστεύων ἀεί.

6 Ὁ φρονῶν τὴν ἡμέραν, Κυρίῳ φρονεῖ· καὶ ὁ μὴ φρονῶν τὴν ἡμέραν, Κυρίῳ οὐ φρονεῖ. καὶ ὁ ἐσθίων, Κυρίῳ ἐσθίει, εὐχαριστεῖ γὰρ τῷ Θεῷ· καὶ ὁ μὴ ἐσθίων, Κυρίῳ οὐκ ἐσθίει, καὶ εὐχαριστεῖ τῷ Θεῷ.

Χρυσοστόμου. Ἔτι τῶν αὐτῶν ἔχεται. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. οὐ περὶ τὰ καίρια τὸ πρᾶγμα ἐστί. τὸ γὰρ ζητούμενον, εἰ διὰ τὸν Θεὸν κἀκεῖνος καὶ οὗτος ἐργάζεται· καὶ εἰ ἀμφότεροι εἰς εὐχαριστίαν τελευτῶσι. καὶ γὰρ καὶ ἐκεῖνος καὶ οὗτος, εὐχαριστοῦσι τῷ Θεῷ. εἰ τοίνυν εὐχαριστοῦσιν ἀμφότεροι, οὐ πολὺ τὸ μέσον. σὺ δέ μοι σκόπει πῶς καὶ ἐνταῦθα πλήττει τὸν Ἰουδαΐζοντα λανθανόντως. εἰ γὰρ τὸ ζητούμενον τοῦτό ἐστι, τὸ εὐχαριστεῖν, εὔδηλον ὅτι ὁ ἐσθίων, οὗτός ἐστιν ὁ εὐχαριστῶν, οὐχ ὁ μὴ ἐσθίων. πῶς γὰρ, ἔτι τοῦ νόμου ἐχόμενος; ὅπερ οὖν καὶ πρὸς Γαλάτας ἔλεγεν, "οἵ τινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξε-"πέσετε." ἀλλ' ἐνταῦθα αἰνίττεται μὲν αὐτὸ, οὐκ ἀνακαλύπτει δέ. οὔπω γὰρ ἦν καιρός.

Θεοδωρήτου. Συγκαταβατικῶς μέντοι ταῦτα λέγει. τὴν συμφωνίαν τῇ ἐκκλησίᾳ πραγματευόμενος. οἶδε, φησὶν, ὁ τῶν ὅλων Θεὸς, τὸν τῶν ἐσθιόντων καὶ τῶν οὐκ ἐσθιόντων σκοπόν. καὶ οὐ τῷ ἔργῳ μόνῳ προσέχει, ἀλλὰ καὶ τὴν τοῦ γινομένου διάνοιαν ἐξετάζει.

Γενναδίου. Ἡ περὶ τῆς τῶν ἡμερῶν παρατηρήσεως ὁ λόγος. ἀμφότεροι τοίνυν, φησὶ, ἑνὶ χρῶνται σκοπῷ· τιμῇ τῇ πρὸς τὸν Θεόν. ὅ τε γὰρ παραφυλαττόμενος τὴν ἡμέραν, οἴεται Θεοῦ νόμον πληροῦν. ὅ τε ἀδιαφορῶν περὶ τοῦτο, πᾶσαν ὡς ὑπὸ Θεοῦ γενομένην ἡμέραν δι' ὁμοίας ἔχει τιμῆς. ἀλλὰ μὴν καὶ ὁ ἐσθίων ὡσαύτως.

Φωτίου. Εἰ δὲ περὶ νηστείας τὸ πᾶν ἐκλαβεῖν βούλει, οὕτω νόησον. ὁ κρίνων καὶ λογιζόμενος καλὸν εἶναι καθ' ἡμέραν φαγεῖν, τῷ Κυρίῳ φρονεῖ. τουτέστιν, ἐν Κυρίῳ τοῦτο λογίζεται. τοῦτο γὰρ διὰ τὸν Κύριον ποιεῖ. καὶ ὁ μὴ κρίνων τοῦτο, μὴ δὲ λογιζόμενος, ὅτι καλόν ἐστι καθ' ἡμέραν φαγεῖν, διὰ τὸν Κύριον κρίνει τοῦτο καλὸν εἶναι, καὶ λογίζεται. αἴτια γάρ ἐστι ταῦτα τὰ εἰρημένα αὐτῷ, τοῦ "ἕκαστος ἐν τῷ ἰδίῳ νοΐ πληροφορείσθω." πῶς δὲ λέγεις τοῦτο Παῦλε; καλῶς εἶπον, φησίν. ἐπειδὴ καὶ ὁ νηστεύων ὑπὲρ ἡμέραν, καὶ ὁ ἐσθίων καθ' ἡμέραν, εἰς ἀρέσκειαν Κυρίου τοῦτο ποιοῦσι. καὶ οὐ δεῖ κρίνειν ὅλως ἀλλήλους ἐπὶ τούτῳ. εἶτα ἐπιτείνει τὴν αἰτίαν, καὶ φησὶν, καὶ γὰρ ὁ ἐσθίων εὐχαριστεῖ τῷ Θεῷ ἐν τῷ ἐσθίειν. ὅτι ἔδωκεν ἀνθρώποις πόρον καὶ συνέχειαν

ζωῆς. καὶ ὁ νηστεύων εὐχαριστεῖ, ὅτι ἔδωκεν ἀνθρώποις καρτερίας καὶ μεθόδους, δι' ὧν τις δύναται περιγενέσθαι τῶν τῆς σαρκὸς παθῶν. ὁ δὲ ἄλλως νηστεύων ἢ ἐσθίων, κατάκριτος, ὥσπερ τῶν αἱρετικῶν τινές. ταῦτα οὖν περὶ τῶν νηστευόντων καὶ ἐσθιόντων ἰδικῶς ἐκληπτέον. ἀλλὰ μὴ περὶ ἄλλων τινῶν. οὐ γὰρ ἐπὶ πάντας ὁ κανὼν οὗτος διήκει. διὸ οὐδὲ ἐπὶ τοῦ πρὸ μικροῦ εἰρημένου κεφαλαίου ἁρμόζει. οἷον ἐπὶ τοῦ ἐν τοῖς βρώμασι διακρινομένου. καὶ γὰρ ἐκεῖνος μὴ ἐσθίων, οὐκ εἰς δόξαν οὐκ ἐσθίει τοῦ Θεοῦ, ἀλλ' ὡς ἀστήρικτος ἐν τῇ πίστει. ἀλλ' ἐκεῖνον μὲν οὐ δεῖ κατακρίνειν διὰ τὸν καιρόν· ὅτι ἀρχὴ τοῦ κηρύγματος ἦν. τὸν δὲ ἐσθίοντα καθημέραν καὶ νηστεύοντα ὑπὲρ ἡμέραν, οὐ δεῖ ὅλως οὐδέτερον οὐδετέρῳ μέμψιν ἐπάγειν. ὅτι καὶ ἄμφω εἰς δόξαν Κυρίου ποιοῦσιν ὅπερ ποιοῦσιν. "οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ ζῇ. καὶ οὐδεὶς ἑαυτῷ ἀποθνήσκει. "ἐάν τε γὰρ ζῶμεν, τῷ Κυρίῳ ζῶμεν. ἐάν τε ἀποθνήσκωμεν, τῷ "Κυρίῳ ἀποθνήσκομεν. ἐάν τε ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν τοῦ "Κυρίου ἐσμεν. εἰς τοῦτο γὰρ Χριστὸς ἀπέθανε, καὶ ἀνέστη καὶ "ἔζησεν, ἵνα ζώντων καὶ νεκρῶν κυριεύσῃ."

Χρυσοστόμου. Πλήττει κἀνταῦθα τὸν Ἰουδαΐζοντα λεληθότως. ὁ γὰρ τῷ νόμῳ ζῶν, πῶς δύναται τῷ Χριστῷ ζῆν; οὐ τοῦτο δὲ μόνον διὰ τούτων κατασκευάζει, ἀλλὰ καὶ τὸν ἐπειγόμενον εἰς τὴν ἐκείνων διόρθωσιν κατέχει, καὶ πείθει μακροθυμεῖν. δεικνὺς ὅτι ἀμήχανον τὸν Θεὸν καταφρονῆσαι αὐτῶν. ἀλλὰ τῷ προσήκοντι καιρῷ διορθώσεται. τί οὖν ἐστιν, "οὐδεὶς ἡμῶν ἑαυτῷ ζῇ;" οὐκ ἐσμὲν ἐλεύθεροι. δεσπότην ἔχομεν τὸν καὶ ζῆν ἡμᾶς βουλόμενον, καὶ ἀποθανεῖν οὐκ ἐθέλοντα. καὶ ᾧ ταῦτα ἀμφότερα μᾶλλον ἡμῶν διαφέρει. διὰ γὰρ τοῦτο δείκνυσιν, ὅτι πλέον ἡμῶν αὐτὸς κήδεται. οὐ γὰρ ἑαυτοῖς ἀποθνήσκομεν μόνον, ἀλλὰ καὶ τῷ δεσπότῃ. ἂν ἄρα ἀποθάνωμεν. θάνατον δὲ ἐνταῦθα τὸν ἐκ πίστεως λέγει. ἱκανὸν μὲν οὖν καὶ τοῦτο πεῖσαι, ὅτι φροντίζει ἡμῶν. ὅτι αὐτῷ ζῶμεν καὶ αὐτῷ ἀποθνήσκομεν. πλὴν οὐκ ἀρκεῖται τούτῳ, ἀλλὰ καὶ ἕτερον ἐπάγει. εἰπὼν γὰρ, "ἐάν τε ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν "τοῦ Κυρίου ἐσμέν." καὶ ἀπ' ἐκείνου τοῦ θανάτου ἐπὶ τὸν φυσικὸν μεταβάς· ἵνα μὴ δόξῃ τραχύνειν τὸν λόγον, ἕτερον σημεῖον ποιεῖται τῆς αὐτοῦ προνοίας μέγιστον. ποῖον δὴ τοῦτο; "εἰς τοῦτο "γὰρ Χριστὸς," φησὶν, "καὶ ἀπέθανε καὶ ἀνέστη καὶ ἀνέζησεν.

"ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ." ὥστε καὶ τοῦτό σε πειθέτω, ὅτι φροντίζει τῆς σωτηρίας ἡμῶν. εἰ γὰρ μὴ τοσαύτην ἐποιεῖτο πρόνοιαν, τίς χρεία τῆς οἰκονομίας ἦν; ὁ τοίνυν τοσαύτην σπουδὴν θέμενος ὑπὲρ τοῦ αὐτοῦ γενέσθαι ἡμᾶς· ὡς καὶ δούλου μορφὴν ἀναλαβεῖν καὶ ἀποθανεῖν· οὗτος μετὰ τὸ γενέσθαι καταφρονήσει; οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν. οὐδ' ἂν ἕλοιτο τοσαύτην προέσθαι πραγματείαν. ὅρα δὲ καὶ τὴν δύναμιν αὐτοῦ, πῶς δείκνυσιν ἄφατον οὖσαν. "εἰς τοῦτο γάρ," φησιν, "καὶ ἀπέθανε καὶ "ἀνέστη καὶ ἔζησεν. ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ." καὶ ἀνωτέρω, "ἐάν τε γὰρ ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν, αὐτοῦ "ἐσμέν." εἶδες δεσποτείαν ἐπιτεταμένην; μὴ γὰρ τοὺς ζῶντας εἴπῃς φησίν. καὶ γὰρ καὶ τῶν ἀποθανόντων προνοεῖ. εἰ δὲ τῶν ἀπελθόντων, εὔδηλον ὅτι καὶ τῶν ζώντων. ταῦτα δὲ λέγει, ἔτι ἐντρέπων τὸν Ἰουδαΐζοντα, καὶ πείθων ἀναμνησθῆναι τοῦ μεγέθους τῆς εὐεργεσίας. καὶ ὅτι νεκρὸς ὢν ἔζησε, καὶ ὅτι οὐδὲν ἐκέρδανεν ἀπὸ τοῦ νόμου, καὶ ὅτι ἐσχάτης ἀγνωμοσύνης ἂν εἴη, τὸν τοσαῦτα καταδεξάμενον ὑπὲρ αὐτοῦ, καταλιπόντα, ἐπὶ τὸν νόμον παλινδρομεῖν.

Θεοδώρου Μονάχου. Ἆρα δὲ πρὸ τοῦ πάθους, πάντων οὐκ ἦν Κύριος ὁ Χριστός; πῶς οὖν φησιν, "εἰς τοῦτο ἀπέθανεν, ἵνα "καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ;" ἢ τί τὸ ἐκ τῆς ἐνανθρωπήσεως πλέον; ὅτι τῇ μὲν ἀληθείᾳ καὶ τῇ φύσει, δεσπότης ἦν ὁ ποιήσας, τῶν ποιηθέντων. τῇ δὲ τῶν ἀσεβούντων ἐκτροπῇ, τῶν λατρευσάντων τῇ κτίσει παρὰ τὸν κτίσαντα, οὐκ αὐτὸς ἐνομίζετο δεσπότης, ἀλλὰ τὰ ὑπ' αὐτῶν προσκυνούμενα. ὥστε ἡ μὲν ἔνσαρκος αὐτοῦ παρουσία, τούς τε ὄντας μετ' αὐτοῦ καὶ ἐσομένους μετ' αὐτὸν, ὑπὸ τὴν αὐτοῦ δεσποτείαν προσῆγεν. ἡ δὲ μέχρι θανάτου γενομένη αὐτοῦ ὑπακοὴ, τοῖς φθάσασιν ἐν ἀγνωσίᾳ προαπελθεῖν, τῆς σωτηρίας ἔδειξε τὴν οἰκονομίαν, καὶ τοῦ θανάτου προδιέλυσε τοὺς δεσμοὺς, καὶ τῆς ἀναστάσεως ἀπαρχὴ ἐγένετο.

Μεθοδίου. Ἐκλάβοι δ' ἄν τις τὸ, "ἵνα ζώντων καὶ νεκρῶν "κυριεύσῃ," καὶ περὶ ψυχῶν καὶ σωμάτων· αἱ μὲν, γάρ εἰσιν ἀθάνατοι, τὰ δὲ, θνητά.

Γενναδίου. Καὶ περὶ τῶν διὰ κακουχίας τοῦ σώματος, νεκρῶν τοῖς πάθεσι, καὶ ζώντων ἐν Χριστῷ.

10 Σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου; ἢ καὶ σὺ τί ἐξου-
θενεῖς τὸν ἀδελφόν σου; πάντες γὰρ παραστησόμεθα
11 τῷ βήματι τοῦ Χριστοῦ. γέγραπται γὰρ, ζῶ ἐγὼ, λέγει
Κύριος· ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, ἐπουρανίων καὶ ἐπι-
γείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογή-
12 σεται τῷ Θεῷ. ἄρα οὖν ἕκαστος ἡμῶν περὶ ἑαυτοῦ λό-
γον δώσει.

Θεοδωρήτου. Πρὸν τὸν Ἰουδαΐζοντα ἀποτεινόμενος ταῦτα φησί.

Χρυσοστόμου. Καὶ πρῶτον μὲν τῇ προσηγορίᾳ τοῦ ἀδελφοῦ καταλύει καλῶς τὴν φιλονεικίαν. ἔπειτα δὲ καὶ τῷ τῆς ἡμέρας ἐκείνης ἀναμνῆσαι τῆς φοβερᾶς. εἰπὼν γὰρ, "τί ἐξουθενεῖς τὸν "ἀδελφόν σου;" ἐπήγαγε, "πάντες γὰρ παραστησόμεθα τῷ βή-"ματι τοῦ Χριστοῦ." καὶ δοκεῖ μὲν πάλιν ἐπιτιμῶν τῷ τελειοτέρῳ ταῦτα λέγειν. κατασείει δὲ τοῦ Ἰουδαΐζοντος τὴν διάνοιαν. οὐκ ἀπὸ τῆς εὐεργεσίας τῆς γεγενημένης ἐντρέπων αὐτὸν μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς μελλούσης κολάσεως φοβῶν. τοιοῦτον δέ τι αἰνίττεται, οἷον εἰ ἔλεγε, τί σοι μέλει; μὴ, γὰρ, σὺ μέλλεις ὑπὲρ αὐτοῦ κολάζεσθαι; ἀλλ' οὕτω μὲν οὐκ εἶπε τοῦτο. ἠνίξατο δὲ, εἰπὼν, "ἕκαστος ἡμῶν ὑπὲρ ἑαυτοῦ δώσει λόγον τῷ Θεῷ." καὶ τὸν προφήτην δὲ εἰσήγαγε τὴν ἁπάντων αὐτῷ μαρτυροῦντα ὑποταγήν, καὶ ὑποταγὴν ἐπιτεταμένην. καὶ τῶν ἐν τῇ παλαιᾷ ἀνθρώπων καὶ πάντων ἁπλῶς. οὐ γὰρ ἁπλῶς εἶπε προσκυνήσει ἕκαστος, ἀλλὰ καὶ "ἐξομολογήσεται." τουτέστιν, εὐθύνας δώσει τῶν πεπραγμένων. ἔσο τοίνυν ἐναγώνιος, τὸν κοινὸν δεσπότην ἐπὶ τοῦ βήματος ὁρῶν καθήμενον, καὶ μὴ σχίζε τὴν ἐκκλησίαν, τῆς χάριτος ἀπορρηγνύμενος, καὶ τῷ νόμῳ προστρέχων.

Γενναδίου. Σαφῶς γε μὴν συνίσταται διὰ τῆς μαρτυρίας ταύτης τοῦ Υἱοῦ τὸ πρὸς τὸν Πατέρα τελέως ἰσότιμον. Ἠσαΐου γὰρ αὐτὴν ἐκ προσώπου τοῦ Θεοῦ φήσαντος οὑτωσὶν, "ἐγὼ εἰμὶ ὁ "Θεὸς καὶ οὐκ ἔστιν ἄλλος, κατ' ἐμαυτοῦ ὀμνύω, ἢ μὴν ἐξελεύ-"σεται ἐκ τοῦ στόματός μου δικαιοσύνη. οἱ λόγοι μου οὐκ ἀπο-"στραφήσονται· ὅτι αὐτῷ πᾶν γόνυ κάμψει." οὕτως εἰπόντος αὐτὴν τοῦ προφήτου, Παῦλος ὡς ἐφαρμόζουσαν ἐδέξατο τῷ δεσπότῃ

Χριστῷ. οὔποτ' ἂν τοῦτο ποιήσας, εἰ μὴ Θεὸν εἶναι ἀληθινὸν καὶ τὸν Χριστὸν ἠπίστατο, ὡς τὸν Πατέρα.

13 Μηκέτι οὖν ἀλλήλους κρίνωμεν· ἀλλὰ τοῦτο κρίνατε μᾶλλον, τὸ μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ ἢ σκάνδαλον.

Χρυσοστόμου. Ἵνα μὴ δόξῃ ὡς ἐπίτηδες φοβῶν τὸν Ἰουδαΐζοντα, τὸν περὶ τῆς κρίσεως ἐποιήσατο λόγον, ἀλλ' ὡς ἐκ τῆς προκειμένης ἀκολουθίας ἐπὶ τοῦτο ἐλήλυθε, πάλιν ἔχεται τῆς αὐτῆς ὑποθέσεως. ταῦτα δὲ οὐκ ἐκείνου μᾶλλον ἐστὶν ἢ τούτου. διὸ ἀμφοτέροις ἁρμόζειν δύναται· καὶ τοῦ τελείου σκανδαλιζομένου ἐπὶ τῇ τῶν βρωμάτων παρατηρήσει, καὶ τοῦ ἀτελοῦς προσκόπτοντος ἐπὶ τῇ σφοδρᾷ ἐπιπλήξει.

Θεοδωρήτου. Ἐπειδὴ οὖν τὸ δεσποτικὸν ὑπέδειξε δικαστήριον, ἀναγκαίως παρῄνεσε μὴ ἀλλήλους κρίνειν, ἀλλ' ἐκείνην ἀναμένειν τὴν ψῆφον. ἔοικε δὲ μᾶλλον πρὸς τοὺς ἐξ ἐθνῶν ἀποτείνεσθαι, μὴ συγκατιόντας τῇ ἀσθενείᾳ τῶν ἐξ Ἰουδαίων πεπιστευκότων, ἀλλὰ ἄκραν ἀρετὴν ὑπειληφότας εἶναι, καὶ ζῆλον θερμὸν, τὴν ἀδιάφορον τῶν ἐδωδίμων μετάληψιν.

14 Οἶδα καὶ πέπεισμαι ἐν Κυρίῳ Ἰησοῦ, ὅτι οὐδὲν κοινὸν δι' ἑαυτοῦ, εἰ μὴ τῷ λογιζομένῳ τί κοινὸν εἶναι, ἐκείνῳ κοινόν.

Χρυσοστόμου. Πρότερον ἐπιτιμήσας τῷ κρίνοντι τὸν ἀδελφὸν, καὶ ταύτῃ τῆς ἐπιπλήξεως αὐτὸν ἀποστήσας, τότε λοιπὸν καὶ περὶ τοῦ δόγματος ἀποφαίνεται, καὶ μετὰ ἡσυχίας παιδεύει τὸν ἀσθενέστερον. πολλὴν καὶ ἐνταῦθα τὴν πρᾳότητα ἐπιδεικνύμενος. οὐ γὰρ λέγει ὅτι δίκην δώσει, οὐδὲ ἄλλό τι τῶν τοιούτων οὐδὲν, ἀλλὰ τὸν φόβον, ἀλλὰ τὴν ἀγωνίαν μόνον προτείνει τοῦ πράγματος· ὥστε αὐτὸν εὐκολώτερον πεισθῆναι τοῖς παρ' αὐτοῦ λεγομένοις. ἵνα δὲ μὴ λέγῃ τίς τῶν πιστῶν, καὶ τί πρὸς ἡμᾶς, εἰ σὺ πέπεισαι; οὐδὲ γὰρ ἀξιόπιστος εἶ νόμῳ τοσούτῳ ἀντικαταστῆναι, καὶ χρησμοῖς ἄνωθεν κατενεχθεῖσιν, ἐπάγει, "ἐν Κυρίῳ." τουτέστι, παρ' αὐτοῦ πληροφορηθείς. οὐκ ἄρα ἀνθρωπίνης διανοίας ἡ ψῆφος. τί τοίνυν πέπεισαι καὶ οἶδας εἰπὲ, ὅτι οὐδὲν κοινὸν δι'

αὐτοῦ; τῇ φύσει, φησὶ, οὐδὲν ἀκάθαρτον· ἀλλὰ ἀπὸ τῆς προαιρέσεως γίνεται τοῦ μετιόντος. ἐκείνῳ γοῦν μόνῳ γίνεται, καὶ οὐχὶ πᾶσι. τῷ γὰρ λογιζομένῳ, φησὶν, τί κοινὸν, ἐκείνῳ κοινόν. τί οὖν οὐ διορθοῖς τὸν ἀδελφὸν, ἵνα μὴ νομίζῃ ἀκάθαρτον, καὶ ἀπάγεις τῆς τοιαύτης συνηθείας μετὰ πολλῆς ἐξουσίας; φοβοῦμαι φησὶ, μὴ λυπήσω αὐτόν. διὸ καὶ ἐπήγαγεν. "εἰ δὲ διὰ βρῶμα ὁ ἀδελφός "σου λυπεῖται, οὐκέτι κατὰ ἀγάπην περιπατεῖς."

ΘΕΟΔΩΡΗΤΟΥ. *Ἢ καὶ οὕτως. ἵνα μὴ λέγωσιν οἱ Ἰουδαῖοι, σὺ τίς ὢν ἀντινομοθετεῖς Μωϋσῇ; τὸν διὰ Μωσέως δεσπότην εἰς μέσον παρήγαγε. διδάσκων ὡς αὐτὸς τὰς νομικὰς παρατηρήσεις ἔπαυσε, καὶ οὐδὲν εἴασε νομίζειν ἀκάθαρτον ἔδεσμα. τὸ γὰρ δι' αὐτοῦ, ἀντὶ τοῦ διὰ τὴν εὐαγγελικὴν αὐτοῦ νομοθεσίαν. αὐτὸς γὰρ καὶ πρὸς τὸν μακάριον ἔφη Πέτρον, "ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ "κοίνου."*

ΚΥΡΙΛΛΟΥ. *Ἀξιόχρεως μὲν οὖν ὁ μάρτυς, εἰδέναι καὶ πεπεῖσθαι διϊσχυριζόμενος. προσεπάγει δὲ τὸ, "ἐν Κυρίῳ Ἰησοῦ," πρὸς τὸ καὶ ἔτι μειζόνως ἐμπεδοῦσθαι τὸ ἀληθές· ἕπεσθαί τε τοῖς ἀκροωμένοις τὴν πίστιν, ἐνδοιασμοῦ τινὸς δίχα. διαμέμνηται δὲ πάντως που εἰρηκότος Χριστοῦ, "οὐ τὸ εἰσπορευόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον." καὶ ὅτι "πᾶν ἔδεσμα, χωρεῖ μὲν εἰς "τὴν κοιλίαν. ἐκπέμπεται δὲ εἰς ἀφεδρῶνα." καὶ τοῦτο φύσις αὐτῷ καὶ χρεία. οὐκοῦν ὅσον μὲν ἧκεν εἰς ἰδίαν φύσιν, κοινὸν ἢ βέβηλον οὐδὲν τῶν τελούντων εἰς τροφάς. ἁγιάζεται γὰρ διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως. μεμνήμεθα δὲ ὅτι καὶ πρὸς τὸ εἶναι παρενεγκὼν τὰ πάντα Θεὸς, "εἶδε," φησὶ, "ὅτι καλὰ λίαν. καὶ "εὐλόγησεν αὐτά." ἐπαινοῦντός γε μὲν Θεοῦ καὶ ηὐλογηκότος τὰ ἴδια κτίσματα, τίς ὁ φᾶναι τολμῶν μολυσμοῦ καὶ βεβηλώσεως εἶναί τι πρόξενον; καὶ οὐκ αὐτοῦ ποιήσεται τὴν κατάρρησιν τοῦ προενεγκόντος εἰς ὕπαρξιν; οὐκοῦν κοινὸν μὲν τῇ φύσει τῶν πεποιημένων παντελῶς οὐδέν. εἰ δὲ δή τις οἴοιτο κοινὸν εἶναί τι, κεκοίνωται διὰ τοῦτο, καὶ νενόσηκεν αὐτὸς ὡς ἐν ἰδίᾳ γνώμῃ τὴν βεβήλωσιν. πάντα μὲν γὰρ καθαρά. κοινοῖ δὲ τὸν ἄπιστον, ἡ ἐπί τισιν ὀλιγοπιστία, καὶ οὐκ αὐτά που πάντως ἃ νενόμικεν εἶναι κοινά. ὥσπερ γὰρ τοῖς τελείοις τὸν νοῦν, εἷς ὁ φύσει Θεὸς, καὶ*

οὐδεὶς ἐπ' αὐτῷ ἕτερος, ἀλλ' οὔτε εἴδωλόν τι ἔστιν ἐν κόσμῳ. λελόγισται δὲ παρ' οὐδὲν καὶ τὸ εἰδωλόθυτον. ὁ γὰρ εἴδωλον οὐκ εἰδὼς, πῶς ἂν εἰδείη τὸ εἰδωλόθυτον; τοῖς γὲ μὴν οἰομένοις πολλοὺς εἶναι Θεοὺς, ἔσται τι πάντως καὶ εἰδωλόθυτον. οὕτω τοῖς πεπιστευκόσιν ἀβέβηλά τε εἶναι καὶ καθαρὰ τὰ παρὰ Θεοῦ, κοινὸν μὲν τῇ φύσει παντελῶς οὐδέν. ἀνεῖται δὲ πάντως ἐπ' ἐξουσίας τῶν ἐδωδίμων ἡ χρῆσις. τοῖς γὲ μὴν οὕτω πρὸς τοῦτο γνώμης ἱγμένοις, οὔπω μὲν καθαρὰ κατὰ τὸ αὐτοῖς δοκοῦν ἔχειν ὀρθῶς, κοινὰ δὲ, ὅτι σκάζει αὐτοῖς πρὸς ἀλήθειαν ὁ νοῦς.

ΘΕΟΔΩΡΗΤΟΥ ἘΚ ΤΟΥ͂ ΕἸΣ ΤΟΥ͂Σ ΛΕΥΪΤΙΚΟΥ͂Σ. Μῶσης μέντοι τὰ μὲν καθαρὰ τῶν ζώων, τὰ δὲ ἀκάθαρτα ὠνόμασε. διδάσκων μὲν καὶ διὰ τῶν σωματικῶν τὰς ψυχικὰς ἀκαθαρσίας φεύγειν, κατὰ τὸ νοούμενον· πείθων δὲ καὶ Ἰουδαίους μόνον ἡγεῖσθαι τὸν ἀληθινὸν Θεὸν, Θεόν. διχῇ γὰρ διελὼν, καὶ τὰ χερσαῖα ζῶα καὶ τὰ πτηνὰ καὶ τὰ ἔνυδρα· καὶ τὰ μὲν, ἀκάθαρτα, τὰ δὲ, καθαρὰ προσειπὼν, πείθει μηδὲν τούτων ἡγεῖσθαι Θεόν. πῶς γὰρ ἄν τις σωφρονῶν, ἢ τὸ ἀκάθαρτον ὀνομάσει Θεὸν, ὃ μυσαττόμενος ἀποστρέφεται, ἢ τὸ τῷ Θεῷ τῷ ἀληθινῷ προσφερόμενον, καὶ παρ' αὐτοῦ ἐσθιόμενον;

ΘΕΟΔΩΡΟΥ. Ἦ καὶ γαστρὸς κρατεῖν ἀπὸ μέρους ἐθίζων αὐτούς.

15 Εἰ δὲ διὰ βρῶμα ὁ ἀδελφός σου λυπεῖται, οὐκέτι κατὰ ἀγάπην περιπατεῖς. μὴ τῷ βρώματί σου ἐκεῖνον ἀπόλλυε, ὑπὲρ οὗ Χριστὸς ἀπέθανεν.

ΘΕΟΔΩΡΗΤΟΥ. Πάλιν ἐπιμέμφεται τοῖς ἐξ ἐθνῶν, μὴ φέρουσι τὴν Ἰουδαίων ἀσθένειαν. καὶ αὔξει τὸ ἔγκλημα τῆς ἀγάπης, γυμνώσας τὸν ἐκεῖνα μετιόντα. εἶτα μειζόνως δείκνυσι τὴν ἀτοπίαν, ὑπὲρ οὗ, λέγων, τὸν θάνατον ὁ δεσπότης Χριστὸς κατεδέξατο. σὺ δὲ οὐ βούλει τῇ τῆς βρώσεως ἀποχῇ ζωὴν αὐτῷ πραγματεύσασθαι; ἀλλὰ τῇ μεταλήψει τεκταίνεις τὸν θάνατον;

ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἶδες πῶς τέως ᾠκειώσατο τὸν Ἰουδαΐζοντα; δείξας ὅτι τοσοῦτον αὐτοῦ πεποίηται λόγον, ὡς ὑπὲρ τοῦ μὴ λυπῆσαι αὐτὸν, μὴ δὲ ἐπιτάξαι τέως τολμᾶν τὰ σφόδρα ἀναγκαῖα· οἷον τὸ μὴ βδελύττεσθαι τὰ βρώματα, ἀλλὰ τῇ συγχωρήσει μᾶλλον αὐτὸν ἐφέλκεσθαι καὶ τῇ ἀγάπῃ. οὐδὲ γὰρ μετὰ τὸ λῦσαι τὸν φόβον, καὶ καθαρὰ πάντα εἰπεῖν, ἕλκει καὶ βιάζεται,

ἀλλ' ἀφίησιν αὐτὸν ἑαυτοῦ κύριον. οὐ γάρ ἐστιν ἴσον βρώματος ἀπαγαγεῖν, καὶ λύπῃ περιβαλεῖν. ὁρᾷς πόσην σπουδὴν ποιεῖται τῆς ἀγάπης; οἶδε γὰρ ὅτι πάντα αὕτη κατορθῶσαι δύναται. διὸ καὶ μεῖζόν τι ἐνταῦθα παρ' αὐτῶν ἀπαιτεῖ. οὐ γὰρ μόνον, φησὶ, αὐτοὺς οὐ χρὴ πρὸς ἀνάγκην ἀπαγαγεῖν, ἀλλ' εἰ δεῖ καὶ συγκαταβαίνειν, μὴ δὲ τοῦτο ὀκνεῖν. διὸ καὶ ἐπάγει λέγων, "μὴ τῷ "βρώματί σου ἐκεῖνον ἀπόλλυε, ὑπὲρ οὗ Χριστὸς ἀπέθανεν." ἢ οὐδὲ τοσούτου ἄξιον εἶναι ἡγῇ τὸν ἀδελφὸν, ὡς μὴ δὲ ἀποχῇ βρωμάτων ὠνήσασθαι αὐτοῦ τὴν σωτηρίαν; καὶ ὁ μὲν Χριστὸς οὐδὲ δοῦλος γενέσθαι, οὐδὲ ἀποθανεῖν παρῃτήσατο δι' αὐτόν· σὺ δὲ οὐδὲ βρωμάτων καταφρονεῖς, ἵνα αὐτὸν διασώσῃς.

Γενναδίου. Θαυμασιώτατα τοίνυν τὸ πρᾶγμα διέβαλε. πρῶτον μὲν, τῷ εὐτελεῖ τῆς προφάσεως, "διὰ βρῶμα," εἰπών. εἶτα, τῷ προσώπῳ περὶ ὃ τὸ ἁμάρτημα, "ὁ ἀδελφός σου" φήσας· εἶτα, τῷ τοῦ πλημμελήματος ἀποτελέσματι· ἀπώλειαν ἄντικρυς αὐτὸ προσειπών. τέταρτον, τῷ, εἰς ὃν ἡ ἀναγωγὴ τοῦ τολμήματος. "ὑπὲρ οὗ," φησὶν, "Χριστὸς ἑκουσίως ἀπέθανε." πέμπτον, ὅτι βλασφημεῖσθαι ποιεῖ τὴν εὐσέβειαν. ἕκτον, ὅτι οὐχ ὑπὲρ τούτων ἢ τοιούτων ἀπολαύσεως, τῇ Χριστοῦ πίστει προσεληλύθαμεν· ἀλλ' ἐπὶ μετουσίᾳ δικαιοσύνης, τουτέστιν, ἀναμαρτησίας, καὶ εἰρήνης καὶ χαρᾶς. ἐκ γὰρ τῆς ἁμαρτίας ἡ πρόσκρουσις· ἐκ δὲ τῆς προσκρούσεως, ἡ τῆς λύπης κατάκρισις. ἀρθείσης οὖν τῆς ἁμαρτίας, καὶ τὰ ἐκ ταύτης ἐξήρηται. ἀντεισαχθείσης δὲ τῆς δικαιοσύνης, εἰκότως εἰρήνη καὶ χαρὰ συνεισήχθη. τὸ δὲ "ἐν "Πνεύματι Ἁγίῳ," τὸν αἴτιον τῶν τοσούτων δηλοῖ ἀγαθῶν.

16 17 Μὴ βλασφημείσθω οὖν ὑμῶν τὸ ἀγαθόν. οὐ γάρ
ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ βρῶσις καὶ πόσις, ἀλλὰ
18 δικαιοσύνη καὶ χαρὰ καὶ εἰρήνη ἐν Πνεύματι Ἁγίῳ. ὁ
γὰρ ἐν τούτοις δουλεύων τῷ Χριστῷ, εὐάρεστος τῷ
Θεῷ, καὶ δόκιμος τοῖς ἀνθρώποις.

Κυρίλλου. Μὴ κατεπαιρέσθω τῶν ἀσθενῶν, ἡ τῶν εὐδοκιμούντων λαμπρότης. μήτε τὸ ἀγαθὸν ὑμῶν, τουτέστι τὸ ἀξιάγαστον εἰς πίστιν βλασφημείσθω πρός τινος. οὐ γὰρ τῆς θεαρέστου πολιτείας τὰ κατορθώματα διὰ βρώσεως γένοιτο. οὔτε ὡς θεοσεβὴς

ὁ τοιοῦτος τῆς τῶν οὐρανῶν βασιλείας ἄξιος, εἰ ἀδιακρίτως ἐσθίει τὰ παρατιθέμενα. ἀλλ' ὁ συγκαταβαίνων τῇ τῶν ἀσθενῶν ἀδελφῶν ἀσθενείᾳ, καὶ ἀπεχόμενος. καὶ γὰρ εἰ καὶ ἐμέμψατο τῷ Πέτρῳ ὡς Ἰουδαϊκῶς ζήσαντι διὰ τοὺς ἐλθόντας εἰς Ἀντιόχειαν ἀπὸ Ἰακώβου, οὐ διὰ τοῦτο ἐμέμψατο ὅτι συγκατέβη τῇ ἀσθενείᾳ τῶν ἐκ περιτομῆς, καὶ ἀπείχετο βρωμάτων, ἀλλ' ὅτι πολλοὺς ὄντας τοὺς ἐξ ἐθνῶν παρέσυρε, τῷ ἀξιοπίστῳ τοῦ προσώπου ἑαυτοῦ, εἰς τὸ νομίσαι ὅτι χρὴ κατὰ νόμον ζῇν, καὶ εἰς οὐδὲν αὐτῷ τὸ κήρυγμα χωρεῖν ἐκινδύνευεν. ἦν γὰρ ἐθνῶν διδάσκαλος.

Χρυσοστόμου. Ἀγαθὸν δὲ ἐνταῦθα, ἢ τὴν πίστιν φησὶν, ἢ τὴν μέλλουσαν ἐλπίδα τῶν ἐπάθλων, ἢ τὴν ἀπηρτισμένην εὐσέβειαν. οὐ γὰρ μόνον, φησὶν, τὸν ἀδελφὸν οὐκ ὠφελεῖς, ἀλλὰ καὶ αὐτὸ τὸ δόγμα καὶ τὴν χάριν τοῦ Θεοῦ καὶ τὴν δωρεὰν, βλασφημεῖσθαι ποιεῖς. ὅταν γὰρ μάχῃ, ὅταν λυπῇς, ὅταν σχίζῃς τὴν ἐκκλησίαν, καὶ λοιδορεῖς τὸν ἀδελφὸν, βλασφημοῦσιν οἱ ἔξωθεν. ὥστε οὐδὲν ἐντεῦθεν κατορθοῦται μόνον, ἀλλὰ καὶ τοὐναντίον ἅπαν. τὸ γὰρ ἀγαθὸν ὑμῶν, ἡ ἀγάπη, ἡ φιλαδελφία, τὸ μετ' εἰρήνης ζῇν. εἶτα πάλιν ἐκλύων αὐτοῦ τὸν φόβον, καὶ τὴν ἐκείνου φιλονεικίαν, φησὶν, "οὐ γάρ ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ βρῶσις καὶ "πόσις." μὴ γὰρ, ἀπὸ τούτων εὐδοκιμῆσαι ἔχομεν. καὶ οὐδὲ κατασκευῆς δεῖται, ἀλλὰ ἀρκεῖται τῇ ἀποφάσει. ὃ δὲ λέγει, τοῦτό ἐστι. μὴ γὰρ, ἐὰν φάγῃς, τοῦτό σε εἰς βασιλείαν ἄγει. διὸ καὶ διασύρων αὐτοὺς ὡς μέγα ἐπὶ τούτῳ φρονοῦντας, οὐχὶ βρῶσιν εἶπε μόνον, ἀλλὰ καὶ πόσιν. τίνα οὖν ἐστι τὰ εἰσάγοντα; δικαιοσύνη, καὶ εἰρήνη, καὶ χαρὰ, ὁ ἐνάρετος βίος, ἡ πρὸς τὸν ἀδελφὸν εἰρήνη, ᾗ ἐναντιοῦται αὕτη ἡ φιλονεικία· ἡ ἐκ τῆς ὁμονοίας χαρὰ, ἣν ἀναιρεῖ αὕτη ἡ ἐπίπληξις. ταῦτα δὲ οὐχὶ θατέρῳ μόνον, ἀλλ' ἑκατέροις ἔλεγε. καὶ γὰρ πρὸς ἑκατέρους εἰρῆσθαι καιρὸν εἶχεν. εἶτα ἐπειδὴ εἶπεν εἰρήνην καὶ χαρὰν, ἔστι δὲ εἰρήνη καὶ χαρὰ καὶ ἐπὶ πονηρῶν πραγμάτων, ἐπήγαγεν, "ἐν Πνεύματι "Ἁγίῳ." εἶτα, ἐπειδὴ καὶ ἀπὸ κενοδοξιας ἠρέμα τοῦτο ἐγίνετο τὸ ἐπιτιμᾶν, ἐπάγει, "ὁ γὰρ ἐν τούτοις δουλεύων τῷ Χριστῷ, "εὐάρεστος τῷ Θεῷ καὶ εὐδόκιμος τοῖς ἀνθρώποις." οὐ γὰρ οὕτω σε θαυμάσονται τῆς τελειότητος, ὡς τῆς εἰρήνης καὶ τῆς ὁμονοίας

ἅπαντες. τούτου μὲν γὰρ τοῦ καλοῦ, πάντες ἀπολαύσονται· ἐκείνου δὲ, οὐδὲ εἷς.

Θεοδωρήτου. Ἐπισημήνασθαι μέντοι προσήκει ὡς τὸ δουλεύειν τῷ Χριστῷ, εὐάρεστον εἶπεν εἶναι τῷ τῶν ὅλων Θεῷ. εἰ δὲ τὸ δουλεύειν τῷ Χριστῷ, εὐάρεστον τῷ Θεῷ, οὐκοῦν καὶ τὸ βλασφημεῖν τὸν Χριστὸν, καὶ σμικρύνειν αὐτοῦ τὴν ἀξίαν ἐπιχειρεῖν, ἀπαρέσκον τῷ τῶν ὅλων Θεῷ.

19 Ἄρα οὖν τὰ τῆς εἰρήνης διώκωμεν, καὶ τὰ τῆς οἰκοδομῆς τῆς εἰς ἀλλήλους.

Χρυσοστόμου. "Τὰ τῆς εἰρήνης διώκωμεν." τοῦτο, πρὸς ἐκεῖνον, ἵνα εἰρηνεύῃ. "καὶ τὰ τῆς οἰκοδομῆς." τοῦτο πρὸς τοῦτον, ἵνα μὴ καταλύῃ τὸν ἀδελφόν. ἀλλ' ὅμως, κοινὰ ταῦτα πάλιν ἀμφότερα πεποίηκεν, εἰπὼν, "τῆς εἰς ἀλλήλους." καὶ δείξας ὅτι χωρὶς εἰρήνης, οὐκ εὔκολον οἰκοδομεῖν.

Θεοδωρήτου. Προσήκει τοίνυν ἡμᾶς φησὶ, πάντων προτιμᾶν τὴν θεοφιλῆ συμφωνίαν, καὶ τῆς εἰς ἀλλήλους ὠφελείας εἵνεκα, πάντα ποιεῖν.

20 Μὴ ἕνεκεν βρώματος κατάλυε τὸ ἔργον τοῦ Θεοῦ.

Χρυσοστόμου. Ἔργον τοῦ Θεοῦ, τὴν σωτηρίαν τοῦ ἀδελφοῦ καλεῖ. πολὺν ἐπιτείνων τὸν φόβον, καὶ δεικνὺς, ὅτι τοὐναντίον οὗ σπουδάζει ποιεῖ. οὐ γὰρ μόνον οὐκ οἰκοδομεῖς, φησὶν, ὃ νομίζεις, ἀλλὰ καὶ καταλύεις. καὶ οἰκοδομὴν οὐκ ἀνθρωπίνην, ἀλλὰ Θεοῦ· καὶ οὐδὲ μεγάλου τινος ἕνεκεν, ἀλλὰ πράγματος εὐτελοῦς. ἕνεκεν γὰρ βρώματος φησί.

Θεοδωρήτου. Ἣ ἔργον τοῦ Θεοῦ, τὸ εἰς αὐτὸν πιστεύειν. καθὼς, ὁ Κύριος εἶπε, "τοῦτο γάρ ἐστι," λέγων, "τὸ ἔργον τοῦ Θεοῦ. "ἵνα πιστεύσητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος." ἐπειδὴ τοίνυν εἰκὸς ἦν, καὶ ἀποστῆναι τῆς πίστεως τῶν Ἰουδαίων τινὰς, τὰ ὀνείδη μὴ φέροντας τῶν ἐξ ἐθνῶν πεπιστευκότων, εἰκότως ἔφη, "μὴ ἕνεκεν "βρώματος κατάλυε τὸ ἔργον τοῦ Θεοῦ."

Πάντα μὲν γὰρ καθαρὰ, ἀλλὰ κακὸν τῷ ἀνθρώπῳ τῷ διὰ προσκόμματος ἐσθίοντι.

Χρυσοστόμου. Ἵνα μὴ αἱ τοσαῦται συγχωρήσεις βεβαιώσωσι

τὸν ἀσθενέστερον ἐν τῇ πονηρᾷ ὑπολήψει, δογματίζει πάλιν. "πάντα μὲν καθαρὰ," λέγων· ἀλλὰ τῷ μετὰ πονηροῦ συνειδότος ἐσθίοντι, κακόν. ὥστε κἂν ἀναγκάσῃς, καὶ φάγῃ, τὸ ὄφελος οὐδέν. οὐ γὰρ τὸ φαγεῖν ποιεῖ ἀκάθαρτον, ἀλλ' ἡ γνώμη, μεθ' ἧς ἐσθίει. ἂν τοίνυν ἐκείνην μὴ διορθώσῃ, πάντα εἰκῇ πεποίηκας, καὶ μᾶλλον ἔβλαψας. οὐ γάρ ἐστιν ἶσον ἀκάθαρτόν τι νομίζειν, καὶ νομίζοντα ἀκάθαρτον ἀπογεύεσθαι. δύο τοίνυν ἐνταῦθα ἁμαρτάνεις. καὶ τὴν πρόληψιν ἐπιτείνων τῇ φιλονεικίᾳ· καὶ ἀκαθάρτου ποιῶν ἀπογεύεσθαι. ὥστε ἕως ἂν μὴ πείσῃς, μὴ ἀναγκάσῃς.

Θεοδωρήτου. Ἦ καὶ ὅτι, εἰ καὶ οὐδὲν τῶν ἐδωδίμων φύσει ἀκάθαρτον, ἀλλὰ σοὶ βλάβην ἡ μετάληψις φέρει. ἐπειδὴ τῆς τοῦ πέλας ἀμελεῖς σωτηρίας, καὶ καταφρονεῖς βλαπτόμενον θεωρῶν.

Κυρίλλου. Ἔξεστι μὲν γὰρ καὶ κρέα φαγεῖν, καὶ οἶνον πιεῖν, ἀλλ' οὐκ εἰσάπαν ἀζήμιον ἡ ἐν τούτοις ἐξουσία. ἀλλὰ καὶ τὸ ἀπέχεσθαι χρήσιμον, ἵνα μὴ τὴν σάρκα παχύνοντες ταῖς τρυφαῖς, τὰ ἐν αὐτῇ καθ' ἑαυτῶν ἐξαγριαίνωμεν πάθη. εἰ οὖν ἐκείνων δι' ἑαυτοὺς ἀπεχόμεθα, πολλῷ μᾶλλον διὰ τὸν ἀδελφόν· ἵνα μὴ προσκόπτῃ διὰ τὸ εἰρημένον, "ἀγαπήσεις τὸν πλησίον σου ὡς "σεαυτόν."

21 Καλὸν τὸ μὴ φαγεῖν κρέα, μὴ δὲ πιεῖν οἶνον, μὴ δὲ ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει ἢ σκανδαλίζεται ἢ ἀσθενεῖ.

Χρυσοστόμου. Οὐ μόνον, φησὶν, μὴ ἀναγκάζειν χρὴ, ἀλλὰ καὶ συγκαταβαίνειν αὐτῷ. καὶ γὰρ καὶ αὐτὸς αὐτὸ ἀλλαχοῦ ἐποίησεν. ὡς ὅτε περιέτεμεν, ὡς ὅτε ἐξύρατο, ὅτε ἔθυσε τὴν Ἰουδαϊκὴν ἐκείνην θυσίαν. καὶ οὐ λέγει αὐτῷ, ὅτι ποίησον, ἀλλ' ἐν τάξει γνώμης αὐτὸ τίθησιν. ἵνα μὴ ἐκεῖνον πάλιν ῥαθυμότερον ποιήσῃ τὸν ἀσθενέστερον. καὶ τί λέγω κρέας; κἂν οἶνος ᾖ, κἂν ἄλλο ὁτιοῦν τοιοῦτον ᾖ σκανδαλίζον, ἀπέχου. οὐδὲν γὰρ ἶσον τῆς σωτηρίας τοῦ ἀδελφοῦ. σκόπει δέ μοι πῶς κἀκείνου καθικνεῖται λέγων, "προσκόπτει, ἢ σκανδαλίζεται, ἢ ἀσθενεῖ." μὴ γάρ μοι λέγε φησὶν, ὅτι ἀλόγως, ἀλλ' ὅτι δύνασαι κατορθῶσαι. καὶ γὰρ ἀρκοῦν ἔχει δικαίωμα εἰς τὸ βοηθεῖσθαι τὴν ἀσθένειαν ἐκεῖνος.

καὶ σοὶ βλάβη οὐδεμία. οὐδὲ γὰρ ὑπόκρισις τὸ πρᾶγμα ἐστὶν, ἀλλ' οἰκοδομὴ καὶ οἰκονομία. ἂν μὲν γὰρ ἀναγκάσῃς, καὶ καταλύεται, καὶ σοῦ καταγνώσεται, καὶ μᾶλλον οἰκοδομηθήσεται εἰς τὸ μὴ ἐσθίειν. ἐὰν δὲ συγκαταβῇς, πῶς σε ἀγαπήσει, καὶ οὐχ ἕξει σε ἐν ὑποψίᾳ διδάσκοντα, καὶ λήψῃ λοιπὸν ἐξουσίαν ἀναισθήτως σπείρειν ἐν αὐτῷ τὰ ὀρθὰ δόγματα; ἂν δὲ ἅπαξ σε μισήσῃ, καὶ τὴν εἴσοδον ἀπέφραξε τῷ λόγῳ, μὴ τοίνυν ἀνάγκαζε ἐκεῖνον, ἀλλὰ καὶ αὐτὸς ἀπέχου δι' ἐκεῖνον· οὐχ ὡς ἀκαθάρτου ἀπεχόμενος, ἀλλ' ἐπειδὴ σκανδαλίζεται ἐκεῖνος, καὶ μᾶλλον σε ἀγαπήσει. ἐν μέντοι τῷ πρὸς τὸν πιστὸν λόγῳ, τῶν ὀλιγοπίστων καθάπτεται. προσκόπτει, φησὶν, ὅπερ τυφλώττοντος ἴδιον. σκανδαλίζεται· ὅπερ εὐσκανδαλίστων. ἀσθενεῖ· ὅπερ ὀλιγοπίστων.

Ἐκ τῶν Ἀσκητικῶν. *Τί δέ ἐστι τὸ σκανδαλίζειν; καὶ πῶς αὐτὸ φυλαξόμεθα; καὶ εἰ ἐν παντὶ πράγματι φροντίζειν δεῖ τῶν σκανδαλιζομένων; σκανδαλίζει μέν τις παρανόμῳ λόγῳ ἢ ἔργῳ, καὶ ἕτερον πρὸς παρανομίαν ἄγων· ὡς ὁ ὄφις τὴν Εὔαν· καὶ ἡ Εὔα τὸν Ἀδάμ. ἢ κωλύων ποιῆσαι τὸ θέλημα τοῦ Θεοῦ, ὡς ὁ Πέτρος τὸν Κύριον, εἰπὼν, "ἵλεώς σοι, Κύριε, οὐ μὴ ἔσται σοι "τοῦτο." καὶ ἀκούσας, "ὕπαγε ὀπίσω μου Σατανᾶ· σκανδαλόν "μου εἶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων." ἢ οἰκοδομῶν τὸ φρόνημα τοῦ ἀσθενοῦντος, εἴς τι τῶν ἀπηγορευμένων, κατὰ τὸ παρὰ τοῦ Ἀποστόλου γεγραμμένον, εἰπόντος, "ἐὰν γὰρ "τις ἴδῃ σὲ τὸν ἔχοντα γνῶσιν, ἐν εἰδωλείῳ κατακείμενον, οὐχὶ ἡ "συνείδησις αὐτοῦ ἀσθενοῦς ὄντος, οἰκοδομηθήσεται εἰς τὸ τὰ "εἰδωλόθυτα ἐσθίειν;" οἷς ἐπιφέρει, "διόπερ εἰ βρῶμα σκανδα-"λίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέας εἰς τὸν αἰῶνα, ἵνα "μὴ τὸν ἀδελφόν μου σκανδαλίσω." γίνεται δὲ τὸ σκάνδαλον κατὰ πλείονας αἰτίας. ἢ γὰρ παρὰ τὸν σκανδαλίζοντα τὸ σκάνδαλον γίνεται· ἢ παρὰ τὸν σκανδαλιζόμενον τὸ σκανδαλισθῆναι συμβαίνει. καὶ ἐν τούτοις πάλιν διαφόρως. ποτὲ μὲν γὰρ κατὰ κακίαν· ποτὲ δὲ κατὰ ἀπειρίαν· ἢ τούτου ἢ ἐκείνου. ἔστι δὲ ὅτε ἐν τῇ ὀρθοτομίᾳ τοῦ λόγου ἡ τῶν σκανδαλιζομένων κακία ἐκδηλοτέρα γίνεται. καὶ ἐν τοῖς πράγμασι δὲ ὁμοίως. ἢ γὰρ ἐντολὴν Θεοῦ τινὸς ποιοῦντος, ἢ τοῖς ἐν ἐξουσίᾳ κειμένοις ἐπ' ἀδείας χρωμένου ὁ σκανδαλιζόμενος σκανδαλίζεται.*

Ὅταν μὲν οὖν τοῖς κατ' ἐντολὴν γινομένοις προσκόπτωσιν οἱ ἄνθρωποι, καὶ ἐπὶ τούτοις σκανδαλίζωνται, ὡς ἐν τῷ εὐαγγελίῳ τινὲς ἐπὶ τοῖς ὑπὸ τοῦ Κυρίου κατὰ τὸ θέλημα τοῦ Πατρὸς γινομένοις καὶ λεγομένοις, τότε χρὴ μνημονεύειν τοῦ Κυρίου περὶ τῶν τοιούτων ἀποκρινομένου, ἡνίκα προσελθόντες οἱ μαθηταὶ εἶπον αὐτῷ, "οἶδας ὅτι οἱ Φαρισαῖοι ἀκούσαντες τὸν λόγον, ἐσκανδαλίσθησαν." πρὸς οὓς, φησὶν, "πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ Πατήρ "μου, ἐκριζωθήσεται. ἄφετε αὐτούς. τυφλοὶ εἰσὶν ὁδηγοὶ "τυφλῶν. τυφλὸς δὲ τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον "ἐμπεσοῦνται." καὶ πολλὰ τοιαῦτα καὶ ἐν τοῖς εὐαγγελίοις καὶ "παρὰ τῷ Ἀποστόλῳ εὑρήσεις ἄν. ὅταν δὲ ἐπὶ τοῖς ἐν ἐξουσίᾳ ἡμετέρᾳ κειμένοις, προσκόπτῃ τίς, ἢ σκανδαλίζηται, εἰς ἀνάμνησιν ἐλθεῖν δεῖ τότε τῶν τοῦ Κυρίου πρὸς τὸν Πέτρον ῥημάτων, εἰπόντος, "ἄρα γε ἐλεύθεροι εἰσὶν οἱ υἱοί. ἵνα δὲ μὴ σκανδαλίσω- "μεν αὐτοὺς, πορευθεὶς εἰς τὴν θάλασσαν, βάλε ἄγκιστρον, καὶ "τὸν ἀνάβαντα πρῶτον ἰχθὺν ἆρον· καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ, "εὑρήσεις στατῆρα. ἐκεῖνον λαβὼν, δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ "σοῦ." καὶ τῶν τοῦ Ἀποστόλου πρὸς Κορινθίους γραμμάτων, ἐν οἷς φησὶ, "οὐ μὴ φάγω κρέας εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν "μου σκανδαλίσω." καὶ πάλιν, "καλὸν τὸ μὴ φαγεῖν κρέα, μὴ "δὲ πιεῖν οἶνον, μὴ δὲ ἐν ᾧ ὁ ἀδελφός σου σκανδαλίζεται ἢ "ἀσθενεῖ."

Ὅπως δέ ἐστι φοβερὸν τοῖς ἐν ἐξουσίᾳ κεῖσθαι δοκοῦσι περιορᾶν τὸν ἀδελφὸν σκανδαλιζόμενον, δείκνυσι μὲν ἡ τοῦ Κυρίου παραγγελία, καθόλου παντὸς σκανδαλισμοῦ τρόπον ἀπαγορεύοντος, καὶ λέγοντος, "ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τού- "των. λέγω γὰρ ὑμῖν ὅτι οἱ Ἄγγελοι αὐτῶν, ἐν τῷ οὐρανῷ δια- "παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ Πατρός μου τοῦ ἐν οὐρα- "νοῖς." μαρτυρεῖ δὲ καὶ ὁ Ἀπόστολος Παῦλος, ποτὲ μὲν λέγων, "ἀλλὰ τοῦτο κρίνατε μᾶλλον τὸ μὴ τιθέναι πρόσκομμα τῷ "ἀδελφῷ ἢ σκάνδαλον." ποτὲ δὲ διὰ περισσοτέρας κατασκευῆς σφοδρότερον ἀπαγορεύων τὸ ἄτοπον, δι' ὧν φησὶ, "ἐὰν γάρ τις "ἴδῃ σε τὸν ἔχοντα γνῶσιν ἐν εἰδωλείῳ κατακείμενον, οὐχὶ ἡ "συνείδησις αὐτοῦ ἀσθενοῦς ὄντος, οἰκοδομηθήσεται εἰς τὸ τὰ "εἰδωλόθυτα ἐσθίειν; καὶ ἀπολεῖται ὁ ἀσθενῶν ἀδελφὸς ἐπὶ τῇ

“σῇ γνώσει, δι᾽ ὃν ὁ Χριστὸς ἀπέθανεν.” οἷς ἐπιφέρει, “οὕτως δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνετε. διόπερ εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέας εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω.” καὶ ἀλλαχοῦ εἰπὼν, “ἢ μόνος ἐγὼ καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν, τοῦ μὴ ἐργάζεσθαι;” ἑξῆς ἐπιλέγει, “ἀλλ᾽ οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ. ἀλλὰ πάντα στέγομεν, ἵνα μὴ ἐκκοπήν τινα δῶμεν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ.” οὕτω δὲ φοβεροῦ δειχθέντος τοῦ ἐπὶ τοῖς ἐν ἐξουσίᾳ κειμένοις σκανδαλίζειν τὸν ἀδελφὸν, τί ἄν τις εἴποι περὶ τῶν τῷ τὰ ἀπηγορευμένα ποιεῖν ἢ λέγειν σκανδαλιζόντων; καὶ μάλιστα, ὅταν ἢ γνῶσιν περισσοτέραν ἔχων φαίνηται ὁ σκανδαλίζων, ἢ ἐν βαθμῷ ἱερατικῷ ἐξετάζηται; ὃς ὥσπερ κανὼν καὶ τύπος ὀφείλων προκεῖσθαι τοῖς ἄλλοις, κἂν βραχύ τι παρίδῃ τῶν γεγραμμένων, ἢ πράξας τὸ κεκωλυμένον, ἢ ἐλλιπὼν τὸ προστεταγμένον, ἢ ὅλως ἐφησυχάσας ἑνὶ τοιούτῳ, καὶ ἐν τούτῳ μόνῳ, τοσοῦτον ἔχει τὸ κρίμα, ὥστε τὸ αἷμα τοῦ ἁμαρτάνοντος ἐκ τῶν χειρῶν αὐτοῦ, φησὶν, ἐκζητηθήσεται.

22 Σὺ πίστιν ἔχεις; κατὰ σεαυτὸν ἔχε * * *

Χρυσοστόμου. Ἐνταῦθα μοι δοκεῖ ἠρέμα καὶ εἰς κενοδοξίαν σκώπτειν τὸν τελειότερον. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι. θέλεις δεῖξαι ὅτι τέλειος εἶ καὶ ἀπηρτισμένος; μὴ ἐμοὶ δείκνυε. ἀλλ᾽ ἀρκείτω σοι τὸ συνειδός. πίστιν δὲ ἐνταῦθα, οὐ τὴν περὶ δογμάτων, ἀλλὰ τὴν περὶ τῆς προκειμένης ὑποθέσεως λέγει. περὶ γὰρ ἐκείνης φησὶν, “στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν.” καὶ, “ὃς ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι κἀγὼ αὐτόν.” ἐκείνη μὲν γὰρ μὴ ὁμολογουμένη, καταστρέφει. αὕτη δὲ ὁμολογουμένη, ἄκαιρος.

Θεοδωρήτου. Οὐ φυλάττεις, φησὶ, τὸν νόμον; μέγα τὸ κτῆμα· ἀξιέπαινον τὸ κατόρθωμα. ἀλλὰ μὴ λυμαινέσθω τῷ πέλας· ἐνώπιον δὲ τοῦ Θεοῦ τῇ πίστει κέχρησο.

Γενναδίου. Ὥσπερ γάρ τινος ἀντειπόντος, πρὸς τὸ, “καλὸν τὸ μὴ φαγεῖν κρέα.” τί οὖν, ἐγὼ τὴν ἐμαυτοῦ πίστιν ἀρνήσομαι δι᾽ ἐκεῖνον; οὐκ ἐκστῆναί σε, φησὶ, κελεύω τῆς πίστεως. τοὐναντίον μὲν οὖν καὶ παρακαλῶ ταύτης ἀντέχεσθαι. ἀλλὰ νου-

θετῷ μὴ σκανδαλίζειν ταύτῃ τὸν ἀδελφόν. ἧς δὲ ἔχεις πίστεως ἀρκεῖσθαι μάρτυρι μόνῳ τῷ Θεῷ. ἔξεστι γὰρ οὕτω, μὴ καὶ σὲ ζημιοῦσθαι τὴν πίστιν· κἀκεῖνον μὴ παραβλάπτεσθαι.

23 Μακάριος ὁ μὴ κρίνων ἑαυτὸν ἐν ᾧ δοκιμάζει. ὁ δὲ διακρινόμενος, ἐὰν φάγῃ, κατακέκριται, ὅτι οὐκ ἐκ πίστεως. πᾶν δὲ ὃ οὐκ ἐκ πίστεως, ἁμαρτία ἐστίν.

Χρυσοστόμου. *Πάλιν τὸν ἀσθενέστερον πλήττει, καὶ δίδωσι τῷ τελειοτέρῳ ἀρκοῦντα στέφανον τὸν τοῦ συνειδότος. κἂν γὰρ ἄνθρωπος μὴ ἴδῃ, ἀρκεῖς σὺ σαυτῷ τῷ εἰς τὸ γενέσθαι μακάριος. ἐπειδὴ γὰρ εἶπε, καθ᾽ ἑαυτὸν ἔχε, ἵνα μὴ νομίσῃ μικρὸν τὸ δικαστήριον τοῦτο, λέγει, τῆς οἰκουμένης σοι τοῦτο βέλτιον. κἂν πάντες σου κατηγορῶσι, σὺ δὲ σαυτὸν μὴ κατακρίνῃς, μὴ δὲ τὸ συνειδὸς ἐπιλάβηται, μακάριος εἶ. οὐχ ἁπλῶς δὲ περὶ πάντων λέγων, τοῦτο τέθεικεν. εἰσὶ γὰρ πολλοὶ μὴ κατακρίνοντες ἑαυτοὺς, καὶ σφόδρα πλημμελοῦντες, οἳ πάντων εἰσὶν ἀθλιώτεροι. ἀλλὰ τῆς προκειμένης τέως ὑποθέσεως ἔχεται, τὸ δὲ, "ὁ δὲ διακρινόμε- " νος, ἐὰν φάγῃ, κατακέκριται," πάλιν πρὸς τὸν ὑγιαίνοντα λέγει, παρακαλῶν αὐτὸν φείσασθαι τοῦ ἀσθενεστέρου. τί γὰρ ὄφελος, ἐὰν φάγῃ διακρινόμενος, καὶ κατακρίνῃ ἑαυτόν; ἐγὼ γὰρ ἐκεῖνον ἀποδέχομαι τὸν καὶ ἐσθίοντα καὶ μὴ μετὰ ἀμφιβολίας. ὁρᾷς πῶς αὐτὸν ἐνάγει, οὐκ εἰς τὸ φαγεῖν μόνον, ἀλλὰ καὶ εἰς τὸ, καθαρῷ συνειδότι φαγεῖν; εἶτα φησὶν, καὶ τὴν αἰτίαν δι᾽ ἣν κατακέκριται. ὅτι οὐκ ἐκ πίστεως. οὐκ ἐπειδὴ ἀκάθαρτον· οὐ γὰρ ἐπίστευσεν ὅτι καθαρόν ἐστιν, ἀλλ᾽ ὡς ἀκαθάρτου ἥψατο. διὰ δὲ τούτων, δείκνυσιν αὐτοῖς καὶ τὴν βλάβην ὅσην ἐργάζονται, ἀναγκάζοντες καὶ μὴ πείθοντες ἅπτεσθαι τῶν τέως δοκούντων αὐτοῖς ἀκαθάρτων εἶναι. ἵνα κἂν διὰ τοῦτο ἀπόσχωνται τοῦ ἐπιπλήττειν. εἶτα κατὰ ἀπόφασιν, "πᾶν δὲ ὃ οὐκ ἐκ πίστεως, ἁμαρτία ἐστίν." ὅταν γὰρ μὴ θαρρῇ, φησὶν, μὴ δὲ πιστεύῃ ὅτι καθαρὸν, πῶς οὐχ ἥμαρτε; ταῦτα δὲ πάντα περὶ τῆς προκειμένης ὑποθέσεως εἴρηται τῷ Παύλῳ, οὐ περὶ πάντων.*

Θεοδωρήτου. *Διὰ τούτων γε μὴν αἰνίττεται ὁ λόγος, ὡς οἱ ἐξ ἐθνῶν πεπιστευκότες, καὶ ἐβιάζοντο τοὺς Ἰουδαίους μεταλαμβάνειν ὧν οὐκ ἠβούλοντο. διδάσκει τοίνυν ὡς ὁ μὲν πιστεύων,*

οὐδεμίαν ἐκ τῆς μεταλήψεως δέξεται βλάβην. ὁ δὲ μετά τινος διακρίσεως ἐσθίων, ὡς ἀκαθάρτου μεταλαμβάνει. διὸ μακαρίζει τὸν μὴ κρίνοντα ἑαυτὸν, τουτέστι, μὴ διακρινόμενον.

Γενναδίου. Ἐν τούτοις δὲ καὶ ἀντιπίπτων, ἔοικε λύειν. ὡς γάρ τινος εἰπόντος, ἆρα γε ἂν διὰ τὸν ἀσθενῆ, οὐδὲ ἐγὼ φάγω, οὐ γίνομαι αὐτῷ ὅμοιος; μονονουχὶ λέγει· μὴ γένοιτο· ἡ γὰρ πίστις σου ἐνώπιον Θεοῦ ἀκίβδηλος μένει. καὶ οὐ μόνον οὐδὲν παραβλάπτῃ ἐκ τούτου, ἀλλὰ καὶ μακαρισμὸν προξενεῖς σεαυτῷ, ἐὰν διὰ τὴν τοῦ ἀδελφοῦ σωτηρίαν οὐκ ἐσθίῃς. "μακάριος γάρ," φησιν, "ὁ μὴ κρίνων ἑαυτὸν ἐν ᾧ δοκιμάζει." τουτέστιν, ὁ ἔχων τὸ συνειδὸς μαρτυροῦν αὐτῷ, οὐκ ἐν τούτῳ μόνῳ ἐν ᾧ διὰ τὴν σωτηρίαν τοῦ ἀδελφοῦ ἀπέχεται βρωμάτων, ἀλλὰ καὶ ἁπλῶς ἐν παντὶ πράγματι, ὃ ἂν διὰ δοκιμῆς ἀκριβοῦς κατανοήσῃ, ὅτι ἀγαθόν ἐστιν· ἔπειτα πράττῃ αὐτὸ, τὴν συνείδησιν ἔχων μαρτυροῦσαν.

24 Τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι κατὰ τὸ εὐαγγέλιόν
μου καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ, κατὰ ἀποκάλυψιν
25 μυστηρίου χρόνοις αἰωνίοις σεσιγημένου, φανερωθέντος
δὲ νῦν, διά γραφῶν προφητικῶν, κατ' ἐπιταγὴν τοῦ
αἰωνίου Θεοῦ, εἰς ὑπακοὴν πίστεως, εἰς πάντα τὰ ἔθνη
26 γνωρισθέντος, μόνῳ σοφῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ,
αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

Χρυσοστόμου. Κατὰ τὸ οἰκεῖον ἔθος, κἀνταῦθα ὁ Παῦλος εἰς εὐχὴν καὶ δοξολογίαν κατακλείει τὴν παραίνεσιν. ἡ δὲ ἀκολουθία αὕτη ἐστί. τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι, δόξα εἰς τοὺς αἰῶνας ἀμήν. πάλιν γὰρ ἐκείνων ἔχεται τῶν ἀσθενῶν, καὶ πρὸς αὐτοὺς τρέπει τὸν λόγον. ὅτε μὲν γὰρ ἐπετίμα, κοινὴν ἐποιεῖτο τὴν ἐπιτίμησιν· νυνὶ δὲ εὐχόμενος, ὑπὲρ τούτων τίθησι τὴν ἱκετηρίαν. εἰπὼν δὲ "στηρίξαι," ἐπάγει, κατὰ ποῖον τρόπον, "κατὰ τὸ εὐαγ- "γέλιόν μου." τοῦτο δὲ δηλοῦντος ἦν, ὅτι οὔπω ἦσαν βεβαιωθέντες, ἀλλ' εἱστήκεισαν μὲν, ἐσαλεύοντο δέ. εἶτα ποιῶν τὸν λόγον ἀξιόπιστον, ἐπήγαγε, "καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ." τουτέστιν, ὃ αὐτὸς ἐκήρυξεν. εἰ δὲ αὐτὸς ἐκήρυξεν, οὐχ ἡμέτερα τὰ δόγματα, ἀλλ' ἐκείνου οἱ νόμοι. φιλοσοφῶν δὲ λοιπὸν καὶ περὶ τοῦ κηρύγματος, δείκνυσιν ὅτι πολλῆς εὐεργεσίας τοῦτο δῶρον,

καὶ πολλῆς τιμῆς. καὶ πρῶτον μὲν, ἀπὸ τοῦ καταγγείλαντος τοῦτο κατασκευάζει. ἔπειτα καὶ ἀπ' αὐτῶν τῶν καταγγελθέντων. εὐαγγελία γὰρ ἦν. πρὸς τούτοις, ἀπὸ τοῦ μηδενὶ γνωρίσαι πρὸ ἡμῶν. τοῦτο γοῦν ἠνίξατο εἰπὼν, "κατὰ ἀποκάλυψιν μυστηρίου," ὅπερ μεγίστης φιλίας σημεῖον ἐστὶ, τὸ μυστηρίων ποιεῖν κοινωνοὺς, καὶ μηδένα πρὸ ἡμῶν εἰδέναι. "χρόνοις," φησὶν, "αἰωνίοις "σεσιγημένου, φανερωθέντος δὲ νῦν." πάλαι μὲν γὰρ προώριστο. ἐφάνη δὲ, νῦν. πῶς ἐφάνη; "διὰ γραφῶν προφητικῶν." καὶ ἐνταῦθα πάλιν τὸν φόβον ἐκλύει τοῦ ἀσθενοῦς. τί γὰρ δέδοικας, μὴ ἀποστῇς τοῦ νόμου; τοῦτο βούλεται ὁ νόμος. τοῦτο ἄνωθεν προὔλεγεν. εἰ δὲ ἐξετάζεις διατί νῦν ἐφανερώθη, οὐκ ἀσφαλὲς πρᾶγμα ποιεῖς, μυστήρια Θεοῦ περιεργαζόμενος, καὶ εὐθύνας ἀπαιτῶν. οὐδὲ γὰρ πολυπραγμονεῖν τὰ τοιαῦτα δεῖ, ἀλλὰ ἀγαπᾶν καὶ στέργειν. διὸ καὶ αὐτὸς ἐπιστομίζων τὴν τοιαύτην γνώμην, ἐπήγαγε, "κατ' "ἐπιταγὴν τοῦ αἰωνίου Θεοῦ εἰς ὑπακοὴν πίστεως." ὑπακοῆς γὰρ ἡ πίστις δεῖται, οὐ πολυπραγμοσύνης. καὶ ὅταν ὁ Θεὸς ἐπιτάττῃ, πείθεσθαι, οὐ περιεργάζεσθαι χρή. εἶτα καὶ ἑτέρωθεν αὐτοὺς παραθαρρύνει· λέγων, "εἰς πάντα τὰ ἔθνη γνωρισθέντος." οὐ γὰρ σὺ μόνος, ἀλλ' ἡ οἰκουμένη πᾶσα αὐτῷ πιστεύει· οὐκ ἄνθρωπον ἀλλὰ Θεὸν λαβοῦσα διδάσκαλον. διὸ καὶ ἐπήγαγε, "διὰ Ἰησοῦ Χριστοῦ." οὐκ ἐγνωρίσθη δὲ μόνον, ἀλλὰ καὶ ἐβεβαιώθη. ἀμφότερα δὲ αὐτοῦ ἔργα. διὸ καὶ οὕτως ἀναγνωστέον. "τῷ δὲ δυναμένῳ ὑμᾶς στη"ρίξαι, διὰ Ἰησοῦ Χριστοῦ." καὶ γὰρ ὅπερ εἶπον, ἀμφότερα αὐτῷ ἀνατίθησι. μᾶλλον δὲ οὐκ ἀμφότερα μόνον, ἀλλὰ καὶ τὴν δόξαν τὴν εἰς τὸν Πατέρα. διὸ καὶ ἔλεγεν. "ᾧ ἡ δόξα εἰς τοὺς "αἰῶνας. ἀμήν." δοξάζει δὲ πάλιν, τὸ ἀκατάληπτον τῶν μυστηρίων τούτων ἐκπληττόμενος. οὐδὲ γὰρ νῦν ὅτε ἐφάνη λογισμοῖς αὐτὰ καταλαβεῖν δυνατὸν, ἀλλὰ διὰ πίστεως ἐπιγνῶναι χρή. ἄλλως γὰρ οὐκ ἔνι. καὶ καλῶς εἶπε, "μόνῳ σοφῷ Θεῷ·" ὅταν γὰρ ἐννοήσῃς, πῶς τὰ ἔθνη εἰσήγαγε, καὶ ἀνεκέρασε τοῖς πάλαι κατωρθωκόσι, πῶς ἀπεγνωσμένους ἔσωσε, τότε γνώσῃ τὴν σοφίαν, ὅταν ἴδῃς, ὃ μήτε ἄγγελοι, μήτε ἀρχάγγελοι ᾔδεσαν, τοῦτο ἐξαίφνης μεμαθηκότας τοὺς ἐξ ἐθνῶν διὰ Ἰησοῦ Χριστοῦ. ὅταν δὲ ἀκούσῃς αὐτοῦ λέγοντος "μόνῳ σοφῷ Θεῷ," μὴ πρὸς ἀθέτησιν τοῦτο τοῦ Υἱοῦ νόμιζε λέγεσθαι. εἰ γὰρ ἅπαντα ἀφ' ὧν ἡ σοφία

αὐτοῦ δείκνυται, διὰ Χριστοῦ γέγονεν, εὔδηλον ὅτι καὶ τὰ τῆς σοφίας ἴσα. τίνος οὖν ἕνεκεν "μόνῳ," εἴρηκε; πρὸς ἀντιδιαστολὴν τῆς κτίσεως ἁπάσης.

Γρηγορίου τοῦ Θεολόγου ἐκ τοῦ περὶ Υἱοῦ β΄ λόγου. Εἰ γὰρ τὸ, "μόνῳ σοφῷ Θεῷ," ἢ τὸ, "μόνῳ ἔχοντι ἀθανασίαν, φῶς "οἰκοῦντι ἀπρόσιτον," ἢ "βασιλεῖ τῶν αἰώνων ἀφθάρτῳ, ἀοράτῳ. "μόνῳ σοφῷ Θεῷ," καὶ ὅσα τοιαῦτα, νοήσεις ὡς πρὸς τὸν Υἱὸν ἀντιδιῃρημένα, καὶ μὴ κατὰ κοινοῦ τῆς θεότητος εἰρημένα, ἐπ' ἀναιρέσει τῶν οὐκ ὄντων μὲν θεῶν, λεγομένων δὲ, οἰχήσεταί σοι θάνατον κατακριθεὶς ὁ Υἱός· ἢ σκότος, ἢ τὸ μὴ σοφὸς εἶναι, μὴ δὲ βασιλεὺς, μὴ δὲ ἀόρατος, μηδόλως Θεὸς, ὁ τῶν εἰρημένων κεφάλαιον. εἰ δὲ μὴ πείθῃ, τί φήσεις πρὸς τοὺς λέγοντας, ἑτέρωθι, τὸν Υἱὸν μόνον εἰρῆσθαι Θεὸν, κατὰ τὰς σὰς ὑποθέσεις. ἐν τίσι τοῖς ῥήμασιν; ἐν ἐκείνοις, "οὗτος σοῦ Θεός. καὶ οὐ λο- "γισθήσεται ἕτερος πρὸς αὐτόν." καὶ μετ' ὀλίγα—μετὰ τοῦτο ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. ὅτι μὲν γὰρ οὐ περὶ τοῦ Πατρὸς, ἀλλὰ περὶ τοῦ Υἱοῦ τὸ λεγόμενον, ἡ προσθήκη σαφῶς παρίστησιν. οὗτος γάρ ἐστιν ὁ σωματικῶς ὁμιλήσας ἡμῖν, καὶ μετὰ τῶν κάτω γενόμενος. οὐδὲ νικήσειε κατὰ τοῦ Πατρὸς λέγεσθαι τοῦτο. μὴ τῶν νομιζομένων Θεῶν, ἡττήμεθα τὸν Πατέρα δι' ὧν τοῦ Υἱοῦ κατεσπουδάκαμεν. τί τῆς νίκης ταύτης γένοιτ' ἂν ἀθλιώτερον ἢ ζημιωδέστερον;

Θεοδωρήτου. Εἰ δὲ καὶ μετὰ ταῦτα εἴποιεν τινὲς, ὅτι μόνος σοφὸς ὁ Θεὸς ὀνομάζεται καὶ Πατὴρ, μανθανέτωσαν ὅτι ὁ δεσπότης Χριστὸς, οὐ μόνον σοφὸς, ἀλλὰ καὶ σοφία καλεῖται. εἰ δὲ ταύτῃ νομίζουσι τῆς τοῦ σοφοῦ προσηγορίας ἀποστερεῖν τὸν Υἱὸν, μὴ δὲ ἀθάνατον αὐτὸν καλείτωσαν. ὁ γὰρ Ἀπόστολος οὗτος περὶ τοῦ Θεοῦ φησὶν, "ὁ μόνος ἔχων ἀθανασίαν."

Κυρίλλου ἐκ τῶν Θησαυρῶν. Πολλὰ δὲ καὶ ἄλλα προσεῖναι λέγεται μόνῳ τῷ Πατρὶ πλεονεκτήματα. λέγει γάρ που καὶ ἀλλαχοῦ Παῦλος, "ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ." καὶ εἰ τούτων ἔσται γυμνὸς ὁ Υἱὸς, οὔτε ἄφθαρτος, οὔτε ἀόρατος, οὔτε σοφὸς ἔσται. ἀλλ' ἔχει τὴν ἀσέβειαν ἄμετρόν τινα τὸ οὕτως ἐννοεῖν. πῶς γὰρ ἔσται φθαρτὸς ὁ τῆς ἀφθαρσίας χορηγός; ἢ πῶς ὁραθήσεται Θεοῦ φύσις; ἢ πῶς ἄσοφον εἶναι νομιοῦμεν τὸν

"Υἱὸν, περὶ οὗ γέγραπται, ὅτι "Θεοῦ δύναμις, καὶ Θεοῦ σοφία "ἐστίν;" ὥρα γὰρ λέγειν ἄσοφον εἶναι καὶ τὴν σοφίαν τοῦ Θεοῦ. οὐκοῦν οὐκ ἀποστερήσει τὸν Υἱὸν τοῦ εἶναι ταῦτα φυσικῶς, ἅπερ ἂν λέγοιτο καὶ ὁ Πατὴρ, εἰ καὶ ἐπ' αὐτοῦ μόνου τάττοιτο. φθάσει γὰρ πάλιν ἐπὶ τὸν ἐξ αὐτοῦ προσελθόντα Λόγον πάντα τὰ αὐτῷ προσόντα φυσικῶς τε καὶ ἀναγκαίως.

Σὺ οὖν ἔχεις κἀνταῦθα τὴν Τριάδα συναπτομένην. διὰ μὲν τοῦ, "σοφῷ Θεῷ," τὸν Πατέρα. διὰ δὲ τοῦ Ἰησοῦ Χριστοῦ, δηλονότι τὸν Υἱόν. διὰ δὲ τοῦ, "κατ' ἐπιταγὴν τοῦ αἰωνίου Θεοῦ," τοὺς προφήτας προφητεῦσαι τὸ Πανάγιον Πνεῦμα. καὶ ὅρα τῆς ὑψηλῆς καὶ ὡς ἀληθῶς οὐρανοδρόμου διανοίας τοῦ Παύλου τὸ ὀξυδερκές. ἐπεὶ γὰρ ὡς ἐπίπαν, τὸ μὲν σοφὸν εἶναι τὸ Πνεῦμα, οὐ προσίσταται. τὸ δὲ ἄχρονον εἶναι προσίσταται τοῖς πολλοῖς, συνῆψε ταῦτα καὶ ἤμειψε. καὶ τὸ μὲν, ὃ προσέστη ἄν τισιν, εἰ μὴ Παῦλος ἐβόα, τίθησι ἐπὶ τοῦ Πνεύματος, αἰώνιον Θεὸν καλῶν. τὸ δὲ, ὃ καὶ μὴ μαρτυροῦντος εὔληπτον νομίζειν ἐπὶ τοῦ Πνεύματος, τοῦτο τίθησι μὴ δεδιὼς ἐπὶ τοῦ Πατρὸς, σοφὸν ἀποκαλῶν. οὐ δεδίει, μή τις ἀφέλῃ τῶν πολλῶν, ἢ τὸ σοφὸν ἀπὸ τοῦ Πνεύματος, ἢ τὸ αἰώνιον ἀπὸ τοῦ Πατρός. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τοῦ Υἱοῦ. τὸ γὰρ, "χρόνοις αἰωνίοις σεσιγημένου," καὶ τὸ, "φανερωθέντος," τὸ ἄχρονον κηρύσσει τοῦ Υἱοῦ. περὶ ὃ προσκόπτειν ἔμελλον τινὲς τοῦτο θεραπεύειν. ὥσπερ οὖν ῥηθέντος καὶ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος αἰωνίου, καὶ τὸν Πατέρα αἰώνιον ἡ ἀκολουθία δίδωσι νοεῖν, οὕτω σοφοῦ ῥηθέντος τοῦ Πατρὸς, καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, εἰκότως ἐν ἀρρήτῳ καὶ θεοπρεπεῖ σοφίᾳ νοηθεῖεν ἄν. καὶ οὔτε τὸ αἰώνιον τοῦ Πατρὸς ἀφαιρεθείη, οὔτε τὸ σοφὸν τοῦ Πνεύματος ἢ τοῦ Υἱοῦ ἀποστερεθείη. καὶ τὸ εἰπεῖν δὲ τὸν θεῖον Παῦλον ἐπὶ τοῦ Πατρὸς, ἐνταῦθα σοφῶς συνάψαντα, τὸ, "μόνῳ," τῆς ὡς ἀληθῶς ἦν τοῦ Πνεύματος σοφίας, καὶ τῆς ἐκεῖθεν χορηγουμένης Παύλου διανοίας. ἐν τούτῳ γὰρ τέθεικε τὸ, "μόνῳ," ἐν ᾧ πᾶσιν ἐστὶν ἀναμφίβολον καὶ τοῖς λίαν φιλονεικοις, ὅτι ὁ Υἱὸς καὶ τὸ Πνεῦμα οὐκ ἀπεστέρηται τούτου. τί τοῦτο ποιήσας; ἵνα ἐν οἷς ἂν ἑτέροις θεοπρεπέσι νοήμασι καὶ ὀνόμασι, τὸ μόνον ἐπισυναπτόμενον ἀκούσῃς, μὴ πρὸς ἀντιδιαστολὴν τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος τὴν φωνὴν ἐκλάβοις, ἀλλὰ πρὸς

ἀντιδιαστολὴν μὲν τῶν ἄλλων ἁπάντων· ἕνωσιν δὲ καὶ συνάφειαν τῆς μοναρχικῆς Τριάδος. ὁ γὰρ ἐνταῦθα τοῦτο νοεῖν φανερῶς ὑποτιθεὶς, καὶ ἐπὶ τῶν παραπλησίων τὴν αὐτὴν ὑπόληψιν ἔχειν διακελεύεται. ἤκουσας σοφὸν τὸν Πατέρα; καὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα συνεξάκουσον σοφόν. αἰώνιον εἶπον τὸν Υἱὸν ἢ τὸ Πνεῦμα; καὶ τὸν Πατέρα μοι οὕτω νόησον. βασιλέα εἶπον τὸν Πατέρα· δυνατόν· ἐξουσιαστήν· καὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα οὕτω δοξάζειν σε χρή. μόνον δὲ εἶπον· καλῶς. ἵνα τῇ μοναδικῇ Τριάδι συντηρήσω τὸ ἐξαίρετον. οὐχ ἵνα σχίσας αὐτὴν, ἀφαιρήσω τὸ ἀξίωμα. μόνον ὅταν συνάψω, τἄλλα πάντα διαστέλλω. ἐκείνην δὲ μᾶλλον διὰ τοῦ, μόνον, ἑνοποιῶ. τῆς φυσικῆς σχέσεως οὐ μερίζων τὸ ἀδιάστατον, ἀλλὰ καὶ συσφίγγων τὴν ἑνότητα.

$\overset{\frown}{\alpha}$ Δ, (sic). Χρὴ δὲ γινώσκειν ὅτι τὸ τοῦ αἰῶνος ὄνομα, πολύσημόν ἐστι. πλεῖστα γὰρ σημαίνει. αἰὼν γὰρ λέγεται καὶ ἡ ἑκάστου ζωή. λέγεται πάλιν αἰὼν καὶ ὁ τῶν χιλίων ἐτῶν χρόνος. πάλιν λέγεται αἰὼν, ὅλος ὁ παρὼν βίος. καὶ αἰὼν, ὁ μέλλων· ὁ μετὰ τὴν ἀνάστασιν ἀτελεύτητος. λέγεται πάλιν αἰὼν, οὐ χρόνος. οὐδὲ χρόνου τί μέρος, ἡλίου φορᾷ καὶ δρόμῳ μετρούμενον, ἤγουν δι᾽ ἡμερῶν καὶ νυκτῶν συνιστάμενον, ἀλλὰ τὸ συμπαρεκτεινόμενον τοῖς ἀϊδίοις. οἷόν τι χρονικὸν κίνημα καὶ διάστημα. ὅπερ γὰρ τοῖς ὑπὸ χρόνον ὁ χρόνος, τοῦτο τοῖς ἀϊδίοις αἰών. λέγονται μὲν οὖν ἑπτὰ αἰῶνες τοῦ κόσμου τούτου. ἤγουν ἀπὸ τῆς οὐρανοῦ καὶ γῆς κτίσεως, μέχρι τῆς κοινῆς τῶν ἀνθρώπων συντελείας τὲ καὶ ἀναστάσεως. ὄγδοος δὲ αἰὼν, ὁ μέλλων. πρὸ δὲ τῆς τοῦ κόσμου συστάσεως, ὅτε οὐδὲ ὁ ἥλιος ἦν, διαιρῶν ἡμέραν ἀπὸ νυκτὸς, οὐκ ἦν αἰὼν μεριστὸς, ἀλλὰ τὸ συμπαρεκτεινόμενον τοῖς ἀϊδίοις, οἱονεὶ χρονικὸν κίνημα καὶ διάστημα. καὶ κατὰ μὲν τοῦτο, εἷς αἰών ἐστι. καθὸ καὶ λέγεται ὁ Θεὸς αἰώνιος καὶ προαιώνιος. καὶ αὐτὸν γὰρ τὸν αἰῶνα αὐτὸς ἐποίησε. μόνος γὰρ ἄναρχος ὢν ὁ Θεὸς, πάντων αὐτός ἐστι ποιητὴς, τῶν τε αἰωνίων καὶ πάντων τῶν ὄντων. λέγονται δὲ αἰῶνες αἰώνων, καθότι οἱ τοῦ παρόντος κόσμου ἑπτὰ αἰῶνες, πολλοὺς αἰῶνας, ἤγουν ζωὰς περιέχουσιν ἀνθρώπων. καὶ ὁ αἰὼν ὁ εἷς, ὃς πάντων τῶν αἰώνων ἐστὶ περιεκτικός. καὶ αἰὼν

αἰῶνος λέγεται, ὁ νῦν καὶ ὁ μέλλων. αἰώνιος δὲ ζωὴ καὶ αἰώνιος κόλασις, τὸ ἀτελεύτητον τοῦ μέλλοντος δηλοῖ. οὐδὲ γὰρ μετὰ τὴν ἀνάστασιν ἡμέραις καὶ νυξὶν ὁ χρόνος ἀριθμηθήσεται. ἔσται δὲ μᾶλλον μία ἡμέρα ἀνέσπερος, τοῦ ἡλίου τῆς δικαιοσύνης, τοῖς δικαίοις φαιδρῶς ἐπιλάμποντος. τοῖς δὲ ἁμαρτωλοῖς, νὺξ βαθεῖα ἀπέραντος. πάντων οὖν τῶν αἰώνων εἷς ποιητὴς, ὁ Θεὸς, ὁ καὶ πάντα δημιουργήσας· ὁ ὑπάρχων πρὸ τῶν αἰώνων.

Θεοδωρήτου ἐκ τῶν περὶ αἱρέσεως. Βαλεντῖνος δὲ καὶ Σεκουνδῖνος, καὶ Μάρκος, καὶ οἱ ἐκείνων διάδοχοι, παμπόλλους αἰῶνας τοῦ δημιουργοῦ πρεσβυτέρους εἶναι φασί. οὐκ ἐκ τῶν θείων λογίων τοῦτο μεμαθηκότες, ἀλλ' αὐτοὶ τοὺς μύθους συμπλάσαντες. καὶ οὐ συνεῖδον οἱ ἐμβρόντητοι, ὡς ὁ αἰὼν, οὐκ οὐσία τίς ἐστιν ὑφεστῶσα, ἀλλὰ διάστημά τι χρόνου δηλωτικόν. ποτὲ μὲν ἀπείρου, ὅταν περὶ Θεοῦ λέγηται· ποτὲ δὲ τῇ κτίσει συμμέτρου· ἄλλοτε δὲ τῇ ἀνθρωπίνῃ ζωῇ. περὶ γὰρ ἡμῶν φησι ὁ θεῖος Δαβὶδ, "ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου." περὶ δὲ τῆς κτίσεως ὁ Κύριος λέγει, "ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμὶ πάσας "τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος." περὶ δὲ Θεοῦ τῶν ὅλων πάλιν ὁ μακάριος Δαβὶδ, "ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ "αἰῶνος σὺ εἶ." ἀντὶ τοῦ, οὔτε ἀρχὴν οὔτε πέρας ἔχεις. καὶ ἐπειδὴ ὁ αἰὼν διάστημά τι δηλοῖ· ἵνα μή τις ἀνοήτως ὑπολάβῃ, μὴ εἶναι πρὸ τῶν αἰώνων τὸν τῶν ὅλων Θεὸν, ἐν ἑτέρῳ ψαλμῷ ὁ αὐτὸς ἔφη προφήτης, "εἰσακούσεται ὁ Θεὸς καὶ ταπεινώσει "αὐτοὺς, ὁ ὑπάρχων πρὸ τῶν αἰώνων." διάτοι τοῦτο καὶ τῶν αἰώνων ποιητὴν εἶναι τὸν Πατέρα καὶ τὸν Υἱὸν ὁ μακάριος εἴρηκε Παῦλος. "ἐκάλησε γὰρ ὑμᾶς ἐν Υἱῷ," φησὶν, "ὃν ἔθηκε κληρο-"νόμον πάντων. δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησε." τὸ δὲ ἐποίησεν, οὐκ οὐσίαν αἰώνων δηλοῖ, ἀλλ' ὅτι οὐδεὶς τοῦ Θεοῦ τῶν ὅλων πρεσβύτερος. καὶ ἐν ἑτέρῳ δὲ χωρίῳ φησὶ, "τῷ δὲ βασιλεῖ τῶν "αἰώνων, ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ, τιμὴ καὶ δόξα εἰς "τοὺς αἰῶνας, ἀμήν." οὐκ ἐνυποστάτους τινὰς εἶναι διδάσκων αἰῶνας, ἀλλ' αἰώνιον τοῦ Θεοῦ κηρύττων τὴν βασίλειαν. καὶ πάλιν ὁ αὐτὸς λέγει Ἀπόστολος, "σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις. "ἣν προώρισεν ὁ Θεὸς πρὸ τῶν αἰώνων." εἰ δὲ τὸ τῆς οἰκονομίας μυστήριον, τῶν αἰώνων, κατὰ τὸν θεῖον ὅρον, πρεσβύτερον, ἀσε-

βείας ἐσχάτης τὸ τὸν τῶν ὅλων Θεὸν, νεώτερον τῶν αἰώνων ἀποκαλεῖν.

1 Ὀφείλομεν δὲ ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν, καὶ μὴ ἑαυτοῖς ἀρέσκειν, ἕκαστος ἡμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν, πρὸς οἰκοδομήν. καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν, ἀλλὰ καθὼς γέγραπται, οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ.

Χρυσοστόμου. *Ἀποδοὺς τὴν δοξολογίαν, πάλιν ἀπὸ τῆς εὐχῆς, ἐπὶ παραίνεσιν χωρεῖ. πρὸς τοὺς ἰσχυροτέρους τρέπων τὸν λόγον, καὶ λέγων, "ὀφείλομεν ἡμεῖς." οὐ χαριζόμεθα. τί ὀφείλομεν; "τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν." εἶδες πῶς ἐπῆρεν αὐτοὺς τοῖς ἐγκωμίοις; οὐχὶ τῶν δυνατοὺς μόνον εἰπεῖν, ἀλλὰ καὶ τῷ μεθ' ἑαυτοῦ τάξαι ἐκείνους; οὐ ταύτῃ δὲ μόνῳ, ἀλλὰ καὶ τῷ χρησίμῳ αὐτοὺς ἐπισπᾶται ἀνεπαχθῶς. σὺ μὲν γὰρ δυνατὸς εἶ, φησιν, καὶ καταβαίνων οὐδὲν βλάπτῃ. ἐκείνῳ δὲ περὶ τῶν ἐσχάτων ὁ κίνδυνος, ἐὰν μὴ διαβαστάζηται. καὶ οὐκ εἶπε τοὺς ἀσθενεῖς, ἀλλὰ "τὰ ἀσθενήματα τῶν ἀδυνάτων." εἰς ἔλεον αὐτὴν ἐπισπώμενος. δυνατὸς γέγονας; ἀπόδος τῷ Θεῷ τὴν ἀμοιβὴν, τῷ ποιήσαντί σε τοιοῦτον. ἀποδώσεις δὲ, τὴν ἀσθένειαν τοῦ ἀρρώστου διορθούμενος. καὶ γὰρ ἡμεῖς ἀσθενεῖς ἦμεν, ἀλλ' ὑπὸ τῆς χάριτος ἐγενόμεθα δυνατοί. τοῦτο δὲ καὶ ἐνταῦθα δεῖ ποιεῖν, καὶ ἐπὶ τῶν ἄλλων ἀσθενῶν· οἷον, ἂν ἀκρόχολος ᾖ τις, ἂν ὑβριστὴς, ἂν ἄλλο τι τοιοῦτον ἔχῃ ἐλάττωμα, διαβάσταζε.*

Ἐκ τῶν Ἀσκητικῶν. *Βαστάζειν δὲ ἐστὶ, τὸ αἴρειν καὶ θεραπεύειν. κατὰ τὸ γεγραμμένον, "ὅτι αὐτὸς τὰς ἀσθενείας ἡμῶν "ἔλαβε, καὶ τὰς νόσους ἐβάστασεν." οὐκ ἐν τῷ εἰς ἑαυτὸν ἀποδέχεσθαι ταύτας, ἀλλ' ἐπὶ τῷ τοὺς πάσχοντας θεραπεύειν. καὶ ἐνταῦθα ὁ τῆς μετανοίας τρόπος καὶ λόγος ἐφαρμόσει, δι' οὗ θεραπευθήσονται ἐκ τῆς τῶν ἀρρενωπῶν ἐπιμελείας, οἱ ἀδύνατοι.*

Χρυσοστόμου. *Εἰπὼν δὲ "ὀφείλομεν βαστάζειν," ἐπήγαγε, "καὶ μὴ ἑαυτοῖς ἀρέσκειν. ἕκαστος ἡμῶν τῷ πλησίον ἀρεσκέτω "εἰς τὸ ἀγαθὸν, πρὸς οἰκοδομήν." ὃ δὲ λέγει, τοῦτό ἐστι. δυνατὸς εἶ; λαμβανέτω σου πεῖραν τῆς δυνάμεως ὁ ἀσθενής. ἐκεῖνος*

μανθανέτω σου τὴν ἰσχύν. ἐκείνῳ ἄρεσον. καὶ οὐχ ἁπλῶς εἶπεν "ἄρεσον," ἀλλ' "εἰς τὸ ἀγαθόν." καὶ οὐδὲ ἁπλῶς εἰς τὸ ἀγαθόν. ἵνα μὴ λέγῃ ὁ τέλειος, ἰδοὺ γὰρ εἰς τὸ ἀγαθὸν ἕλκω, ἀλλὰ προσέθηκε, "πρὸς οἰκοδομήν." ὥστε κἂν πλουτῇς, κἂν ἐν δυναστείᾳ ᾖς, μὴ σαυτῷ, ἀλλὰ τῷ πένητι καὶ τῷ δεομένῳ ἄρεσκε. καὶ παρὰ πάντων τοῦτο ἀπαιτεῖ. οὐ γὰρ εἶπεν ὁ δεῖνα καὶ ὁ δεῖνα, ἀλλ' "ἕκαστος ἡμῶν·" εἶτα ἐπειδὴ μέγα ἐπέταξε, καὶ τῆς οἰκείας ἐκέλευσε καθυφεῖναι τελειότητος, εἰς τὸ διορθῶσαι τὴν ἑτέρου ἀσθένειαν, πάλιν τὸν Χριστὸν εἰς μέσον ἄγει λέγων, "καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν." ὅπερ καὶ ἀεὶ ποιεῖ, ὅταν εἴς τι προτρέπηται ἀγαθόν. τί δέ ἐστιν "οὐχ ἑαυτῷ ἤρεσεν;" ἐξῆν αὐτῷ μὴ ὀνειδισθῆναι, ἐξῆν μὴ παθεῖν ἃ ἔπαθεν. εἰ γὰρ ἤθελεν, ἐσκόπει ἂν τὸ ἑαυτοῦ. ἀλλ' ὅμως, οὐκ ἠθέλησεν· ἀλλὰ τὸ ἡμέτερον σκοπήσας, τὸ ἑαυτοῦ παρεῖδε. καὶ τίνος ἕνεκεν οὐκ εἶπεν, ἑαυτὸν ἐκένωσεν; ὅτι οὐ τοῦτο ἐβούλετο δεῖξαι μόνον, ὅτι ἄνθρωπος γέγονεν, ἀλλ' ὅτι καὶ ὑβρίσθη, καὶ πονηρὰν παρὰ πολλοῖς ἔλαβε δόξαν, ἀσθενὲς εἶναι νομισθείς. "εἰ γὰρ υἱὸς εἶ τοῦ Θεοῦ," φησιν, "κατάβηθι ἀπὸ τοῦ σταυροῦ." καί, "ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι." διὸ πράγματος ἐμνημόνευσεν, εἰς τὴν παροῦσαν ὑπόθεσιν αὐτῷ χρησιμεύοντος. καὶ δείκνυσι πολλῷ πλέον οὗ ἐπηγγείλατο. οὐ γὰρ τὸν Χριστὸν δείκνυσιν ὀνειδισθέντα μόνον, ἀλλὰ καὶ τὸν Πατέρα, "οἱ ὀνειδισμοὶ γὰρ τῶν ὀνειδιζόντων σε," φησίν, "ἐπέπεσον ἐπ' ἐμέ." ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. οὐδὲν συνέβη καινόν. οἱ γὰρ ἐπὶ τῆς παλαιᾶς μελετήσαντες αὐτὸν ὀνειδίζειν, οὗτοι καὶ κατὰ τοῦ παιδὸς ἐμάνησαν.

Γενναδίου. Διττὴν δὲ τοῦτο τὴν διάνοιαν ἔχει. δύναται γὰρ πρὸς τὸν Πατέρα καὶ Θεὸν παρὰ τοῦ Υἱοῦ εἰρῆσθαι. καὶ ὡς οἰκειουμένου τοῦ μονογενοῦς τὰς παρὰ τῶν ἀνθρώπων εἰς τὸν ἑαυτοῦ πατέρα βλασφημίας, καὶ ὡς τὴν τῶν βλασφημούντων τὸν Θεὸν ἀνθρώπων κόλασιν, ὑπὲρ ὧν ἐβλασφήμουν αὐτὸν, εἰς ἑαυτὸν ἀναδεξαμένου.

Ἀποστόλου. Πλὴν οὐχ ᾗ Θεὸς ἐστὶ, φέρει τί τῶν μὴ ἀρεσκόντων ἑαυτῷ ὁ Χριστός. οὐδὲν γὰρ εἰς τὸ καθάψασθαι Θεοῦ, καὶ λυπῆσαι Θεὸν, ἰσχύσειεν ἄν. ἵνα δὴ καὶ λέγωμεν, ὡς οὐκ ἤρεσεν ἑαυτῷ· ἀλλὰ καθ' ὅσον ἐκοινώνησε τοῦ ἀνθρωπείου, τοῦ

καὶ ἀηθῶς πρός τι διατεθῆναι δυναμένου, κατὰ τοῦτο οὐκ ἤρεσεν ἑαυτῷ, τοὺς ἐνοχλοῦντας μετελθὼν ἢ ἀπωσάμενος, ἀλλ' ὑπέμεινεν. ἀρέσκειν δὲ παραινέσας τῷ πλησίον, ἀναγκαίως προσέθηκεν, "εἰς "τὸ ἀγαθόν." οὐκέτι γὰρ τοῦτο ἀνθρωπαρεσκία. ἀνθρωπαρεσκία δὲ, τὸ καθ' ἡδονήν τί πράττειν ἀνθρώπων.

Ὅσα γὰρ προεγράφη, εἰς διδασκαλίαν ἡμῶν προ-
4 εγράφη, ἵνα διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως
τῶν γραφῶν τὴν ἐλπίδα ἔχωμεν.

Χρυσοστόμου. Ἐνταῦθα αὐτοὺς καὶ εἰς πειρασμῶν ὑπομονὴν ἀλείφει λοιπόν. ταῦτα λέγων, πρὸς ἡμετέραν διδασκαλίαν γέγραπται, ἵνα νευρούμενοι καὶ παρακαλούμενοι παρὰ τῶν γραφῶν, ὑπομονὴν ἐπιδειξώμεθα. ἵνα ἐν ὑπομονῇ ζῶντες, μένωμεν ἐπὶ τῆς ἐλπίδος. ταῦτα γὰρ ἀλλήλων ἐστὶ κατασκευαστικά. ἡ ὑπομονὴ, τῆς ἐλπίδος· ἡ ἐλπὶς, τῆς ὑπομονῆς. ἅπερ ἀμφότερα ἀπὸ τῶν γραφῶν γίνεται.

Ὁ δὲ Θεὸς τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως, δῴη
5 ὑμῖν τὸ αὐτὸ φρονεῖν ἐν ἀλλήλοις, κατὰ Χριστὸν Ἰη-
σοῦν, ἵνα ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι δοξάζητε τὸν Θεὸν
6 καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Χρυσοστόμου. Πάλιν εἰς εὐχὴν τρέπει τὸν λόγον. ἐπειδὴ γὰρ εἶπε τὰ παρ' ἑαυτοῦ, καὶ τὰ ὑποδείγματα τέθεικε τοῦ Χριστοῦ, καὶ τὴν ἀπὸ τῶν γραφῶν προσέθηκε μαρτυρίαν· δεικνὺς ὅτι μετὰ τῶν γραφῶν, καὶ αὐτὸς πάλιν δίδωσι τὴν ὑπομονήν. "ὁ Θεὸς," φησὶ, "τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως, δῴη ὑμῖν ἐν ἀλλή-"λοις τὸ αὐτὸ φρονεῖν κατὰ Χριστὸν Ἰησοῦν." τοῦτο γάρ ἐστιν ἀγάπης. ἵνα ὃ περὶ ἑαυτοῦ τίς φρονῇ, τοῦτο καὶ περὶ τοῦ ἄλλου. εἶτα πάλιν δεικνὺς ὅτι οὐχ ἁπλῶς ἀγάπην ζητεῖ, ἐπήγαγε, "κατὰ "Χριστὸν Ἰησοῦν." ἐπειδὴ ἔστι καὶ ἑτέρα ἀγάπη. καὶ τί τὸ κέρδος τῆς συμφωνίας, "ἵνα ὁμοθυμαδὸν," φησὶν, "ἐν ἑνὶ στόματι δοξάζητε τὸν Θεὸν καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ." οὐκ εἶπεν ἁπλῶς "ἐν ἑνὶ στόματι," ἀλλὰ καὶ μιᾷ ψυχῇ.

Τοῦ θεολόγου ἐκ τοῦ περὶ υἱοῦ δευτέρου λόγου. Πλὴν ὅταν ἀκούσῃς, ὁ Θεὸς τοῦ σώζειν, ἢ ἐκδικήσεων, ἢ εἰρήνης, ἢ δικαιοσύνης ἢ τῶν τοιούτων· ἢ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ,

καὶ παντὸς Ἰσραὴλ, τοῦ πνευματικοῦ καὶ ὁρῶντος Θεὸν, ταῦτα τῆς οἰκονομίας εἶναι ἡγοῦ. ἐπειδὴ γὰρ τρισὶ τούτοις διοικούμεθα, δέει τε τιμωρίας καὶ σωτηρίας ἐλπίδι, πρὸς δὲ, καὶ δόξης, καὶ ἀσκήσει τῶν ἀρετῶν, ἐξ ὧν ταῦτα, τὸ μὲν τῶν ἐκδικήσεων ὄνομα, οἰκονομεῖ τὸν φόβον· τὸ δὲ τῶν σωτηριῶν, τὴν ἐλπίδα· τὸ δὲ τῶν ἀρετῶν, τὴν ἄσκησιν. ἵν᾽ ὡς τὸν Θεὸν ἐν ἑαυτῷ φέρων, ὁ τούτων τί κατορθῶν, μᾶλλον ἐπείγηται πρὸς τὸ τέλειον καὶ τὴν ἐξ ἀρετῶν οἰκείωσιν.

ΓΕΝΝΑΔΙΟΥ. Θεὸν δὲ ὑπομονῆς καὶ παρακλήσεως λέγει, τὸν τὴν ὑπομονὴν καὶ παράκλησιν χαριζόμενον. ὡς καὶ Θεὸν ἐλέους, καὶ Θεὸν οἰκτιρμῶν. τὸ δὲ, "δώῃ ὑμῖν τὸ αὐτὸ φρονεῖν κατὰ "Χριστὸν Ἰησοῦν," ἀντὶ τοῦ, μηκέτι κατὰ τὰ παλαιὰ τῶν πατέρων ὑμῶν ἔθη διαιρουμένους, ἀλλ᾽ ἑνουμένους κατὰ τὸν οὐράνιον ἄνθρωπον. τὸ δὲ, "τὸν Θεὸν καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ "Χριστοῦ," ἵνα εἴπῃ τὸν Θεόν. ὃς ὅτιπερ εἰς υἱοθεσίαν ἡμᾶς προσεκαλέσατο, διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως, ἐπιστώσατο περὶ τὸν Υἱὸν αὐτοῦ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, πρῶτον τοῦτο διοικησάμενος. τὸ μέντοι δώῃ ὑμῖν ὁ Θεὸς, ἵνα ὁμοθυμαδὸν δοξάζητε τὸν Θεὸν, οὐ περὶ ἄλλου καὶ ἄλλου σημαίνων ἔφη Θεοῦ πολλαπλῶς, ἀλλ᾽ ἐν τῷ δευτέρῳ πάλιν ἀντὶ τῆς ἀντωνυμίας τὸ αὐτὸ τέθεικεν ὄνομα. ἣν δ᾽ ἂν σαφέστερον οὕτω λεχθέν· δώῃ ὑμῖν ὁ Θεὸς τὸ αὐτὸ φρονεῖν, ἵνα ὁμοθυμαδὸν δοξάζητε αὐτόν. νῦν δὲ ἀντὶ τοῦ, αὐτὸν, τέθεικε τὸν Θεόν· ὅπερ ἰδίωμα τῆς γραφῆς. ὡς τὸ, "ἔβρεξε Κύριος παρὰ Κυρίου." τουτέστι, παρ᾽ ἑαυτοῦ. καὶ τὸ, δώῃ αὐτῷ Κύριος εὑρεῖν ἔλεον παρὰ Κυρίου. καὶ τὸ, "ἡ δικαιοσύνη "σου ὡς ὄρη Θεοῦ." καὶ ὅσα τοιαῦτα.

ΘΕΟΔΩΡΗΤΟΥ. Ἡμῶν γεμὴν Θεὸν, ἐκάλεσε τὸν Θεόν, τοῦ δὲ Κυρίου Ἰησοῦ τὸν Πατέρα.

Διὸ προσλαμβάνεσθε ἀλλήλους, καθὼς καὶ ὁ Χριστὸς
7 ἡμᾶς προσελάβετο, εἰς δόξαν Θεοῦ.

ΧΡΥΣΟΣΤΟΜΟΥ. Πάλιν ἐντεῦθεν τῆς αὐτῆς παραινέσεως ἔχεται. καὶ πάλιν τὸ παράδειγμα ἄνωθεν, καὶ τὸ κέρδος, ἄφατον. μάλιστα γὰρ τὸν Θεὸν τοῦτο δοξάζει, τὸ συμπεφράχθαι. ὥστε κἂν ἄγαν ὑπὲρ αὐτοῦ διαστασιάζῃς πρὸς τὸν ἀδελφὸν, ἐννοήσας ὅτι κατα-

λύσας τὴν ὀργὴν, τὸν δεσπότην σου δοξάζεις· κἂν εἰ μὴ διὰ τὸν ἀδελφὸν, δι' αὐτὸ γοῦν τοῦτο καταλλάγηθι. τὸ δὲ ὑπερβατὸν, οὕτως. προσλαμβάνεσθε ἀλλήλους εἰς δόξαν Θεοῦ.

8 Λέγω δὲ, Χριστὸν Ἰησοῦν διάκονον γεγενῆσθαι περι-
τομῆς ὑπὲρ ἀληθείας Θεοῦ, εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγ-
9 γελίας τῶν πατέρων· τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι
τὸν Θεὸν, καθὼς γέγραπται, διὰ τοῦτο ἐξομολογήσομαί
σοι ἐν ἔθνεσι, καὶ τῷ ὀνόματί σου ψαλῶ. καὶ πάλιν
10 λέγει, εὐφράνθητε ἔθνη, μετὰ τοῦ λαοῦ αὐτοῦ. καὶ
πάλιν, αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη, ἐπαινέσατε
11 αὐτὸν, πάντες οἱ λαοί. καὶ πάλιν Ἡσαΐας λέγει, καὶ
ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτὸν ἔθνη ἐλπιοῦσιν.

Χρυσοστόμου. Πάλιν περὶ τῆς τοῦ Χριστοῦ κηδεμονίας ἡμῖν διαλέγεται. ἔτι τοῦ αὐτοῦ κεφαλαίου ἐχόμενος, καὶ δεικνὺς ὅσα ἐποίησεν ὑπὲρ ἡμῶν, καὶ ὅπως, οὐχ ἑαυτῷ ἤρεσε. καὶ μετὰ τούτου κἀκεῖνο κατασκευάζει, ὅτι μειζόνων εἰσὶν οἱ ἐξ ἐθνῶν ὀφείλεται τῷ Θεῷ· εἰ δὲ μειζόνων εἰσὶν ὀφείλεται, δίκαιοι ἂν εἶεν φέρειν τοὺς ἀσθενεῖς, τοὺς ἐξ Ἰουδαίων. ἐπειδὴ γὰρ σφοδρῶς ἐκείνων καθήψατο· ἵνα μὴ τούτους ἐπάρῃ τοῦτο, καταστέλλει πάλιν αὐτῶν τὴν ἀπόνοιαν. ἐκείνοις μὲν γὰρ ἐξ ἐπαγγελιῶν πατέρων δεικνυσιν ἀγαθὰ τὰ διδόμενα. τοῖς δὲ ἐξ ἐθνῶν, ἐξ ἐλέους καὶ φιλανθρωπίας μόνης. διὸ καὶ ἔλεγε, "τὰ δὲ ἔθνη ὑπὲρ ἐλέου δοξάσαι τὸν "Θεόν." ἵνα δὲ σαφέστερον γένηται τὸ γενόμενον, αὐτῶν πάλιν ἄξιον ἀκοῦσαι τῶν ῥημάτων, ἵνα μάθῃς τί ἐστι τὸ "ὑπὲρ ἀληθείας Θεοῦ "γεγενῆσθαι τὸν Χριστὸν διάκονον περιτομῆς, εἰς τὸ βεβαιῶσαι "τὰς ἐπαγγελίας τῶν πατέρων." τί ποτ' οὖν ἐστι τὸ εἰρημένον; ἐπαγγελία πρὸς τὸν Ἀβραὰμ ἦν γεγενημένη ἡ λέγουσα, "σοι "δώσω τὴν γῆν καὶ τῷ σπέρματί σου." καὶ "ἐν τῷ σπέρματί "σου ἐνευλογηθήσονται πάντα τὰ ἔθνη." ἀλλ' ἐγένοντο κολάσεως ὑπεύθυνοι μετὰ ταῦτα οἱ τοῦ σπέρματος Ἀβραὰμ ἅπαντες. ὁ γὰρ νόμος ὀργὴν αὐτοῖς κατειργάζετο παραβαινόμενος, καὶ τῆς ἐπαγγελίας ἐκείνης ἀπεστέρει λοιπὸν τῆς τῶν πατέρων. παραγενομενος τοίνυν ὁ Υἱὸς, συνέπραξε τῷ Πατρὶ εἰς τὸ τὰς ἐπαγγελίας ἐκείνας

ἀληθεῦσαι, καὶ εἰς τέλος ἐξελθεῖν. πάντα γὰρ τὸν νόμον πληρώσας, ἐν ᾧ κατεδέξατο καὶ περιτομήν· καὶ ταύτῃ, καὶ διὰ τοῦ σταυροῦ τῆς κατάρας ἀπαλλάξας τῆς ἐπὶ τῇ παραβάσει, οὐκ ἀφῆκε διαπεσεῖν τὴν ἐπαγγελίαν. ὅταν οὖν λέγῃ "διάκονον περιτομῆς," τοῦτο λέγει, ὅτι ἐλθὼν καὶ πάντα τὸν νόμον πληρώσας, καὶ περιτμηθεὶς, καὶ γενόμενος σπέρμα τοῦ Ἀβραὰμ, ἔλυσε τὴν κατάραν, ἔπαυσε τοῦ Θεοῦ τὴν ὀργὴν, ἐπιτηδείους λοιπὸν ἐποίησε τοὺς μέλλοντας δέχεσθαι τὴν ἐπαγγελίαν, ἅπαξ ἀπαλλαγέντας τοῦ προσκεκρουκέναι. ἵνα οὖν μὴ λέγωσιν οὗτοι οἱ ἐγκαλούμενοι, πῶς οὖν ὁ Χριστὸς περιετέμνετο, καὶ πάντα ἐφύλαττε τὸν νόμον; εἰς τοὐναντίον αὐτὸ περιτρέπει. οὐ γὰρ ἵνα μένῃ ὁ νόμος τοῦτο ἐποίησε, φησίν. ἀλλ' ἵνα αὐτὸν λύσῃ, καὶ σὲ ἀπαλλάξῃ τῆς ἐκείνου κατάρας, καὶ ἐλευθερώσῃ καθόλου τῆς ἀρχῆς τῆς ἐκείνου. ἐπειδὴ γὰρ σὺ παρέβης τὸν νόμον, διὰ τοῦτο ἐκεῖνος ἐπλήρωσεν. οὐχ ἵνα σὺ πληρώσῃς, ἀλλ' ἵνα σοὶ τὰς ἐπαγγελίας βεβαιώσῃ τὰς πρὸς τοὺς πατέρας, ἃς ὁ νόμος διαπεσεῖν ἐποίει. δεικνύς σε προσκεκρουκότα· καὶ τῆς κληρονομίας ὄντα ἀνάξιον. ὥστε καὶ σὺ κατὰ χάριν ἐσώθης· καὶ γὰρ ἀποβεβλημένος ἦς.

Μὴ τοίνυν στασίαζε, μὴ δὲ φιλονείκει· ἀντεχόμενος ἀκαίρως τοῦ νόμου. ὃς καὶ τῆς ἐπαγγελίας ἐξέβαλεν ἂν, εἰ μὴ τοσαῦτα ἔπαθεν ὑπὲρ σοῦ ὁ Χριστός. ἔπαθε δὲ ταῦτα, οὐκ ἐπειδὴ ἄξιος σὺ σωτηρίας ἦς, ἀλλ' ὥστε ἀληθεῦσαι τὸν Θεόν. εἶτα ἵνα μὴ τοῦτο φυσήσῃ τὸν ἐξ ἐθνῶν, φησὶν, "τὰ δὲ ἔθνη ὑπὲρ "ἐλέους δοξάσαι τὸν Θεόν." ὃ δὲ λέγει, τοῦτό ἐστιν. οἱ μὲν ἐξ Ἰουδαίων, κἂν ἐπαγγελίας εἶχον, εἰ καὶ ἀνάξιοι ἦσαν. σὺ δὲ οὐδὲ τοῦτο, ἀλλ' ἀπὸ φιλανθρωπίας ἐσώθης μόνης. εἰ καὶ τὰ μάλιστα οὐδ' ἐκείνοις τί πλέον ἐγένετο ἀπὸ τῆς ἐπαγγελίας, εἰ μὴ παρεγένετο Χριστός. ἀλλ' ὅμως, ἵνα αὐτοὺς κεράσῃ, καὶ μὴ συγχωρήσῃ κατεξανίστασθαι τῶν ἀσθενῶν, μέμνηται τῶν ἐπαγγελιῶν. περὶ δὲ τούτων φησὶ ὅτι ἐλέῳ ἐσώθησαν μόνῳ. διὸ καὶ δίκαιοι ἂν εἶεν μάλιστα δοξάζειν τὸν Θεόν. δόξα δὲ Θεοῦ, τὸ συνῆφθαι, τὸ ἡνῶσθαι, τὸ ὁμοθυμαδὸν εὐφημεῖν, τὸ βαστάζειν τὸν ἀσθενέστερον, τὸ μὴ περιορᾶν ἀπορρηγνύμενον τὸ μέλος. εἶτα καὶ μαρτυρίας ἐπάγει ἐν αἷς δείκνυσιν, ὅτι δεῖ συνῆφθαι τοὺς ἐξ Ἰουδαίων τοῖς ἐξ ἐθνῶν, καὶ δοξάζειν ὁμοῦ τὸν Θεόν. διὰ τούτων δὲ καὶ τὸν ἐξ

Ἰουδαίων καταστέλλει. ἵνα μὴ ἐπαίρηται κατὰ τούτου· τῶν προφητῶν πάντων τούτους καλούντων, καὶ τὸν ἐξ ἐθνῶν πείθει μετριάζειν, τῷ δεῖξαι πλείονος ὑπεύθυνον ὄντα χάριτος.

Θεοδωρήτου. Ἐπειδὴ γὰρ οἱ ἐξ Ἰουδαίων πεπιστευκότες, καὶ τοῦ Κυρίου τὴν περιτομὴν προεβάλλοντο, λέγοντες καὶ αὐτὸν τὴν κατὰ νόμον ἀσπάσασθαι πολιτείαν, προὔργου νενόμικεν ὁ θεῖος Ἀπόστολος καὶ περὶ τούτου τὰ προσήκοντα γράψαι, λέγων, ὡς ὑπέσχετο τῷ Ἀβραὰμ ὁ τῶν ὅλων Θεὸς ἐν τῷ σπέρματι αὐτοῦ εὐλογήσειν τὰ ἔθνη. ἐδέξατο δὲ καὶ αὐτὸς ὁ πατριάρχης καὶ πᾶν τὸ ἐκείνου γένος, τῆς περιτομῆς τὸ σημεῖον. ἔδει τοίνυν καὶ τὸν ἐκείνου σπέρμα κατὰ σάρκα προσαγορευόμενον, καὶ τοῖς ἔθνεσι τὴν εὐλογίαν πηγάζοντα, ἔχειν τὸ σημεῖον τῆς συγγενείας. ἵνα δειχθῇ σαφῶς ἡ τῆς θείας ἐπαγγελίας ἀλήθεια, καὶ τὰ ἔθνη τὴν χάριν δεξάμενα, ὑμνήσῃ τῆς φιλανθρωπίας τὸν χορηγόν.

Κυρίλλου. Ἐπειδὴ οὖν τοῖς Ἰουδαίων πατράσι προεπήγγελται Θεὸς, ὅτι εὐλογήσει τὸ ἐξ αὐτῶν ἐσόμενον σπέρμα, καὶ θήσει ὡσεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει, ταύτῃ τοι πέφηνεν ἐν σαρκὶ, καὶ γέγονεν ἄνθρωπος, Θεὸς ὑπάρχων ὁ Λόγος. ἦλθε δὲ εἰς τόνδε τὸν κόσμον μετὰ σαρκός. πλὴν οὐ διακονηθῆναι, καθὰ φησὶν αὐτὸς, ἀλλὰ διακονῆσαι· ὡμολόγει γε μὴν ἀφῖχθαι σαφῶς, ἵνα πληρώσῃ τῷ Ἰσραὴλ τὴν ὑπόσχεσιν. ἔφασκε γὰρ "οὐκ ἀπεστάλην, εἰ μὴ "εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ." οὐκοῦν οὐ ψευδοεπήσει λέγων ὁ Παῦλος, διάκονον αὐτὸν γεγενῆσθαι περιτομῆς, εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων· τεθεῖσθαί τε πρὸς τούτῳ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς καὶ εἰς ἔλεον τοῖς ἐξ ἐθνῶν, ἵνα καὶ αὐτοὶ δοξάσειαν, ὡς τῶν ὅλων γενεσιουργὸν καὶ τεχνίτην, τὸν σωτῆρα τε καὶ λυτρωτήν.

Δυνατὸν δὲ τὸ, διάκονον γεγενῆσθαι περιτομῆς, καὶ ἀντὶ τοῦ, διάκονον τῶν Ἰουδαίων νοῆσαι, τουτέστιν ὑπὲρ τοῦ, τοὺς Ἰουδαίους ἐντὸς γενέσθαι τῶν ἐπαγγελιῶν. ἵνα καὶ ὁ ταύτας ἐπαγγειλάμενος Πατὴρ ἀληθεύῃ.

13 Ὁ δὲ Θεὸς τῆς εἰρήνης πληρῶσαι ὑμᾶς πάσης χαρᾶς καὶ εἰρήνης ἐν τῷ πιστεύειν, εἰς τὸ περισσεύειν ἐν τῇ ἐλπίδι, ἐν δυνάμει Πνεύματος Ἁγίου.

Χρυσοστόμου. Πάλιν ἐπὶ εὐχὴν κατακλείει τὸν λόγον, λέγων,

ἀπαλλαγείητε τῆς πρὸς ἀλλήλους ἀθυμίας, καὶ μὴ καταβληθείητε ποτὲ ὑπὸ τῶν πειρασμῶν. τοῦτο δέ ἐστιν ἐν τῷ περισσεύειν ὑμᾶς ἐν τῇ ἐλπίδι. τοῦτο γὰρ πάντων αἴτιον τῶν ἀγαθῶν. τοῦτο δὲ ἀπὸ Πνεύματος ἔσται Ἁγίου. ἀλλ' οὐχ ἁπλῶς ἀπὸ Πνεύματος, ἀλλ' ἐὰν καὶ τὰ παρ' ἡμῶν εἰσενέγκωμεν. διὰ τοῦτο φησὶν, "ἐν τῷ πιστεύειν." οὕτω γὰρ δύνασθε πληρωθῆναι χαρᾶς· ἐὰν πιστεύσητε, ἐὰν ἐλπίζητε. ἀλλ' οὐκ εἶπεν, ἐὰν ἐλπίζητε. ἀλλ' "ἐὰν περισσεύητε ἐν τῇ ἐλπίδι." ὥστε μὴ μόνον παραμυθίαν εὑρεῖν τῶν δεινῶν, ἀλλὰ καὶ χαρὰν ἔχειν διὰ τὴν περιουσίαν τῆς πίστεως καὶ τῆς ἐλπίδος· οὕτω γὰρ καὶ τὸ πνεῦμα ἐπισπάσεσθε. κἀκείνου παραγενομένου, τὰ ἀγαθὰ διατηρήσετε πάντα.

Θεοδωρήτου. Διὰ τοῦτο δὲ Θεὸν ἐλπίδος τὸν Θεὸν προσαγορεύει, ὡς ἄνωθεν μὲν δεδωκότα τοῖς ἔθνεσι τὴν ἐλπίδα τῆς εὐλογίας, τοῖς ἔργοις δὲ, τὴν ὑπόσχεσιν βεβαιώσαντα. τοῦτο δὲ τῶν ἐλπιζομένων ἔστιν ἐνέχυρον ἀγαθῶν. ὁ γὰρ ἐκεῖνα ὑποσχόμενος, εἶτα πληρώσας, πληρώσει πάντως καὶ ἃ νῦν ἡμῖν ἐπηγγείλατο. κελεύει δὲ ἡμᾶς οὐ μόνον ἐλπίζειν, ἀλλὰ καὶ περισσεύειν ἐν τῇ ἐλπίδι. τουτέστιν, εἰλικρινῶς ἐλπίζειν, καὶ νομίζειν ὁρᾶν τὰ ἐλπιζόμενα ἀγαθά. τοῦτο δὲ ἔφη παρέχειν τὴν τοῦ Πνεύματος χάριν.

14 Πέπεισμαι δὲ, ἀδελφοί μου, καὶ αὐτὸς ἐγὼ περὶ ὑμῶν, ὅτι καὶ αὐτοὶ ἐστὲ μεστοὶ ἀγαθωσύνης, πεπληρωμένοι πάσης γνώσεως, δυνάμενοι καὶ ἄλλους νουθετεῖν.

Χρυσοστόμου. Εἶπεν ὅτι "ἐφ' ὅσον ἐθνῶν εἰμὶ Ἀπόστολος, τὴν "διακονίαν μου δοξάζω." εἶπεν ὅτι "μήπως οὐδὲ σοῦ φείσηται." εἶπεν ὅτι "μὴ γίνησθε φρόνιμοι παρ' ἑαυτοῖς." καὶ πάλιν· "σὺ τί "κρίνεις τὸν ἀδελφόν;" καὶ "τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην;" καὶ ἕτερα πολλῷ πλείω τοιαῦτα. ἐπεὶ οὖν πολλαχοῦ τραχύτερον τὸν λόγον ἐποίησε, θεραπεύει λοιπόν. καὶ ὅπερ ἀρχόμενος ἔλεγε, τοῦτο καὶ τελευτῶν. ἀρχόμενος μὲν ἔλεγεν· "εὐχαριστῷ τῷ Θεῷ "μου, ὑπὲρ πάντων ὑμῶν, ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν "ὅλῳ τῷ κόσμῳ." ἐνταῦθα δὲ, "πέπεισμαι," φησὶν, "ὅτι καὶ "αὐτοὶ ἐστὲ ἀγαθωσύνης μεστοὶ, δυνάμενοι καὶ ἄλλους νουθε- "τεῖν." ὅπερ πλέον ἔστιν ἐκείνου. καὶ οὐκ εἶπεν ἤκουσα, ἀλλὰ "πέπεισμαι," καὶ οὐ δέομαι παρ' ἑτέρου μαθεῖν. "καὶ αὐτὸς ἐγώ"

φησιν, τουτέστιν, ὁ ἐπιτιμῶν, ὁ ἐγκαλῶν. τὸ δὲ "μεστοὶ ἐστὲ "ἀγαθωσύνης," πρὸς τὴν μικροῦ γενομένην παραίνεσιν. ὡς ἂν εἰ ἔλεγεν, ὅτι οὐχ ὡς ὠμοῖς, οὐδὲ μισαδέλφοις ταῦτα παρῄνεσα προσλαμβάνεσθαι καὶ μὴ ἐᾶν, μὴ δὲ καταλύειν τὸ ἔργον τοῦ Θεοῦ. οἶδα γὰρ ὅτι μεστοί ἐστε ἀγαθωσύνης. δοκεῖ δέ μοι ἐνταῦθα καὶ ὁλόκληρον τὴν ἀρετὴν οὕτω καλεῖν. καὶ οὐκ εἶπεν ἔχετε, ἀλλὰ "μεστοὶ ἐστέ." καὶ τὸ ἑξῆς, μετὰ τῆς αὐτῆς ἐπιτάσεως, "πε-"πληρωμένοι πάσης γνώσεως." τί γὰρ εἰ φιλόστοργοι μὲν ἦσαν, οὐκ ἦσαν δὲ εἰδότες πῶς δεῖ τοῖς φιλουμένοις κεχρῆσθαι; διὰ τοῦτο προσέθηκε, "πάσης γνώσεως, δυνάμενοι καὶ ἄλλους νουθετεῖν." οὐχὶ μόνον μανθάνειν, ἀλλὰ καὶ διδάσκειν.

15 Τολμηρότερον δὲ ἔγραψα ὑμῖν, ἀπὸ μέρους, ὡς ἐπα-
ναμιμνήσκων ὑμᾶς, διὰ τὴν χάριν τὴν δοθεῖσάν μοι ὑπὸ
16 τοῦ Θεοῦ, εἰς τὸ εἶναί με λειτουργὸν Ἰησοῦ Χριστοῦ εἰς
τὰ ἔθνη, ἱερουργοῦντα τὸ εὐαγγέλιον τοῦ Θεοῦ, ἵνα γένη-
ται ἡ προσφορὰ τῶν ἐθνῶν εὐπρόσδεκτος, ἡγιασμένη ἐν
Πνεύματι Ἁγίῳ.

Χρυσοστόμου. *Ὅρα Παύλου σοφίαν, ὅρα σύνεσιν. πῶς καὶ βαθεῖαν ἔδωκε τὴν τομὴν ἐν τοῖς ἔμπροσθεν. καὶ ἐπειδὴ κατώρθωσεν ὅπερ ἠβούλετο, πολλῇ κέχρηται τῇ θεραπείᾳ πάλιν. ἱκανὸν γὰρ καὶ χωρὶς τῶν εἰρημένων, αὐτὸ τοῦτο τὸ ὁμολογῆσαι τετολμηκέναι, χαλάσαι αὐτῶν τὸν τόνον. καὶ πανταχοῦ τῶν ἐπιστολῶν τοῦτο εὕροι τίς ἂν τὸ θεώρημα δαψιλές. ἐνταῦθα δὲ, καὶ μειζόνως. καὶ γὰρ ἐν ἀξιώματι ἦσαν πλείονι, καὶ ἔδει φλεγμαίνουσαν αὐτῶν τὴν διάνοιαν καταστέλλειν, μὴ τῷ στύφειν μόνον, ἀλλὰ καὶ τῷ χαλᾶν. καὶ γὰρ διαφόρως αὐτὸ ποιεῖ. διὸ καὶ ἐνταῦθα φησί. "τολμηρότερον ὑμῖν ἔγραψα." καὶ οὐδὲ τούτῳ ἀρκεῖται, ἀλλὰ προσέθηκεν "ἀπὸ μέρους." τουτέστιν, ἠρέμα. καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ τί φησίν; "ὡς ἐπαναμιμνήσκων ὑμᾶς." οὐκ εἶπε διδάσκων, οὐδὲ ἀναμιμνήσκων, ἀλλ' "ἐπαναμιμνήσκων." τουτέστι, μικρόν τι ἀναμιμνήσκων. καὶ ἀπὸ τοῦ θρόνου καταβὰς τοῦ διδασκαλικοῦ, ὡς ἀδελφοῖς διαλέγεται καὶ φίλοις, καὶ ὁμοτίμοις, ὃ δὴ μάλιστά ἐστι διδασκάλου, τὸ ποικίλλειν τὸν λόγον πρὸς τὴν τῶν ἀκουόντων ὠφέλειαν. ὅρα γοῦν πῶς εἰπὼν ὅτι "τολμηρότερον ἔγραψα," καὶ*

ὅτι "ἀπὸ μέρους·" καὶ ὅτι "ὡς ἐπαναμιμνήσκων." οὐδὲ τούτοις ἠρκέσθη, ἀλλὰ ταπεινότερον ἔτι ποιῶν τὸν λόγον, ἐπήγαγε, "διὰ "τὴν χάριν τὴν δοθεῖσάν μοι ὑπὸ τοῦ Θεοῦ." ὃ καὶ ἀρχόμενος ἔλεγεν, "ὀφειλέτης εἰμί." ὡς ἂν εἰ ἔλεγεν, οὐκ ἐμαυτῷ ἥρπασα τὴν τιμὴν, οὐδὲ ἐπεπήδασα τούτῳ πρῶτος, ἀλλ' ὁ Θεὸς τοῦτο ἐπέταξε· καὶ τοῦτο κατὰ χάριν, οὐχ ὡς ἄξιον εἰς τοῦτο ἀφορίσας. μὴ τοίνυν τραχύνεσθε. οὐ γὰρ ἐγὼ κατεξανίσταμαι. ὁ Θεός ἐστιν ὁ ἐπιτάττων. εἰπὼν δὲ "διὰ τὴν χάριν τὴν δοθεῖσάν μοι ὑπὸ τοῦ "Θεοῦ," ἐπήγαγεν, "εἰς τὸ εἶναί με λειτουργὸν Ἰησοῦ Χριστοῦ "εἰς τὰ ἔθνη, ἱερουργοῦντα τὸ εὐαγγέλιον τοῦ Θεοῦ." λειτουργίαν δὲ καὶ ἱερουργίαν, τὴν ἑαυτοῦ διακονίαν καλεῖ. αὕτη μοι φησὶ ἡ ἱερωσύνη, τὸ κηρύττειν καὶ καταγγέλλειν. ταύτην προσφέρω τὴν θυσίαν. ἱερεῖ δὲ οὐδεὶς ἂν ἐγκαλέσειε τὸ θῦμα σπουδάζοντι ἄμωμον προσενεγκεῖν. ταῦτα δὲ ἔλεγεν, ἅμα καὶ τούτων πτερῶν τὰ φρονήματα, καὶ δεικνὺς, θυσίαν ὄντας, καὶ ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀπολογούμενος, ὅτι τοῦτο ἐπιτέτακται. καὶ ἡ αἰτία, οὐχ ἵνα ἐγώ, φησιν, δοξασθῶ, οὐχ ἵνα λαμπρὸς φανῶ, ἀλλ' "ἵνα ἡ προσφορὰ τῶν ἐθνῶν εὐπρόσδεκτος γένηται, ἡγιασμένη "ἐν Πνεύματι Ἁγίῳ." τουτέστιν, αἱ ψυχαὶ τῶν διδασκομένων ἵνα δεχθῶσιν. οὐ γὰρ ἐμὲ τοσοῦτον τιμῶν ὁ Θεὸς εἰς τοῦτο ἤγαγεν, ὅσον ὑμῶν κηδόμενος. καὶ πῶς ἂν γένοιτο εὐπρόσδεκτος; ἐν Πνεύματι Ἁγίῳ. οὐ γὰρ πίστεως δεῖ μόνης, ἀλλὰ καὶ πολιτείας πνευματικῆς. ἵνα κατέχωμεν τὸ Πνεῦμα τὸ δοθὲν ἅπαξ. οὐ γὰρ ξύλα καὶ πῦρ, οὐδὲ βωμὸς καὶ μάχαιρα, ἀλλὰ πνευματικὰ πάντα παρ' ἡμῖν. διὰ τοῦτο πάντα ποιῶ, ἵνα μὴ σβεσθῇ ἐκεῖνο τὸ πῦρ. τοῦτο γὰρ καὶ ἐπιτέταγμαι. τί οὖν τοῖς μὴ δεομένοις λέγεις; δι' αὐτὸ δὴ τοῦτο οὐ διδάσκω, ἀλλ' ἀναμιμνήσκω φησί. καθάπερ ὁ ἱερεὺς παρέστηκε τὸ πῦρ ἀνακαίων, οὕτω καὶ ἐγὼ τὴν προθυμίαν ὑμῶν διεγείρων, καὶ ὅρα, οὐκ εἶπεν ἵνα γένηται ἡ προσφορὰ ὑμῶν, ἀλλὰ τῶν ἐθνῶν. ὅταν δὲ εἴπῃ "τῶν ἐθνῶν," τὴν οἰκουμένην λέγει πᾶσαν· καταστέλλων ἐκείνων τὰ φρονήματα, ὥστε μὴ ἀπαξιῶσαι διδάσκαλον σχεῖν, τὸν πρὸς τὰ πέρατα τῆς οἰκουμένης τεινόμενον.

ΘΕΟΔΩΡΗΤΟΥ. Ἱερουργίαν μὲν οὖν ἐκάλεσε τὸ εὐαγγέλιον. τὴν δὲ γνησίαν πίστιν, εὐπρόσδεκτον προσφοράν. τὸ δὲ "τολμηρό-

“τερον ἔγραψα ὑμῖν ἀπὸ μέρους,” οὕτω τίς ἐξελάβετο. ἡ ἐπικειμένη μοι ἀνάγκη. καὶ σφοδρότερον καὶ ἀκριβέστερον γράφειν ἀπαιτεῖ. ἐγὼ δὲ ἐτόλμησα καὶ τῆς ἀκριβείας καθυφεῖναι, καὶ οὐχ ὡς διδάσκαλος γράφειν, ἀλλὰ μετὰ πολλῆς φειδοῦς. καὶ “ὡς ἐπαναμιμνήσκων.” καίτοι χρεωστῶν καὶ ἀκριβέστερον καὶ σφοδρότερον. εἰς τοῦτο γὰρ ὑπὸ τῆς χάριτος προσκεχείρισμαι, καὶ ἐν τούτῳ ὑπουργεῖν καὶ δουλεύειν τέταγμαι. ὡς ἂν εἴ τις ἔλεγεν, ἴσως ἐν οἷς ἔγραψα καθηψάμην ὑμῶν, καὶ ἔδοξα τισὶν ὑμῶν σκληρότερον ὑμῖν προσενεχθῆναι. ἐγὼ δὲ τοσούτου δέω τοῦτο ποιῆσαι, ὅτι φοβοῦμαι μήπως μετὰ πολλῆς φειδοῦς καὶ ὑποστολῆς γράψας, καὶ εὐθύνας ὑφέξω, ὡς τολμήσας ἔλαττον ἔργον διδασκάλου ποιῆσαι.

Κυρίλλου ἐκ τῶν Θησαυρῶν. Ἀλλ᾽ ὅρα καὶ ἐνταῦθα πῶς εἰληφέναι μὲν ἐν χάριτος μοίρᾳ παρὰ Θεοῦ διϊσχυρίζεται, τὸ εἶναι λειτουργὸς Χριστοῦ Ἰησοῦ. τῆς ἱερουργίας δὲ τὸν τρόπον ἐξηγούμενος, “εἰς τὸ εὐαγγέλιον,” φησὶ, “Θεοῦ.” καίτοι Χριστὸν Ἰησοῦν κηρύσσων καὶ εὐαγγελιζόμενος. οὕτως οἶδε φύσει Θεὸν ὄντα τὸν Υἱόν. οὐ γὰρ ἂν ὠνόμασε Θεὸν, μὴ τοῦτο κατὰ φύσιν ὑπάρχοντα. οὐδ᾽ ἂν ἐφ᾽ ἑαυτῷ πολὺ λίαν ἐκαυχήσατο λέγων, “ηὐδόκησεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ ἀποκαλύψαι δι᾽ ἐμοῦ,” εἴπερ ἦν κτίσμα καὶ ποίημα.

17 Ἔχω οὖν καύχησιν ἐν Χριστῷ Ἰησοῦ τὰ πρὸς τὸν
18 Θεόν· οὐ γὰρ τολμήσω λαλεῖν τι ὧν οὐ κατειργάσατο
ὁ Χριστὸς δι᾽ ἐμοῦ, εἰς ὑπακοὴν ἐθνῶν, καὶ λόγῳ καὶ
19 ἔργῳ, ἐν δυνάμει σημείων καὶ τεράτων, ἐν δυνάμει Πνεύ-
ματος Θεοῦ· ὥστέ με ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ μέ-
χρι τοῦ Ἰλλυρικοῦ πεπληρωκέναι τὸ εὐαγγέλιον.

Χρυσοστόμου. Ἐπειδὴ σφοδρῶς ἑαυτὸν ἐταπείνωσε, πάλιν ἐπαίρει τὸν λόγον. καὶ τοῦτο ὑπὲρ ἐκείνων ποιῶν, ὥστε μὴ δόξαι εὐκαταφρόνητος εἶναι. καὶ ἐν τῷ ἐπαίρειν δὲ ἑαυτὸν, τοῦ οἰκείου μέμνηται ἤθους. οὕτω λέγων, “ἔχω οὖν καύχησιν.” καυχῶμαι φησὶν, οὐκ ἐν ἐμαυτῷ, οὐδὲ ἐν τῇ ἡμετέρᾳ σπουδῇ, ἀλλὰ τῇ τοῦ Θεοῦ χάριτι. “οὐ γὰρ τολμήσω τί λαλῆσαι ὧν οὐ κατειργάσατο “Χριστὸς δι᾽ ἐμοῦ.” οὐδὲ γὰρ ἂν ἔχοιτε εἰπεῖν φησὶν, ὅτι κόμ-

πος μου ἔστι τὰ ῥήματα. τῆς γὰρ ἱερουργίας μου ταύτης τὰ σύμβολα καὶ τῆς χειροτονίας ἔχω δεῖξαι πολλὰ τεκμήρια· οὐ ποδήρη καὶ κώδωνας, καθάπερ οἱ παλαιοί· οὐδὲ μίτραν, καὶ κίδαριν, ἀλλὰ πολλῷ φρικωδέστερα τούτων σημεῖα καὶ θαύματα. οὐδὲ γάρ ἐστιν εἰπεῖν, ὅτι ἐνεχειρίσθην μὲν, οὐκ ἐποίησα δὲ τὸ ἐπιταχθέν. μᾶλλον δὲ οὐδὲ ἐγὼ ἐποίησα, ἀλλ' ὁ Χριστός. διὸ καὶ ἐν αὐτῷ καυχῶμαι. καὶ οὐχ ὑπὲρ τῶν τυχόντων πραγμάτων, ἀλλ' ὑπὲρ πνευματικῶν· τοῦτο γάρ ἐστι τὰ πρὸς τὸν Θεόν. ὅτι γὰρ ἤνυσα ἐφ' ὃ ἐπέμφθην, καὶ οὐ κόμπος τὰ ῥήματα, δηλοῖ τὰ θαύματα καὶ ἡ τῶν ἐθνῶν ὑπακοή. "οὐ γὰρ τολμήσω," φησὶν, "λα-"λῆσαι ὧν οὐ κατειργάσατο ὁ Χριστὸς δι' ἐμοῦ, εἰς ὑπακοὴν "ἐθνῶν λόγῳ καὶ ἔργῳ, ἐν δυνάμει σημείων καὶ τεράτων, ἐν δυνά-"μει Πνεύματος Θεοῦ." οὐχ ὁρᾷς πῶς βιάζεται τὸ πᾶν δεῖξαι τοῦ Θεοῦ, καὶ οὐδὲν ἑαυτοῦ; εἴτε γὰρ φθέγγομαί τι, εἴτε ποιῶ, εἴτε θαυματουργῶ, πάντα αὐτὸς, πάντα τὸ Πνεῦμα Ἅγιον. ταῦτα δὲ λέγει, δεικνὺς καὶ τοῦ Πνεύματος τὸ ἀξίωμα, ὅτι τῇ δυνάμει αὐτοῦ ταῦτα εἰργάζετο. εἶτα ἡ τούτων ἀπόδειξις. ἐπειδὴ ταῦτα τέως ἀπόφασιν ἦν, τῶν μαθητῶν τὸ πλῆθος ἐπήγαγε· διὸ καὶ φησὶν, "ὥστέ με ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυ-"ρικοῦ, πεπληρωκέναι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ." ἀρίθμει τοίνυν καὶ πόλεις, καὶ χώρας, καὶ ἔθνη, καὶ δήμους. μὴ τοὺς ὑπὸ Ῥωμαίους μόνον, ἀλλὰ καὶ τοὺς ὑπὸ βαρβάρους. μὴ γάρ μοι τὴν διὰ Φοινίκης καὶ Συρίας καὶ τῆς Κιλίκων καὶ Καππαδοκῶν ἔλθοις ὁδόν· ἀλλὰ καὶ τὰ ὄπισθεν ἅπαντα λογίζου, τὴν Σαρακηνῶν καὶ Περσῶν καὶ Ἀρμηνιῶν, τὴν τῶν ἄλλων βαρβάρων. διὰ γὰρ τοῦτο εἶπε "καὶ κύκλῳ." ἵνα μὴ κατευθὺ τὴν λεωφόρον ἔλθῃς μόνον, ἀλλὰ καὶ πᾶσαν· καὶ τὴν κατὰ τὸν νότον περιδράμῃς τῇ διανοίᾳ Ἀσίαν. καὶ ὥσπερ νιφάδας θαυμάτων ἑνὶ λόγῳ παρέδραμεν, εἰπὼν, "ἐν δυνάμει σημείων καὶ τεράτων." οὕτω καὶ πόλεις ἀπείρους, καὶ ἔθνη καὶ δήμους καὶ χώρας ἑνὶ τούτῳ πάλιν συνεῖλε ῥήματι "τῷ κύκλῳ." πόρρω γὰρ ἦν τύφου παντός. καὶ ταῦτα δὲ διὰ τούτους ἐφθέγγετο, ὥστε μὴ μέγα φρονεῖν ἐφ' ἑαυτοῖς. καὶ οὐχ ἁπλῶς εἶπε, κηρύξαι τὸ εὐαγγέλιον, ἀλλὰ "πεπληρωκέναι τὸ εὐαγγέλιον "τοῦ Χριστοῦ."

ΚΥΡΙΛΛΟΥ ἘΚ ΤΩΝ ΘΗΣΑΥΡΩΝ. Οὐκοῦν εἰ σημεῖα καὶ τέρατα

διὰ τοῦ Παύλου Χριστὸς ἐργάζεται ἐν δυνάμει Πνεύματος Ἁγίου, ἐνέργειά τις φυσικὴ καὶ ζῶσα, καὶ ἵν' οὕτως εἴπω, ποιότης τῆς θεότητος τοῦ Υἱοῦ τὸ Ἅγιόν ἐστι Πνεῦμα. εἰ δὲ τοῦτο, πῶς ἔσται ποίημα τὸ ἐν Θεῷ καὶ ἐκ Θεοῦ φυσικῶς; πῶς δὲ καὶ ἐν ποιήματι πᾶσα ἡ δύναμις τοῦ Υἱοῦ; ὅπέρ ἐστι καὶ μόνον εἰπεῖν, ἀσεβέστατον.

20 *Οὕτω δὲ φιλοτιμούμενον εὐαγγελίζεσθαι ὅπου οὐκ ὠνομάσθη Χριστὸς, ἵνα μὴ ἐπ' ἀλλότριον θεμέλιον οἰ-*
21 *κοδομῶ· ἀλλὰ καθὼς γέγραπται, οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται· καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσιν.*

Χρυσοστόμου. Ἰδοὺ πάλιν ἑτέρα ὑπερβολή, ὅτι οὐ μόνον εὐηγγελίσατο καὶ ἔπεισεν, ἀλλ' ὅτι οὐδὲ πρὸς μεμαθηκότας ἀπῆλθε. τοσοῦτον ἀπεῖχε τοῦ ἐπιρρίπτειν ἑαυτὸν ἀλλοτρίοις μαθηταῖς, καὶ δόξης ἕνεκεν τοῦτο ποιεῖν, ὅτι καὶ ἐσπούδαζε τοὺς μὴ ἀκηκοότας διδάσκειν. οὐδὲ γὰρ εἶπεν ὅπου οὐκ ἐπείσθησαν, ἀλλ' "ὅπου οὐδὲ ὠνομάσθη Χριστός." ὃ πλέον ἐστί. καὶ τίνος ἕνεκεν τοιαῦτα ἐφιλοτιμεῖτο; "ἵνα μὴ ἐπ' ἀλλότριον θεμέλιον οἰκοδομῶ," φησίν. ταῦτα δὲ λέγων, δείκνυσιν ἑαυτὸν ἀλλότριον ὄντα κενοδοξίας, καὶ παιδεύων αὐτοὺς ὅτι οὐκ ἀπὸ τοῦ δόξης ἐρᾶν καὶ τῆς παρ' αὐτῶν τιμῆς ἐπὶ τὸ γράψαι ἦλθεν. ἀλλ' ὡς διακονίαν πληρῶν, ὡς ἱερουργίαν ἀπαρτίζων, ὡς τῆς σωτηρίας αὐτῶν ἐφῶν. ἀλλότριον δὲ τὸν τῶν Ἀποστόλων φησὶν, οὐ κατὰ τὴν τοῦ κηρύγματος φύσιν, ἀλλὰ κατὰ τὸν τοῦ μισθοῦ λόγον, ἐπεὶ τὰ κηρύγματα, οὐκ ἀλλότρια ἦν, ἀλλ' ὅσον εἰς μισθὸν, ἀλλότριον. ὁ γὰρ τῶν ἑτέροις πεπονημένων μισθὸς, τούτου ἀλλότριος ἦν. εἶτα δείκνυσιν οὕτω καὶ προφητείαν πληρουμένην λέγων, "καθὼς γέγραπται, οἷς οὐκ "ἀνηγγέλη περὶ αὐτοῦ ὄψονται, καὶ οἳ οὐκ ἀκηκόασι, συνήσου-"σιν." ὁρᾷς ἐπιτρέχοντα ὅπου πλείων ὁ πόνος, ὅπου μείζων ὁ ἱδρώς;

Θεοδώρου Μονάχου. Τοῦτο δὲ ἐποίει, οὐχ ὡς αἰσχυνόμενος τῶν λοιπῶν Ἀποστόλων τὴν κοινωνίαν, ἀλλ' ὡς πλεονεκτικὸν καὶ ἄδικον κρίνων ἀλλοτρίων ἔργων ὑφαρπάζειν δόξαν.

22 *Διὸ καὶ ἐνεκοπτόμην τὰ πολλὰ ἐλθεῖν πρὸς ὑμᾶς.*

Χρυσοστόμου. Ὁμοίως τῷ προοιμίῳ τὸ τέλος ὑφαίνει. καὶ

γὰρ καὶ τῆς Ἐπιστολῆς ἀρχόμενος ἔλεγε, "πολλάκις προεθέμην "ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ἐκωλύθη ἄχρι τοῦ δεῦρο." ἐνταῦθα δὲ καὶ τὴν αἰτίαν τίθησι δι' ἣν ἐκωλύθη. καὶ οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ πολλάκις. ὥσπερ γὰρ ἐκεῖ φησὶν, "πολλάκις προεθέμην "ἐλθεῖν πρὸς ὑμᾶς," οὕτω καὶ ἐνταῦθα, "ἐνεκοπτόμην τὰ πολλὰ "τοῦ ἐλθεῖν πρὸς ὑμᾶς." ὅπερ μάλιστα τὴν ἐπιθυμίαν αὐτοῦ δείκνυσι, τὸ πολλάκις ἐπιχειρεῖν.

Θεοδώρου. Τῇ μὲν ἀρχαιότητι τοῦ χρόνου, τὸν περὶ αὐτοὺς πόθον ἐπεδείξατο. τῇ δὲ εἰς ἄλλους ἀσχολίᾳ, ὑπὲρ τῆς βραδυτῆτος ἀπελογήσατο. διὰ δὲ τοῦτο αὐτοὺς τῶν ἄλλων οὐ προέκρινε τῶν ἐγγύτερον, ὅτι αὐτοὶ καὶ ὑπὸ Πέτρου ἦσαν κατηχηθέντες, καὶ μόνον ἐδέοντο μαθεῖν τὰ περὶ τῆς ἐναρέτου πολιτείας, καὶ ὅτι πόρρω ᾤκουν.

23 Νυνὶ δὲ μηκέτι τόπον ἔχων ἐν τοῖς κλίμασι τούτοις,
ἐπιποθίαν δὲ ἔχων τοῦ ἐλθεῖν πρὸς ὑμᾶς, ἀπὸ πολλῶν
24 ἐτῶν, ὡς ἐὰν πορεύωμαι εἰς τὴν Σπανίαν, ἐλεύσομαι πρὸς
ὑμᾶς. ἐλπίζω γὰρ διαπορευόμενος θεάσασθαι ὑμᾶς, καὶ
ἀφ' ὑμῶν προπεμφθῆναι ἐκεῖ, ἐὰν ὑμῶν πρῶτον ἀπὸ
μέρους ἐμπλησθῶ.

Χρυσοστόμου. Ὁρᾷς πῶς ἔδειξεν ὅτι οὐ τῆς παρ' αὐτῶν ἐφιέμενος δόξης ἔγραφέ τε καὶ παρεγίνετο; καὶ ἵνα μὴ δόξῃ ἐξευτελίζειν αὐτοὺς τῷ λέγειν, ὅτι ἐπειδὴ οὐδὲν ἔχω ποιῆσαι, διὰ τοῦτο ἔρχομαι πρὸς ὑμᾶς, πάλιν τὸν τῆς ἀγάπης κινεῖ λόγον, εἰπὼν, "ἐπιποθίαν δὲ ἔχων ἐλθεῖν πρὸς ὑμᾶς ἀπὸ πολλῶν ἐτῶν." οὐ γὰρ τοῦτο ἐπεθύμησα ἐλθεῖν, ἐπειδὴ σχολὴν ἄγω, ἀλλ' ἵνα τὴν ἐπιθυμίαν ἣν πάλιν ὤδινον, ἀποτέκω. εἶτα ἵνα μὴ τοῦτο πάλιν αὐτοὺς φυσήσῃ, σκόπει πῶς αὐτοὺς καταστέλλει, εἰπὼν, "ὡς ἐὰν πορεύ- "ωμαι εἰς τὴν Σπανίαν, ἐλπίζω διαπορευόμενος θεάσασθαι ὑμᾶς." ὁμοῦ τε γὰρ καὶ τὴν ἀγάπην δεῖξαι βούλεται, καὶ κωλῦσαι θρύπτεσθαι ἐκείνους. διὸ καὶ συνεχῶς αὐτὰ τίθησι, καὶ ἐφεξῆς, ἐναλλάττων τὰ ἑκατέρων τούτων κατασκευαστικά. διά τοι τοῦτο πάλιν, ἵνα μὴ λέγωσιν, ὁδοῦ πάρεργον ἡμᾶς ποιῇ; ἐπήγαγε, "καὶ ὑφ' ὑμῶν προπεμφθῆναι." τουτέστιν, ἵνα ὑμεῖς μοι μαρτυρήσητε, ὅτι οὐ καταφρονῶν ὑμῶν, ἀλλ' ἑλκόμενος ὑπὸ τῆς χρείας,

παρατρέχω. ἐπειδὴ δὲ καὶ τοῦτο ἔτι λυπεῖ, λιπαρώτερον αὐτὸ θεραπεύει, λέγων, "ἐὰν ὑμῶν πρῶτον ἀπὸ μέρους ἐμπλησθῶ." τῷ μὲν γὰρ εἰπεῖν "διαπορευόμενος," δείκνυσιν οὐκ ἐφιέμενον αὐτῶν τῆς δόξης. τῷ δὲ εἰπεῖν "ἐμπλησθῶ," δείκνυσιν ἐρῶντα αὐτῶν τῆς ἀγάπης. καὶ οὐχ ἁπλῶς ἐρῶντα, ἀλλὰ καὶ σφοδρῶς. διὸ οὐδὲ εἶπεν ἐμπλησθῶ, ἀλλὰ "ἀπὸ μέρους." οὐδεὶς γάρ με χρόνος ἐμπλῆσαι δύναται, οὐδὲ ἐμποιῆσαί μοι κόρον τῆς συνουσίας ὑμῶν. καὶ τοῦτο δὲ τῆς πολλῆς αὐτοῦ φιλοστοργίας σημεῖον, τὸ τοῖς ῥήμασιν οὕτω θερμῶς κεχρῆσθαι. οὐδὲ γὰρ εἶπε θεάσωμαι, ἀλλ' "ἐμπλησθῶ." τὰ τῶν γονέων μιμούμενος ῥήματα.

Θεοδωρήτου. *Δύο δὲ αἰτίας τῇ πρὸς αὐτοὺς ἀφίξεως τέθεικε, τό, τε τοὺς ἄλλους τὸ κήρυγμα δέξασθαι, καὶ μηδὲν ἔθνος μεῖναι τῆς εὐαγγελικῆς διδασκαλίας ἀνήκοον· καὶ τὸν περὶ αὐτοὺς πόθον. τῶν γὰρ προτέρων κωλυμάτων πεπαυμένων, ὁ πόθος ἐπὶ τὴν ἀποδημίαν ἠρέθιζε. λέγει δὲ τὸν πόθον εἶναι πολλῷ τῆς παρουσίας πρεσβύτερον. ἀπὸ πολλῶν γὰρ ἐτῶν, φησὶν, ἰδεῖν ὑμᾶς ἐπόθουν.*

Γενναδίου. *Τὸ δὲ "ἐμπλησθῶ ἀπὸ μέρους," ἀντὶ τοῦ, κατὰ τὸν ἐνδεχόμενον ἐμπλησθῶ. ἢ τοῦτο εἶπεν, ὡς καὶ αὖθις πρὸς αὐτοὺς ἀφιξόμενος. ἐπείπερ οὐχ ἅπαξ εἰς τὴν Ῥώμην ἀφίκετο ὁ μακάριος Παῦλος.*

25 Νυνὶ δὲ πορεύομαι εἰς Ἱερουσαλὴμ, διακονῶν τοῖς
26 ἁγίοις. εὐδόκησε γὰρ Μακεδονία καὶ Ἀχαΐα κοινωνίαν
τινὰ ποιήσασθαι εἰς τοὺς πτωχοὺς τῶν ἁγίων τῶν Ἱε-
27 ρουσαλήμ· εὐδόκησαν γὰρ, καὶ ὀφειλέται αὐτῶν εἰσίν.

Τοῦ Χρυσορειθρολόγου. *Ἐπειδὴ εἶπεν, ὅτι τόπον οὐκέτι ἔχων ἐν τοῖς κλίμασι τούτοις, καὶ ἐπιποθίαν ἔχω ἐκ πολλῶν ἐτῶν ἐλθεῖν πρὸς ὑμᾶς, ἔμελλε δὲ ἔτι βραδύνειν· ἵνα μὴ νομίζηται διαχλευάζειν αὐτοὺς, λέγει καὶ τὴν αἰτίαν δι' ἣν ἀναβάλλεται τέως. καὶ δοκεῖ μὲν τὴν πρόφασιν λέγειν τῆς μελλήσεως. διὰ δὲ τούτων, καὶ ἕτερόν τι κατασκευάζει, τὸ προτρέψαι ἐκείνους εἰς ἐλεημοσύνην. ἐπεὶ εἰ μὴ τοῦτο ἐβούλετο, ἤρκει εἰπεῖν, ὅτι πορεύομαι εἰς Ἱερουσαλήμ. νυνὶ δὲ καὶ τὴν αἰτίαν προστίθησι τῆς ἀποδημίας. πορεύομαι γάρ, φησιν, διακονῶν τοῖς ἁγίοις. καὶ ἐνδιατρίβει τῷ λόγῳ, καὶ λογισμοὺς κινεῖ λέγων, ὅτι ὀφειλέται εἰσί. καὶ ὅτι εἰ*

τοῖς πνευματικοῖς αὐτῶν ἐκοινώνησαν τὰ ἔθνη, ὀφείλουσι καὶ ἐν τοῖς σαρκικοῖς λειτουργῆσαι. ἵνα μάθωσιν ἐκεῖνοι τούτους ζηλοῦν. διὸ καὶ μάλιστα αὐτοῦ τὴν σοφίαν θαυμάσαι ἄξιον. ὅτι τοῦτον τῆς συμβουλῆς τὸν τρόπον ἐπενόησεν. οὕτω γὰρ μᾶλλον ἠνείχοντο, ἢ εἰ ἐν τάξει παραινέσεως εἶπε. καὶ γὰρ ἔδοξαν ὑβρίζεσθαι, εἰ εἰς πρόσωπον αὐτῶν Κορινθίους παρήγαγεν εἰς μέσον καὶ Μακεδόνας. διὰ δὴ τοῦτο ἐκείνους μὲν οὕτω προτρέπει λέγων, "γνωρίζω δὲ "ὑμῖν τὴν χάριν τοῦ Θεοῦ τὴν δεδομένην ταῖς ἐκκλησίαις τῆς "Μακεδονίας." καὶ Μακεδόνας δὲ διὰ τούτων πάλιν, "ὁ γὰρ ἐξ "ὑμῶν ζῆλος," φησὶν, "ἠρέθισε τοὺς πλείονας." καὶ διὰ Γαλατῶν δὲ ὁμοίως τοῦτο ποιεῖ. ὡς ὅταν λέγῃ, "ὥσπερ διέταξα ταῖς "ἐκκλησίαις τῆς Γαλατίας, οὕτω καὶ ὑμεῖς ποιήσατε." ἐπὶ δὲ Ῥωμαίων, οὐχ οὕτως, ἀλλ' ὑπεσταλμένως μᾶλλον. καὶ σκόπει πῶς μεγαλοπρεπῶς ταῖς λέξεσι κέχρηται. οὐδὲ γὰρ εἶπε, πορεύομαι ἐλεημοσύνην φέρων, ἀλλὰ διακονῶν. εἰ δὲ Παῦλος διακονεῖ, ἐννόησον ἡλίκον τὸ γινόμενον, ὅταν ὁ τῆς οἰκουμένης διδάσκαλος καταδέχηται ἀποκομίζειν. καὶ μέλλων εἰς Ῥώμην ἀποδημεῖν, καὶ οὕτως αὐτοὺς ἐπιποθῶν, τοῦτο ἐκείνου προτιμᾷ. "εὐδόκησε γὰρ "Μακεδονία καὶ Ἀχαΐα." τουτέστιν, ἐδοκίμασαν, "ἐπεθύμησαν "κοινωνίαν τινά." πάλιν οὐκ εἶπεν ἐλεημοσύνην, ἀλλὰ "κοινω- "νίαν." τὸ δὲ "τινὰ," οὐχ ἁπλῶς τέθεικεν, ἀλλ' ἵνα μὴ δόξῃ τούτους ὀνειδίζειν. καὶ οὐκ εἶπεν ἁπλῶς εἰς τοὺς πτωχοὺς, ἀλλ' "εἰς τοὺς πτωχοὺς τῶν ἁγίων." διπλῆν ποιῶν τὴν σύστασιν, καὶ τὴν ἀπὸ τῆς ἀρετῆς, καὶ τὴν ἀπὸ τῆς πενίας. καὶ οὐδὲ τούτῳ μόνῳ ἠρκέσθη, ἀλλ' ἐπήγαγεν ὅτι "ὀφειλέται εἰσί."

Εὐθαλίου. Κοινωνίαν δὲ καλεῖ τὴν ἐλεημοσύνην. καθὸ αὐτοὶ μὲν, χρήματα, οἱ δὲ ἅγιοι τὴν εἰς Θεὸν παρρησίαν συνεισφέρουσιν.

Θεοδωρήτου. "Εἰς τοὺς ἁγίους, τοὺς ἐν Ἱερουσαλήμ." ταύτας, πρὸς τοὺς μακαρίους Ἀποστόλους, Πέτρον φημὶ καὶ Ἰάκωβον, καὶ Ἰωάννην, τὰς συνθήκας ποιούμενοι οἱ θεσπέσιοι Βαρνάβας καὶ Παῦλος, καὶ τὴν τῶν ἐθνῶν διδασκαλίαν ἀναδεξάμενοι, ὑπέσχοντο προτρέπειν τοὺς πιστεύοντας τῶν ἐθνῶν, τῶν ἐν τῇ Ἰουδαίᾳ πιστῶν θεραπεύειν τὴν ἔνδειαν. καὶ τοῦτο ἐν τῇ πρὸς Γάλατας διδάσκει σαφῶς, "Πέτρος γὰρ," ἔφη, "καὶ Ἰάκωβος καὶ Ἰωάννης, οἱ

“ δοκοῦντες στύλοι εἶναι, δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινω-“ νίας, ἵνα αὐτοὶ μὲν εἰς τὴν περιτομὴν, ἡμεῖς δὲ, εἰς τὰ ἔθνη, “ μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν.” ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι. διατί δὲ ἐν τῷ παρόντι, οἱ μὲν πλουτοῦσιν, οἱ δὲ πένονται. ἢ πάντως ἵνα καὶ οἱ πλούσιοι χρηστότητος καὶ πιστῆς οἰκονομίας μισθὸν δέξωνται, καὶ οἱ πένητες τοῖς μεγάλοις ἄθλοις τῆς ὑπομονῆς τιμηθῶσιν.

Εἰ γὰρ τοῖς πνευματικοῖς αὐτῶν ἐκοινώνησαν τὰ ἔθνη, ὀφείλουσι καὶ ἐν τοῖς σαρκικοῖς λειτουργῆσαι αὐτοῖς.

Τοῦ Χρυσοχριστοστόμου. Δείκνυσι πῶς εἰσὶν ὀφειλέται. ὃ δὲ λέγει, τοῦτό ἐστι. δι᾽ αὐτοὺς ἦλθεν ὁ Χριστός· αὐτοῖς ἦν ἅπαντα ἐπηγγελμένα τοῖς ἐξ Ἰουδαίων. ἐξ αὐτῶν ὁ Χριστός· ἐκεῖθεν οἱ Ἀπόστολοι· ἐκεῖθεν οἱ προφῆται· ἐκεῖθεν τὰ ἀγαθὰ πάντα. τούτων οὖν ἁπάντων ἐκοινώνησεν ἡ οἰκουμένη. εἰ τοίνυν ἐν τοῖς μείζοσιν ἐκοινωνήσατε φησὶ, καὶ τῶν δείπνων τῶν ἐκείνοις παρεσκευασμένων, ὑμεῖς εἰσελθόντες ἀπηλαύσατε, κατὰ τὴν τοῦ εὐαγγελίου παραβολὴν, ὀφείλετε καὶ τῶν σαρκικῶν κοινωνῆσαι, καὶ μεταδοῦναι αὐτοῖς. καὶ οὐκ εἶπε κοινωνῆσαι, ἀλλὰ “ λειτουρ-“ γῆσαι.” ἐν τάξει διακόνων αὐτοὺς καθιστὰς, καὶ τῶν βασιλεῦσι τελούντων φόρους. καὶ οὐκ εἶπεν ἐν τοῖς σαρκικοῖς ὑμῶν, ὥσπερ ἐν τοῖς πνευματικοῖς αὐτῶν. τὰ μὲν γὰρ πνευματικὰ, ἐκείνων, τὰ δὲ σαρκικὰ οὐ τούτων μόνων, ἀλλὰ κοινὰ πάντων. τὰ γὰρ χρήματα, πάντων ἐκέλευσεν εἶναι, οὐχὶ τῶν κεκτημένων μόνων.

Θεοδωρήτου. Ὅρα δὲ, ὅπως τὴν τῶν χρημάτων μετάδοσιν, ἄνω μὲν κοινωνίαν, κάτω δὲ λειτουργίαν ἐκάλεσε. τῇ μὲν κοινωνίᾳ, τὴν ἀντίδοσιν ἀποφαίνων, τῇ δὲ λειτουργίᾳ, τὸν ὀφειλόμενον φόρον.

28 Τοῦτο οὖν ἐπιτελέσας, καὶ σφραγισάμενος αὐτοῖς τὸν
καρπὸν τοῦτον, ἀπελεύσομαι δι᾽ ὑμῶν εἰς τὴν Σπανίαν.
29 οἶδα δὲ ὅτι ἐρχόμενος πρὸς ὑμᾶς, ἐν πληρώματι εὐλο-
γίας τοῦ εὐαγγελίου τοῦ Χριστοῦ ἐλεύσομαι.

Τοῦ Χρυσολόγου. “ Σφραγισάμενος,” φησὶν, τουτέστιν, εἰς τὰ βασιλικὰ ταμεῖα ἀποθέμενος, ὡς ἐν ἀσύλῳ καὶ ἀσφαλεῖ χωρίῳ·

καὶ οὐκ εἶπεν ἐλεημοσύνην, ἀλλὰ πάλιν τὸν καρπόν· δεικνὺς, κερδαίνοντας τοὺς παρέχοντας. τῆς Σπανίας δὲ μέμνηται πάλιν, δεικνὺς τὸ ἄοκνον, καὶ τὸ περὶ ἐκείνους θερμόν.

Θεοδωρήτου. "Σφραγισάμενος" φησί. διὰ γὰρ τῶν χειρῶν τῶν ἁγίων τῇ δεξιᾷ τοῦ Θεοῦ τὰ πεμφθέντα παραπέμπω. ἐκεῖνος δὲ, ἀνέπαφα ταῦτα φυλάξει καὶ ἄσυλα. αὐτοῖς δὲ τοῖς Μακεδόσι λέγει καὶ Ἀχαιοῖς.

29 Οἶδα δὲ ὅτι ἐρχόμενος πρὸς ὑμᾶς, ἐν πληρώματι εὐλογίας τοῦ εὐαγγελίου τοῦ Χριστοῦ ἐλεύσομαι.

Γενναδίου. Οἶδα φησὶν, ὅτι πρὸς ὑμᾶς παραγενόμενος, πολλὴν ἐν ὑμῖν τοῦ κατὰ Χριστὸς εὐαγγελίου τὴν παράκλησιν ἕξω τὲ καὶ παρέξω. μυρίων ἐπαίνων ἀξίου τοῦ κατὰ Χριστὸν ὑμῖν εὐαγγελίου τυγχάνοντος. ἶσον δέ ἐστι τούτῳ, τὸ, "τοῦτο δέ ἐστι συμ"παρακληθῆναι ἐν ὑμῖν, διὰ τῆς ἐν ἀλλήλοις πίστεως ὑμῶν τὲ καὶ "ἐμοῦ."

Χρυσοστόμου. Τὸ δὲ, "ἐν πληρώματι εὐλογίας" ἤτοι περὶ χρημάτων φησίν· ἢ περὶ πάντων ἁπλῶς τῶν κατορθωμάτων. εὐλογίαν γὰρ ὡς τὰ πολλὰ, τὴν ἐλεημοσύνην εἴωθε λέγειν. ὡς ὅταν λέγῃ, "ὡς εὐλογίαν καὶ μὴ ὡς πλεονεξίαν." καὶ ἔθος δὲ παλαιὸν οὕτως ἦν καλεῖσθαι τὸ πρᾶγμα. ἐπειδὴ δὲ ἐνταῦθα προσέθηκε "τοῦ "εὐαγγελίου," διὰ τοῦτο φαμὲν οὐ περὶ χρημάτων μόνων εἰρηκέναι, ἀλλὰ καὶ περὶ τῶν ἄλλων ἁπάντων. ὡς ἂν εἰ εἶπεν, οἶδα δὲ ὅτι ἐρχόμενος ὄψομαι ὑμᾶς ἐν ἅπασιν εὐδοκιμοῦντας, καὶ κομῶντας τοῖς ἀγαθοῖς, καὶ μυρίων ἐπαίνων ἀξίους τῶν κατὰ τὸ εὐαγγέλιον. καὶ τοῦτο δὲ εἶδος συμβουλῆς θαυμαστὸν, τὸ προκαταλαμβάνειν αὐτοὺς τοῖς ἐγκωμίοις. ὅταν γὰρ παραιτῆται ἐν τάξει παραινέσεως τοῦτο ποιεῖν, ἐπὶ τοῦτον ἔρχεται τῆς διορθώσεως τὸν τρόπον.

Οἰκουμενίου. Ἢ καὶ οὕτως. οἶδα ὅτι ἐρχόμενος, πρὸς τὸ πληρῶσαι ὑμᾶς τῆς τοῦ εὐαγγελίου εὐλογίας ἐλεύσομαι. ὅ ἐστι, πρὸς ἀρετὴν καὶ πίστιν ὑμᾶς ἀλείψω.

Θεοδωρήτου. Ἢ πλήρωμα εὐλογίας τοῦ εὐαγγελίου, τοὺς ὑπὲρ τοῦ εὐαγγελίου κινδύνους φησὶ, οὓς ἐν Ἱεροσολύμοις ὑπέμεινε. τοῦτο γὰρ δηλοῖ τὸ ἑξῆς.

30 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, διὰ τοῦ Κυρίου Ἰησοῦ
Χριστοῦ, καὶ διὰ τῆς ἀγάπης τοῦ Πνεύματος, συναγω-
νίσασθαί μοι ἐν ταῖς προσευχαῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν
31 Θεὸν, ἵνα ῥυσθῶ ἀπὸ τῶν ἀπειθούντων ἐν τῇ Ἰουδαίᾳ,
καὶ ἵνα ἡ διακονία μου ἡ εἰς Ἱερουσαλὴμ, εὐπρόσδεκτος
32 γένηται τοῖς ἁγίοις· ἵνα ἐν χαρᾷ ἔλθω πρὸς ὑμᾶς, ἐν
33 θελήματι Θεοῦ, καὶ συναναπαύσωμαι ὑμῖν. ὁ δὲ Θεὸς
τῆς εἰρήνης μετὰ πάντων ὑμῶν. ἀμήν.

ΧΡΥΣΟΣΤΟΜΟΥ. Πάλιν ἐνταῦθα τὸν Χριστὸν καὶ τὸ Πνεῦμα προβάλλεται. καὶ οὐδαμοῦ μέμνηται τοῦ Πατρός. ταῦτα δὲ εἶπον, ἵν᾽ ὅταν ἴδῃς αὐτὸν Πατρὸς καὶ Υἱοῦ μεμνημένον, ἢ Πατρὸς μόνου, μήτε τὸν Υἱὸν μήτε Πνεῦμα ἀθετῇς. καὶ οὐκ εἶπε Πνεύματος, ἀλλὰ ἀγάπης Πνεύματος. καθάπερ ὁ Χριστὸς ἠγάπησε τὸν κόσμον καὶ ὁ Πατὴρ, οὕτω καὶ τὸ Πνεῦμα. τί δέ ἐστιν ὃ παρακαλεῖς, εἰπέ μοι, "συναγωνίσασθαί μοι ἐν ταῖς προσευχαῖς "ὑπὲρ ἐμοῦ πρὸς τὸν Θεόν;" μέγας ἄρα ἀγὼν αὐτῷ προὔκειτο. διὸ καὶ τὰς εὐχὰς αὐτῶν καλεῖ. καὶ οὐκ εἶπεν ἵνα συμπλακῶ, ἀλλ᾽ "ἵνα ῥυσθῶ." ὡς ὁ Χριστὸς ἐκέλευσεν εὔχεσθαι μὴ εἰσελθεῖν εἰς πειρασμόν. ταῦτα δὲ λέγων ἐδείκνυ πονηρούς τινας λύκους ἐπιθησομένους αὐτῷ, καὶ θηρία μᾶλλον ἢ ἄνδρας. ἀπὸ δὲ τούτου, καὶ ἕτερον κατεσκεύαζε, τὸ δεῖξαι ὅτι δικαίως ἀνεδέξατο τὸ διακονῆσαι τοῖς ἁγίοις· εἴγε τοσοῦτοι οἱ ἀπειθοῦντες, ὡς καὶ αὐτῶν εὔχεσθαι ῥυσθῆναι. οἱ γὰρ μεταξὺ τοσούτων ὄντες πολεμίων, καὶ λιμῷ ἀπόλλυσθαι ἔμελλον. διὸ ἀναγκαίως ἑτέρωθεν αὐτοῖς ἐκομίζετο. τί δέ ἐστιν, "ἵνα ἡ διακονία μου εὐπρόσδεκτος γένηται τοῖς "ἁγίοις;" ἵνα δεκτὴ γένηταί μου ἡ θυσία. ἵνα μετὰ προθυμίας ὑποδέξωνται τὰ διδόμενα. ὁρᾷς πῶς πάλιν ἐπῆρε τὸ ἀξίωμα τῶν λαμβανόντων· εἴ γε εὐχῶν δεῖται παρὰ δήμου τοσούτου εἰς τὸ δεχθῆναι τὰ πεμπόμενα; ἀπὸ δὲ τούτου δείκνυσι καὶ ἕτερόν τι. ὅτι οὐκ ἀρκεῖ τὸ δοῦναι ἐλεημοσύνην εἰς τὸ δεχθῆναι. ὅταν γὰρ μετὰ ἀνάγκης τίς παρέχῃ, ὅταν ἐξ ἀδικίας, ὅταν πρὸς κενοδοξίαν, οἴχεται ὁ καρπός. ὥσπερ δὲ ἀρχόμενος ἔλεγεν, "εἴ πως ἤδη ποτὲ "εὐοδωθήσομαι ἐν τῷ θελήματι τοῦ Θεοῦ πρὸς ὑμᾶς ἐλθεῖν," οὕτω καὶ ἐνταῦθα ἐπὶ τὸ αὐτοῦ καταφεύγει θέλημα. καὶ φησὶ,

ὅτι διὰ τοῦτο ἐπεύχομαι ῥυσθῆναι ἐκεῖθεν, ἵνα ταχέως ὑμᾶς ἴδω μεθ' ἡδονῆς· μηδεμίαν ἐκεῖθεν ἐπισυρόμενος ἀθυμίαν. καὶ "συν-" "αναπαύσωμαι ὑμῖν." ὅρα πῶς πάλιν τὸ ἄτυφον δείκνυσιν. οὐ γὰρ εἶπε διδάξω ὑμᾶς, καὶ κατηχήσω, ἀλλ' "ἵνα συναναπαύσωμαι "ὑμῖν." καίτοι αὐτὸς ἦν ὁ ἀγωνιζόμενος καὶ πυκτεύων. πῶς οὖν φησὶ "συναναπαύσωμαι;" χαριζόμενος αὐτοῖς κἂν τούτῳ, καὶ προθυμοτέρους ποιῶν, τῷ κοινωνοὺς ποιεῖν τῶν στεφάνων, καὶ δεικνύειν καὶ αὐτοὺς ἀγωνιζομένους καὶ πονοῦντας. εἶτα, ὅπερ ἀεὶ ποιεῖν εἴωθε, τὴν εὐχὴν μετὰ τὴν παραίνεσιν προστίθησι λέγων, "ὁ δὲ Θεὸς τῆς εἰρήνης μετὰ πάντων ὑμῶν, ἀμήν."

Θεοδωρήτου. Θεὸν δὲ εἰρήνης οὐχ ἁπλῶς ἐνταῦθα τὸν Θεὸν προσηγόρευσεν, ἀλλὰ καὶ ὡς αὐτὸς ταύτης δεόμενος, διά τε τοὺς προφανῶς πολεμοῦντας, καὶ τοὺς ὑπόπτως περὶ αὐτὸν διακειμένους· καὶ ἐκείνοις ταύτην ἐπευχόμενος, δι' ἣν εἶχον πρὸς ἀλλήλους ἀμφιβόλους τῶν νομικῶν χάριν παρατηρήσεων. ἀλλὰ ποίαις ἄν τις εὐφημίαις τὴν μακαρίαν ταύτην κεφαλὴν στεφανώσῃ; πρῶτον μὲν γὰρ, καὶ ᾔδει τὰ συμβησόμενα, καὶ προλέγει ταῦτα. καὶ γὰρ ἐν Μιλήτῳ τοῖς Ἐφεσίων ἔλεγε πρεσβυτέροις, "ὅτι κατὰ "πόλιν διαμαρτύρεταί μοι τὸ Πνεῦμα, ὅτι δεσμά με καὶ θλίψεις "μένουσι." καὶ τοῦ Ἀγάβου δὲ ταῦτα αὐτῷ προσειπόντος, καὶ πάντων ὀδυρομένων, καὶ ἐπισχεῖν αὐτὸν πειρωμένων, ὁ θεῖος εἶπεν ἀνήρ· "τί κλαίετε καὶ συνθρύπτετέ μου τὴν καρδίαν; ἐγὼ γὰρ "οὐ μόνον δεθῆναι, ἀλλὰ καὶ ἀποθανεῖν ἕτοιμος εἰμὶ, ὑπὲρ τοῦ "ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ." καὶ ἐνταῦθα προείρηκεν, ὅτι καὶ Ῥωμαίους ὄψεται καὶ Ἰσπανούς. προσέθηκε δὲ ὅτι καὶ ἐν πληρώματι εὐλογίας τοῦ εὐαγγελίου τοῦ Χριστοῦ ἐλεύσεται. εἶτα ὡς ἀκριβῶς θεωρῶν καὶ τὴν τῶν Ἰουδαίων μανίαν, καὶ τὰς τούτων ἐζήτησε προσευχάς· οὐ μόνον ἕνεκα τῶν ἀπειθούντων, ἀλλὰ καὶ τῶν πιστευόντων. οὐδὲ γὰρ ἐκεῖνοι περὶ αὐτὸν φιλοστόργως διέκειντο, παραβάτην εἶναι τοῦ νόμου νομίζοντες. οὗ δὲ χάριν, προστέθεικε, "καὶ ἵνα ἡ διακονία μου ἡ εἰς Ἱερουσαλὴμ εὐπρόσ- "δεκτος γένηται τοῖς ἁγίοις." μετὰ μυρίων αὐτὰ συνέλεξε πόνων· παντοδαπὰς τοῖς μαθηταῖς παραινέσεις προσφέρων, καὶ τοὺς δεχομένους ἀγωνιᾷ, μὴ τὸ μῖσος νικήσῃ τὴν χρεῖαν.

Θεοδώρου. Διδάσκει δὲ διὰ τούτων μετριάζειν, εἴγε καὶ αὐτὸς Ἀπόστολος ὢν, τῆς ἄλλων φησὶ δεῖσθαι εὐχῆς.

Εὐθαλίου. Καὶ ὅρα τὸ ἄτυφον αὐτοῦ. οὐ γὰρ εἶπε διδάξω ὑμᾶς, ἢ κατηχήσω, ἀλλὰ "συναναπαύσωμαι." τουτέστιν, ὑμεῖς ἐμοὶ διὰ τὴν διδασκαλίαν, κἀγὼ ὑμῖν διὰ τὴν τῆς πίστεως ἐπίδοσιν. ἀλλὰ καὶ ὡς μὴ αὐτὸς ὢν ἀξιόχρεως πρὸς τὸ πεῖσαι, διὰ τοῦ Χριστοῦ ὑμᾶς, φησὶ, καὶ τοῦ Ἁγίου Πνεύματος παρακαλῶ.

1 Συνίστημι δὲ ὑμῖν Φοίβην τὴν ἀδελφὴν ἡμῶν, διά-
2 κονον οὖσαν τῆς ἐκκλησίας τῆς ἐν Κεγχρεαῖς. ἵνα αὐτὴν
προσδέξησθε ἐν Κυρίῳ, ἀξίως τῶν ἁγίων, καὶ παρα-
στῆτε αὐτῇ ἐν ᾧ ἂν ὑμῶν χρῄζῃ πράγματι· καὶ γὰρ
αὕτη προστάτις πολλῶν ἐγενήθη, καὶ αὐτοῦ ἐμοῦ.

Χρυσοστόμου. Ὅρα διὰ πόσων αὐτὴν σεμνύνει. καὶ γὰρ πρὸ τῶν ἄλλων αὐτῆς ἐμνήσθη πάντων, καὶ ἀδελφὴν ἐκάλεσεν. οὐ μικρὸν δὲ Παύλου κληθῆναι ἀδελφήν. καὶ τὸ ἀξίωμα προστέθεικε, διάκονον εἰπών. τί ἐστιν "ἐν Κυρίῳ;" τουτέστι, διὰ τὸν Κύριον. ἵνα τιμῆς ἀπολαύσῃ παρ' ὑμῖν. ὁ γὰρ διὰ τὸν Κύριον δεχόμενος, κἂν μὴ μέγαν τινὰ δέξηται, μετὰ σπουδῆς δέχεται. ὅταν δὲ καὶ ἁγίαν, ἐννόησον ἡλίκης αὐτὴν ἀπολαῦσαι δίκαιον θεραπείας. διὰ τοῦτο προσέθηκεν, "ἀξίως τῶν ἁγίων." ὡς δεῖ, φησιν, τοὺς τοιούτους ὑποδέχεσθαι. διπλῆν γὰρ ἔχει ἀφορμὴν τοῦ θεραπευθῆναι παρ' ὑμῖν. καὶ τὸ, διὰ τὸν Κύριον δεχθῆναι, καὶ τὸ, αὐτὴν ἁγίαν εἶναι. ὅρα δὲ τὸ ἀνεπαχθές. οὐκ εἶπεν ἵνα αὐτὴν ἀπαλλάξητε ἐκ τῶν πειρασμῶν, ἀλλὰ "παραστῆτε." τουτέστι, τὰ παρ' ὑμῶν εἰσενέγκητε, καὶ χεῖρα ὀρέξητε. "καὶ ἐν ᾧ ἂν ὑμῶν χρῄζῃ πρά- "γματι." οὐκ ἐν οἷς ἂν, ἢ πάντως, ἀλλ' ἐν οἷς ἂν ὑμῶν δέηται. δεήσεται δὲ ἐν ἐκείνοις, ἐν οἷς ἂν ὑμεῖς ἦτε κύριοι. εἶτα πάλιν ὁ ἔπαινος ἄφατος. "καὶ γὰρ αὕτη προστάτις πολλῶν ἐγενήθη καὶ "αὐτοῦ ἐμοῦ." εἶδες τὴν σύνεσιν; πρῶτον τὰ ἐγκώμια. εἶτα, μέσην τὴν παράκλησιν. εἶτα πάλιν τὰ ἐγκώμια τέθεικεν. ἑκατέρωθεν περιστέλλων τὴν χρείαν τοῖς ἐπαίνοις τῆς γυναικὸς, τῆς μακαρίας ἐκείνης. πῶς γὰρ οὐ μακαρία, ἡ τοσαύτης ἀπολαύουσα παρὰ Παύλου μαρτυρίας; ἡ καὶ αὐτῷ βοηθῆσαι δυνηθεῖσα τῷ

τὴν οἰκουμένην διορθωσαντι; τοσοῦτος γὰρ ὁ κολοφὼν αὐτῆς τῶν ἀγαθῶν. διὸ καὶ ὕστερον αὐτὸ τέθεικε, λέγων, "καὶ αὐτοῦ ἐμοῦ." τουτέστι, τοῦ κήρυκος τῆς οἰκουμένης. τοῦτο τοσαῦτα παθόντος, τοῦ μυρίοις ἀρκοῦντος.

Θεοδωρήτου. Αἱ δὲ Κεγχρεαὶ κώμη τίς ἐστι τῆς Κορινθίας μεγίστη. ἄξιον τοίνυν θαυμάσαι τοῦ κηρύγματος τὴν ἰσχύν. ἐν ὀλίγῳ γὰρ χρόνῳ οὐ μόνον τὰς πόλεις, τῆς εὐσεβείας, ἀλλὰ καὶ τὰς κώμας ἐπλήρωσε. καὶ τοσοῦτον ἦν τῆς τῶν Κεγχρεῶν ἐκκλησίας τὸ σύστημα, ὡς καὶ γυναῖκα διάκονον ἔχειν, καὶ ταύτην, ἀοίδιμόν τε καὶ πολυθρύλλητον. τοσοῦτον γὰρ εἶχε πλοῦτον κατορθωμάτων, ὡς καὶ παρὰ τῆς ἀποστολικῆς γλώττης τοιαύτας εὐφημίας καρπώσασθαι. προστασίαν δὲ ὡς οἶμαι λέγει, τὴν φιλοξενίαν καὶ κηδεμονίαν.

3 Ἀσπάσασθε Πρίσκιλλαν καὶ Ἀκύλαν τοὺς συνερ-
4 γούς μου ἐν Χριστῷ Ἰησοῦ· οἵτινες ὑπὲρ τῆς ψυχῆς
μου τὸν ἑαυτῶν τράχηλον ὑπέθηκαν· οἷς οὐκ ἐγὼ μόνος
εὐχαριστῶ, ἀλλὰ καὶ πᾶσαι αἱ ἐκκλησίαι τῶν ἐθνῶν.
5 καὶ τὴν κατ' οἶκον αὐτῶν ἐκκλησίαν.

Χρυσοστόμου. Τῆς γυναικὸς ταύτης καὶ τοῦ ἀνδρὸς τὴν ἀρετὴν, καὶ ὁ Λουκᾶς μαρτυρεῖ. τοῦτο μὲν, ὅταν λέγῃ, "ἔμεινε παρ' "αὐτοῖς ὁ Παῦλος. ἦσαν γὰρ σκηνοποιοὶ τὴν τέχνην." τοῦτο δὲ, ὅταν δεικνύῃ τὴν γυναῖκα τὸν Ἀπολλὼ προσλαμβανομένην καὶ κατηχήσασαν τὴν ὁδὸν τοῦ Κυρίου. μεγάλα μὲν οὖν κἀκεῖνα. πολλῷ δὲ μείζονα ἃ φησιν Παῦλος. πρῶτον γὰρ συνεργοὺς αὐτοὺς καλεῖ· τῶν ἀφάτων πόνων καὶ τῶν κινδύνων δεικνὺς κοινωνούς. ἔπειτα φησίν, "ὅτι ὑπὲρ τῆς ψυχῆς μου τὸν ἑαυτῶν τράχηλον ὑπέθηκαν." εἶδες μάρτυρας ἀπηρτισμένους; καὶ γὰρ εἰκὸς ἐπὶ Νέρωνος μυρίους εἶναι τοὺς κινδύνους, ὅτε καὶ διετάξατο πάντας χωρίζεσθαι ἀπὸ τῆς Ῥώμης τοὺς Ἰουδαίους. εἰπὼν δὲ, "οἷς οὐκ ἐγὼ μόνος "εὐχαριστῶ, ἀλλὰ καὶ πᾶσαι αἱ ἐκκλησίαι τῶν ἐθνῶν," δείκνυσι τὴν φιλοξενίαν καὶ τὴν ἀπὸ τῶν χρημάτων λειτουργίαν. θαυμάζων αὐτοὺς ὅτι καὶ τὸ αἷμα αὐτῶν ἐξέχεαν, καὶ τὴν θυσίαν κοινὴν προέθηκαν ἅπασιν. ἵνα γὰρ μὴ δόξῃ κολακεύειν, λέγων ταῦτα, καὶ ἄλλους μάρτυρας ἄγει πολλῷ πλείους. οὕτω δὲ ἦσαν εὐδόκιμοι,

ὅτι καὶ τὸν οἶκον αὐτῶν ἐκκλησίαν ἐποίησαν. διά τε τὸ πάντας ποιῆσαι πιστοὺς, καὶ διὰ τὸ τοῖς ξένοις αὐτὸν ἀνεῖσθαι πᾶσιν. οὐδὲ γὰρ ἁπλῶς εἴωθεν οἰκίας, ἐκκλησίας καλεῖν, εἰ μὴ πολλὴ ἡ εὐλάβεια, καὶ πολὺς ὁ τοῦ Θεοῦ φόβος ἐρριζωμένος ἐν αὐτῇ εἴη. διὰ τοῦτο καὶ Κορινθίοις ἔλεγεν, "ἀσπάσασθε Ἀκύλαν καὶ Πρίσ-"κιλλαν σὺν τῇ κατ' οἶκον αὐτῶν ἐκκλησίᾳ." ἔνι γὰρ καὶ ἐν γάμῳ ὄντα, θαυμαστὸν εἶναι καὶ γενναῖον. οἷοι καὶ οὗτοι ἐτύγχανον· καίτοι καὶ τὸ ἐπιτήδευμα εὐτελὲς ἔχοντες. σκηνοποιοὶ γὰρ ἦσαν.

Θεοδωρήτου. Διὸ καὶ τὸ, "ἐν Χριστῷ Ἰησοῦ" προστέθεικεν ὁ Ἀπόστολος, μετὰ τὸ συνεργοὺς αὐτοὺς καλέσαι. ἵνα μή τις ὑπολάβῃ τὴν κοινωνίαν τῆς τέχνης αἰνίττεσθαι, ὡς καὶ αὐτῶν ὄντων σκηνοποιῶν. ἀσπάζεται δὲ καὶ τὴν κατ' οἶκον αὐτῶν ἐκκλησίαν, δηλοῦντος τοῦ λόγου τὴν τῆς εὐσεβείας αὐτῶν ὑπερβολήν. πάντας γὰρ ὡς εἰκὸς τοὺς οἰκείους τὴν ἄκραν ἀρετὴν ἐδίδαξαν, καὶ τὰς θείας λειτουργίας ἔνδον ἐπετέλουν προθύμως. τὴν δὲ Πρίσκιλλαν, καὶ Πρίσκαν ἐστὶν εὑρεῖν ἐν τοῖς βιβλίοις λεγομένην.

Θεοδώρου. Διὰ μέντοι τῶν ἀσπασμῶν ὁ μέγας Παῦλος αὔξει τὴν διάθεσιν· διὰ δὲ τῆς τῶν ὀνομάτων μνήμης, διδάσκει ὅτι χρὴ μὴ δὲ ἀπόντων τῶν φίλων ἐπιλανθάνεσθαι.

Ἀσπάσασθε Ἐπαινετὸν τὸν ἀγαπητόν μου, ὅς ἐστιν ἀπαρχὴ τῆς Ἀχαΐας εἰς Χριστόν.

Χρυσοστόμου. Ἄξιον ἐντεῦθεν ἰδεῖν πῶς ἑκάστῳ τοὺς ἐπαίνους ἀπονέμει διαφόρως. οὐ γὰρ μικρὸς οὗτος ὁ ἔπαινος, ἀλλὰ καὶ σφόδρα μέγας, καὶ πολλῆς ἀρετῆς ἐνδεικτικὸς, τὸ, Παῦλον ἔχειν ἀγαπητόν· Παῦλον, τὸν οὐκ εἰδότα χάριτι, ἀλλὰ κρίσει φιλεῖν. εἶτα καὶ ἄλλο ἐγκώμιον, "ὅς ἐστιν ἀπαρχὴ τῆς Ἀχαΐας." ἢ γὰρ τοῦτο φησὶν, ὅτι τῶν ἄλλων ἁπάντων προεπήδησε καὶ ἐπίστευσεν. ὅπερ, οὐ μικρὸς ἔπαινος. ἢ ὅτι τῶν ἄλλων ἁπάντων, πλείονα ἐπιδείκνυται τὴν εὐλάβειαν. διὰ τοῦτο εἰπὼν, ὅτι ἔστιν "ἀπαρχὴ τῆς "Ἀχαΐας," οὐκ ἐσίγησεν, ἵνα μὴ τὴν κοσμικὴν ὑποπτεύσῃς δόξαν, ἀλλὰ προσέθηκεν, "εἰς Χριστόν." εἰ γὰρ ἐν τοῖς πολιτικοῖς πράγμασιν ὁ πρωτεύων μέγας εἶναι δοκεῖ καὶ λαμπρὸς, πολλῷ μᾶλλον ἐν τούτοις. ἐπεὶ οὖν εἰκὸς ἦν αὐτὸν ταπεινοῦ γένους εἶναι, λέγει τὴν ἀληθῆ εὐγένειαν καὶ τὴν προεδρίαν. ἐντεῦθεν αὐτὸν κοσμῶν· καὶ οὐχὶ Κορίνθου μόνον, ἀλλὰ καὶ ὁλοκλήρου ἔθνους φη-

σὶν αὐτὸν ἀπαρχὴν εἶναι. ὡσανεὶ, θύραν καὶ εἴσοδον τοῖς ἄλλοις γεγενημένον. οὐ μικρὸς δὲ τοῖς τοιούτοις ὁ μισθός. καὶ γὰρ καὶ τῶν ἑτέροις κατωρθωμένων, πολλὴν καρπώσεται τὴν ἀμοιβὴν ὁ τοιοῦτος. ἅτε καὶ ἐκείνοις πολὺ διὰ τῆς ἀρχῆς συνεισενεγκών.

6 Ἀσπάσασθε Μαρίαν, ἥτις πολλὰ ἐκοπίασεν εἰς ὑμᾶς.

Χρυσοστόμου. Ἄλλη πάλιν γυνὴ στεφανοῦται, καὶ ἀνακηρύττεται, ἀπὸ τῶν ὑπὲρ τῆς ἀληθείας ἱδρώτων. "ἥτις," φησὶν, "πολλὰ "ἐκοπίασεν," οὐκ εἰς ἑαυτὴν μόνον, οὐδὲ εἰς τὴν οἰκείαν ἀρετὴν, ὃ πολλαὶ καὶ νῦν ποιοῦσι γυναῖκες, νηστεύουσαι, χαμευνοῦσαι, ἀλλὰ καὶ εἰς ἑτέρους· Ἀποστόλων καὶ Εὐαγγελιστῶν ἀναδεξαμένη δρόμους. πῶς οὖν φησιν, "γυναικὶ διδάσκειν οὐκ ἐπιτρέπω;" τῆς ἐν τῷ μέσῳ προεδρίας αὐτὴν κωλύων, καὶ θρόνου τοῦ ἐν τῷ βήματι, οὐ τοῦ λόγου τῆς διδασκαλίας. ἐπεὶ εἰ τοῦτο ἦν, πῶς ἔλεγε τῇ τὸν ἄπιστον ἄνδρα ἐχούσῃ;" "τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα "σώσεις;" πῶς ἐπέτρεπε παῖδας νουθετεῖν; "σωθήσεται δὲ διὰ "τῆς τεκνογονίας. ἐὰν ἐπιμένωσι τῇ πίστει, καὶ τῇ ἀγάπῃ, καὶ τῷ ἁγιασμῷ μετὰ σωφροσύνης." πῶς ἡ Πρίσκιλλα τὸν Ἀπολλὼ κατήχει; οὐ τοίνυν τὴν ἰδίᾳ διάλεξιν γινομένην, ἐπ' ὠφελείᾳ διακόπτων, τοῦτο ἔλεγεν, ἀλλὰ τὴν ἐν κοινῷ θεάτρῳ διδασκάλοις πρέπουσαν. καὶ ὅταν πάλιν πιστὸς ὁ ἀνὴρ ᾖ, σφόδρα τὲ ἀπηρτισμένος, καὶ διδάσκειν αὐτὴν δυνάμενος, ὡς ἂν αὐτὴ σοφωτέρα ᾖ, οὐ κωλύει διδάσκειν καὶ διορθοῦν. καὶ οὐκ εἶπεν ἥτις πολλὰ ἐδίδαξεν, ἀλλ' "ἥτις πολλὰ ἐκοπίασε." δεικνὺς ὅτι μετὰ τοῦ λόγου καὶ ἕτερα διηκονεῖτο, τὰ ἀπὸ τῶν κινδύνων, τὰ ἀπὸ τῶν χρημάτων, τὰ ἀπὸ τῶν ἀποδημιῶν. λεόντων γὰρ θερμότεραι αἱ τότε γυναῖκες ἦσαν, διανεμόμεναι πρὸς τοὺς Ἀποστόλους τοὺς τοῦ κηρύγματος πόνους. διὰ τοῦτο καὶ συναπεδήμουν αὐτοῖς, καὶ τὰ ἄλλα πάντα διηκονοῦντο. καὶ ἐπὶ τοῦ Χριστοῦ δὲ, ἠκολούθουν αἱ γυναῖκες, ἐκ τῶν ὑπαρχόντων αὐταῖς διακονούμεναι, καὶ θεραπεύουσαι τὸν διδάσκαλον.

7 Ἀσπάσασθε Ἀνδρόνικον καὶ Ἰουνίαν τοὺς συγγενεῖς καὶ συναιχμαλώτους μου· οἵτινες εἰσὶν ἐπίσημοι ἐν τοῖς Ἀποστόλοις, οἳ καὶ πρὸ ἐμοῦ γεγόνασιν ἐν Χριστῷ.

Χρυσοστόμου. Δοκεῖ μὲν καὶ τὸ "συγγενεῖς" αὐτοῦ καλέσαι, ἐγκώμιον εἶναι. τὸ δὲ "καὶ συναιχμαλώτους," πολλῷ μεῖζον. καὶ ποῦ γέγονεν αἰχμάλωτος Παῦλος; ἵνα εἴπῃ "τοὺς συναιχμαλώτους μου." αἰχμάλωτος μὲν οὐκ ἐγένετο· αἰχμαλώτων δὲ χαλεπώτερα ἔπασχεν. οὐ πατρίδος ἀλλοτριούμενος μόνον καὶ οἰκίας, ἀλλὰ καὶ λιμῷ παλαίων, καὶ θανάτῳ διηνεκεῖ, καὶ μυρίοις ἑτέροις δεινοῖς. ἐπεὶ οὖν καὶ τούτοις εἰκὸς ἦν αὐτῷ πολλῶν κοινωνῆσαι κινδύνων, συναιχμαλώτους αὐτοὺς καλεῖ. εἶτα, ἕτερος ἔπαινος. "οἵτινες εἰσὶν ἐπίσημοι ἐν τοῖς Ἀποστόλοις." καὶ τὸ, Ἀποστόλους εἶναι, μέγα. τὸ δὲ καὶ ἐν τούτοις ἐπισήμους εἶναι, ἐννόησον ἡλίκον ἐγκώμιον. ἐπίσημοι δὲ ἦσαν, ἀπὸ τῶν κατορθωμάτων. βαβαὶ πόση τῆς γυναικὸς ταύτης ἡ φιλοσοφία· ὡς καὶ τῆς τῶν Ἀποστόλων ἀξιωθῆναι προσηγορίας. καὶ οὐδὲ ἐνταῦθα ἵσταται, ἀλλὰ καὶ ἕτερον ἐγκώμιον προστίθησι λέγων, "οἳ καὶ πρὸ ἐμοῦ γεγόνασιν ἐν Χριστῷ." καὶ γὰρ καὶ τοῦτο ἔπαινος μέγιστος, τὸ προπηδῆσαι καὶ πρὸ τῶν ἄλλων ἐλθεῖν. σκόπει δέ μοι τὴν ἁγίαν ψυχὴν, πῶς κενοδοξίας ἦν καθαρά; μετὰ γὰρ τοσαύτην καὶ τηλικαύτην δόξαν, ἑτέρους ἑαυτοῦ προτίθησι· καὶ οὐκ ἀποκρύπτεται τὸ, ὕστερος αὐτῶν ἐλθεῖν.

8 Ἀσπάσασθε Ἀμπλίαν τὸν ἀγαπητόν μου ἐν Κυρίῳ.

Χρυσοστόμου. Πάλιν τοῦτον ἀπὸ τῆς ἀγάπης ἐγκωμιάζει. ἡ γὰρ ἀγάπη Παύλου, διὰ τὸν Θεὸν ἦν, μυρία ἔχουσα ἀγαθά. εἰ γὰρ τὸ παρὰ βασιλέως ἀγαπᾶσθαι μέγα, τὸ παρὰ Παύλου φιλεῖσθαι ἡλίκον ἐγκώμιον; οὐδὲ γὰρ ἂν εἰ μὴ πολλὴν ἀρετὴν ἐκέκτητο, εἰς ἔρωτα αὐτὸν ἐπεσπάσατο. διὸ ἐν Κυρίῳ ἀγαπητὸν αὐτὸν προσηγόρευσεν. ὅπερ κατορθωμάτων δηλωτικόν.

9 Ἀσπάσασθε Οὐρβανὸν τὸν συνεργὸν ἡμῶν ἐν Χριστῷ, καὶ Στάχυν τὸν ἀγαπητόν μου.

Χρυσοστόμου καὶ Θεοδωρήτου. Τὸ, συνεργὸν εἰπεῖν τῶν τοῦ Χριστοῦ κηρυγμάτων καὶ ἀγώνων, μεῖζον ἐγκώμιον. καὶ γὰρ τὸ ἀγαπητὸν περιέχει.

10 Ἀσπάσασθε Ἀπελλῆν τὸν δόκιμον ἐν Χριστῷ.

Χρυσοστόμου. Οὐδὲν τούτου τοῦ ἐπαίνου ἴσον· τοῦ, ἄληπτον εἶναι, καὶ μηδεμίαν παρέχειν λαβὴν ἐν τοῖς κατὰ Θεὸν πράγμασιν. ὅταν γὰρ εἴπῃ "τὸν δόκιμον ἐν Χριστῷ," πᾶσαν ἀρετὴν

καταλέγει. καὶ τίνος ἕνεκεν οὐδαμοῦ, τὸν Κύριον μου, φησὶν, τὸν δεῖνα· ἢ τὸν δεσπότην μου; ὅτι ταῦτα ἐκείνων μείζονα τὰ ἐγκώμια. ἐκεῖνα μὲν γὰρ, τιμῆς ἐστι μόνον, ταῦτα δὲ, ἀρετῆς. καὶ τούτῳ δὲ αὐτῷ τετίμηκεν αὐτούς· οὐχ ὡς ἔτυχε τῷ πολλοὺς τῶν καταδεεστέρων, μετὰ τῶν ὑψηλοτέρων καὶ μεγάλων προσαγορεύειν. τῷ μὲν γὰρ προσειπεῖν, καὶ μετ' ἀλλήλων προσειπεῖν, καὶ ἐν τῇ αὐτῇ ἐπιστολῇ, πάντας ὁμοίως ἐτίμησε. τῷ δὲ τὰ ἰδιάζοντα ἑκάστου θεῖναι ἐγκώμια, τὴν ἰδιάζουσαν ἑκάστου παρέστησεν ἡμῖν ἀρετήν. ὡς μήτε φθόνον τεκεῖν, τῷ τοὺς μὲν τιμῆσαι, τοὺς δὲ, ἀτιμάσαι. μήτε ῥαθυμίαν καὶ σύγχυσιν ἐργάσασθαι, ἐκ τοῦ πάντας τῶν αὐτῶν ἀξιῶσαι, οὐ τῶν αὐτῶν ὄντας ἀξίους.

11 Ἀσπάσασθε τοὺς ἐκ τῶν Ἀριστοβούλων. καὶ Ἡρωδίωνα τὸν συγγενῆ μου. καὶ τοὺς ἐκ τῶν Ναρκίσσου, τοὺς ὄντας ἐν Κυρίῳ.

Τοῦ Χρυσοστόμου. Τούτους εἰκὸς ἴσως μὴ τοιούτους εἶναι, οἵους τοὺς ἔμπροσθεν. διὸ οὐδὲ ὀνομαστὶ τῶν πάντων μέμνηται. καὶ τὸ προσῆκον μόνον αὐτοῖς ἀποδίδωσιν ἐγκώμιον, τὸ, πιστοὺς εἶναι. τοῦτο γάρ ἐστι "τοὺς ὄντας ἐν Κυρίῳ."

Θεοδωρήτου. Δῆλον δὲ, ὡς οἰκίαι ἦσαν πεπιστευκυῖαι. περὶ δέ γε "τῶν ἐκ τῶν Ναρκίσσου," φησὶν, "τοὺς ὄντας ἐν Κυρίῳ." ὡς ὄντας δήπουθεν καὶ ἄλλων οὐδέπω τοῦτο γεγενημένων.

12 Ἀσπάσασθε Τρύφαιναν καὶ Τρυφῶσαν, τὰς κοπιώσας ἐν Κυρίῳ.

Θεοδωρήτου. Περὶ μὲν τῆς Μαρίας ἔφη, "ὅτι ἐκοπίασεν εἰς "ὑμᾶς." περὶ δὲ τούτων, ὅτι ἔτι κοπιῶσιν. οὐ μικρὸν δὲ τοῦτο ἐγκώμιον, τὸ, ἐνεργοὺς εἶναι διόλου. καὶ μὴ μόνον ἐνεργοὺς, ἀλλὰ καὶ κοπιᾶν. κόπον δὲ, τὸν τῆς φιλοξενίας λέγει, ἢ νηστείας, ἢ ἄλλης τινὸς ἀρετῆς.

Ἀσπάσασθε Περσίδα τὴν ἀγαπητήν. ἥτις πολλὰ ἐκοπίασεν ἐν Κυρίῳ.

Χρυσοστόμου. Ἀγαπητὴν, τὴν Περσίδα καλεῖ. δεικνὺς αὐτὴν μείζονα τούτων οὖσαν. καὶ πολὺν αὐτῇ μαρτυρεῖ κάματον. οὕτως οἶδεν ἕκαστον κατὰ τὴν ἀξίαν ὀνομάζειν. τούτους τε προθυμοτέρους

ποιῶν, τῷ μηδενὸς τῶν προσόντων αὐτοὺς ἀποστερεῖν, ἀλλὰ καὶ τὴν μικροτάτην ὑπεροχὴν ἀνακηρύττειν, τούς τε ἑτέρους, σπουδαιοτέρους κατασκευάζων, καὶ εἰς τὸν αὐτὸν ἐνάγων ζῆλον τοῖς περὶ τούτων ἐγκωμίοις.

13 Ἀσπάσασθε Ῥοῦφον τὸν ἐκλεκτὸν ἐν Κυρίῳ, καὶ τὴν μητέρα αὐτοῦ καὶ ἐμοῦ.

Χρυσοστόμου. *Ὁλόκληρα πάλιν ἐνταῦθα τὰ ἀγαθά. ὅταν καὶ ὁ παῖς τοιοῦτος ᾖ, καὶ ἡ μήτηρ τοιαύτη, καὶ πλήρης ἡ οἰκία εὐλογίας, καὶ ἡ ῥίζα τῷ καρπῷ συμβαίνει. οὐδὲ γὰρ ἁπλῶς εἶπεν ἂν "μητέρα αὐτοῦ καὶ ἐμοῦ," εἰ μὴ πολλὴν ἐμαρτύρει τῇ γυναικὶ τὴν ἀρετήν.*

Θεοδωρήτου. *Ἀξιέραστος δὲ καὶ ὁ τοῦ Ῥούφου ἔπαινος. "πολλοὶ γάρ εἰσι κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί." καὶ τὴν τούτου δὲ μητέρα πολλοῖς ἐλάμπρυνεν ἀρετῆς κατορθώμασι. οὐ γὰρ ἂν ἄλλως ἠξιώθη Παύλου μήτηρ ὀνομασθῆναι. τοῦ μὲν γὰρ Ῥούφου, ἡ φύσις αὐτὴν ἀπέφηνε μητέρα· τοῦ δὲ Παύλου, τῆς ἀρετῆς τὸ αἰδέσιμον.*

14 Ἀσπάσασθε Ἀσύγκριτον, Φλέγοντα, Ἑρμᾶν, Πατροβᾶν, Ἑρμῆν, καὶ τοὺς σὺν αὐτοῖς ἀδελφούς.

Θεοδωρήτου. *Ἄλλη αὕτη συνοικία πιστῶν, τῆς Παύλου προσηγορίας ἀξία.*

Χρυσοστόμου. *Ἐνταῦθα δὲ μὴ τοῦτο ἴδῃς ὅτι χωρὶς ἐγκωμίων αὐτοὺς τίθησι, ἀλλ' ὅτι σφόδρα ὡς ἔοικε καταδεεστέρους ὄντας ἁπάντων, οὐκ ἀπηξίωσε τῆς παρ' αὐτοῦ προσρήσεως. μᾶλλον δὲ οὐδὲ μικρὸν καὶ τοῦτο ἐγκώμιον, τὸ καὶ ἀδελφοὺς αὐτοὺς καλεῖν. ὥσπερ οὖν καὶ τοὺς μετ' αὐτοὺς, ἁγίους. "ἀσπάσασθε," γάρ φησιν, "Φιλόλογον καὶ Ἰουλίαν, Νηρέα, καὶ τὴν ἀδελφὴν "αὐτοῦ, καὶ Ὀλυμπᾶν, καὶ τοὺς σὺν αὐτοῖς πάντας ἁγίους."*

Χρυσοστόμου. *Τὸ γὰρ ἁγίους αὐτοὺς καλέσαι, μέγιστον ἦν ἀξίωμα καὶ τιμῆς ἄφατον μέγεθος. καὶ οὗτοι δὲ πάλιν κατὰ ταυτὸν διάγοντες, δι' ἣν εἶχον ἀρετὴν, τῆς ἀποστολικῆς προσρήσεως ἔτυχον.*

16 Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ.

῞Ινα μηδεμία φιλονεικία γένηται. τῷ τοὺς μὲν, οὕτως προειρῆσθαι, τοὺς δὲ, οὕτως. καὶ τοὺς μὲν, ὀνομαστὶ, τοὺς δὲ, ἀδιορίστως. καὶ τοὺς μὲν, μετὰ πλειόνων ἐγκωμίων, τοὺς δὲ, μετὰ ἐλαττόνων. ἀνακιρνᾷ πάλιν αὐτοὺς τῇ τῆς ἀγάπης ἰσοτιμίᾳ, καὶ τῷ ἁγίῳ φιλήματι. διὰ τῆς εἰρήνης ταύτης, πάντα ἐκβάλλων θορυβοῦντα αὐτοὺς λογισμὸν, καὶ μικροψυχίας ἀφορμήν. ἵνα μήτε ὁ μέγας καταφρονῇ τοῦ ἐλάττονος· μήτε ὁ μικρὸς βασκαίνῃ τῷ μείζονι. ἀλλὰ καὶ ὑπεροψία καὶ φθόνος ἀπελαύνηται, τοῦ φιλήματος τούτου πάντα καταπραΰνοντός τε καὶ ἐξισοῦντος.

Θεοδωρήτου. Καὶ ἐπειδὴ ἀπὼν αὐτὸς αὐτοὺς οὐκ ἠδύνατο περιπτύξασθαι, δι᾽ αὐτῶν τοῦτο ποιεῖ. παρακελευσάμενος αὐτοῖς ἀλλήλους ἀσπάσασθαι, καὶ ἀσπάσασθαι "ἐν φιλήματι ἁγίῳ," σεμνῷ, καὶ σώφρονι, καὶ εἰλικρινεῖ, καὶ παντὸς ἀπηλλαγμένῳ δόλου.

᾿Ασπάζονται ὑμᾶς αἱ ἐκκλησίαι τοῦ Χριστοῦ.

Χρυσοστόμου. ῞Ινα πᾶσαν ὡς εἴπομεν περιέλῃ φιλονεικίαν, οὐ μόνον αὐτοὺς ἀλλήλους ἀσπάσασθαι κοινῶς, ἀλλ᾽ οὐ διῃρημένως κελεύει, ἀλλὰ καὶ τὸν παρὰ τῶν ἐκκλησιῶν ἀσπασμὸν, κοινῶς αὐτοῖς διαπέμπεται. "ἀσπάζονται," λέγων, "αἱ ἐκκλησίαι τοῦ "Χριστοῦ." οὐκέτι τὸν δεῖνα καὶ τὸν δεῖνα κατ᾽ ἰδίων, ἀλλὰ κοινῶς πάντας. ἀλλ᾽ ἐπειδὴ τινὲς ἐζήτησαν πολλάκις, τί δήποτε ἐν τῇ ᾿Επιστολῇ ταύτῃ τοσούτους προσεῖπεν, ὅπερ ἐν ἑτέρᾳ οὐκ ἐποίησεν; ἐκεῖνο ἂν εἴποιμεν. ὅτι διὰ τὸ μηδέπω ἑωρακέναι ῾Ρωμαίους τοῦτο ποιεῖ. καίτοι γε φησὶν, οὐδὲ Κολοσσαεῖς εἶδε, καὶ οὐδὲν τοιοῦτον ἐποίησεν. ἀλλ᾽ οὗτοι, δοκιμότεροι τῶν ἄλλων ἦσαν, καὶ ἐξ ἑτέρων πόλεων ἐκεῖ μεταστάντες, ὡς εἰς ἀσφαλεστέραν τινὰ καὶ βασιλικωτέραν πόλιν. ἐπεὶ οὖν ἐν ξένῃ διῆγον, καὶ ἔδει πολλῆς ἀπολαύειν ἀσφαλείας αὐτοὺς, καὶ τῶν αὐτῷ γνωρίμων ἦσαν τινὲς ἐξ αὐτῶν, οἱ δὲ καὶ διακονησάμενοι, πολλὰ καὶ μεγάλα ὑπὲρ αὐτοῦ παθόντες, εἰκότως αὐτοὺς συνίστησι διὰ τῶν γραμμάτων. καὶ γὰρ οὐ μικρὰ ἦν ἡ Παύλου δόξα τότε. ἀλλὰ τοσαύτη, ὡς καὶ ἀπὸ γραμμάτων μόνων πολλὴν ἔχειν τὴν προστασίαν τοὺς τῶν γραφῶν ἀπολαύοντας. βουλόμενος τοίνυν αὐτοὺς εἶναι ἐν

ἀδείᾳ καὶ τιμῇ, προσεῖπεν ἕκαστον, κατὰ τὸ ἐγχωροῦν καλλωπίζων αὐτούς.

17 Παρακαλῶ δὲ ὑμᾶς ἀδελφοὶ σκοπεῖν τοὺς τὰ σκάν-
δαλα καὶ τὰς διχοστασίας, παρὰ τὴν διδαχὴν ἣν ὑμεῖς
18 ἐμάθετε, ποιοῦντας. καὶ ἐκκλίνατε ἀπ' αὐτῶν. οἱ γὰρ
τοιοῦτοι τῷ Κυρίῳ Ἰησοῦ Χριστῷ οὐ δουλεύουσιν,
ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ, καὶ διὰ τῆς χρηστολογίας καὶ
19 εὐλογίας ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων. ἡ γὰρ
ὑμῶν ὑπακοὴ εἰς πάντας ἀφίκετο· χαίρω οὖν τὸ ἐφ'
ὑμῖν.

ΧΡΥΣΟΣΤΟΜΟΥ. *Πάλιν παραίνεσις, καὶ εὐχὴ μετὰ τὴν παραίνεσιν. σκόπει δὲ πῶς προσηνῶς παραινεῖ. οὐκ ἐν τάξει συμβούλου, ἀλλ' ἐν τάξει ἱκέτου τοῦτο ποιῶν, καὶ μετὰ πολλῆς τῆς τιμῆς. καὶ γὰρ καὶ ἀδελφοὺς ἐκάλεσε, καὶ ἱκετεύει. "παρακαλῶ "γὰρ ὑμᾶς," φησιν, "ἀδελφοί." εἶτα καὶ ἐναγωνίους ποιεῖ, δεικνὺς τὸ δολερὸν τῶν ἐπηρεαζόντων. ὡς γὰρ οὐκ αὐτόθεν ὄντων δήλων, φησίν. "παρακαλῶ ὑμᾶς σκοπεῖν." τουτέστι περιεργάζεσθαι μετὰ ἀκριβείας, καὶ καταμανθάνειν καὶ διερευνᾶσθαι. τίνας, εἰπέ μοι; "τοὺς τὰς διχοστασίας καὶ τὰ σκάνδαλα παρὰ τὴν "διδαχὴν ἣν ὑμεῖς ἐμάθετε, ποιοῦντας." αὕτη γὰρ μάλιστα ἐκκλησίας ἀνατροπή· τὸ διῃρῆσθαι. ἀπὸ γὰρ τῆς διχοστασίας, τὸ σκάνδαλον. ἡ δὲ διχοστασία, πόθεν; ἀπὸ τῶν δογμάτων τῶν παρὰ τὴν διδαχὴν τῶν Ἀποστόλων. τὰ δὲ δόγματα τὰ τοιαῦτα, πόθεν; ἀπὸ τοῦ γαστρὶ δουλεύειν, καὶ τοῖς ἄλλοις πάθεσιν. ὥστε οὐκ ἂν γένοιτο διχοστασία, εἰ μή τις παρὰ τὴν ἀποστολικὴν διδαχὴν ἐπινοηθείη δόγμα. ὃ καὶ ἐνταῦθα δηλῶν, ἔλεγε, "παρὰ τὴν διδα-"χήν." καὶ οὐκ εἶπεν, ἣν ἐδιδάξατε, ἀλλ' "ἣν ὑμεῖς ἐμάθετε." προκαταλαμβάνων αὐτοὺς, καὶ ἀκούσαντας καὶ καταδεξαμένους. καὶ τί ποιήσομεν τοῖς τὰ τοιαῦτα κακουργοῦσιν; οὐκ εἶπεν ὁμόσε χωρεῖτε, καὶ πυκτεύετε, ἀλλ' "ἐκκλίνατε ἀπ' αὐτῶν." εἰ μὲν γὰρ ἐξ ἀγνοίας ἢ πλάνης τοῦτο ἐποίουν, ἔδει διορθοῦν. ἐπειδὴ δὲ ἑκόντες ἁμαρτάνουσιν, ἀποπηδᾶτε. εἶτα κωμῳδῶν τοὺς τὰ τοιαῦτα τολμῶντας, λέγει καὶ τὴν αἰτίαν, ἀφ' ἧς ταύτην ἐποίησαν τὴν διχο-*

στασίαν. "οἱ γὰρ τοιοῦτοι τῷ Κυρίῳ Ἰησοῦ Χριστῷ οὐ δουλεύ- "ουσιν, ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ." τοῦτο καὶ Φιλιππησίοις ἔλεγε περὶ αὐτῶν, "ὧν Θεὸς ἡ κοιλία." ἐνταῦθα δέ μοι τοὺς ἐξ Ἰουδαίων δοκεῖ αἰνίττεσθαι, οὓς μάλιστα ἀεὶ διαβάλλειν εἴωθε ὡς γαστριμάργους. καὶ ἡ μὲν ὑπόθεσις τῆς πλάνης, αὕτη. ὁ δὲ τρόπος τῆς ἐπιβουλῆς, ἕτερον πάλιν νόσημα, ἡ κολακεία. "διὰ γὰρ "τῆς χρηστολογίας, φησὶν, ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων." καὶ καλῶς εἶπε "χρηστολογίας." μέχρι γὰρ τῶν ῥημάτων ἡ θεραπεία. ἡ δὲ διάνοια, οὐ τοιαύτη, ἀλλὰ δόλου γέμουσα. καὶ οὐκ εἶπεν ὑμᾶς ἐξαπατῶσιν, ἀλλὰ "τὰς καρδίας τῶν ἀκάκων." καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλ' ὥστε ποιῆσαι ἀνεπαχθέστερον τὸ εἰρημένον, φησὶν, "ἡ γὰρ ὑμῶν ὑπακοὴ, εἰς πάντας ἀφίκετο." τοῦτο δὲ ποιεῖ, οὐκ ἀφιεὶς αὐτοὺς ἀναισχυντῆσαι, ἀλλὰ τοῖς ἐγκωμίοις προσκαταλαμβάνων, καὶ τῷ πλήθει τῶν μαρτύρων προκατέχων αὐτούς. οὐδὲ γὰρ ἐγὼ, φησὶν, μαρτυρῶ μόνος, ἀλλὰ καὶ πᾶσα ἡ οἰκουμένη. καὶ οὐκ εἶπεν, ἡ γὰρ ὑμῶν σύνεσις, ἀλλ' "ἡ ὑμῶν "ὑπακοή." τουτέστιν, ἡ πειθώ. ὅπερ πολλὴν αὐτοῖς ἦν μαρτυροῦντος πραότητα. ἀλλὰ καὶ τὸ, "χαίρω οὖν τὸ, ἐφ' ὑμῖν," οὐ μικρὸν ἐγκώμιον.

Γεννάδιου. Παραινεῖ τοίνυν αὐτοὺς τὰς τοῦ Πέτρου κατέχειν παραδόσεις, φυλαττομένους τὴν Ἰουδαϊκὴν τερατολογίαν. οὓς καλῶς οὐχὶ τῷ Χριστῷ δουλεύειν, ἀλλὰ τῇ ἑαυτῶν, ἔφη, κοιλίᾳ. διὰ τὸ μονονουχὶ τὴν εὐσέβειαν αὐτοὺς ἐν τῇ παρατηρήσει τῶν βρωμάτων ὁρίζεσθαι. οὔκουν καλῶς ἔχει ὑμῖν, φησὶν, διαβοηθεῖσιν ἐπὶ τῇ περὶ τὴν πίστιν εὐγνωμοσύνῃ, οὔτε αὐτοὺς τῆς εὐκλείας ἀποστερῆσαι παρακρουσθέντας, οὔτε τὴν ἡμετέραν ὑπὲρ τῆς ὑμετέρας εὐδοκιμήσεως ἀμβλῦναι χαράν.

Θεοδωρήτου. Εὐλογίαν δὲ, τὸν ἔπαινον ἐκάλεσε. πλὴν αἰνίττεται καί τινας ἐξ αὐτῶν ὑπαχθέντας. "ἐξαπατῶσι γάρ," φησιν, "τὰς καρδίας τῶν ἀκάκων." οὐ κακοήθειαν μέντοι ἀλλὰ ἁπλότητα ᾐτιάσατο.

Θέλω δὲ ὑμᾶς σοφοὺς μὲν εἶναι εἰς τὸ ἀγαθὸν, ἀκεραίους δὲ εἰς τὸ κακόν.

Χρυσοστόμου. Μετὰ τὸν ἔπαινον, νουθεσία. ἵνα γὰρ μὴ τῶν

ἐγκλημάτων ἀπαλλάξας αὐτοὺς, ὡς λανθάνοντας ῥαθυμοτέρους ἐργάσηται, πάλιν αὐτῶν καθάπτεται ἀνυπόπτως. τοῦτο γὰρ αἰνιττομένου ἐστὶν, ὅτι τινὲς ἐξ αὐτῶν καὶ παρήγοντο.

Γενναδίου. *Βούλομαι οὖν φησιν γινώσκειν μὲν ὑμᾶς τὰ τοῖς καλοῖς ἐναντία. καὶ εἶναι πρὸς τὸ, τὸ ἀγαθὸν ποιῆσαι σοφοὺς, ἀφελεῖς δὲ καὶ ἀπανούργους ὑπάρχειν, καὶ κακίας ἁπλῶς ἀμαθεῖς.*

Θεοδωρήτου. *Τοῦτον καὶ ὁ Κύριος τοῖς Ἀποστόλοις τὸν νόμον παρήνεγκε, "γίνεσθε," λέγων, "φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί." βούλεται δὲ καὶ ὁ δεσποτικὸς καὶ ἀποστολικὸς λόγος ἀποτίθεσθαι μὲν τὰς παρὰ τῶν δυσμενῶν προσφερομένας ἐπιβουλὰς, ἥκιστα δὲ τοὺς ἀδικοῦντας ἀμύνεσθαι.*

Θεοδώρου. *Ἀκεραιότης μὲν γὰρ καὶ ἁπλότης ἄνευ φρονήσεως, μωρία ἐστίν. ἀκεραιότητος δὲ μὴ προσούσης, φρόνησις καθ' ἑαυτὴν εἰς μωρίαν ἐκπίπτει.*

Ἐκ τῶν Ἀσκητικῶν. *Ἔστι δὲ φρόνησις μὲν καὶ σοφία τὸ μετὰ περισκέψεως καὶ κατανοήσεως τοῦ δυνατοῦ καὶ τῆς εὐοδίας ποιεῖν τί. ἀκεραιότης δὲ, τὸ μηδὲ εἰς ἔννοιαν ἐλθεῖν τοῦ ἀμύνασθαι τὸν ἐπιβουλεύοντα, ἐπιμένειν δὲ τῇ εὐεργεσίᾳ κατὰ τὸ, "ὑμεῖς δὲ "τὰ ἀγαθὰ ποιοῦντες, μὴ ἐκκακεῖτε."*

20 *Ὁ δὲ Θεὸς τῆς εἰρήνης συντρίψει τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει. ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν.*

Χρυσολόγου. *Ἐπειδὴ ἐμνήσθη τῶν διχοστασίας καὶ τὰ σκάνδαλα ποιούντων, εἶπεν εἰρήνης Θεόν· ἵνα θαρρήσωσι περὶ τῆς τούτων ἀπαλλαγῆς. ὁ γὰρ ταύτῃ χαίρων, τὰ λυμαινόμενα αὐτὴν καταλύσει. καὶ οὐκ εἶπεν ὑποτάξει, ἀλλ' ὃ μεῖζόν ἐστι "συντρίψει." καὶ οὐκ ἐκείνους μόνον, ἀλλὰ καὶ τὸν στρατηγοῦντα αὐτῶν τὰ τοιαῦτα Σατανᾶν. καὶ οὐχ ἁπλῶς συντρίψει, ἀλλ' "ὑπὸ "τοὺς πόδας ὑμῶν," ὥστε αὐτοὺς τὴν νίκην ἄρασθαι, καὶ τῷ τροπαίῳ γενέσθαι λαμπρούς. καὶ ἀπὸ τοῦ χρόνου δὲ ἡ παραμυθία πάλιν. ἐπήγαγε γὰρ, "ἐν τάχει." τοῦτο δὲ ὁμοῦ καὶ εὐχὴ καὶ προφητεία ἦν. ἀνέμνησε δὲ αὐτοὺς τῆς τοῦ Χριστοῦ χάριτος, εἰπὼν, "ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν." ἵνα*

προθυμοτέρους ἐργάσηται. εἰ γὰρ τῶν πολὺ χαλεπωτέρων ἀπηλλάγητε, καὶ ἀπηλλάγητε χάριτι μόνον, πολλῷ μᾶλλον τῶν ἐλαττόνων ἀπαλλαγήσεσθε, ὅτε καὶ φίλοι γεγόνατε, καὶ τὰ παρ' ἑαυτῶν συνεισηνέγκατε. ὁρᾷς πῶς οὔτε εὐχὴν χωρὶς ἔργων, οὔτε ἔργα χωρὶς εὐχῆς τίθησι; μαρτυρήσας γὰρ αὐτοῖς τὴν ὑπακοὴν, τότε ἐπηύξατο, δεικνὺς ὅτι ἀμφοτέρων δεόμεθα, καὶ τῶν παρ' ἡμῶν, καὶ τῶν παρὰ τοῦ Θεοῦ· εἰ μέλλοιμεν μετὰ ἀκριβείας σώζεσθαι.

21 Ἀσπάζεται ὑμᾶς Τιμόθεος ὁ συνεργός μου, καὶ Λούκιος, καὶ Ἰάσων, καὶ Σωσίπατρος, οἱ συγγενεῖς μου.

Χρυσοστόμου. Εἶδες πάλιν τὰ συνήθη ἐγκώμια;

Θεοδωρήτου. Ὁ μὲν γὰρ ἐπίσημον ἔχει τοῦ ἔργου τὴν κοινωνίαν, οἱ δὲ τὴν συγγένειαν. τοῦ δὲ συγγενοῦς ὁ συνεργὸς πολλῷ τιμαλφέστερος. οὗτος δέ ἐστι Τιμόθεος, ὃν ἐν Λύστροις περιέτεμε, πρὸς ὃν τὰς δύο γέγραφεν Ἐπιστολάς.

Χρυσοστόμου. Τούτου δὲ τοῦ Ἰάσονος, καὶ ὁ Λουκᾶς μέμνηται, καὶ τὴν ἀνδρίαν αὐτοῦ παρίστησι λέγων, ὅτι "ἦγον αὐτὸν "ἐπὶ τοὺς πολιτάρχας βοῶντες." καὶ τοὺς ἄλλους δὲ εἰκὸς εἶναι τῶν ἐπισήμων. οὐ γὰρ ἁπλῶς συγγενῶν μέμνηται, εἰ μὴ κατὰ τὴν εὐσέβειαν εἶεν ἐοικότες αὐτῷ.

22 Ἀσπάζομαι ὑμᾶς ἐγὼ Τέρτιος, ὁ γράψας τὴν Ἐπιστολὴν, ἐν Κυρίῳ.

Χρυσοστόμου. Οὐ μικρὸν καὶ τοῦτο ἐγκώμιον ὑπογραφέα εἶναι Παύλου. πλὴν οὐχ ἵνα ἑαυτὸν ἐγκωμιάσῃ, ταῦτα λέγει, ἀλλ' ἵνα θερμὴν ἐπισπάσηται παρ' αὐτῶν τὴν ἀγάπην ἀπὸ τῆς διακονίας.

Θεοδωρήτου. Εἷς δὲ ἦν καὶ οὗτος τῶν τῆς ἀποστολικῆς διδασκαλίας ἠξιωμένων. οὗ δὴ χάριν καὶ τῆς ἁγίας ψυχῆς τὰς ὠδῖνας διὰ τῆς γλώττης δεχόμενος, ἐνθεῖναι ταύτας προσετάχθη τῇ χάρτῳ.

23 Ἀσπάζεται ὑμᾶς Γάϊος ὁ ξένος μου καὶ τῆς ἐκκλησίας ὅλης.

Χρυσοστόμου. Εἶδες, οἷον αὐτῷ τὸν στέφανον ἔπλεξε, τοσαύ-

την φιλοξενίαν μαρτυρήσας, καὶ ὁλόκληρον τὴν ἐκκλησίαν εἰς τὴν οἰκίαν εἰσαγαγὼν τὴν ἐκείνου; τὸν γὰρ ξένον ἐνταῦθα τὸν ξενοδόχον φησίν. ὅταν δὲ ἀκούσῃς ὅτι Παύλου ξενοδόχος ἦν, μὴ τῆς φιλοτομίας αὐτὸν θαύμαζε μόνον, ἀλλὰ καὶ τῆς κατὰ τὸν βίον ἀκριβείας· εἰ μὴ γὰρ ἦν ἄξιος τῆς ἀρετῆς τῆς ἐκείνου, οὐδ᾽ ἂν ἐκεῖνος ἐκεῖ κατηχήθη. ὁ γὰρ πολλὰ τῶν ἐπιταγμάτων τοῦ Χριστοῦ σπουδάζων ὑπερβαίνειν, οὐκ ἂν τοῦτον παρέβη τὸν νόμον, τὸν κελεύοντα περιεργάζεσθαι τοὺς ὑποδεχομένους, καὶ παρὰ τοῖς ἀξίοις κατάγεσθαι.

Θεοδωρήτου. Κορίνθιος δὲ ἦν οὗτος. καὶ τοῦτο ἡμᾶς ἐν τῇ πρὸς Κορινθίους ἐδίδαξεν ὁ Ἀπόστολος.

Ἀσπάζεται ὑμᾶς Ἔραστος ὁ οἰκονόμος τῆς πόλεως, καὶ Κούαρτος ὁ ἀδελφός.

Χρυσοστόμου. Οὐχ ἁπλῶς προσέθηκεν "ὁ οἰκονόμος τῆς πό-"λεως," ἀλλ᾽ ὥσπερ Φιλιππησίοις ἔγραψεν, "ἀσπάζονται ὑμᾶς "οἱ ἐκ τῆς Καίσαρος οἰκίας," ἵνα δείξῃ ὅτι καὶ τῶν μεγάλων τὸ κήρυγμα ἥψατο, οὕτω καὶ ἐνταῦθα τοῦ ἀξιώματος μέμνηται· τὸ αὐτὸ τοῦτο κατασκευάζων, καὶ δεικνὺς ὅτι τῷ προσέχοντι, οὐδὲ πλοῦτος κώλυμα γίνεται, οὔτε ἀρχῆς φροντίδες, οὔτε ἄλλο τῶν τοιούτων οὐδέν.

Θεοδωρήτου. Καὶ γὰρ κἀκεῖνος, οἰκονόμος ἦν τῆς πόλεως. ὡς κηδεμονίαν πάντως ἐμπεπιστευμένος τινά.

24 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. ἀμήν.

Χρυσοστόμου. Εἶδες πόθεν ἄρχεσθαι δεῖ, καὶ ποῦ τελευτᾶν πανταχοῦ; καὶ γὰρ τὸν θεμέλιον ἐντεῦθεν κατέβαλε τῆς Ἐπιστολῆς, καὶ τὸν ὄροφον ἐντεῦθεν ἐπέθηκεν· ὁμοῦ καὶ ἐπευχόμενος τὴν μητέρα τῶν ἀγαθῶν ἁπάντων αὐτοῖς, καὶ πάσης ἀναμιμνήσκων τῆς εὐεργεσίας. τοῦτο γὰρ μάλιστα διδασκάλου γενναίου, τὸ μὴ λόγῳ μόνον, ἀλλὰ καὶ εὐχαῖς ὠφελεῖν τοὺς μαθητευομένους. διὸ καὶ ἔλεγεν, "ἡμεῖς δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου "προσκαρτερήσομεν."

Θεοδωρήτου. Πάλιν οὖν τῆς πατρικῆς εὐλογίας μετέδωκε,

καὶ τῇ τοῦ Κυρίου χάριτι, καθάπέρ τινι ἀδαμαντίνῳ περιέβαλε τείχει. ταύτης καὶ ἡμεῖς μεταλάβοιμεν, ἵνα κρείττους γενώμεθα τῶν ἐπιβουλῶν, καὶ τὴν εὐθεῖαν ὁδὸν ἀπλανῶς διοδεύσοιμεν, ὑπ' αὐτῆς φωτιζόμενοι· καὶ ἴχνεσι τοῖς ἀποστολικοῖς ἀκολουθήσαντες, ἀξιωθῶμεν ἰδεῖν τὸν διδάσκαλον. καὶ διὰ τῆς ἐκείνου πρεσβείας, τῆς δεσποτικῆς ἀπολαύσωμεν εὐμενείας, καὶ τῶν ἐπηγγελμένων τύχωμεν ἀγαθῶν. χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. μεθ' οὗ, τῷ Πατρὶ, σὺν τῷ Παναγίῳ Πνεύματι, δόξα πρέπει, τιμὴ καὶ μεγαλοπρέπεια, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

INDEX AUCTORUM

E QUIBUS CATENA IN EP. AD ROM. CONTEXTA EST.



